Digitized by Google

BIBLIOTECA NAZ.
Vittorio Emanuele III
LI
G
5
NAPOLI

Digitized by Google

Digitized by Google

Digitized by Google

FLAVII JOSEPHI

OPERUM

TOMUS II.

Digitized by Google

Digitized by Google

[a]ΦΛ. ΙΩΣΗΠΟΥ
[b]ΒΙΟΣ.

FLAVII JOSEPHI
VITA.

ΕΜΟΙ δὲ γένος ἐστὶν οὐκ ἄσημον, ἀλλ' ἐξ ἱερέων ἄνωθεν καταβεβηκός. ὥσπερ δὴ παρ' ἑκάστοις ἄλλη τίς ἐστιν εὐγενείας ὑπόθεσις, οὕτως παρ' ἡμῖν ἡ τῆς ἱερωσύνης μετουσία [c] τεκμήριόν ἐστι γένους λαμπρότητος. ἐμοὶ δ' οὐ μόνον ἐξ ἱερέων ἐστὶ τὸ γένος, ἀλλὰ καὶ ἐκ τῆς πρώτης [d] ἐφημερίδος τῶν εἰκοσιτεσσάρων, [[e] πολλὴ δὲ κἀν τούτῳ διαφορὰ] [f] καὶ τῶν ἐν ταύτῃ φυλῶν ἐκ τῆς ἀρίστης. ὑπάρχω δὲ καὶ τοῦ βασιλικοῦ γένους ἀπὸ τῆς μητρός. οἱ γὰρ Ἀσαμωναίου παῖδες, ὧν ἔγγονος ἐκείνη, τοῦ ἔθνους ἡμῶν ἐπὶ μήκιστον χρόνον ἠρχιεράτευσαν καὶ ἐβασίλευσαν. ἐρῶ δὲ τὴν διαδοχήν. ὁ πρόπαππος ἦν ἐμοὶ Σίμων ὁ Ψελλὸς ἐπικαλούμενος. οὗτος ἐγένετο καθ' ὃν καιρὸν ἠρχιεράτευσε Σίμωνος ἀρχιερέως ὁ παῖς, ὃς πρῶτος ἀρχιερέων [g] Ὑρκανὸς ὠνομάσθη. γίνονται δὲ τῷ Ψελλῷ Σίμωνι παῖδες ἐννέα. τούτων [h] εἷς ἐστι Ματθίας ὁ [i] Ἡφλίου λεγόμενος. οὗτος ἠγάγετο πρὸς γάμον θυγατέρα Ἰωνάθου ἀρχιερέως, [k] τοῦ πρώτου ἐκ τῶν Ἀσαμωναίου παίδων γένους ἀρχιερατεύσαντος, τοῦ ἀδελφοῦ Σίμωνος τοῦ ἀρχιερέως. καὶ γίνεται παῖς αὐτῷ Ματθίας ὁ Κυρτὸς ἐπικληθεὶς, ἄρχοντος Ὑρκανοῦ τὸν πρῶτον ἐνιαυτόν. [l] τούτου γίνεται Ἰώσηπος ἐνάτῳ ἔτει τῆς Ἀλεξάνδρας ἀρχῆς, καὶ Ἰωσήπου Ματθίας βασιλεύοντος Ἀρχελάου τὸ δέκατον, Ματθίᾳ δὲ ἐγὼ τῷ πρώτῳ τῆς Γαΐου Καίσαρος ἡγεμονίας. ἐμοὶ δὲ παῖδές εἰσι τρεῖς. Ὑρκανὸς μὲν ὁ πρεσβύτατος ἔτει τετάρτῳ τῆς Οὐεσπασιανοῦ Καίσαρος ἡγεμονίας, ἑβδόμῳ δὲ Ἰοῦστος, ἐνάτῳ δὲ Ἀγρίππας. τὴν μὲν οὖν τοῦ γένους ἡμῶν διαδοχήν, ὡς ἐν ταῖς δημοσίαις δέλτοις ἀναγεγραμμένην εὗρον, οὕτως παρατίθεμαι, τοῖς διαβάλλειν ἡμᾶς πειρωμένοις χαίρειν φράσας.

MIHI autem genus eſt non ignobile, ſed ex ſacerdotibus longa ſerie deductum. Quemadmodum ſcilicet apud unamquamque gentem diverſa ſunt nobilitatis argumenta, ita apud nos honoris ſacerdotalis participatio ſplendidi generis indicium eſt. Ego autem non ſolum ex ſacerdotum oriundus ſum genere, verum etiam ex claſſe prima inter illas XXIV. (* & magna ſane in hoc eſt excellentia) & nobiliſſima populorum ad eandem pertinentium familia. Quin & maternum mihi genus à regibus eſt. Nam Aſamonæi liberi, è quibus illa prognata eſt, ſummum in gente noſtra pontificatum regnumque diu obtinuerunt. Seriem autem ſucceſſionis recenſebo. Atavus meus erat Simon cognomine Pſellus. Hic vixit eo tempore, quo Simonis pontificis filius, qui primus inter pontifices Hyrcanus appellatus eſt, pontificatum geſſit. Simoni autem Pſello filii erant novem: & in his unus Matthias, Ephliæ *filius* dictus. Hic in uxorem duxit Jonathæ pontificis filiam, qui quidem primus ex Aſamonæorum genere Pontificatum in domum ſuam intulit; frater vero exſtitit *Simonis* pariter Pontificis. Et ex ea filium Matthiam, Gibboſum nominatum, ſuſcepit, primo anno quo *genti* imperavit Hyrcanus. Huic naſcitur Joſephus nono anno regni Alexandræ, Joſepho vero Matthias anno Archelai regis decimo, Matthiæ autem ego primo anno principatus Caji Cæſaris. Mihi porro tres ſunt liberi: Hyrcanus quidem maximus, anno quarto natus imperii Veſpaſiani Cæſaris, Juſtus vero ſeptimo, nono autem Agrippa. Atque ita quidem generis noſtri ſucceſſionem, prout in tabulas publicas relatam inveni, in medium affero: illis *interim* valere juſſis, qui nos calumniis aggrediuntur.

Genus Joſephi.

Anno primo Caji natus Joſephus.

2. Mat-

[a] ΦΛ. ΙΩΣΗΠΟΥ] Scriptus hic liber Joſephi de vita ſua eſt poſt Hiſtoriam Belli Judaici, ut ipſe ait paullo inferius in hoc libello § 6. ubi ait prolixius ſeſe illa explicaſſe in libris de Bello Judaico. Tempus autem quo vitam hanc ſcripſerit, definit ab imperio Trajani, juxta *Scaligerum*, quod in ea Agrippæ Regis meminerit, qui mortuus eſt anno tertio Trajani, juxta Photii Excerpta ex Juſto Tiberiade, Codice 32. quod refellit Dodwellus cum Pearſon. de ſucceſſione Pontif. & corruptum in Photio locum ait, ac pro ἔτει τρίτῳ Τραϊανοῦ legendum eſſe juxta Pearſonum τοῦ αὐτοῦ, nempe *tertio anno Veſpaſiani*, de quo egerat. Vivo vero adhuc Agrippa ſcriptam Hiſtoriam Belli Judaici patet inferius ex vita hac, aliquanto ante finem §. 65. ubi reprehendit Juſtum, quod non, ut ipſe fecerat, vivis Veſpaſiano, Tito, ac Agrippa, libros ſuos ediderit. Spanh.

[b] ΒΙΟΣ.] Hunc librum *Epilogum Antiquitatum*, ſive *libri viceſimi & ultimi*, facit *Euſebius* in *Eccl. Hiſt.* L. 3. C. 10. quare ab iis male divulſus eſt in *Editionibus Gr. Lat.* id quod bene notavit *Valeſius* ad illum *Euſebii* locum, quem videſis *Annot.* p. 47. & 48. Huds. & Spanh. & Relandus. Recte autem in MS. noſtro *Lugd. Bat.* ſubjicitur *Antiquitatum* libris. Hav.

[c] Τεκμήριόν ἐστι.] Μέγα τεκμήριον *Var.*

[d] Ἐφημερίδος τῶν εἰκοσιτεσσάρων.] Libro II. contra Apionem, in fine §. 7. *Licet enim ſint tribus quatuor ſacerdotum, & harum tribuum ſingula habeant hominum pluſquam quinque millia, ſit tamen*, &c. Spanh.

[e] Πολλὴ δὲ κἀν τούτῳ διαφορά] Illa; πολλὴ δὲ κἀν τούτῳ διαφορά, abſunt è *Cod. Vat.*

[f] Καὶ τῶν, &c.] Hæc ita auctiora reddidimus ex Cod. MS. *Lugd. Bat.* neque enim modo ex claſſe prima inter XXIV. ſibi genus eſſe dicit, ſed & in eadem claſſe primam eſſe auctoritate, honore, atque ſplendore ſuam familiam; quare & priora uncinulis incluſimus, & verſionem interpolavimus. Hav.

[g] Ὑρκανὸς ὠνομάσθη.] Mentionem hujus fieri vidimus in Libro Antiquit. 18. Cap. 5. §. 2. Spanh.

[h] Εἷς ἐστι Ματθίας.] Ἐστὶν εἷς in *Editis aliiſque.*

[i] Ἡφλίου.] MS. *Lugd. Bat.* Ἡφλίου. Hav.

[k] Τοῦ πρώτου.] Hæc omnia uſque ad ἀρχιερέως ſingularis ille codex *Lugd. Bat.* nobis ſuppeditavit, neque dubitavimus recipere ut genuinam Joſephi manum, atque hic etiam *Hudſonianam* augere verſionem. Hav.

[l] Τούτου γίνεται.] Forſan τούτῳ, & mox Ἰωσήπῳ & Ματθίᾳ.

* *Vel*: & multum in hoc eſt excellentiæ. *Seldenus* (L. 1. *de Succeſſ.* C. 10.) & magnum ſane ex ea re naſcitur diſcrimen. *Gelenius*, quas inter non mediocre diſcrimen eſt. *Tilmannus*, quæ in ordine haud mediocre diſcrimen.

m Tῷ

Matthiæ patris Joſephi, elogium.

2. Matthias autem pater meus non ſolum generis nobilitate illuſtris erat, ſed multo magis ex juſtitia gloriam adeptus eſt; omnium ſermone maxime celebratus Hieroſolymis, urbe apud nos *ſane* ampliſſima. Ego autem una cum fratre germano, nomine Matthia, *liberaliter* educatus, multum in literis proficiebam, ſic ut crederer aliis antecellere memoria & *rerum* intelligentia. Itaque cum puer adhuc eſſem, annum circiter decimum quartum agens, ex eo, quo flagrabam, literarum amore ab omnibus laudem reportavi; ad me concurrentibus quotidie pontificibus urbiſque primoribus, ut ex me certius aliquid ſcirent de *penitiori* legum ſenſu. Cum autem ad annos plus minus ſexdecim perveniſſem, decrevi ſectas noſtras experiri & tentare. Illæ vero tres ſunt. Phariſæorum prima; Sadducæorum altera; & tertia Eſſenorum, uti ſæpius diximus. Ita enim fore putabam ut optimam eligerem, ſi mihi omnes cognoſcere daretur. Vita igitur duriter acta multiſque laboribus exercita, tres ſectas perluſtravi: & ne iſtarum quidem experientià ſatis mihi factum ratus, cum audiſſem quendam, Banum nomine, in deſerto agere, amictum ſibi ex arboribus parantem, alimentiſque ſponte provenientibus veſcentem, crebriſque noctu & interdiu lavacris frigidis utentem * in *vita* ſanctimoniam, cœpi ejus inſtitutum imitari; exactiſque in ejus contubernio tribus annis, cum jam ea, quæ expetiveram, perfeciſſem, in urbem redii. Jamque annos undeviginti natus, vitam inſtituere exorſus ſum convenienter Phariſæorum ſectæ, quæ proxime accedit ad ſectam Stoicam Græcis dictam.

Joſephus inter æquales aliosque eruditus ferebatur.

Joſephus Judæorum ſectas experitur.

Banus Joſephi præceptor.

Joſephus, cum juvenis admodum, Phariſæis addictus.

Joſephus Romam proficiſcitur.

3. Poſt annum vero *ætatis* ſextum ac vigeſimum, Romam ut aſcenderem mihi contigit, ex cauſa jam nunc dicenda. Quo tempore Felix in Judæa procurator erat, ſacerdotes quoſdam, mihi perſamiliares, viros honeſtos & bonos, ob culpam leviculam & *fere* contemnendam, Romam miſit, cauſam ſuam apud Cæſarem dicturos. Quibus ego volens invenire viam ad ſalutem, maxime vero cum audirem, quod, licet in malis, non obliti eſſent ſuæ in Deum pietatis, & ficis ac nucibus vitam ſuſtentarent, Romam *tandem* perveni, multis in mari aditis periculis, noſtra enim navi in medio ſinus Adriatici ſubmerſa, cum eſſemus numero circiter ſexcenti, totam per noctem natavimus. Et tandem ſub diluculum conſpecta ex Dei providentia navi Cyrenaïca, ego & alii nonnulli, ad octoginta univerſi, feliciore uſi natatu, in eam recepti ſumus. Cumque ita evaſiſſem in *urbem* Dicæarchiam (quam Puteolos vocant Itali) veniebam in amicitiam Alituri (erat autem is mimorum actor, in magna apud Neronem gratia, genere Judæus) perque eum ubi Poppææ uxori Cæſaris innotui, id quam ocyſſime ago, ut meis apud ipſam precibus ſolverentur ſacerdotes. Cumque præter hoc beneficium magnis muneribus cohoneſtatus eſſem à Poppæa, in patriam revertebar.

Naufragium facit.

Alituri ope Poppææ cognitus ſacerdotibus captivis abſolutionem impetrat.

Joſephus à ſeditione movenda dehortatur Judæos.

4. Atque jam eo tempore deprehendi novarum rerum ſtudia gliſcere, multoſque poſt defectionem à Romanis valde elatos. Itaque conabar ſeditioſos in officio continere, utque ad ſaniorem mentem redirent ſuadebam, ob oculos poſitis cum qui-

β'. Ὁ πατὴρ δέ μου Ματθίας οὐ διὰ μόνην τὴν εὐγένειαν ἐπίσημος ἦν, ἀλλὰ πλέον διὰ τὴν δικαιοσύνην ἐπῃνεῖτο, γνωριμώτατος ὢν ἐν τῇ μεγίστῃ πόλει τῶν παρ' ἡμῖν [m] τοῖς Ἱεροσολύμοις. ἐγὼ δὲ συμπαιδευόμενος ἀδελφῷ Ματθίᾳ τοὔνομα, ἐγεγόνει γάρ μοι γνήσιος ἐξ ἀμφοῖν τῶν γονέων, εἰς μεγάλην παιδείας προὔκοπτον ἐπίδοσιν, μνήμῃ τε καὶ συνέσει δοκῶν διαφέρειν. ἔτι δ' ἄρα παῖς ὢν, περὶ τεσσαρεσκαιδέκατον ἔτος, διὰ τὸ φιλογράμματον ὑπὸ πάντων ἐπῃνούμην, συνιόντων ἀεὶ τῶν ἀρχιερέων καὶ τῶν τῆς πόλεως πρώτων, ὑπὲρ τοῦ παρ' ἐμοῦ περὶ τῶν νομίμων ἀκριβέστερόν τι γνῶναι. περὶ ἑκκαίδεκα δὲ ἔτη γενόμενος ἐβουλήθην τῶν παρ' ἡμῖν αἱρέσεων ἐμπειρίαν λαβεῖν. τρεῖς δ' εἰσὶν αὗται. [n] Φαρισαίων μὲν ἡ πρώτη. καὶ Σαδδουκαίων ἡ δευτέρα. τρίτη δὲ ἡ Ἐσσηνῶν, [o] καθὼς πολλάκις εἴπαμεν, οὕτως γὰρ ᾠόμην αἱρήσεσθαι τὴν ἀρίστην, εἰ πάσας καταμάθοιμι. σκληραγωγήσας οὖν ἐμαυτὸν, καὶ πολλὰ πονηθεὶς, τὰς τρεῖς διῆλθον. καὶ μηδὲ τὴν ἐντεῦθεν ἐμπειρίαν ἱκανὴν ἐμαυτῷ νομίσας εἶναι, πυθόμενός τινα [p] Βανοῦν ὄνομα κατὰ τὴν ἐρημίαν διατρίβειν, ἐσθῆτι μὲν ἀπὸ δένδρων χρώμενον, τροφὴν δὲ τὴν αὐτομάτως φυομένην προσφερόμενον, ψυχρῷ δὲ ὕδατι τὴν ἡμέραν καὶ τὴν νύκτα πολλάκις λουόμενον πρὸς ἁγνείαν, ζηλωτὴς ἐγενόμην αὐτοῦ. καὶ διατρίψας παρ' αὐτῷ ἐνιαυτοὺς τρεῖς, καὶ τὴν ἐπιθυμίαν τελειώσας, εἰς τὴν πόλιν ὑπέστρεφον. [q] Ἐννεακαίδεκα δ' ἔτη ἔχων, ἠρξάμην τε πολιτεύεσθαι τῇ Φαρισαίων αἱρέσει κατακολουθῶν, ἣ παραπλήσιός ἐστι τῇ παρ' Ἕλλησι Στωϊκῇ λεγομένῃ.

γ'. Μετ' εἰκοστὸν δὲ [r] καὶ ἕκτον ἐνιαυτὸν [s] εἰς Ῥώμην μοι συνέπεσεν ἀναβῆναι, διὰ τὴν λεχθησομένην αἰτίαν. καθ' ὃν χρόνον Φῆλιξ τῆς Ἰουδαίας ἐπετρόπευεν, ἱερεῖς τινας συνήθεις ἐμοὶ, [t] καλοὺς κἀγαθοὺς, διὰ μικρὰν καὶ τὴν τυχοῦσαν αἰτίαν δήσας εἰς τὴν Ῥώμην ἔπεμψε, λόγον ὑφέξοντας τῷ Καίσαρι. οἷς ἐγὼ πόρον εὑρέσθαι βουλόμενος σωτηρίας, μάλιστα δὲ πυθόμενος, ὅτι καίπερ ἐν κακοῖς ὄντες οὐκ ἐξελάθοντο τῆς εἰς τὸ θεῖον εὐσεβείας, διετρέφοντο δὲ [u] σύκοις καὶ καρύοις, ἀφικόμην εἰς Ῥώμην [v] πολλάκις κινδυνεύσας κατὰ θάλασσαν. βαπτισθέντος γὰρ ἡμῶν τοῦ πλοίου κατὰ μέσον τὸν Ἀδρίαν, περὶ ἑξακοσίους τὸν ἀριθμὸν ὄντες, δι' ὅλης τῆς νυκτὸς ἐνηξάμεθα. καὶ περὶ ἀρχομένην ἡμέραν ἐπιφανέντος ἡμῖν κατὰ Θεοῦ πρόνοιαν Κυρηναϊκοῦ πλοίου, φθάσαντες τοὺς ἄλλους ἐγώ τε καί τινες ἕτεροι, [x] ὀγδοήκοντα σύμπαντες, ἀνελήφθημεν εἰς τὸ πλοῖον. διασωθεὶς δ' εἰς τὴν Δικαιαρχίαν, ἣν [y] Ποτιόλους Ἰταλοὶ καλοῦσιν, διὰ φιλίας ἀφικόμην Ἀλιτύρῳ. μιμολόγος δ' ἦν οὗτος κάλλιστα τῷ Νέρωνι καταθύμιος, Ἰουδαῖος τὸ γένος. καὶ δι' αὐτοῦ [z] Ποππηΐᾳ τῇ τοῦ Καίσαρος γυναικὶ [a] γνωσθεὶς, προνοῶ ὡς τάχιστα παρακαλέσας αὐτὴν [b] τοὺς ἱερεῖς λυθῆναι. μεγάλων δὲ δωρεῶν πρὸς τῇ εὐεργεσίᾳ ταύτῃ τυχὼν παρὰ τῆς Ποππηΐας, ὑπέστρεφον ἐπὶ τὴν οἰκείαν.

δ'. Καταλαμβάνω δ' ἤδη νεωτερισμῶν ἀρχὰς, καὶ πολλοὺς ἐπὶ τῇ Ῥωμαίων ἀποστάσει [c] μέγα φρονοῦντας. καταστέλλειν οὖν ἐπειρώμην τοὺς στασιώδεις καὶ μετανοεῖν ἔπειθον, ποιησάμενος πρὸ ὀφθαλμῶν πρὸς οὓς πολεμήσου-

m Τοῖς Ἱεροσολύμοις.] Ita lego cum Cl. *Lowthio*. prius erat τοῖς Ἱεροσολυμίταις.

n Φαρισαίων μὲν ἡ πρώτη.] De tribus his ſectis ſæpius Joſephus agit, ut Lib. Antiq. 13. Cap. 5. §. 9. & alibi. Spanh. vide Indices.

o Καθὼς] καθὰ. *Vat.*

p Βανοῦν ὄνομα] Ἀββᾶν ὀνομαζόμενον *Cedrenus*, Vol. 1. P. 200.

q Ἐννεακαίδεκα] ἐννέα δὲ δέκα ἐτῶν *Vat.*

r Καὶ ἕκτον] Legendum ἢ ἕκτ, vel tollendum καὶ ἕκτον. *Caſaub.* in notis *MSS.* ad *Baronium*. A. C. 58. §. 158.

s Εἰς Ῥώμην] Profectionem illam Joſephi Romam verſus refert ad A. Neronis X. & æræ Chriſtianæ 73. *Pearſ.* ann. *Paulin.* p. 21. Spanh.

t Καλοὺς κἀγαθοὺς] Ita Attici dicebant, non contra. vide Photii Bibliothecam, Latinè *Fortes ac boni*. Rel.

u Σύκοις καὶ καρύοις] Ne videlicet cibis Gentium uterentur. Rel.

v Πολλάκις κινδυνεύσας] Πολλὰ κινδ. *Voſſ.* Forſan πολλὰ καὶ κινδ.

x Ὀγδοήκοντα] Περὶ ὀγδ. *Voſſ.*

y Ποτιόλους] Meminit urbis ejus in Antiq. Lib. 17. Cap. 14. §. 1. & alibi. Spanh. vide Indices.

z Ποππηΐᾳ] Male in editis Ποππαίᾳ ut & mox Ποππαίας. Vide Nummos. Spanh.

a Γνωσθεὶς] Γνωρισθεὶς *Vat.*

b Τοὺς ἱερεῖς λυθῆναι.] Liberatorem illum ſacerdotum Judæorum ad annum Neronis XI. æræ Chriſtianæ 64. refert *Pearſ.* ann. *Paul.* Spanh.

c Μέγα φρονοῦντας] Μεγαλοφρονοῦντας *Vat.*

* Ad caſtitatem tuendam *Gelen.* ad puritatem caſtitatemque corporis tuendam. T. *Faber* in *Epiſt.* Lib. 1. p. 135.

d Δα-

Digitized by Google

μένουσιν, ὅτι Ῥωμαίων οὐ κατ' ἐμπειρίαν μόνην πολεμικὴν, ἀλλὰ καὶ κατ' εὐτυχίαν ἐλαττοῦνται. καὶ μὴ προπετῶς καὶ παντάπασιν ἀνοήτως πατρίσι καὶ γενεαῖς καὶ σφίσιν αὐτοῖς τὸν περὶ τῶν ἐσχάτων κακῶν κίνδυνον ἐπάγειν. ταῦτα δ' ἔλεγον, καὶ λιπαρῶς ἐνεκείμην ἀποτρέπων, [d] δυστυχέστατον ἡμῖν τοῦ πολέμου τὸ τέλος γενήσεσθαι προορώμενος. οὐ μὴν ἔπεισα. πολὺ γὰρ ἡ τῶν ἀπονοηθέντων ἐπεκράτησε μανία.

ε. Δείσας γοῦν μὴ, ταῦτα συνεχῶς λέγων, διὰ μίσους [e] ἀφικοίμην καὶ ὑποψίας, ὡς τὰ τῶν πολεμίων φρονῶν, καὶ κινδυνεύσω ληφθεὶς ὑπ' αὐτῶν ἀναιρεθῆναι, ἐχομένης ἤδη τῆς Ἀντωνίας, ὅπερ ἦν φρούριον, εἰς τὸ ἐνδοτέρω ἱερὸν ὑπεχώρησα. μετὰ δὲ τὴν [f] ἀναίρεσιν Μαναήμου καὶ τῶν πρώτων τοῦ λῃστρικοῦ στίφους, ὑπεξελθὼν τοῦ ἱεροῦ πάλιν τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρώτοις τῶν Φαρισαίων συνδιέτριβον. φόβος δ' οὐκέτι μέτριος εἶχεν ἡμᾶς, ὁρῶντας τὸν μὲν δῆμον ἐν τοῖς ὅπλοις. αὐτοὶ δ' ὄντες ἐν ἀπόρῳ τί [g] ποιήσωμεν, καὶ τοὺς νεωτεριστὰς παύειν οὐ δυνάμενοι, προδήλου δ' ἡμῖν τοῦ κινδύνου παρεστῶτος, συγκατανεύειν μὲν αὐτῶν ταῖς γνώμαις ἐλέγομεν, συνεβουλεύομεν δὲ μένειν ἐφ' αὐτῶν, καὶ τοὺς πολεμίους ἀπελθόντας ἐᾶν, ἐλπίζοντες οὐκ εἰς μακρὰν Γέσιον, μετὰ μεγάλης δυνάμεως ἀναβάντα, παύσειν τὸν νεωτερισμόν.

ϛ. Ὁ δ' ἐπελθὼν καὶ συμβαλὼν μάχῃ ἐνικήθη, πολλῶν τῶν μετ' αὐτοῦ πεσόντων. καὶ γίνεται τὸ Γεσίου πταῖσμα, συμφορὰ τοῦ παντὸς ἡμῶν ἔθνους. ἐπήρθησαν γὰρ ἐπὶ τούτῳ μᾶλλον οἱ τὸν πόλεμον ἀγαπήσαντες, καὶ νικήσαντες τοὺς Ῥωμαίους εἰς τέλος [h] ἠλπίσαμεν, προσγενομένης καὶ ἑτέρας τινὸς τοιαύτης αἰτίας. οἱ τὰς πέριξ τῆς Συρίας πόλεις κατοικοῦντες, τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους συλλαμβάνοντες σὺν γυναιξὶ καὶ τέκνοις ἀνῄρουν, οὐδὲ μίαν αὐτοῖς αἰτίαν ἐπικαλεῖν ἔχοντες. οὔτε γὰρ ἐπὶ Ῥωμαίων ἀποστάσει νεώτερόν τι πεφρονήκεσαν, οὔτε πρὸς αὐτοὺς ἐκείνους ἐχθρὸν ἢ ἐπίβουλον. [i] Σκυθοπολῖται δὲ πάντων ἀσεβέστατα καὶ παρανομώτατα διεπράξαντο. ἐπελθόντων γὰρ αὐτοῖς Ἰουδαίων ἔξωθεν πολεμίων, τοὺς παρ' αὐτοῖς Ἰουδαίους ἐβιάσαντο κατὰ τῶν ὁμοφύλων ὅπλα λαβεῖν, ὅπερ ἐστὶν ἡμῖν ἀθέμιτον. καὶ μετ' ἐκείνων συμβαλόντες ἐκράτησαν τῶν ἐπελθόντων. ἐπειδὴ δ' ἐνίκησαν, ἐκλαθόμενοι τῆς πρὸς τοὺς ἐνοίκους καὶ συμμάχους πίστεως, πάντας αὐτοὺς διεχρήσαντο, πολλὰς μυριάδας ὄντας. ὅμοια δ' ἔπαθον καὶ οἱ τὴν Δαμασκὸν Ἰουδαῖοι κατοικοῦντες. ἀλλὰ περὶ μὲν [k] τούτων ἀκριβέστερον ἐν ταῖς περὶ Ἰουδαϊκοῦ πολέμου [l] βίβλοις δεδηλώκαμεν. νῦν δ' αὐτῶν ἐπεμνήσθην, βουλόμενος παραστῆσαι τοῖς ἀναγινώσκουσιν, ὅτι οὐ [m] προαίρεσις ἐγένετο τοῦ πολέμου πρὸς Ῥωμαίους Ἰουδαίοις, ἀλλὰ τὸ πλέον ἀνάγκη.

ζ. Νικηθέντος οὖν, ὡς ἔφαμεν, τοῦ Γεσίου, τῶν Ἱεροσολυμιτῶν οἱ πρῶτοι, θεασάμενοι τοὺς μὲν λῃστὰς ἅμα τοῖς νεωτερισταῖς εὐπορουμένους ὅπλων, δείσαντες δὲ αὐτοὶ μὴ ἄνοπλοι καθεστηκότες ὑποχείριοι γένωνται τοῖς ἐχθροῖς, ὃ καὶ μετὰ ταῦτα συνέβη, καὶ πυθόμενοι τὴν Γαλιλαίαν οὔπω πᾶσαν Ῥωμαίων ἀφεστάναι, μέρος δ' αὐτῆς ἠρεμεῖν ἔτι, πέμπουσιν ἐμὲ καὶ δύο ἄλλους τῶν ἱερέων, καλοὺς κἀγαθοὺς ἄνδρας, [n] Ἰωάζαρον καὶ Ἰούδαν, πείσοντας τοὺς πονηροὺς καταθέσθαι τὰ ὅπλα, καὶ διδάξοντας ὡς ἔστιν ἄμεινον τοῖς κρατίστοις τοῦ ἔθνους αὐτὰ τηρεῖσθαι. ἔγνωστο δὲ τούτοις ἀεὶ μὲν ἔχειν τὰ ὅπλα πρὸς τὸ μέλλον ἕτοιμα, περιμένειν δὲ τί πράξουσιν Ῥωμαῖοι μαθεῖν.

bus dimicaturi erant, quod Romanis non ſolum rei militaris peritiâ inferiores eſſent, ſed & felicitate & proſpero rerum ſucceſſu; inſuper *monebam* ne temere & imprudenter admodum patriam & genus ſuum & ſeipſos in mala maxima & extremum diſcrimen adducerent. Iſta ſane dicebam, atque urgebam vehementer & inſtabam ut à bello eos dehortarer, ut qui animô præviderem exitum illius nobis fore infeliciſſimum. At ne ſic quidem perſuaſi: in tantum valebat amentia ex deſperatione orta.

5. Veritus igitur ne, iſta frequenter inculcando, in odium incurrerem & ſuſpicionem, quaſi eadem ſentirem cum hoſtibus, atque ita demum à popularibus comprehenſus de vita periclitarer, occupata jam Antonia, quæ caſtellum erat, in interiora templi memet ſubduxi. At poſt cædem Manahemi & principum cohortis latronum, templo clanculum egreſſus, iterum cum pontificibus verſabar & Phariſæorum primoribus. Jam autem timor non mediocris nos occuparat, cum videremus populum quidem arma corripuiſſe. ipſi vero, cum quid agendum nobis foret prorſus ambigeremus, nec penes nos eſſet ſeditioſos compeſcere, atque ante oculos verſaretur periculum; ſimulabamus quidem nos probare illorum ſententiam, ſuadebamus tamen ut ſe continerent, & hoſtem abire ſinerent, quòd ſperaremus Geſſium brevi cum validis copiis aſcenſurum *ad nos*, & tumultum motumque ſedaturum.

Joſephus veretur ne ſe ſuſpectum proditionis haberent.

6. At ille, cum adveniſſet & ſeditioſis prælio congreſſus eſſet, victus eſt, multis è ſuis occiſis: atque hæc Geſſii clades in univerſam gentem noſtram calamitatem invexit. Nam ex hac re animis elati erant qui bellum appetebant, & in *magna* eramus ſpe, fore ut deinceps Romanos vinceremus: quin & altera quædam *belli* cauſa accedebat, quæ hujuſmodi erat. Nam Syriæ urbium nobis finitimarum incolæ Judæos *intra eadem mœnia* ſecum degentes, comprehenſos unà cum uxoribus & liberis, trucidabant, etiam cum nihil haberent de quo ipſos accuſarent. Neque enim rebus novis ſtuduerant ut à Romanis deficerent, neque adverſum Syros illos hoſtile quidpiam aut inſidioſum moliti fuerant. At Scythopolitæ omnium maxime impia & iniquiſſima perpetrarunt. Cum enim bello peterentur à Judæis exteris, Judæos qui apud ipſos erant vi adegerunt ad arma contra tribules ſuos capeſſenda, id quod noſtris vetitum eſt legibus: & illorum ope, poſtquam manus conſeruiſſent, eos qui ipſos adorti ſunt profligarunt. poſt victoriam autem, obliti fidei inquilinis & ſociis debitæ, eos omnes, ad multas hominum myriadas, occiderunt. Nec diſſimilia perpeſſi ſunt qui Damaſcum habitabant Judæi. Sed hac de re accurate magis narravimus in libris de Bello Judaïco: nunc autem eorum *obiter* memini, eo animo, ut lectoribus oſtendam, Judæos non de induſtria bellum moviſſe contra Romanos, ſed neceſſitate potius *compulſos*.

Geſſius victus.

Belli cauſa.

Judæi ad arma compulſi.

7. Itaque profligato, uti *jam* diximus, Geſſio, Hieroſolymitarum primores, ubi viderant latrones ſeditioſos armis abundare, veritique ne ipſi, armis deſtituti, inimicis obnoxii fierent, id quod & poſtea accidit, auditoque quòd Galilæa nondum omnis à Romanis defeciſſet, ſed pars ejus etiam tum quiete ageret, *eò* miſerunt me & alios duos ſacerdotes, viros bonos & honeſtos, Jozarum & Judam, ut *homines* iſtos facinoroſos ſuaderemus arma deponere, & doceremus ſatius eſſe ea aſſervari viris in gente noſtra optimis & fortiſſimis. quippe decretum erat, ut illi quidem ſemper arma in futurum parata haberent, manendum vero, ut ſciatur quidnam acturi ſint Romani.

Joſephus ab Hieroſolymitis delectus, qui Galilæam in pace contineret.

8. Ego

d Δυστυχέστατον ἡμῖν.] Δυστυχέστατον Vat.
e Ἀφικοίμην] Ita *Voſſ.* ἀφικοίμεθα in *ceteris*.
f Ἀναίρεσιν Μαναήμου.] Cædem factioſi hujus hominis expoſuit Joſephus Lib. 2. *de Bello Jud.* Cap. 17. §. 9. Spanh.
g Ποιήσωμεν.] Ποιήσωμεν *Voſſ.*
h Ἠλπίσαμεν.] Ἤλπιζον *Voſſ.* & *Vat.*
i Σκυθοπολῖται δὲ.] Vide Lib. 2. *de Bello Jud.* Cap. 19. §. 3. 4. Spanh.
k Τούτων ἀκριβέστερον.] Ita *Voſſ.* & *Vat.* τούτου in *ceteris*.
l Βίβλοις δεδηλώκαμεν.] Βίβλοις non agnoſcit *Vat.*
m Προαίρεσις ἐγένετο] Προαίρεσιν *Vat.* quod ſane poſtularet ὁ πόλεμος, & mox ἀνάγκη.
n Ἰωάζαρον.] Ἰωζάρον *Vat.*

Digitized by Google

Joſephus Sepphoritanos liberator.

8. Ego igitur, cum iſta mandata accepiſſem, in Galilæam perveniebam; & Sepphoritas quidem reperiebam in magna ſolicitudine de patria, quod rapinæ eam addixiſſent Galilæi, tam quod perſtiterint in amicitia cum Romanis inita, quam quod & Ceſtio Gallo *tum* Syriæ præſidi dextram fidemque dederint. Verum ego hos quidem omnes metu liberavi, cum illorum in gratiam *mitiora* perſuaſiſſem multitudini, permiſiſſemque ut quoties vellent in Dora (Dora enim urbs eſt Phœniciæ) mitterent ad ſuos, quos obſides Geſſio dederant. Tiberiadis autem incolas comperiebam prius aliquanto ad arma provolaſſe, ob hujuſmodi cauſam.

Tres in urbe Tiberiade factiones.

9. Tres in ea civitate factiones erant. Una quidem conſtabat viris *gravibus &* honeſtis, duce Julio Capello. Hic ſane & qui eum ſequebantur omnes, Herodes Miari, Herodes item Gamali, & Compſus Compſi *filius*; Criſpus enim hujus frater, olim ab Agrippa magno rege ei urbi præfectus, tum in ſuis poſſeſſionibus trans Jordanem agebat: hi inquam omnes jam memorati eo tempore *illis* perſuadere conabantur, ut in ſua erga Romanos regemque fidelitate manerent. In hac autem ſententia non acquieſcebat Piſtus, qui aderat ex ſuaſione Juſti filii. nam erat ſuapte natura quodammodo † honeſtus. Altera vero factio, ex iis qui maxime erant ignobiles conflata, bellandum eſſe decernebat. Juſtus Piſti filius, tertiæ partis primus, ſe quidem de bello dubio eſſe animo ſimulabat: rerum autem novarum cupidus erat, fore ratus ut ex rerum mutatione potentia *aliqua* potiretur. itaque in medium progreſſus, multitudinem docere pro virili adnitebatur,

Juſtus Piſti filius populum ad defectionem irritat.

„ quod urbs *eorum* ſemper ad Galilæam pertinuerit, „ * primatum vero acceperit tempore Herodis, tetrarchæ, ejuſque conditoris, qui ipſe voluit Sepphoritarum urbem iſti Tibérienſium ſubditam eſſe. Hanc autem præeminentiam ne quidem ſub rege Agrippa, *junioris* patre, eos amiſiſſe, ipſam vero etiam uſque ad Felicem Judææ præſidem illis manſiſſe. Nunc autem, dicebat, eos felicitate iſta excidiſſe, quippe quod Nero illos dono dederit juniori Agrippæ. Mox enim Sepphorim quidem, ex quo Romanis ſe ſubjecit, primam Galilææ urbem exſtitiſſe, apud ipſos vero deſiiſſe menſam regiam & archiva. " His & aliis inſuper multis in regem Agrippam jactatis, ut populum ad defectionem irritaret, adjiciebat, „ jam tempus eſſe, ut armis correptis & Galilæis in ſocietatem aſſumptis (ipſos enim illis non invitis imperaturos eſſe, propter odium quo Sepphoritas proſequantur, quod in Romanorum amicitia perſeverarent) ad ultionem ab eis expetendam magno cum exercitu ſe convertant. His ille dictis multitudinem *ad bellum* hortatus eſt. erat quippe idoneus qui populum dicendo regeret, eoſque qui ex adverſo meliora ſuaderent verborum præſtigiis & fallaciis vinceret. neque

η'. Λαβὼν οὖν ἐγὼ τὰς ὑποθήκας ταύτας, ἀφικόμην [o] εἰς τὴν Γαλιλαίαν. καὶ [p] Σεπφωρίτας μὲν οὐκ ἐν ὀλίγῳ περὶ τῆς πατρίδος ἀγῶνι καθεστῶτας εὗρον, διαρπάσαι κεκρικότων αὐτὴν τῶν Γαλιλαίων, διὰ τὴν πρὸς Ῥωμαίους ἐκείνων φιλίαν, καὶ ὅτι καὶ [q] Κεστίῳ Γάλλῳ τῷ τῆς Συρίας ἡγεμονεύοντι δεξιάν τε καὶ πίστιν [r] προτείνειεν. ἀλλὰ τούτους μὲν ἐγὼ πάντας ἀπήλλαξα τοῦ φόβου, πείσας ὑπὲρ αὐτῶν τὰ πλήθη, καὶ ἐπιτρέψας ὁσάκις θέλουσι διαπέμπεσθαι [s] πρὸς τοὺς ἐν Δώροις οἰκείους ὁμηρεύοντας [t] Γεσσίῳ. τὰ δὲ Δῶρα πόλις ἐστὶ τῆς Φοινίκης. τοὺς ἐν Τιβεριάδι δὲ κατοικοῦντας εὗρον ἐφ' ὅπλα κεχωρηκότας ἤδη, δι' αἰτίαν τοιαύτην.

θ'. Στάσεις τρεῖς ἦσαν κατὰ τὴν πόλιν. μία μὲν ἀνδρῶν εὐσχημόνων, ἦρχε δ' αὐτῆς Ἰούλιος Καπέλλος. οὗτος δὴ καὶ οἱ σὺν αὐτῷ πάντες, Ἡρώδης ὁ Μιαροῦ, καὶ Ἡρώδης ὁ τοῦ Γαμάλου, καὶ Κομψὸς ὁ τοῦ Κόμψου. Κρίσπος γὰρ ἀδελφὸς αὐτοῦ, τοῦ [[u] Ἀγρίππα] [v] μεγάλου βασιλέως γενόμενός ποτε [x] ἔπαρχος, ἐν ταῖς ἰδίαις κτήσεσιν ἐτύγχανε, πέραν τοῦ Ἰορδάνου. πάντες οὖν οἱ προειρημένοι κατὰ τὸν καιρὸν ἐκεῖνον ἐμμένειν συνεβούλευον τῇ πρὸς τοὺς Ῥωμαίους καὶ τὸν βασιλέα πίστει. [y] τῇ γνώμῃ δ' οὐ συνηρέσκετο [z] Πιστός, [a] παραγενόμενος ὑπὸ Ἰούστου τοῦ παιδός. καὶ γὰρ ἦν φύσει πως [b] ἐπιφανής. ἡ δευτέρα δὲ στάσις, ἐξ ἀσημοτάτων συνεστηκυῖα, πολεμεῖν ἔκρινεν. Ἰοῦστος ὁ Πιστοῦ παῖς, ὁ τῆς τρίτης μερίδος πρῶτος, ὑπεκρίνετο μὲν ἐνδοιάζειν πρὸς τὸν πόλεμον. νεωτέρων δ' ἐπεθύμει πραγμάτων, ἐκ τῆς μεταβολῆς οἰόμενος δύναμιν ἑαυτῷ περιποιήσειν. παρελθὼν οὖν εἰς μέσους διδάσκειν ἐπειρᾶτο τὸ πλῆθος, „ ὡς ἡ πόλις [c] ἀεὶ τῆς Γαλιλαίας, [d] ἄρξειεν δὲ [e] ἐπί γε τῶν Ἡρώδου χρόνων, τοῦ τετράρχου, καὶ κτίστου γενομένου, βουληθέντος αὐτοῦ τὴν Σεπφωριτῶν πόλιν τῇ Τιβεριέων ὑπακούειν. ἀποβάλλειν δὲ τὸ πρωτεῖον [f] αὐτούς, μηδὲ ἐπὶ τοῦ βασιλέως Ἀγρίππα τοῦ πατρός, διαμεῖναι δὲ καὶ μέχρι Φήλικος [g] προϊσταμένου τῆς Ἰουδαίας. νῦν δέ, [h] ἔλεγεν, αὐτοὺς ἠτυχηκέναι, τῷ νεωτέρῳ δωρεὰν Ἀγρίππᾳ δοθέντας ὑπὸ Νέρωνος. ἄρξαι γὰρ εὐθὺς τὴν μὲν [i] Σέπφωριν, ἐπειδὴ Ῥωμαίοις ὑπήκουσε, τῆς Γαλιλαίας, καταλυθῆναι δὲ [k] παρ' αὐτοῖς τήν τε βασιλικὴν τράπεζαν καὶ τὰ [l] ἀρχαῖα. " ταῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ κατὰ βασιλέως Ἀγρίππα λέγων, [m] ὑπὲρ τοῦ τὸν δῆμον εἰς τὴν [n] ἀποστασίαν ἐρεθίσαι, προσετίθει, „ νῦν εἶναι καιρὸν ἀραμένους ὅπλα, καὶ Γαλιλαίους συμμάχους προλαβόντας. ἄρξειν γὰρ αὐτῶν ἑκόντων διὰ τὸ [o] πρὸς τοὺς Σεπφωρίτας μῖσος ὑπάρχειν αὐτοῖς, ὅτι τὴν πρὸς Ῥωμαίους πίστιν διαφυλάσσουσιν. μεγάλῃ χειρὶ πρὸς τὴν ὑπὲρ αὐτῶν τιμωρίαν [p] τρέπεσθαι. " Ταῦτα λέγων, προετρέψατο τὸ πλῆθος· ἦν γὰρ ἱκανὸς δημαγωγεῖν, καὶ τῶν ἀντιλεγόντων τὰ βελτίω περιεῖναι γοητείᾳ καὶ ἀπάτῃ τῇ

διὰ

o Εἰς τὴν Γαλιλαίαν.] Joſephum utrique Galilææ præfectum fuiſſe patet quoque ex Lib. 2. de Bello Jud. Cap. 20. §. 4. Spanh.

p Σεπφωρίτας μέν.] Ita *Voſſ.* & *Vat.* nec aliter juxta nummos. Σαμφωρίτας in *Editis Aliiſque.*

q Κεστίῳ Γάλλῳ.] Ita reſcripſi (ita & *Spanhemius*) ex Lib. 2. de *Bello Judaico.* Ξενίῳ in *Editis Aliiſque.* Ξενίῳ *Vat.* Γεσσίῳ *Voſſ.* Huds. In Margine MS. *Lugd. Bat.* adſcriptum Γεσσίῳ. mavult autem *Rolandus* legere Κεστίῳ Γάλλῳ τότε. Hav.

r Προτείνειεν.] MS. *Lugd. Bat.* προτείνει. Hav.

s Πρὸς τούς.] MS. idem διὰ τούς. Hav.

t Γεσσίῳ.] Κεστίῳ *Vat.*

u Ἀγρίππα.] Vocem Ἀγρίππα, uncis incluſam, additam eſſe volui.

v Μεγάλου βασιλέως.] Confer Nummos in extremo hujus Voluminis. Hav.

x Ἔπαρχος.] ἔξαρχος *Vat.*

y Τῇ γνώμῃ.] Τῇ deeſt *Vat.*

z Πιστός.] Πρίσκος & mox Πρίσκου *Voſſ.* Huds. Forte Πρίσκος. Cocc.

a Παραγενόμενος ὑπὸ Ἰούστ.] Fuit cum legendum eſſe conjicerem, παροξυνόμενος.

b Ἐπιφανής.] Ἐπιμανὴς pro ἐπιφανὴς in *Cod. Voſſ.*

c Ἀεὶ τῆς Γαλιλαίας.] Ἀεὶ deeſt *Vat.*

d Ἄρξειεν δέ.] Confer Antiq. Lib. 18. Cap. 2. §. 3. Spanh.

e Ἐπί γε τῶν Ἡρώδου χρόνων.] Ἐπί τε *Vat.*

f Αὐτούς.] Αὐτοῦ *Voſſ.*

g Προϊσταμένου.] Προεστηκότος *Voſſ.*

h Ἔλεγεν.] Ita lego, ἔλεγον in *libris.*

i Σέπφωριν.] Ita *Vat.* Σέπφωριν *Voſſ.* Σαμφώριν in *Editis Aliiſque.* Huds. lege Σέπφωριν & paſſim hic Σεπφωρίτας & Σεπφωριτῶν, Spanh. confer Indices.

k Παρ' αὐτοῖς.] Sic *Voſſ.* & *Vat.* αὐτῶν in *reliquis.*

l Ἀρχαῖα.] Rectius Forſan ἀρχεῖα. Vide *Suidam* in voce ἀρχεῖα. Huds. & Cocc.

m Ὑπὲρ τοῦ τὸν δῆμον.] Ita *Voſſ. Vat.* & *Gall.* ὑπὲρ τούτου δῆμον εἰς τὴν ἀποστασίαν ἐρεθίσας in *Editis Aliiſque.*

n Ἀποστασίαν ἐρεθίσαι.] Ἀποστασία *Vat.*

o Πρὸς τοὺς Σεπφωρίτας.] Sic *Gall.* πρὸ τοὺς in *cæteris.*

p Τρέπεσθαι.] Τραπέσθαι *Voſſ. Gall.* & *Vat.*

† Vide *Labbæi Gloſſarium*, voce ἐπιφανής.

* *Sc.* Metropolis facta fuerit.

q Καὶ

διὰ λόγων. καὶ γὰρ οὐδ' ἄπειρος ἦν παιδείας τῆς παρ' Ἕλλησιν, ᾗ θαρρῶν ἐπεχείρησεν [q] καὶ τὴν ἱστορίαν τῶν πραγμάτων τούτων ἀναγράφειν, ὡς τῷ λόγῳ τούτῳ περιεσόμενος τῆς ἀληθείας. ἀλλὰ περὶ μὲν τούτου τοῦ ἀνδρὸς, ὡς φαῦλος τὸν βίον ἐγένετο, καὶ ὡς σὺν τῷ ἀδελφῷ μικροῦ δεῖν καταστροφῆς αἴτιος ὑπῆρξεν, προϊόντος τοῦ λόγου δηλώσομεν. τότε δὲ πείσας Ἰοῦστος τοὺς πολίτας ἀναλαβεῖν τὰ ὅπλα, πολλοὺς δὲ καὶ μὴ θελήσαντας ἀναγκάσας, ἐξελθὼν σὺν πᾶσι τούτοις ἐμπίπρησι τάς τε [r] Γαδαρηνῶν καὶ [s] Ἱππηνῶν κώμας. αἳ δὴ μεθόριοι τῆς Τιβεριάδος καὶ τῆς τῶν Σκυθοπολιτῶν γῆς ἐτύγχανον κείμεναι.

ι'. Καὶ Τιβεριὰς μὲν ἐν τούτοις ἦν. τὰ περὶ Γίσχαλα δὲ εἶχεν τὸν τρόπον τοῦτον. [t] Ἰωάννης ὁ τοῦ [u] Λευί, τῶν πολιτῶν τινας ὁρῶν διὰ τὴν ἀπόστασιν τὴν ἀπὸ Ῥωμαίων [v] μέγα φρονοῦντας, κατέχειν αὐτοὺς ἐπειρᾶτο, καὶ τὴν πίστιν ἠξίου διαφυλάττειν. οὐ μὴν ἠδυνήθη, καίτοι πάνυ προθυμούμενος. τὰ γὰρ πέριξ ἔθνη [x] Γαδαρηνοὶ καὶ [y] Γαβαρηνοὶ, Σωγαναῖοι καὶ Τύριοι, πολλὴν ἀθροίσαντες δύναμιν, καὶ τοῖς Γισχάλοις [z] ἐπιπεσόντες, λαμβάνουσι τὰ Γίσχαλα κατὰ κράτος. καὶ πυρπολήσαντες, εἶτα δὲ καὶ [a] προσκατασκάψαντες, εἰς τὴν οἰκείαν ἀνέζευξαν. Ἰωάννης δὲ, ἐπὶ τούτῳ παροξυνθεὶς, ὁπλίζει πάντας τοὺς μετ' αὐτοῦ. καὶ συμβαλὼν τοῖς προειρημένοις ἔθνεσιν, τά τε Γίσχαλα κρείττονα πάλιν ἀνακτίσας, τείχεσιν ὑπὲρ ἀσφαλείας [b] τῆς εἰς ὕστερον ὠχύρωσεν.

ια'. Γάμαλα δὲ πίστει τῇ πρὸς Ῥωμαίους ἐνέμεινε, δι' αἰτίαν τοιαύτην. Φίλιππος ὁ Ἰακίμου παῖς, ἔπαρχος δὲ τοῦ βασιλέως Ἀγρίππα, σωθεὶς παρὰ δόξαν ἐκ τῆς ἐν Ἱεροσολύμοις βασιλικῆς αὐλῆς πολιορκουμένης, καὶ διαφυγὼν, εἰς ἕτερον ἐνέπεσε κίνδυνον, ὥστε ὑπὸ Μαναήμου καὶ τῶν σὺν αὐτῷ λῃστῶν ἀναιρεθῆναι. διεκώλυσαν δὲ Βαβυλώνιοί τινες, συγγενεῖς αὐτοῦ ἐν Ἱεροσολύμοις ὄντες, πρᾶξαι τοὺς λῃστὰς τὸ ἔργον. ἐπιμείνας οὖν ἡμέρας τέσσαρας ὁ Φίλιππος ἐκεῖ, τῇ πέμπτῃ φεύγει [c] περιθέτῃ χρησάμενος κόμῃ, τοῦ μὴ κατάδηλος γενέσθαι. καὶ παραγενόμενος εἴς τινα τῶν ἑαυτοῦ κωμῶν κατὰ τοὺς ὅρους Γαμάλα τοῦ φρουρίου κειμένην, πέμπει πρός τινας τῶν ὑπ' [d] αὐτοῦ προστάσσων [e] ὡς αὐτὸν ἀφικέσθαι. [f] τὸν Φίλιππον δὲ ταῦτα ἐννοούμενον ἐμποδίζει τὸ θεῖον ἐπὶ συμφέροντι. μὴ γὰρ τούτου γενομένου, πάντως ἂν ἀπολώλει. πυρετοῦ δὴ κατασχόντος [g] αὐτὸν ἐξαίφνης, γράψας ἐπιστολὰς [h] τοῖς παισὶν Ἀγρίππα καὶ Βερενίκῃ δίδωσι τῶν ἐξελευθέρων τινὶ κομίζειν πρὸς Οὔαρον. ἦν δ' οὗτος κατὰ τὸν καιρὸν ἐκεῖνον ὁ τὴν βασιλείαν διοικῶν, καταστησάντων αὐτὸν τῶν βασιλέων. αὐτοὶ γὰρ εἰς Βηρυτὸν ἀφίκοντο, ὑπαντῆσαι βουλόμενοι [i] Γεσσίῳ. λαβὼν οὖν ὁ Οὔαρος τὰ παρὰ Φιλίππου γράμματα, καὶ πυθόμενος αὐτὸν διασεσῶσθαι, βαρέως ἤνεγκεν, [k] ἀχρεῖος τὸ λοιπὸν αὐτὸς νομίζων φανεῖσθαι τοῖς βασιλεῦσιν ἀφικομένου τοῦ Φιλίππου. προαγαγὼν οὖν εἰς τὸ πλῆθος τὸν τὰς ἐπιστολὰς κομίζοντα, καὶ [l] πλαστογραφίαν ἐπικαλέσας, ψεύδεσθαί τε φήσας αὐτὸν ἀπαγγείλαντα ἐν τοῖς Ἱεροσολύμοις Φίλιππον μετὰ

enim Græcæ eruditionis expers erat & ignarus, qua fretus etiam ad hiſtoriam hiſce de rebus ſcribendam aggreſſus eſt, ut iſta narratione veritatis fidem ſuperaret. Atqui de hoc quidem viro, quam improbæ fuerit vitæ ac flagitioſæ, utque una cum ſuo fratre patriæ fere ſubvertendæ auctor exſtiterit, procedente ſermone narrabimus. Tunc autem Juſtus, cum civibus perſuaſiſſet arma ſumere, multoſque etiam præter ſui voluntatem eò vi adegiſſet, cum iſtis omnibus egreſſus Gadarenorum & Hippenorum vicos incendit: qui utique ſiti erant in confiniis Tiberiadis & agri Scythopolitani. *Juſti elogium.*

10. Atque in his quidem erat Tiberias: quæ vero ad Giſchala ſpectabant, hoc modo ſe habebant. Joannes Levi filius, cum videret civium *ſuorum* * quoſdam ſeſe efferre, quod à Romanis deſciviſſent, operam dabat ut illos cohiberet, orabatque ut fidem ſervarent. nequicquam tamen, omni licet ſtudio in id incumbebat. Nam vicini populi, Gadareni & Gabareni, Soganæi & Tyrii, ingenti coacto exercitu, Giſchala adorti, vi urbem iſtam expugnant: eaque incenſa, ac deinde ſuffoſſa & ſolo adæquata, domum ſe receperunt. Cæterum Joannes, hac re irritatus, omnes qui cum eo erant armis inſtruit; populiſque prædictis prælio congreſſus, & Giſchala in pulchriorem urbem reſuſcitavit, & in futuram ſecuritatem mœnibus firmavit. *Joannes Levi filius à Romanis ſtat.* *Giſchala incenſa & diruta.* *Joannes Giſchalorum inſtaurator.*

11. Gamala autem in fide populi Romani manebat, ex hujuſmodi cauſa. Philippus Jacimi filius, Agrippæ regis præfectus, præter opinionem ex regia Hieroſolymitana, cum oppugnaretur, ſervatus, fugaque dilapſus, in aliud incidit periculum, *ſc.* ne trucidaretur à Manahemo & latronibus qui cum eo erant. At, quo minus id fieret à latronibus, impedierunt Babylonii quidam ejus cognati, qui tum Hieroſolymis erant. Philippus itaque cum quatuor dies illic manſiſſet, quinta *die*, appoſititia coma uſus ne internoſci poſſet, fuga ſibi quæſivit ſalutem. & cum perveniſſet ad quendam ſuæ ditionis vicum, prope caſtellum Gamala ſitum, ad nonnullos ſibi ſubditos mandata mittit, ut ad ipſum venirent. At dum iſta Philippus animo volveret, Deus, ne fierent, in rem illius prohibuit: nam niſi hoc accidiſſet, funditus periiſſet. Febri quippe repentina correptus, literas ad Agrippæ liberos & Berenicen ſcriptas, liberto cuidam tradidit, Varo perferendas. Ille autem eo tempore regnum adminiſtrabat, curâ ejus à regibus ei demandatâ. nam illi ad Berytum profecti erant, eo animo ut Geſſio *honoris cauſa* occurrerent. Varus igitur, acceptis à Philippo literis, auditoque illum ſalvum evaſiſſe, tulit id graviter, ratus fore ut ipſe regibus nulli uſui eſſe videretur, quando *ad eos* venerit Philippus. Producto igitur in *medium* turbam eo qui literas attulerat, objectoque ei in crimen quod literas finxiſſet, quodque, ut ajebat, mendacium dixiſſet, quippe qui nunciaret Philippum Hieroſolymis contra Judæos bellum gerere, morte eum affecit. *Gamala in Romanorum fide perſtat.* *Quo modo Philippus, Jacimi filius, è periculis evaſit.* *Varus Philippi libertum, literas ferentes, ſupplicio affecit.*

Cum

[q] Καὶ τὴν ἱστορίαν τῶν πραγμάτων τούτων.] Confer quæ inferius §. 65. habentur. Spanh.

[r] Γαδαρηνῶν καὶ.] Jungit plures urbes has Joſephus. Spanh. Vide Indicem.

[s] Ἱππηνῶν.] Conf. de Vita §. 31. Spanh.

[t] Ἰωάννης ὁ τοῦ] Hunc, ut improbum & ſeditioſum commemorat in libris de Bel. Jud. non uno in loco & de Vita §. 38. Spanh. Vide Indices.

[u] Λευί.] Ita cum Cod. Voſſ. Ἀευὶ in Editis Aliiſque.

[v] Μέγα φρονοῦντας.] Μεγαλοφρονοῦντας Vat.

[x] Γαδαρηνοὶ καὶ.] Conjungit alibi populos hos Joſephus. Spanh. Vide Indices.

[y] Γαβαρηνοί.] Ita ſcribo cum Cl. Garnicro, viro rerum Judaicarum peritiſſimo, antea Γαβαραγαναῖοι in Editis. Βαραγαναῖοι Voſſ. Βαραγαναῖοι Codi. Si quis pro Γαβαραγαναῖοι malit, literis aliquot extritis, Γαβαρηνοὶ καὶ Τύριοι, per me licet.

[z] Ἐπιπεσόντες.] Ἐπιπεσόντες Vat.

[a] Προσκατασκάψαντες.] Diripit ita Lugd. Bat. πρὸς κατασκάψαντες.

[b] Τῆς εἰς ὕστερον ὠχύρωσεν.] Ita lego. εἰς ὕστερον Voſſ. τοῖς εἰς ὕστερον in Editis Aliiſque. Huds. in Lugd. Bat. legitur τῶν ὕστερον. Hav.

[c] Περιθέτῃ] Lege περιθέτῳ Cocc.

[d] Αὐτοῦ.] Forte αὐτῶν. Cocc.

[e] Ὡς αὐτὸν ἀφικέσθαι.] Εἰς αὐτὸν ἀφικέσθαι τὸν Φίλιππον, ταῦτα δὲ αὐτὸν ἐννοούμενον Vat. & Voſſ.

[f] Τὸν Φίλιππον] Male in Lugd. Bat. legitur τὸν Φίλιππον ταῦτα δὲ αὐτόν. Hav.

[g] Αὐτὸν ἐξαίφνης.] Interpungi poteſt hoc modo, αὐτὸν, ἐξαίφνης γράψας.

[h] Τοῖς παισὶν.] Ita in Ed. Baſ. τοῖς παισὶν Ἀγρίππα Gen. Forſan τοῖς βασιλεῦσιν Ἀγρίππα καὶ Βερενίκῃ.

[i] Γεσσίῳ.] Κεστίῳ Vat. Lugd. Bat. Γεσσίῳ.

[k] Ἀχρεῖος.] Ita Voſſ. ἀχρεῖον in reliquis.

[l] Πλαστογραφίαν.] Πλαστογραφίας Vat. Conf. §. 55. infr. Spanh.

* Quoſdam feroçientes jugum Romanorum excutere velle. Gel. m Ex-

Cum autem libertus non reverteretur, Philippus, cauſæ neſcius, rurſus alium cum literis amandat, renunciaturum ipſi, quidnam ei quem miſerat accidiſſet, quod reditum non maturaret. Verum & hunc, ubi venerat, Varus oppreſſit per calumniam. Etenim animus ei, ut magnifice de ſe ſentiret, ſublatus erat à Cæſarenſibus Syris, dicentibus fore ut Agrippa à Romanis occideretur, ob ea in quibus deliquerant Judæi, atque ut ipſe regnum illius acciperet, quod à regibus oriundus eſſet. nam in confeſſo erat, Varum è ſtirpe regia eſſe, utpote nepotem Sohemi, ejus qui locorum circa Libanum tetrarchiam obtinuerat. Varus igitur, iſta re elatus, literas apud ſe retinebat, modis omnibus adnitens ne in ea quæ ſcripta erant incideret rex; exituſque omnes obſervabat, ne quis clam dilapſus renunciaret regi quæ ibi fierent: adeoque, ut à Syris Cæſarenſibus gratiam iniret, multos Judæorum interfecit. Quin & decrevit, armis ſumptis unà cum Trachonitis Batanæam habitantibus in Judæos Babylonios (eam enim appellationem habuerunt) qui in Ecbatanis erant, impetum facere. Accitis igitur ad ſe Judæorum Cæſarenſium duodecim probatiſſimis, juſſit eos, Ecbatana profectos, nunciare tribulibus ſuis loci iſtius incolis, quod Varus, audito vos contra regem inſurrecturos eſſe, nec tamen rumori fide habita, nos miſerit, vobis ut perſuadeamus arma deponere. id enim argumentum fore *certiſſimum*, quod merito illis non creditum fuerit, qui iſta de vobis narrarent. Jubebat præterea mittendos eſſe viros ſeptuaginta ex optimatibus, qui crimen objectum diluerent. Itaque cum iſti duodecim ad tribules ſuos, qui Ecbatanis erant, veniſſent, comperiſſentque eos rebus novis minime ſtudere, eos ſuaſerunt, ut ſeptuaginta viros mittendos curarent. Illi autem, nihil tale ſuſpicati quale eventurum erat, *viros* ablegarunt. atque iſti cum duodecim legatis Cæſaream deſcenderunt. Varus igitur, illis obviam factus cum regio milite, omnes unà cum iſtis legatis interfici jubet; ac *deinde* expeditionem faciebat adverſus eos, qui Ecbatanis erant, Judæos. E ſeptuaginta autem quidam, *fuga* ſervatus, *facinus* illis renunciare occupavit: moxque illi arreptis armis receperunt ſe cum uxoribus & liberis in Gamala caſtellum, relictis vicis magnis opibus refertis & multas pecorum myriadas habentibus. Hæc Philippus ſimul atque audivit, & ipſe in Gamala caſtellum ſe conferebat. Quamprimum vero advenit, inclamabat multitudo, ipſum obſecrantes, ut ducem ſe eis præberet, & contra Varum & Syros Cæſarenſes bellum moveret. acceperat enim regem ab iſtis occiſum eſſe. At Philippus impetum eorum reprimebat: atque collata in ipſos à rege beneficia eis in memoriam revocans, narranſque quanta eſſet Romanorum vis & potentia, haudquaquam è re ipſorum eſſe dicebat bellum contra eos ſuſcipere. Tandemque id eis perſuaſit. Rex porro, cum audiſſet Varo in animo eſſe Judæos, qui Cæſareæ erant, cum uxoribus & liberis, ad multas *hominum* myriadas, una die neci addicere, Æquiculum Modium, ad ſe accerſitum, miſit ut ei ſuccederet, quemadmodum alibi indicavimus. Philippus autem Gamala caſtellum & regionem finitimam continebat, ne à ſua erga Romanos fide deſciſcerent.

Varus regni cupidus.

Sævit in Judæos.

Judæos LXIX. una cum legatis interficit.

Judæi & Philippus Gamala ſe conferunt.

Modius Æquiculus ſuccedit Varo.

τῶν Ἰουδαίων Ῥωμαίοις πολεμεῖν, ἀπέκτεινε. μὴ ὑποστρέψαντος δὲ τοῦ ἐξελευθέρου, Φίλιππος ἀπορῶν τὴν αἰτίαν δεύτερον ἐκπέμπει μετ' ἐπιστολῶν, πάλιν τὸν ἀπαγγελοῦντα πρὸς αὐτὸν τί τὸ συμβεβηκὸς εἴη τῷ ἀποσταλέντι, δι' ὃ βραδύνειν. καὶ τοῦτον δὲ παραγενόμενον ὁ Οὔαρος συκοφαντήσας ἀπώλεσε. καὶ γὰρ ὑπὸ τῶν ἐν Καισαρείᾳ Σύρων ἐπῆρτο μέγα φρονεῖν, ἀναιρεθήσεσθαι μὲν λεγόντων ὑπὸ Ῥωμαίων Ἀγρίππαν διὰ τὰς ὑπὸ Ἰουδαίων ἁμαρτίας. λήψεσθαι δ' αὐτὸν τὴν ἀρχὴν, ἐκ βασιλέων ὄντα. καὶ γὰρ ἦν ὁμολογουμένως ὁ Οὔαρος βασιλικοῦ γένους, ἔγγονος Σοέμου τοῦ περὶ τὸν Λίβανον τετραρχοῦντος. διὰ τοῦτ' οὖν ὁ Οὔαρος τυφούμενος, τὰς μὲν ἐπιστολὰς παρ' ἑαυτῷ κατέσχε, μηχανώμενος μὴ ἐντυχεῖν τοῖς γράμμασι τὸν βασιλέα, τὰς ἐξόδους δὲ πάσας ἐφρούρει, μὴ διαδράς τις ἀπαγγείλειε τῷ βασιλεῖ τὰ πραττόμενα. καὶ δὴ χαριζόμενος τοῖς κατὰ τὴν Καισάρειαν Σύροις, πολλοὺς τῶν Ἰουδαίων ἀπέκτεινεν. ἐβουλήθη δὲ καὶ μετὰ τῶν ἐν Βαταναίᾳ Τραχωνιτῶν ἀναλαβὼν τὰ ὅπλα ἐπὶ τοὺς ἐν [m] Ἐκβατάνοις [n] Βαβυλωνίους Ἰουδαίους, ταύτην γὰρ τὴν προσηγορίαν ἔχουσιν, ὁρμῆσαι. καλέσας οὖν τῶν κατὰ τὴν Καισάρειαν Ἰουδαίων δώδεκα τοὺς δοκιμωτάτους, προσέταξεν αὐτοῖς ἀφικομένοις εἰς [o] Ἐκβάτανα, πρὸς τοὺς ἐκεῖ κατοικοῦντας αὐτῶν ὁμοφύλους εἰπεῖν. ὅτι Οὔαρος, ἀκούσας ὑμᾶς ἐπὶ βασιλέα μέλλειν ὁρμᾶν, καὶ μὴ πιστεύσας, πέπομφεν ἡμᾶς πείσοντας ὑμᾶς τὰ ὅπλα καταθέσθαι. τοῦτο γὰρ αὐτὸ τεκμήριον ἔσεσθαι καὶ τοῦ καλῶς μὴ πιστεῦσαι τοῖς περὶ ὑμῶν λέγουσιν. ἐκέλευε δὲ καὶ τοὺς πρώτους αὐτῶν ἄνδρας ἑβδομήκοντα πέμπειν, ἀπολογησομένους περὶ τῆς ἐπενηνεγμένης αἰτίας. ἐλθόντες οὖν οἱ δώδεκα πρὸς τοὺς ἐν Ἐκβατάνοις ὁμοφύλους, καὶ καταλαβόντες αὐτοὺς μηδὲν ἐπὶ νεωτερισμῷ φρονοῦντας, ἔπεισαν καὶ τοὺς ἑβδομήκοντα πέμπειν. οἱ δὲ, μηδὲν [p] ὑποπτεύσαντες τοιοῦτον οἷον ἤμελλεν ἀποβήσεσθαι, ἐξαπέστειλαν. καταβαίνουσι δ' οὗτοι μετὰ τῶν δώδεκα πρέσβεων εἰς τὴν Καισάρειαν. ὑπαντήσας οὖν ὁ Οὔαρος μετὰ τῆς βασιλικῆς δυνάμεως, σὺν τοῖς πρέσβεσι πάντας ἀπέκτεινε, καὶ τὴν πορείαν ἐπὶ τοὺς ἐν Ἐκβατάνοις Ἰουδαίους ἐποιεῖτο. φθάσας δέ τις ἐκ τῶν ἑβδομήκοντα σωθεὶς ἀπήγγειλεν αὐτοῖς, κἀκεῖνοι τὰ ὅπλα λαβόντες σὺν γυναιξὶ καὶ τέκνοις εἰς Γάμαλα τὸ φρούριον ὑπεχώρησαν, καταλιπόντες τὰς κώμας πολλῶν ἀγαθῶν πλήρεις καὶ βοσκημάτων πολλὰς μυριάδας ἐχούσας. Φίλιππος δὲ πυθόμενος ταῦτα, καὶ αὐτὸς εἰς Γάμαλα τὸ φρούριον ἧκεν. παραγενομένου δὲ, κατεβόα τὸ πλῆθος ἄρχειν [q] αὐτὸν παρακαλοῦντες, καὶ πολεμεῖν πρὸς Οὔαρον καὶ τοὺς ἐν τῇ Καισαρείᾳ Σύρους. [r] διεδέχετο γὰρ ὑπὸ τούτων τὸν βασιλέα τεθνάναι. Φίλιππος δ' αὐτῶν κατεῖχε τὰς ὁρμὰς, ὑπομιμνήσκων τῶν τε τοῦ βασιλέως εἰς αὐτοὺς εὐεργεσιῶν, καὶ τὴν Ῥωμαίων διηγούμενος ὅση τίς ἐστιν ἡ δύναμις, συμφέρειν οὐκ ἔλεγεν ἄρασθαι πρὸς τούτους πόλεμον. καὶ τέλος ἔπεισεν. ὁ δὲ βασιλεὺς, πυθόμενος ὅτι Οὔαρος μέλλει τοὺς ἐπὶ τῆς Καισαρείας σὺν γυναιξὶ καὶ τέκνοις πολλὰς οὔσας μυριάδας ἀναιρεῖν ἡμέρᾳ μιᾷ, μεταπέμπεται πρὸς αὐτὸν [s] Αἰκουίκλον Μόδιον, πέμψας [t] αὐτὸν διάδοχον, ὡς [u] ἐν ἄλλοις ἐδηλώσαμεν. ὁ δὴ Φίλιππος Γάμαλα τὸ φρούριον κατέσχε, καὶ τὴν πέριξ χώραν πίστει τῇ πρὸς Ῥωμαίους ἐμμένουσαν.

ς. Ἐπεὶ

m Ἐκβατάνοις.] Βαλανέαις *Gall.* & hic loci & infra. atque ita legendum eſſe conjiciebat Cl. *Lowthius*: quin & huic lectioni favent *Iſidorus Characenus* & *Stephanus Byzantius* in voce Ἀγβάτανα. Βαθύραις præfert Cl. *Relandus* in *Palæſtina S.* pag. 616. Verum cum *Herodotus* (L. 3. C. 62.) memoret Ἐκβάτανα, Syriæ urbem, & *Stephanus Byzantius* faciat Ἀγβάτανα Syriæ oppidulum, nolui quidquam in *textu* mutare.

n Βαβυλωνίους Ἰουδαίους.] Confer infra §. 35. Spanh.

o Ἐκβάτανα.] Pro Ἐκβάτανα paſſim interpres *Gelenius* legit Βαθύρα, de qua Antiq. Lib. 17. Cap. 2. §. 4. a *Zamari*, *Judæo* e *Babylonia* condita; quare & ipſe ubique hic Βαθύρᾳ & Βαθύραις legi mallem. Spanh.

p Ὑποπτεύσαντες.] Ὑποπτεύσαντας *Vat.*

q Αὐτόν.] MS. *Lugd. Bat.* Mavult αὐτῶν Hav.

r Διεδέχετο γάρ.] Forſan legendum, διεδίδοτο.

s Αἰκουίκλον.] Εκουον Μοδιον *Baſ.* & *Gen.* Εκδιον Μόδιον *Vat.* Εκουομόδιον *Gall.* Αικιον Μόδιον Αικιον & Εικιον *Voſſ.* ſeu *Lugd. Bat.* Verum Αἰκουίκλον reſcripſi, quod *Æquiculus* ſive *Æquicola* cognomen fuerit *Modium*.

t Αὐτὸν διάδοχον.] Τὸν pro αὐτὸν *Gall.*

u Ἐν ἄλλοις ἐδηλώσαμεν.] De hoc vero nihil in libris de Bel. Jud. invenitur. Spanh.

Ἀπαγ-

ιβ'. Ἐπεὶ δ' εἰς τὴν Γαλιλαίαν ἀφικόμην ἐγὼ, καὶ ταῦτα παρὰ τῶν [x] ἀπαγγειλάντων ἔμαθον, γράφω τῷ συνεδρίῳ τῶν [y] Ἱεροσολυμιτῶν περὶ τούτων, καὶ, τί με πράττειν κελεύουσιν, ἐρωτῶ. οἱ δὲ προσμεῖναι παρεκάλεσαν, καὶ, τοὺς συμπρέσβεις εἰ θέλοιεν κατασχόντα, πρόνοιαν ποιήσασθαι τῆς Γαλιλαίας. οἱ δὲ συμπρέσβεις εὐπορήσαντες πολλῶν χρημάτων [z] ἐκ τῶν διδομένων αὐτοῖς δεκατῶν, ἃς ὄντες ἱερεῖς ὀφειλομένας ἀπελάμβανον, εἰς τὴν οἰκείαν ὑποστρέφειν γῆν ἔκριναν. ἐμοῦ δ' [a] αὐτοὺς προσμεῖναι παρακαλέσαντος, ἕως οὗ τὰ πράγματα καταστήσωμεν, πείθονται. ἄρας οὖν μετ' αὐτῶν ἀπὸ τῆς Σεπφωριτῶν πόλεως εἰς κώμην τινὰ, Βηθμαοὺς λεγομένην, ἀπέχουσαν Τιβεριάδος στάδια τέσσαρα, παραγίνομαι. καὶ πέμψας ἐντεῦθεν τοὺς πρὸς τὴν Τιβεριέων βουλὴν, καὶ τοὺς πρώτους τοῦ δήμου παρεκάλουν ἀφικέσθαι πρός με. καὶ παραγενομένων, ἐληλύθει δὲ καὶ Ἰοῦστος σὺν αὐτοῖς, ἔλεγον ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν πρεσβεύσων μετὰ τούτων πεπέμφθαι πρὸς αὐτοὺς, πείσων καθαιρεθῆναι τὸν οἶκον [b] ὑπὸ Ἡρώδου τοῦ τετράρχου κατασκευασθέντα, ζώων μορφὰς ἔχοντα, τῶν νόμων οὕτως τι κατασκευάζειν ἀπαγορευόντων, καὶ παρεκάλουν αὐτοὺς, ἐᾶν [c] ἡμῖν ἢ τάχος τοῦτο πράττειν. ἐπὶ πολὺ μὲν οὖν οἱ περὶ τὸν [d] Καπέλλον καὶ τοὺς πρώτους αὐτῶν ἐπιτρέπειν οὐκ ἤθελον. βιαζόμενοι δ' ὑφ' ἡμῶν συγκατατίθενται. φθάνει δ' [e] Ἰησοῦς ὁ τοῦ [f] Σαπφία παῖς, ὃν τῆς τῶν ναυτῶν καὶ τῶν ἀπόρων στάσεως πρῶτον ἔφαμεν ἄρξαι, παραλαβὼν τινας Γαλιλαίους, καὶ τὴν πᾶσαν αὐλὴν ἐμπρήσας, πολλῶν οἰόμενος εὐπορήσειν ἐξ αὐτῆς χρημάτων, ἐπειδή τινας οἴκων ὀροφὰς κεχρυσωμένας εἶδεν. καὶ διήρπασαν πολλὰ παρὰ γνώμην τὴν ἡμετέραν πράξαντες. ἡμεῖς γὰρ μετὰ τὴν πρὸς Καπέλλον καὶ τοὺς πρώτους Τιβεριέων ὁμιλίαν εἰς τὴν ἄνω Γαλιλαίαν ἀπὸ Βηθμαῶν ἀνεχωρήσαμεν. ἀναιροῦσιν δ' οἱ περὶ τὸν Ἰησοῦν πάντας τοὺς ἐνοικοῦντας Ἕλληνας, ὅσοι τε πρὸ τοῦ πολέμου [g] γεγόνασιν αὐτῶν ἐχθροί.

ιγ'. Πυθόμενος δ' ἐγὼ ταῦτα, παρωξύνθην σφόδρα. καὶ καταβὰς εἰς Τιβεριάδα πρόνοιαν εἰσενεγκάμην τῶν βασιλικῶν σκευῶν, ὅσα δυνατὸν ἦν τοὺς ἁρπάσαντας ἀφελέσθαι. λυχνίαι δ' ἦσαν Κορίνθιαι ταῦτα, καὶ τράπεζαι τῶν βασιλικῶν, καὶ ἀσήμου ἀργυρίου σταθμὸς ἱκανός. πάντα δ' ὅσα παρέλαβον, φυλάσσειν τῷ βασιλεῖ ἔκρινα. μεταπεμψάμενος οὖν τοὺς τῆς βουλῆς πρώτους δέκα καὶ Καπέλλον τὸν Ἀντύλλου, τὰ σκεύη παρέδωκα, μηδενὶ παραγγείλας ἑτέρῳ [h] πλὴν ἐμοῦ δοῦναι. κἀκεῖθεν εἰς τὰ Γίσχαλα πρὸς τὸν Ἰωάννην μετὰ τῶν συμπρέσβεων ἀφικόμην, βουλόμενος γνῶναι τί ποτε φρονεῖ. κατεῖδον δ' αὐτὸν ταχέως [i] νεωτέρων ὀρεγόμενον πραγμάτων, καὶ τῆς ἀρχῆς ἐπιθυμίαν ἔχοντα. παρεκάλει γάρ με τὸν Καίσαρος σῖτον κείμενον ἐν ταῖς τῆς ἄνω Γαλιλαίας κώμαις ἐξουσίαν αὐτῷ δοῦναι ἐκφορῆσαι. θέλειν γὰρ ἔφασκεν εἰς ἐπισκευὴν τῶν τῆς πατρίδος τειχῶν αὐτὸν ἀναλῶσαι. κατανοήσας δὲ ἐγὼ τὴν ἐπιχείρησιν αὐτοῦ, καὶ τί [k] διανοοῖτο πράσσειν, οὐκ ἔφην αὐτῷ συγχωρεῖν. ἢ γὰρ Ῥωμαίοις αὐτὸν [l] ἐνενοούμην φυλάττειν, ἢ ἐμοὶ αὐτῷ, διὰ τὸ καὶ τὴν ἐξουσίαν τῶν ἐκεῖ πραγμάτων αὐτὸς παρὰ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν πεπιστεῦσθαι. μὴ πείθων δέ με περὶ τούτων, [m] καὶ ἐπὶ τοὺς συμπρέσβεις ἐτράπετο· καὶ γὰρ ἦσαν ἀπρονόητοι τῶν ἐσομένων, καὶ λαβεῖν ἑτοιμότατοι. φθείρει δὲ χρήμασιν αὐ-

12. At poſtquam ego in Galilæam veniſſem, & iſta ab ipſis nunciis accepiſſem, ſcribo Hieroſolymitarum Synedrio hiſce de rebus; & quid me facere juberent, ab illis requiro. Illi vero me obſecrarunt, ut illic manerem, & retentis legationis ſociis, ſi illis ita viſum fuerit, Galilææ tutelæ providerem. Cæterum collegæ, cum grandem pecuniam habuiſſent ex decimis ſibi datis, quas debitas, ut ſacerdotes, accipiebant, in terram propriam reverti ſtatuerunt. Cum autem ego eos rogaſſem, ut tantiſper manerent, donec res compoſitæ eſſent, *facile* aſſenſerunt. Unà igitur cum illis profectus à Sephoritarum urbe, in vicum quendam, cui nomen eſt Bethmai, quatuor ſtadiis à Tyberiade diſtantem, venio: miſſoque nuncio accerſivi ad me ſenatum Tyberiadis & primores populi. Quibus, poſtquam affuerunt (nam & Juſtus unà cum illis venerat) dicebam me ab Hieroſolymitarum populo ad eos miſſum eſſe cum collegis, legatione ut fungerer, utque iis perſuaderem funditus tollendam eſſe domum ab Herode tetrarcha exſtructam, quòd animantium figuris eam exornaverat, cùm ejuſmodi quod effingere legibus noſtris vetitum ſit; eoſque rogabam, ut nos quantocyus id facere permitterent. Multum quidem Capellus primoreſque civium reſtiterunt, diuque id ſinere noluerunt; tandem vero à nobis perſuaſione victi, in noſtram conceſſere ſententiam. Jeſus autem Sapphiæ filius nos prævenit, quem primum pro nautarum & inopum factionis duce ſe geſſiſſe diximus, qui aſſumptis quibuſdam Galilæis palatium omne incendit, ratus ſe inde ingenti pecunia locupletatum iri, quia tecta quædam conclavium inaurata viderat: multaque *in eo* diripuerunt præter animi noſtri ſententiam. nos enim, poſt colloquium cum Capello & Tiberienſium primoribus habitum, in ſuperiorem Galilæam à Bethmais ſeceſſimus. Jeſu autem factio Græcos omnes eam urbem habitantes interimit, & quotquot inimicos ante id bellum habuerant.

Joſephus juſſu concilii Hieroſolymitarum in Galilæa manet.

Palatium in urbe Tyberiade incenſum.

13. Ego vero his auditis vehementer commotus ſum: cumque Tiberiada deſcendiſſem, curam & diligentiam adhibui ut ſalva eſſet omnis regia ſupellex, quæ è diripientium manibus recuperari potuit. In his porro erant candelabra ex ære Corinthio, & menſæ regiæ, & ſatis magnum argenti non ſignati pondus. Quæcunque autem accipiebam, regi ſervare ſtatui. Accitis igitur decem ſenatus primoribus & Capello Antylli filio, vaſa eis tradidi, interminatus ne cuiquam præter me ea redderent. Atque inde Giſchala cum collegis ad Joannem veniebam, ſcire deſiderans quidnam animo agitaret: moxque deprehendi eum rerum novarum cupidum, & ad principatum arripiendum aſpirantem. rogabat enim me ut ſibi poteſtatem facerem exportandi frumentum Cæſaris, in ſuperioris Galilææ vicis repoſitum: namque ſe velle dicebat id inſumere in ſtructuram patriæ mœnium. Atqui ego, cum intellexiſſem quid moliretur, & quid ſibi in animo eſſet facere, negabam me ei hoc permittere. cogitabam enim id *frumenti* aut Romanis ſervare aut mihi ipſi, quod poteſtatem in res iſtius regionis à communi Hieroſolymorum mihi commiſſam haberem. Iſtis igitur à me neutiquam impetratis, ad collegas ſe convertit. futurorum enim improvidi erant, & ad munera accipienda paratiſſimi. Proinde eos largitionibus corrum-

Joſephus de regis ſupellectile ſervanda ſollicitus.

Joannes rerum novarum ſtudioſus.

x Ἀπαγγειλάντων ἔμαθον.] Ἐπαγγειλάντων *Voſſ.*
y Ἱεροσολυμιτῶν.] Τῶν ἐν Ἱεροσολύμοις *Vat.*
z Ἐκ τῶν διδομένων.] Illa ἐκ τῶν deſunt *Voſſ.*
a Αὐτοὺς προσμεῖναι.] Ita MSS. ut & *Lugd. Bat.* αὐτῷ in *Editis.*
b Ὑπὸ Ἡρώδου τοῦ τετράρχου.] Τὸν ὑπὸ Ἡρ. *Vat.*
c Ἡμῖν ἢ τάχος.] Ἡμᾶς *Vat.* & *Voſſ.*
d Καπέλλον.] Is forſan qui ſupra (p. 4. c. 9.) Ἰούλιος Καπέλλος dicitur. Καπέλλαν in *Editis Aliiſque.* Κάπελλον *Voſſ.*
e Ἰησοῦς ὁ τοῦ.] In Lib. 2. de Bel. Jud. Cap. 20. §. 4. Ἰησοῦς υἱὸς Σαπφᾶ. Spanh.

f Σαπφία.] Ita ſcribo cum *Cod. Vat.* Ἀφία in *Editis Aliiſque.*
g Γεγόνασιν.] Γεγόνεσαν *Gall.*
h Πλὴν ἐμοῦ δοῦναι.] Πλὴν ἐμοὶ *Gall.*
i Νεωτέρων ὀρεγόμενον πραγμάτων.] Vide de B. Jud. lib. 4. cap. 3. §. 13. Spanh. & paſſim alibi, ut ex Indice patere poteſt.
k Διανοοῖτο πράσσειν.] Ita *Voſſ.* Διανοεῖτο in *Editis*, forſan pro διενοεῖτο.
l Ἐνενοούμην φυλάττειν.] Ita *Voſſ.* ἐνόμιζον in *Editis Aliiſque.*
m Καὶ ἐπὶ τοὺς συμπρέσβεις.] Illud καὶ deeſt *Voſſ.*

n Φε-

rumpit, ut eorum calculis ſibi frumentum omne addiceretur, quod in ipſius provincia eſſet reconditum: atque ego, qui ſolum me vinci à duobus viderem, quieſcebam. Deinde altero dolo Joannes uſus eſt. ajebat enim Judæos Cæſareæ Philippi incolas, mandato vicarii regis imperii res adminiſtrantis *intra mœnia* concluſos, ad eum *per internuncium* miſiſſe, obſecrantes, ut ipſe, quandoquidem eis non ſuppeteret oleum purum quo uterentur, ſua unius cura ejus copiam illis ſuppeditaret, ne cogerentur, Græcorum oleo adhibito, contra patrios ritus agere. Hæc autem non religionis ergo dicebat Joannes, ſed manifeſtò admodum turpis lucri cauſa. Sciens enim apud ipſos quidem Cæſareæ ſextarios duos drachma una venire, Giſchalis vero octoginta ſextarios drachmis quatuor, omne quod illic eſſet oleum juſſit efferri, quaſi à me quoque poteſtatem *id faciendi* accepiſſet. non enim voluntate mea hoc ei permiſſum erat; ſed præ metu populi, ne ab eis, ſi repugnarem, lapidibus obruerer. itaque poſtquam hoc conceſſeram, multum pecuniæ Joannes ex hoc maleficio ſibi comparavit.

Dolis utitur. *Lucri cupidus.*

Joſephus collegas Hieroſolyma remittit.

14. Cum autem Giſchalis collegas Hieroſolyma dimiſiſſem, omni cura in id incumbebam, ut pararentur arma, urbeſque munitionibus firmarentur. accitis deinde latronum fortiſſimis, cum viderem nequaquam poſſe illis arma adimi, perſuaſi multitudini ut mercede eos conducerent, præſtabilius eſſe dicens, nonnihil *ſtipendii vice* ſponte illis dare, quam ut ſinerent facultates ſuas ab illis diripi *diſtrahique*. Acceptoque ab eis jurejurando, in regionem noſtram deinceps non venturos eſſe, niſi accerſiti fuerint, aut cum *condictam* non accipiant mercedem, *eos* dimiſi, juſſos *prius* bello non laceſſere aut Romanos aut finitimos. id enim mihi imprimis curæ erat, ut Galilæa tranquilla eſſet & pacata. cumque vellem Galilæorum magiſtratus, circiter ſeptuaginta omnes, prætextu amicitiæ habere quaſi obſides fidei, eos mihi amicos & itinerum comites feci & in judiciis aſſeſſores adſciſcebam, & ex illorum conſenſu ſententias pronunciabam, operam dans, ut temeritate à juſtitia non diſcederem, ſed memet à muneribus quibuſcumque accipiendis purum ſervarem.

A latronibus pacem redemit Joſephus. *Galilæos ſibi adjungit.*

Joſephi moderatio & continentia.

15. Annum igitur agens circiter triceſimum, qua ætate etiamſi quis ſibi temperat à cupiditatibus illicitis, difficile tamen admodum eſt ut fugiat invidiæ calumnias, idque præſertim magna pollens auctoritate, mulierem quidem omnem à contumelia defendi, quæque dono offerebantur omnia, quaſi nullius rei indigens, contempſi: imo ne decimas quidem ab afferentibus accipiebam, licet mihi ut ſacerdoti debitas. ex manubiis tamen, poſtquam Syros urbes finitimas incolentes viceram, partem *mihi* ſumpſi, quam me Hieroſolyma miſiſſe ad cognatos *non invitus* fateor. Cumque bis Sepphoritas vi expugnaſſem, Tiberienſes quater, Gadarenſes ſemel, & Joannem ſæpius inſidias mihi molitum in poteſtatem redegiſſem, neque de ipſo neque de ullo prædictorum populorum pœnas ſumere ſuſtinui, prout in ſequentibus oſtendet narratio. Quamobrem Deum arbitror (ipſum enim non latent qui honeſte ſe gerunt) ex illorum etiam manibus me eripuiſſe, ac deinde, cum in multa pericula incidiſſem, conſervaſſe. de quibus poſthac narrabimus.

Galilæorum erga Joſephum fides

16. Tanta autem erat populi Galilæorum erga

τοὺς [n] ψηφίσασθαι πάντα τὸν σῖτον αὐτῷ παραδοῦναι, τὸν ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ κείμενον. κἀγὼ μόνος, ἡττώμενος [o] ὑπὸ δύο, τὴν ἡσυχίαν ἦγον. καὶ δευτέραν Ἰωάννης ἐπεισέφερε πανουργίαν. ἔφη γὰρ Ἰουδαίους τοὺς [p] τὴν Φιλίππου Καισάρειαν κατοικοῦντας, συγκεκλεισμένους μετὰ προσταγὴν τοῦ βασιλέως [q] ὑποδίκου [r] τὴν δυναστείαν διοικοῦντος, πεπομφέναι πρὸς αὐτὸν, παρακαλοῦντας, ἐπειδὴ οὐκ ἔχουσιν ἔλαιον ᾧ χρήσονται καθαρὸν, ποιησάμενον πρόνοιαν εὐπορίαν αὐτοῖς τούτου παρασχεῖν, μὴ δι' ἀνάγκην Ἑλληνικῷ [s] χρώμενοι τὰ νόμιμα παραβαίνωσιν. ταῦτα δ' οὐχ ὑπὲρ εὐσεβείας ἔλεγεν Ἰωάννης, δι' αἰσχροκέρδειαν δὲ φανερωτάτην. γινώσκων γὰρ παρὰ μὲν ἐκείνοις κατὰ τὴν Καισάρειαν τοὺς δύο ξέστας δραχμῆς μιᾶς πωλουμένους, ἐν δὲ τοῖς Γισχάλοις τοὺς ὀγδοήκοντα ξέστας δραχμῶν τεσσάρων, [t] πᾶν τὸ ἔλαιον ὅσον ἦν ἐκεῖ διεπέμψατο, λαβὼν ἐξουσίαν καὶ παρ' ἐμοῦ τοῦ δοκεῖν. οὐ γὰρ ἑκὼν ἐπέτρεπον, ἀλλὰ διὰ φόβον τὸν ἀπὸ τοῦ πλήθους, μὴ κωλύων καταλευσθείην ὑπ' αὐτῶν. συγχωρήσαντος οὖν μου, πλείστων χρημάτων ὁ Ἰωάννης ἐκ τῆς κακουργίας ταύτης εὐπόρησεν.

ιδ'. Τοὺς δὲ συμπρέσβεις ἀπὸ τῶν Γισχάλων ἀπολύσας εἰς τὰ Ἱεροσόλυμα, πρόνοιαν ἐποιούμην ὅπλων τε κατασκευῆς καὶ πόλεων ὀχυρότητος. μεταπεμψάμενος δὲ τῶν λῃστῶν τοὺς ἀνδρειοτάτους, ἀφελέσθαι μὲν αὐτῶν τὰ ὅπλα οὐχ οἷόν τε ὂν ἑώρων. ἔπεισα δὲ τὸ πλῆθος μισθοφορίαν αὐτοῖς παρέχειν, ἄμεινον εἶναι λέγων ἑκόντας [u] ὀλίγον διδόναι μᾶλλον, ἢ τὰς κτήσεις διαρπαζομένας ὑπ' αὐτῶν περιορᾶν. καὶ λαβὼν παρ' αὐτῶν ὅρκους μὴ ἀφίξεσθαι πρότερον εἰς τὴν χώραν, ἐὰν μὴ μετακληθῶσιν, ἢ ὅταν τὸν μισθὸν μὴ λάβωσιν, ἀπέλυσα, παραγγείλας μήτε Ῥωμαίοις πολεμεῖν μήτε τοῖς περιοίκοις. εἰρηνεύεσθαι γὰρ πρὸ πάντων τὴν Γαλιλαίαν ἐφρόντιζον. τοὺς δ' ἐν τέλει τῶν Γαλιλαίων, ὅσον ἑβδομήκοντα πάντας, βουλόμενος ἐν προφάσει φιλίας καθάπερ [x] ὅμηρα τῆς πίστεως ἔχειν, φίλους τε καὶ συνεκδήμους ἐποιησάμην, ἐπί τε κρίσεις παρελάμβανον, καὶ μετὰ γνώμης τῆς ἐκείνων τὰς ἀποφάσεις ἐποιούμην, μήτε προπετείᾳ πειρώμενος τοῦ δικαίου διαμαρτάνειν, καθαρεύων δὲ παντὸς ἐν αὐταῖς [y] λήμματος.

ιε'. Περὶ τριακοστὸν γοῦν ἔτος ὑπάρχων, ἐν ᾧ χρόνῳ, κἂν ἀπέχηταί τις [z] παρανόμων ἐπιθυμιῶν, δύσκολον τὰς ἐκ τοῦ φθόνου διαβολὰς φεύγειν, ἄλλως τε καὶ ἐξουσίας ὄντα μεγάλης, γυναῖκα μὲν πᾶσαν ἀνύβριστον ἐφύλαξα, πάντων δὲ τῶν διδομένων ὡς μὴ χρῄζων κατεφρόνησα. ἀλλ' οὐδὲ τὰς ὀφειλομένας μοι ὡς ἱερεῖ δεκάτας ἀπελάμβανον παρὰ τῶν κομιζόντων. ἐκ μέντοι τῶν λαφύρων [a] μέρος, τοὺς Σύρους τοὺς τὰς πέριξ πόλεις κατοικοῦντας νικήσας, ἔλαβον, ἃ καὶ εἰς Ἱεροσόλυμα τοῖς συγγενέσιν ὁμολογῶ πεπομφέναι. καὶ δὶς μὲν κατὰ κράτος ἑλὼν Σεπφωρίτας, Τιβεριεῖς δὲ τετράκις, Γαδαρεῖς δ' ἅπαξ, καὶ τὸν Ἰωάννην πολλάκις ἐπιβουλεύσαντά μοι λαβὼν ὑποχείριον, οὔτ' αὐτὸν οὔτε τινὰ τῶν προειρημένων ἐθνῶν ἐτιμωρησάμην, ὡς προϊὼν ὁ λόγος παραστήσει. διὰ τοῦτ' οἶμαι καὶ τὸν Θεὸν, οὐ γὰρ λελήθασιν αὐτὸν οἱ τὰ δέοντα πράττοντες, καὶ ἐκ τῆς ἐκείνων ῥύσασθαί με χειρὸς, καὶ μετὰ ταῦτα πολλοῖς περιπεσόντα κινδύνοις διαφυλάξαι. περὶ ὧν ὕστερον ἀπαγγελοῦμεν.

ιϛ'. Τοσαύτη δ' ἦν πρός με τοῦ πλήθους τῶν Γαλι-

n Ψηφίσασθαι πάντα.] Ψηφίσαι Vat.
o Υπὸ δύο.] *Lugd. Bat.* ὑπὸ δύο. HAV.
p Τὴν Φιλίππου Καισάρειαν.] Sæpius mentio hujus urbis fit. confer Indices. SPANH.
q Υποδίκου.] *Lugd. Bat.* ὑπὸ δίκου τοῦ τ. δ. δ. HAV.
r Τὴν δυναστείαν.] Τῆς τῆς δυν. *Voſſ.*
s Χρώμενοι τὰ νόμιμα.] Χρησάμενοι Vat.
t Πᾶν τὸ ἔλαιον.] Conf. lib. 2. de B. Jud. cap. 21. §. 2. SPANH.
u Ὀλίγον διδόναι μᾶλλον.] Ὀλίγα Vat.
x Ὅμηρα.] Male editi ὅμηρα. *Hudſ.* & *Lugd. Bat.* ὅμηρα HAV.
y Λήμματος.] *Lugd. Bat.* λήμματος, forte, inquit *Coccejus* in ora Codicis mei, ἐγκλήματος. HAV.
z Παρανόμων ἐπιθυμιῶν.] Τῶν παρανόμων *Voſſ.*
a Μέρος.] Forte μοῖρα. COCC.

b 2

λαίων εὔνοια καὶ πίστις, ὥστε ληφθεισῶν αὐτῶν κατὰ κράτος τῆς πόλεως, γυναικῶν δὲ καὶ τέκνων ἀνδραποδισθέντων, οὐχ οὕτως ταῖς ἑαυτῶν ἐπεστέναζον συμφοραῖς, ὥσπερ τῆς ἐμῆς ἐφρόντισαν σωτηρίας. ταῦτα δ' ὁρῶν Ἰωάννης ἐφθόνησε. καὶ γράφει πρός με παρακαλῶν ἐπιτρέψαι καταβάντι χρήσασθαι τοῖς [b] ἐν Τιβεριάδι [c] θερμοῖς ὕδασι, τῆς τοῦ σώματος ἕνεκα θεραπείας. κἀγὼ, μηδὲν ὑποπτεύσας πράξειν αὐτὸν πονηρὸν, οὐκ ἐκώλυσα. πρὸς δὲ καὶ τοῖς [d] τῆς Τιβεριάδος τὴν διοίκησιν ὑπ' ἐμοῦ πεπιστευμένοις κατ' ὄνομα γράφω, [e] κατάλυσιν ἑτοιμάσαι τῷ Ἰωάννῃ καὶ τοῖς ἀφιξομένοις σὺν αὐτῷ, πάντων τε τῶν ἐπιτηδείων ἀφθονίαν παρασχεῖν. διέτριβον δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν κώμῃ τῆς Γαλιλαίας, ἣ προσαγορεύεται Κανά.

ιζ. Ὁ δὲ Ἰωάννης, ἀφικόμενος εἰς τὴν Τιβεριέων πόλιν, ἔπειθε τοὺς ἀνθρώπους ἀποστάντας τῆς πρός με πίστεως προστίθεσθαι αὐτῷ. καὶ πολλοὶ τὴν παράκλησιν ἡδέως ἐδέξαντο, νεωτέρων ἐπιθυμοῦντες [f] ἀεὶ πραγμάτων, καὶ φύσει πρὸς μεταβολὰς ἐπιτηδείως ἔχοντες, καὶ στάσεσι χαίροντες. μάλιστα δὲ Ἰοῦστος καὶ ὁ πατὴρ αὐτοῦ Πιστὸς ὡρμήκεσαν ἀποστάντες ἐμοῦ προστίθεσθαι τῷ Ἰωάννῃ. διεκώλυσα δ' αὐτοὺς φθάσας. ἧκεν γὰρ [g] ἄγγελός μοι παρὰ Σίλα, ὃν ἐγὼ καθεστάκειν τῆς Τιβεριάδος στρατηγὸν, ὡς προεῖπον, τὴν τῶν Τιβεριέων γνώμην ἀπαγγέλλων, κἀμὲ σπεύδειν παρακαλῶν. βραδύναντος γὰρ ὑπὸ τὴν ἑτέρων ἐξουσίαν γενέσθαι τὴν πόλιν. [h] ἐντυχὼν οὖν τοῖς γράμμασι τοῦ Σίλα, [i] καὶ διακοσίους ἀναλαβὼν ἄνδρας, δι' ὅλης τῆς νυκτὸς τὴν πορείαν ἐποιούμην, προπέμψας ἄγγελον τὸν τὴν ἐμὴν παρουσίαν τοῖς ἐν τῇ Τιβεριάδι σημανοῦντα. πρωῒ δὲ πλησιάζοντός μου τῇ πόλει, τὸ πλῆθος ὑπηντίαζεν, [k] καὶ Ἰωάννης σὺν αὐτοῖς. ὃς καὶ πάνυ με τεταραγμένως ἀσπασάμενος, δείσας μὴ εἰς ἔλεγχον αὐτοῦ τῆς πράξεως ἀφικόμενος ἀπολέσθαι κινδυνεύσῃ, ὑπεχώρησε μετὰ σπουδῆς εἰς τὴν ἑαυτοῦ κατάλυσιν. κἀγὼ δὲ, γενόμενος κατὰ τὸ στάδιον, τοὺς περὶ ἐμὲ σωματοφύλακας ἀπολύσας, πλὴν ἑνὸς, καὶ μετὰ τούτου κατασχὼν δέκα τῶν ὁπλιτῶν, δημηγορεῖν ἐπειρώμην τῷ πλήθει τῶν Τιβεριέων, στὰς [l] ἐπὶ τριγχοῦ τινος ὑψηλοῦ, παρεκάλουν τε μὴ οὕτως αὐτοὺς ταχέως ἀφίστασθαι. κατάγνωσιν γὰρ αὐτοῖς οἴσειν τὴν μεταβολὴν, [m] καὶ τῶν μετὰ ταῦτα [n] προϊσταμένων δι' ὑποψίας γενέσθαι δικαίας, ὡς μήτε τὴν πρὸς [o] ἐκείνους πίστιν φυλαξόντων.

ιη. Οὔπω δέ μοι πάντα λελάλητο, καί τινος ἐξήκουσα τῶν οἰκείων καταβαίνειν κελεύοντος. οὐ γάρ μοι καιρὸν εἶναι φροντίζειν τῆς περὶ Τιβεριέων εὐνοίας, ἀλλὰ περὶ τῆς ἰδίας σωτηρίας, καὶ περὶ τοὺς ἐχθροὺς ἐκφύγω. ἐπεπόμφει δ' ὁ Ἰωάννης τῶν περὶ αὐτὸν ὁπλιτῶν ἐπιλέξας τοὺς πιστοτάτους, ἐκ τῶν χιλίων οἵπερ ἦσαν αὐτῷ, καὶ προσέταξε τοῖς πεμφθεῖσιν ἀνελεῖν με, πεπυσμένος ὡς [p] εἴην μετὰ τῶν οἰκείων μεμονωμένος. ἧκον δ' οἱ πεμφθέντες, κἂν ἐπεπράχεισαν τοὔργον, εἰ μὴ τοῦ τριγχοῦ θᾶττον ἀφαλλόμενος ἐγὼ μετὰ τοῦ σωματοφύλακος Ἰακώβου, καὶ ὑπό τινος Τιβεριέως Ἡρώδου προσανακουφισθεὶς, [q] ὁδηγηθείς τε ὑπὸ τούτου [r] ἐπὶ τὴν λίμνην, καὶ πλοίου

me benevolentia ac fides, ut urbibus eorum expugnatis, & uxoribus liberiſque in captivitatem abductis, non adeo ſuis ingemiſcerent calamitatibus, ac de mea unius incolumitate ſoliciti fuerunt. Atqui Joannem, cum iſta videret, ſubiit invidia: & ad me ſcribit, obſecrans, ut, cum Tiberiadem deſcenderet, ipſi permitterem uti calidis loci iſtius aquis ad corporis valetudinem curandam. Atque ego minime illum mali alicujus auctorem fore ſuſpicatus, non prohibui: quin & his quibus à me commiſſa erat *rerum* Tiberiadis adminiſtratio nominatim ſcripſi, hoſpitium ut appararent *excipiendo* Joanni, illiſque qui cum eo venturi erant, rerumque omnium neceſſariarum copiam *eis* ſuppeditarent. atque ipſe eo tempore agebam in vico Galilææ, qui vocatur Cana. *& benevolentia.*

17. Joannes autem, cum ad Tiberienſium urbem veniſſet, egit cum hominibus illis, ut à ſua erga me fide deſciſcentes ſemet illi adjungerent. & multi preces illius libenter admiſerunt, rerum novarum ſemper appetentes, & à natura facti aptique ad mutationes, & ſeditionibus gaudentes: præcipue vero Juſtus & pater ejus Piſtus animum impulerunt, ut, facta à me defectione, Joanni ſe addicerent. id quod, eos prævertendo, facere prohibui. Venerat enim ad me nuncius à Sila, quem ego Tiberiadis prætorem conſtitueram, ut jam ante dicebam, Tiberienſium voluntatem *mihi* indicans, hortanſque ut feſtinarem; quippe fore, ſi cunctarer, ut civitas in aliorum poteſtatem veniat. Acceptis igitur Silæ literis, aſſumptiſque viris ducentis, tota nocte iter faciebam, præmiſſo nuncio qui adventum meum iis qui erant in Tiberiade ſignificaret. Mane autem, cum urbi appropinquarem, *frequens populi* multitudo mihi obviam veniebat, & cum illis Joannes; qui cum me perturbate admodum ſalutaſſet, veritus ne facinore ejus detecto vitæ diſcrimen adiret, pleno gradu in diverſorium ſuum ſe recepit. Ego vero, cum in ſtadium perveniſſem, dimiſſis omnibus qui circa me erant ſatellitibus, præter unum, cumque eo retentis decem armatis, id agebam ut Tiberienſium multitudinem alloquerer è ſepto quodam ſublimi, hortaburque eos ne tam cito deficerent: mutationem enim illis ceſſuram eſſe in vituperationem, foreque ut merito illis, qui poſthac præfecturam gerent, in ſuſpicionem veniant, ut qui fidem eis debitam non ſervaturi ſint. *Piſtus & Juſtus Joanni ſe adjungunt.* *Joannis inſidiæ detectæ.* *Joſephus Tiberienſes alloquitur.*

18. Nondum omnia loquutus ſum, cum audieram ex meis quendam jubentem *me* deſcendere. non enim me tempus ſinere ſolicitum eſſe de Tiberienſium benevolentia, ſed de mea ipſius incolumitate, & quo pacto effugere poſſem inimicos. Nam Joannes, ubi intellexit me ſolum relictum eſſe cum domeſticis, delectos è militibus ſuis, qui mille *numero* ſecum erant, fidiſſimos quoſque miſerat; illiſque in mandatis dederat, ut me occiderent. jamque miſſi veniebant, atque patratum fuiſſet facinus, niſi ipſe ocyus è ſepto deſiliens cum Jacobo corporis mei cuſtode, & ab Herode quodam Tirienſi ſublevatus, ab eoque præeunte viam deductus ad lacum, navigio quod forte ibi nactus ſum conſcenſo, è mani- *E manibus Joannis elapſus Taricheas ſe confert.*

b Ἐν Τιβεριάδι.] Hoc capi debere de thermis Tiberiadi vicinis oſtendit Cl. *Relandus* in *Palæſtina* S. p. 1037.

c Θερμοῖς ὕδασι.] Conf. lib. 2. de B. Jud. cap. 21. §. 5. Spanh.

d Τῆς Τιβεριάδος.] Articulus τῆς abeſt *Voſſ.*

e Κατάλυσιν.] Interius mox §. ſeq. *diverſorium* ſignificat, ſicut & §. 25. & de B. Jud. lib. 1. cap. 10 §. 5. κατάλυμα. ut & ibidem lib. 2. cap. 21. §. 2. Pro *diverſorio* autem & *divertere* capitur in vita rurſus Joſephi §. 48. & denique §. 53. Spanh.

f Ἀεὶ πραγμάτων.] Illud ἀεὶ non agnoſcit *Voſſ.*

g Ἄγγελός μοι παρὰ Σίλα.] Confer Hiſtoriæ deſcriptionem in lib. de B. Jud. 2. cap. 21. § 7.

h Ἐντυχὼν οὖν.] Ita lego & diſtinguo cum *Cod. Voſſ.* prius erat, ἐντυχὼν ἐν τοῖς γράμμασι, τοῦ Σίλα καὶ δ.

i Καὶ διακοσίους.] Illud καὶ non agnoſcit *Voſſ.*

k Καὶ Ἰωάννης σὺν αὐτοῖς.] In libro tamen 2. de B. Jud. cap. 21. §. 7. vult Joannem ſimulato morbo domi manſiſſe. Spanh. Poſſunt tamen ſatis apte conciliari, nam quum officium hoc Joannis minime fuerit plenum (ut qui ſtatim, ex ſimulatione videlicet morbi, diſceſſerit) in libris de B. Jud. excuſaſſe ſeſe eundem, quod officio deeſſe videretur, ſcribere auctor potuit. Hav.

l Ἐπὶ τριγχοῦ.] Ἐπί τινος ἐξοχωτάτου τὸ ὕψος, ait capite citato Belli Judaici. Spanh.

m Καὶ τῶν.] *Lugd. Bat.* Καὶ τοῦ. Hav.

n Προϊσταμένων.] Legit προεσταμένων *Cocceius*, præſtare tamen *Hudſonii* lectionem docet φυλαξόντων, pro quo *Cocceius* quoque malebat φυλαξάντων. Hav.

o Ἐκείνους.] Antea, ἐκεῖνον.

p Εἴην μετὰ τῶν οἰκείων.] Εἶεν *Voſſ.*

q Ὁδηγηθείς τε.] Ita in MS. ὁδηγηθεὶς abſque τε in *Editis Aliiſque.*

r Ἐπὶ τὴν λίμνην.] Εἰς μόνον τὴν λίμνην ἀνέφυγεν, inquit loco ſuperius citato. Spanh.

ἀφίκ-

manibus inimicorum præter *omnium* opinionem elapſus, Taricheas me contuliſſem.

Taricheatæ contra Tiberienſes irritati.

19. Urbis autem iſtius incolæ, audita Tiberienſium perfidia, majorem in modum exaſperati erant. Armis igitur correptis me obſecrabant, ut ipſos adverſum eos ducerem (ſe enim pro ſuo duce dicebant ſumere velle pœnas ab ipſis) facinuſque hoc per Galilæam omnem ſermonibus divulgabant, ſtudioſe id agentes ut Galilæos contra Tiberienſes irritarent. eoſque adhortabantur ut quamplurimi conſerti ad ſe accederent, facturi de conſilio ducis id quod viſum fuerit. Venerunt itaque permulti ex omni undique Galilæa armis accincti, meque obſecrabant ut Tiberiada invaderem, eamque vi expugnarem, totaque ſolo adæquata incolas cum uxoribus & liberis in ſervitutem abducerem: eademque ſuadebant amici qui ex Tiberiade ſalvi evaſerant. Ego vero illis non aſſentiebar, nefarium ratus belli civilis initium facere. arbitrabar enim contentionem non debere ultra verba progredi: immo ne ipſis quidem ajebam id expedire, Romanis exſpectantibus dum nos mutuis diſſidiis noſmet conficiamus. atque iſta loquutus feci ut reſideret Galilæorum ira.

Et Galilæi omnes.

Mite Joſephi conſilium.

Joannes ſeſe Joſepho excuſat.

20. At Joannes, ubi ex animi ſententia non ſucceſſerunt inſidiæ, ſibi ipſi timere cœpit; &, militibus quos circa ſe habebat aſſumptis, relicta Tiberiade Giſchala petiit, & *inde* ad me ſcripſit, quæ facta erant excuſans, quaſi non ex ſua voluntate fierent. rogabatque ne quam adverſus ipſum ſuſpicionem admitterem, jusjurandum etiam adhibens & diras quaſdam exſecrationes, quibus exiſtimabat ſe iis quæ ſcripſerat fidem eſſe facturum.

Galilæi Joanni infenſi.

21. Galilæi autem (nam alii quam plurimi ex omni regione armis inſtructi denuo adducti erant) quod hominem probe noſſent malum eſſe & perjurum, rogabant ut ipſos contra eum ducerem, promittentes funditus ſe deleturos & ipſum & *patriam ejus* Giſchala. Cæterum ego me quidem illis pro ſua erga me voluntate propenſa gratias habere fatebar, meque illorum benevolentiam victurum eſſe ſpondebam: veruntamen ut ſibi temperarent ab ejuſmodi conatu precibus contendebam, veniamque orabam quod tumultus compeſcere maluerim abſque cædibus. Cumque id perſuaſiſſem Galilæorum multitudini, Sepphorim me recipiebam.

Eos mitigat Joſephus.

Jeſus latronum princeps Joſepho inſidias ſtruit.

22. Viri autem hujus urbis incolæ, cum ſtatuiſſent in fide erga Romanos permanere, mei vero adventum metuiſſent, conati ſunt, aliis negotiis me diſtrahendo, ſuæ proſpicere ſecuritati. Adeoque nuncio ad Jeſum latronum principem miſſo in Ptolemaïdis confinia, magnam pecuniæ vim ſe daturos pollicebantur, ſi vellet cum ſua militum manu (erant autem numero octoginta) bellum in nos commovere. Atque illi, cum non diſplicerent ei quæ promiſſa erant, in animo fuit, nos nec opinantes & imparatos aggredi. Itaque ad me rogatum miſit, ut ſibi liceret me ſalutatum venire. Quod cum ei conceſſiſſem (nihil enim inſidiarum præſenſeram) aſſumpta latronum cohorte, ad me *opprimendum* feſtinabat. Non tamen ei ſucceſſit quod in animo agitaverat maleficium. Cum enim jam non longe abeſſet, quidam è ſuis transfuga ad me veniebat, quid ille moliretur indicans. Atque ego, cum iſta audiviſſem, in forum proceſſi, de inſidiis ſimulaturus nihil me reſciviſſe. Mihi autem *in auxilium* adſciſcebam multos Galilæos armatos, & quoſdam etiam Tiberienſes: cumque edixiſſem ut aditus in urbem omnes firmiſſimis præſidiis & cuſtodiis munirentur,

Eum circumvenit Joſephus.

λαθόμενος καὶ ἐπιβὰς, παρὰ δόξαν τοὺς ἐχθροὺς διαφυγὼν, εἰς Ταριχέας ἀφικόμην.

ιθ'. Οἱ δὲ τὴν πόλιν ταύτην κατοικοῦντες, ὡς ἐπύθοντο τὴν τῶν Τιβεριέων ἀπιστίαν, σφόδρα παρωξύνθησαν. ἁρπάσαντες οὖν τὰ ὅπλα παρεκάλουν σφᾶς ἄγειν ἐπ' αὐτούς. θέλειν γὰρ ἔφασκον ὑπὲρ τοῦ στρατηγοῦ δίκας λαβεῖν παρ' αὐτῶν. [s] διηγγέλλοντό τε τὰ γεγονότα καὶ τοῖς κατὰ τὴν Γαλιλαίαν πᾶσαν, ἐρεθίσαι καὶ τούτους κατὰ τῶν Τιβεριέων διὰ σπουδῆς ἔχοντες. παρεκάλουν τε πλείστους συναχθέντας ἀφικέσθαι πρὸς αὐτούς, ἵνα μετὰ γνώμης τοῦ στρατηγοῦ πράττωσι τὸ δόξαν. ἧκον οὖν οἱ Γαλιλαῖοι πολλοὶ πανταχόθεν μεθ' ὅπλων, καὶ παρεκελεύοντό μοι προσβαλεῖν τῇ Τιβεριάδι, καὶ κατὰ κράτος αὐτὴν ἐξελεῖν, καὶ πᾶσαν ἔδαφος ποιήσαντα [t] τοὺς ἐνοίκους σὺν γυναιξὶ καὶ τέκνοις ἀνδραποδίσασθαι. συνεβούλευον δὲ ταῦτα καὶ τῶν φίλων οἱ ἐκ τῆς Τιβεριάδος διασωθέντες. ἐγὼ δὲ οὐ συνεπένευον, δεινὸν ἡγούμενος ἐμφυλίου πολέμου κατάρχειν. μέχρι λόγων γὰρ ᾤμην εἶναι δεῖν τὴν φιλονεικίαν. καὶ μὴν οὐδ' αὐτοῖς ἔφασκον συμφέρειν τοῦτο πρᾶξαι, Ῥωμαίων ταῖς πρὸς ἀλλήλους στάσεσιν αὐτοὺς ἀπολεῖσθαι προσδοκώντων. ταῦτα δὲ λέγων, ἔπαυσα τῆς ὀργῆς τοὺς Γαλιλαίους.

κ'. Ὁ δὲ Ἰωάννης, ἀπράκτου τῆς ἐπιβουλῆς αὐτῷ γενομένης, ἔδεισε περὶ ἑαυτοῦ. καὶ, τοὺς περὶ αὐτὸν ὁπλίτας ἀναλαβὼν, ἀπῆρεν ἐκ τῆς Τιβεριάδος εἰς τὰ Γίσχαλα, καὶ γράφει πρός με περὶ τῶν πεπραγμένων ἀπολογούμενος, ὡς μὴ κατὰ γνώμην τὴν αὐτοῦ γενομένων. παρεκάλει τε μηδὲν ὑπονοεῖν κατ' αὐτοῦ, προστιθεὶς ὅρκους καὶ δεινάς τινας ἀρὰς, δι' ὧν ᾤετο πιστωθήσεσθαι περὶ ὧν ἐπέστελλεν.

κα'. Οἱ δὲ Γαλιλαῖοι, πολλοὶ γὰρ ἕτεροι πάλιν ἐκ τῆς χώρας πάσης [u] ἀνήχθησαν μεθ' ὅπλων, εἰδότες τὸν ἄνθρωπον, ὡς πονηρός ἐστι καὶ ἐπίορκος, παρεκάλουν ἀγαγεῖν σφᾶς ἐπ' αὐτὸν, ἄρδην ἀφανίσειν ἐπαγγελλόμενοι σὺν αὐτῷ καὶ τὰ Γίσχαλα. χάριν μὲν οὖν ἔχειν αὐτοῖς ταῖς προθυμίαις ὡμολόγουν ἐγὼ, καὶ νικήσειν αὐτῶν τὴν εὔνοιαν ἐπηγγελλόμην, παρεκάλουν δ' ὅμως ἐπισχεῖν αὐτοὺς ἀξιῶν, καὶ συγγινώσκειν μοι δεόμενος προῃρημένῳ τὰς ταραχὰς χωρὶς φόνου καταστέλλειν. καὶ πείσας τὸ πλῆθος τῶν Γαλιλαίων, εἰς τὴν Σέπφωριν ἀφικνούμην.

κβ'. Οἱ δὲ τὴν πόλιν ταύτην κατοικοῦντες ἄνδρες, κεκρικότες τῇ πρὸς Ῥωμαίους [x] ἐμμένειν πίστει, δεδιότες δὲ τὴν ἐμὴν ἄφιξιν, ἐπειράθησαν, ἑτέρᾳ με πράξει περισπάσαντες, ἀδεεῖς εἶναι περὶ αὐτῶν. καὶ δὴ πέμψαντες πρὸς Ἰησοῦν τὸν ἀρχιλῃστὴν εἰς τὴν Πτολεμαΐδος μεθορίαν, ὑπέσχοντο δώσειν πολλὰ χρήματα θελήσαντι μετὰ τῆς σὺν αὐτῷ δυνάμεως, ἦσαν δὲ ὀκτακόσιοι τὸν ἀριθμὸν, πόλεμον ἐξάψαι [y] εἰς ἡμᾶς. ὁ δ', ὑπακούσας αὐτοῖς ταῖς ὑποσχέσεσιν, ἠθέλησεν ἐπιπεσεῖν ἡμῖν ἀνετοίμοις καὶ μηδὲν προγινώσκουσιν. πέμψας γοῦν πρός με παρεκάλει λαβεῖν ἐξουσίαν ἀσπασόμενον [z] ἀφικέσθαι. συγχωρήσαντος δέ μου, τῆς γὰρ ἐπιβουλῆς οὐδὲν προηπιστάμην, ἀναλαβὼν τὸ σύνταγμα τῶν λῃστῶν ἔσπευδεν [a] εἰς ἐμέ. οὐ μὴν ἔφθασεν αὐτοῦ τέλος λαβεῖν ἡ κακουργία. πλησιάζοντος γὰρ ἤδη, τῶν σὺν αὐτῷ τις αὐτομολήσας ἧκεν πρός με τὴν ἐπιχείρησιν αὐτοῦ φράζων. [b] κἀγὼ, πυθόμενος ταῦτα, προῆλθον εἰς τὴν ἀγορὰν, σκηψάμενος ἀγνοεῖν τὴν ἐπιβουλήν. ἐπηγόμην δὲ πολλοὺς ὁπλίτας Γαλιλαίους, τινὰς δὲ καὶ Τιβεριέων. εἶτα προστάξας τὰς ὁδοὺς [c] πάσας ἀσφαλέστατα φρουρεῖσθαι, παρ-

ἐγ-

s Διηγγέλλοντό τε.] Prius, διήγγελλον γάρ.
t Τοὺς ἐνοίκους.] Ἐνοικοῦντας Vat.
u Ἀνήχθησαν μεθ' ὅπλων.] Forſan ἀνέθεσαν.
x Ἐμμένειν πίστει.] Ἐμμένειν Vat.
y Εἰς ἡμᾶς.] Πρὸς ἡμᾶς Vat.

z Ἀφικέσθαι.] Ἀφικνεῖσθαι Vat.
a Εἰς ἐμέ.] Ἐπ' ἐμὲ Vat. & Voſſ.
b Κἀγώ.] Κἀγὼ ὡς πυθόμενος. Vat. & Voſſ.
c Πάσας ἀσφαλέστατα.] Ταύτας Vat.

d Ἀν-

ήγγειλα τοῖς ἐπὶ τῶν πυλῶν, μόνον Ἰησοῦν, ἐπειδὰν παραγένηται, μετὰ τῶν πρώτων εἰσελθεῖν ἐᾶσαι, ἀποκλεῖσαι δὲ τοὺς ἄλλους, βιαζομένους δὲ τύπτειν. τῶν δὲ τὸ προσταχθὲν ποιησάντων, εἰσῆλθεν ὁ Ἰησοῦς μετ' ὀλίγων. καὶ κελεύσαντος ἐμοῦ ῥῖψαι τὰ ὅπλα θᾶττον, εἰ γὰρ ἀπειθοίη τεθνήξεσθαι, περιεστῶτας ἰδὼν πανταχόθεν αὐτῷ τοὺς ὁπλίτας, φοβηθεὶς ὑπήκουσεν. οἱ δ' ἀποκλεισθέντες τῶν ἐπακολουθούντων [d] αὐτῷ, πυθόμενοι τὴν σύλληψιν, ἔφυγον. κἀγὼ προσκαλεσάμενος τὸν Ἰησοῦν κατ' ἰδίαν, οὐκ ἀγνοεῖν ἔφην τὴν ἐπ' ἐμὲ συσκευασθεῖσαν ἐπιβουλὴν, οὐδ' ὑπὸ τίνων πεμφθείη. συγγνώσεσθαι δ' ὅμως αὐτῷ τῶν πεπραγμένων, εἰ μέλλοι μετανοήσειν καὶ πιστὸς ἐμοὶ γενήσεσθαι. ὑποσχομένου δὴ πάντα ποιήσειν ἐκείνου, ἀπέλυσα, συγχωρήσας αὐτῷ συναγαγεῖν πάλιν οὓς πρότερον εἶχεν. Σεπφωρίταις δ' ἠπείλησα, εἰ μὴ παύσαιντο τῆς ἀγνωμοσύνης, λήψεσθαι [e] παρ' αὐτῶν δίκας.

κγ'. Κατὰ τοῦτον τὸν καιρὸν, ἀφικνοῦνται πρός με [f] δύο μεγιστᾶνες τῶν ὑπὸ τὴν ἐξουσίαν τοῦ βασιλέως ἐκ τῆς τῶν Τραχωνιτῶν χώρας, ἐπαγόμενοι τοὺς ἑαυτῶν ἵππους, καὶ ὅπλα καὶ χρήματα [g] ἐπικομίζοντες. τούτους περιτέμνεσθαι τῶν Ἰουδαίων ἀναγκαζόντων, εἰ θέλουσιν εἶναι παρ' αὐτοῖς, οὐκ εἴασα βιασθῆναι, φάσκων [h] δεῖν ἕκαστον ἄνθρωπον κατὰ τὴν ἑαυτοῦ προαίρεσιν τὸν Θεὸν εὐσεβεῖν, ἀλλὰ μὴ μετὰ βίας. χρῆναι δὲ τούτους δι' ἀσφάλειαν πρὸς ἡμᾶς καταφεύγοντας μὴ μετανοεῖν. πεισθέντος δὲ τοῦ πλήθους, τοῖς ἥκουσιν ἀνδράσι τὰ πρὸς τὴν συνήθη δίαιταν ἅπαντα παρεῖχον δαψιλῶς.

κδ'. Πέμπει δ' ὁ βασιλεὺς Ἀγρίππας δύναμιν καὶ στρατηγὸν ἐπ' αὐτῆς [i] Αἰκουικλὸν Μόδιον, [k] Γάμαλα τὸ φρούριον ἐξαιρήσοντας. οἱ δὲ πεμφθέντες, κυκλώσασθαι μὲν τὸ φρούριον οὐκ ἤρκεσαν, ἐν δὲ τοῖς φανεροῖς τῶν τόπων ἐφεδρεύοντες ἐπολιόρκουν τὰ Γάμαλα. Αἰβούτιος δὲ ὁ [l] δεκάδαρχος, ὁ τοῦ Μεγάλου πεδίου τὴν προστασίαν πεπιστευμένος, ἀκούσας ὅτι παρείην εἰς Σιμωνιάδα κώμην ἐν μεθορίοις κειμένην τῆς Γαλιλαίας, αὐτοῦ δ' ἀπέχουσαν ἑξήκοντα σταδίους, νυκτὸς ἀναλαβὼν τοὺς ἑκατὸν ἱππεῖς οὓς εἶχεν σὺν αὐτῷ, καί τινας πεζοὺς περὶ διακοσίους, καὶ τοὺς ἐν [m] Γαβᾷ πόλει κατοικοῦντας ἐπαγόμενος συμμάχους, νυκτὸς ὁδεύσας, ἧκεν εἰς τὴν κώμην ἐν ᾗ διέτριβον. ἀντιπαραταξαμένου δὲ κἀμοῦ μετὰ δυνάμεως πολλῆς, ὁ μὲν Αἰβούτιος εἰς τὸ πεδίον ὑπάγειν ἡμᾶς ἐπειρᾶτο. σφόδρα γὰρ τοῖς ἱππεῦσιν ἐπεποίθει. οὐ μὴν [n] ὑπηκούσαμεν. ἐγὼ γὰρ τὸ πλεονέκτημα συνιδὼν τὸ γενησόμενον τοῖς ἱππεῦσιν, εἰ καταβαίημεν εἰς τὸ πεδίον, πεζοὶ γὰρ ἡμεῖς σύμπαντες ἦμεν, ἔγνων αὐτοῦ τοῖς πολεμίοις συνάπτειν. καὶ μέχρι μέν τινος γενναίως ἀντέσχεν σὺν τοῖς περὶ αὐτὸν ὁ Αἰβούτιος. ἀχρεῖον δ' ὁρῶν κατὰ τὸν τόπον τοῦτον οὖσαν αὐτῷ τὴν ἱππικὴν δύναμιν, ἀναζεύγνυσιν ἄπρακτος εἰς Γαβὰν πόλιν, τρεῖς ἄνδρας ἀποβαλὼν κατὰ τὴν μάχην. εἱπόμην δὲ κατὰ πόδας ἐγὼ, δισχιλίους ἐπαγόμενος ὁπλίτας. καὶ περὶ [o] Βησαρὰν πόλιν γενόμενος [p] ἐν μεθορίοις τῆς Πτολεμαΐδος κειμένην, εἴκοσι δ' ἀπέχουσαν στάδια τῆς Γαβᾶς, ἔνθα διέτριβεν

portarum præfectis in mandatis dedi, ut ſolum Jeſum, cum adveniret, & primos è ſuis intromitterent, cæteros vero excluderent, vimque adhibentes plagis repellerent. Illis autem quæ imperaveram facientibus, Jeſus cum paucis ingreſſus eſt: cumque ipſe juſſiſſem ut ocyus arma projiceret, alioqui moriturum ni pareret, ubi vidit ſe undique armatis obſeſſum, timore perculſus juſſis obtemperavit. Qui vero ex ejus comitibus excluſi erant, ut *ducem ſuum* comprehenſum eſſe audiverant, in fugam ſe conjecerunt. Atque ego, Jeſu ad me ſeorſim accito, dicebam, me non ignorare paratas mihi inſidias, neque à quibus *conductus &* miſſus eſſet; ei tamen factorum veniam daturum, ſi voluerit reſipiſcere, mihique fidelis eſſe. Illo autem omnia ſe facturum eſſe pollicente, *hominem* dimiſi, hoc ei conceſſo, ut iterum colligeret quos prius habuerat. Sepphoritis vero interminatus ſum, me pœnas ab illis ſumpturum eſſe, niſi in me ingrati eſſe deſinerent. *Joſephi erga Jeſum captum benignitas.*

23. Per idem tempus è Trachonitarum regione ad me venerunt magnates duo, è numero illorum qui regis imperio ſuberant, ſuos ſecum adducentes equos, inſuper & arma & pecuniam afferentes. Hos cum Judæi circumcidi coacturi eſſent, ſi apud illos manere vellent, non permiſi ut vi ulla eò adigerentur, dicens, hominum quemque oportere, ex animi ſui voluntate Deum colere, & non ad id faciendum cogi: neque committendum aliquid, unde eos, qui ſecuritatis cauſa ad nos confugerint, ejus conſilii pœniteat. atque ita perſuaſa multitudine, viris *ad nos* venientibus omnia ad conſuetum victum affatim ſuppeditabam. *Joſephi de religione opinio.*

24. Interea autem rex Agrippa copias mittit duce Æquicolo Modio, Gamala caſtellum expugnaturas. Qui vero miſſi erant, cum numero nimis exiguo eſſent ad caſtellum *obſidione* cingendum, in locis apertis collocati Gamala oppugnabant. Æbutius autem decurio, cui uni credita erat Magni campi præfectura, audito quod in Simoniada vicum veniſſem in confiniis Galilææ ſitum, diſtantem ab ipſo ſexaginta ſtadiis, noctu aſſumptis quos ſecum habebat centum equitibus, peditibus item aliquot circiter ducentis, aſcitis inſuper in auxilium civitatis Gabæ incolis, nocturno itinere in eum vicum pervenit in quo morabar. Cum autem ipſe cum valido exercitu aciem ex adverſo explicuiſſem, Æbutius quidem id ſedulo egit ut nos in planitiem proliceret. nam equitibus magnopere confidebat. Nos tamen eò adduci noluimus. ego enim, cum probe noſſem, quam magnum in commodum ceſſurum eſſet equitibus, ſi in planitiem deſcenderemus, (nam nos univerſi pedites eramus) decrevi in vico cum hoſtibus confligere. Et quidem Æbutius iique qui cum eo erant aliquantiſper ſtrenue reſtiterunt. Cum autem videret copias equeſtres ſibi iſto in loco inutiles eſſe, re infecta in Gabam civitatem ſe recepit, tribus *tantum* viris in ea pugna amiſſis. Ego vero è veſtigio *eos* perſequebar, cum armatorum duobus millibus; & poſtquam fere ad urbem Beſaram veniſſem, in confiniis Ptolemaïdis ſitam, viginti autem ſtadiis à Gaba diſtantem, ubi tum erat Æbutius, cum milites extra villam ſtatuiſſem,

Modius & Æbutius contra Joſephum ſe parant.

Æbutius recedit.

d *Αὐτῷ.*] Ita *Hudſ.* & *Lugd. Bat.* αὐτοῦ editi reliqui. Hav.
e *Παρ' αὐτῶν.*] Forte παρ' ἐμοῦ. Cocc.
f *Δύο μεγιστᾶνες.*] Vide quæ ſuper hanc vocem notavimus ad Antiq. lib. 20. cap. 2. §. 3.
g *Ἐπικομίζοντες.*] Ita *Gen.* cum *aliis.* ὑποκομίζοντες *Baſ.* & aliquot MSS.
h *Δεῖν ἕκαστον ἄνθρωπον κατὰ τὴν ἑαυτοῦ προαίρεσιν τὸν Θεὸν εὐσεβεῖν.*] Eandem tuetur ſententiam inferius §. 31. Spanh.
i *Αἰκουικλὸν Μόδιον.*] Conf. §. 36. inf. Spanh. Prout ſup. §. 11. & hic loci Αἰκουικλὸν reſcribo, antea erat, Ἐκλὸν in *Editis*, & Εἴκουον in *MS Voſſ.* Si quis Αἴκουον malit, per me licet. Huds. Μόδιον Ἔκουον inferius in hac Vita. Spanh.
k *Γάμαλα.*] Ita cum MSS. Μάγδαλα in *Editis.*
l *Δεκάδαρχος.*] Δημάρχου *Voſſ.* forſan pro δήμαρχος. Huds. Αἰβούτιον δεκαδάρχην in B. Jud. lib. 3. cap. 7. §. 3. ſic & alibi δεκάδαρχαι non δεκάδαρχοι, ut de B. Jud. lib. 2. cap. 20. §. 7. & lib. 4. cap. 4. §. 1. Spanh.
m *Γαβᾷ πόλει.*] Ita ex illis quæ mox occurrent reſcripſi. antea erat Γάβα hic loci. Huds. Ad Benjamitarum tribum pertinet, & in Antiquitatibus ſæpe ejus mentio fit. Vide Indices. Spanh.
n *Ὑπηκούσαμεν.*] Forſan ὑπεκινήσαμεν.
o *Βησαρὰν πόλιν.*] Βησαρὰ *Gen.* Βησαρᾶς κώμην *Voſſ.* Huds. Eſt tamen vicus Βησαρᾶ viginti ab Hebrone ſtadiis, ut patet ex Antiq. lib. 7. cap. 1. §. 5. Spanh. MS. *Lugd. Bat.* ſeu *Voſſ.* habet Κησαραν. Sed ſæpe in eodem κ. & β. confunduntur, nam inferius rurſus Βήσαραν ſcribit. Hav.
p *Ἐν μεθορίοις.*] Ἐν μεθορίῳ *Voſſ.*

q Ἐν.

Joſephus frumentum in Galilæam tranſmittit. ſem, juſſiſſemque eos caute admodum obſervare omnes viarum aditus, ne nobis moleſtiam faceſſant hoſtes, quamdiu frumentum exportabimus, (nam magna ejus vis, quæ Bernices reginæ erat, recondebatur, ex vicis finitimis in Beſaram congeſta) oneratis camelis aſiniſque, quippe multos adduxeram, frumentum in Galilæam dimittendum curavi. *Æbutium ad prælium provocat.* Cum autem hoc perfeciſſem, ad pugnam provocabam Æbutium. illo vero eam detrectante (perterritus enim erat noſtra alacritate & audacia) verſus Neopolitanum iter deflexi, audito Tiberienſium regionem ab eo eſſe deprædatam. erat autem Neopolitanus *hic* equitum quidem agmini præfectus: *Neopolitanum reprimit.* Scythopolim vero acceperat, ut eam ab hoſtium incurſu cuſtodiret & tueretur. Huic igitur cum obſtitiſſem, ne amplius Tiberiada vexaret, in eo eram ut Galilææ rebus proſpicerem.

Joannes Levi filius Joſepho felicitatem invidet. 25. Cæterum Joannes Levi filius (quem diximus Giſchalæ agere) poſtquam audivit omnia mihi ex animi ſententia ſuccedere, quodque ſubditorum quidem benevolentiam haberem, hoſtibus vero terrori eſſem, iniquo animo id tulit: meamque felicitatem ſibi exitio fore exiſtimans, vehementer mihi invidere cœpit. cumque ſperaſſet ſe proſperam meam fortunam everſurum eſſe, ſi ſubditorum in me odium concitaret, *Multos contra Joſephum ſolicitat.* ſolicitabat Tiberienſes & Sepphoritas, ratus his acceſſuros Gabarenos, (illæ enim civitates omnium in Galilæa maximæ ſunt) ut à ſua in me fide digreſſi ei ſe adjungerent. ajebat enim ſe illis ducem fore me præſtantiorem. Et Sepphoritæ quidem (noſtrum enim neutri auſcultabant, quod Romanos pro dominis elegerant) illi nequaquam aſſenſerunt. Tiberienſes autem, *etſi* ad defectionem ſe perſuaderi non ſinebant, omnes tamen in eam ſententiam ibant, ſe illi futuros eſſe amicos. *Gabareni Joanni ſe addicunt.* At Gabarorum incolæ Joanni ſeſe addixerunt: utpote quod ad hoc *faciendum* eos adhortaretur Simon, qui primas ferebat in civitate, & Joanne ut amico ſocioque uſus eſt. Cæterum ſe defectores eſſe haud palam declarabant; nam Galilæos valde metuerant, ut qui jam ante ſæpius experti fuiſſent eorum erga me benevolentiam: verum clam, obſervato tempore opportuno, mihi inſidiabantur. adeoque maximum adii periculum, ex hujuſmodi cauſa.

Dabaritteni uxorem Ptolemæi ſpoliant. 26. Juvenes quidam audaces, genere Dabaritteni, cum animadvertiſſent uxorem Ptolemæi, regis procuratoris, multo cum apparatu, equitibus etiam aliquot ſecuritatis gratia eam ſequentibus, per Magnum campum ex provincia regibus ſubdita in Romanorum ditionem iter facere, in eos repente irruunt: & mulierem quidem profugere coëgerunt, quæ vero ſecum portabat omnia diripuerunt. Quo facto Taricheas, *ubi tum eram*, ad me veniebant, quatuor mulos adducentes veſtimentis onuſtos & alia ſupellectile: quin & argenti pondus erat non exiguum, & aurei quingenti. Hæc ego ſervare volens Ptolemæo, (nam & ejuſdem mecum tribûs erat, & nobis legibus vetitum eſt vel inimicos quidem ſpoliare) his qui ea attulerant dicebam, oportere ſervari, ut ex illis venditis inſtaurarentur Hieroſolymorum muri. Juvenes autem iſti moleſte ferebant, quod partem de præda non ceperant quemadmodum exſpectabant: profectique in vicos Tiberiadi finitimos, rumorem ſpargebant,

ὁ Αἰβούτιος, στήσας τοὺς ὁπλίτας ἔξωθεν τῆς κώμης, καὶ φρουρεῖν αὐτοῖς ἀσφαλῶς τὰς ὁδοὺς προστάξας ὑπὲρ τοῦ μὴ ἐνοχλῆσαι τοὺς πολεμίους ἡμῖν, ἕως τὸν σῖτον [q] ἐκφορήσομεν. πολὺς γὰρ ἀπέκειτο Βερενίκης τῆς βασιλίδος ἐκ τῶν πέριξ κωμῶν εἰς τὴν [r] Βησαρὰν συλλεγόμενος. πληρώσας καμήλους καὶ τοὺς ὄνους, πολλοὺς δὲ [s] ἐπηγόμην, διέπεμψα τὸν σῖτον εἰς τὴν Γαλιλαίαν. τοῦτο δὲ πράξας, προεκαλούμην εἰς μάχην τὸν Αἰβούτιον. οὐχ ὑπακούσαντος δ' ἐκείνου. καταπέπληκτο γὰρ τὴν ἡμετέραν ἑτοιμότητα καὶ τὸ θάρσος. ἐπὶ Νεοπολιτανὸν ἐτραπόμην, τὴν Τιβεριέων χώραν ἀκούσας ὑπ' αὐτοῦ λεηλατεῖσθαι. ἦν δὲ ὁ [t] Νεοπολιτανὸς εἴλης μὲν ἔπαρχος. παρειλήφει δὲ τὴν Σκυθόπολιν εἰς φυλακὴν τὴν ἀπὸ τῶν πολεμίων. τοῦτον οὖν κωλύσας ἐπὶ πλεῖον τὴν Τιβεριάδα κακοῦν, περὶ τὴν τῆς Γαλιλαίας πρόνοιαν ἐγινόμην.

κε'. Ὁ δὲ τοῦ [v] Λευὶ παῖς Ἰωάννης, ὃν ἔφαμεν ἐν τοῖς Γισχάλοις διατρίβειν, πυνθανόμενος πάντα κατὰ νοῦν μοι προχωρεῖν, καὶ δι' εὐνοίας μὲν εἶναί με τοῖς ὑπηκόοις, τοῖς πολεμίοις δὲ δι' ἐκπλήξεως, οὐκ εὖ τὴν γνώμην ἐτέθη. [x] καταλύσιν δ' αὐτοῦ τὴν ἐμὴν εὐπραγίαν φέρειν νομίζων, εἰς φθόνον ἐξώκειλεν οὔ τι μέτριον. καὶ παύσειν με τῆς εὐτυχίας ἐλπίσας, εἰ παρὰ τῶν ὑπηκόων μῖσος [y] ἐξάψειεν, ἔπειθε τοὺς τὴν Τιβεριάδα κατοικοῦντας καὶ τοὺς τὴν Σέπφωριν, νομίζων [z] πρὸς τούτοις καὶ τοὺς Γάβαρα, πόλεις δ' εἰσὶν αὗται τῶν κατὰ τὴν Γαλιλαίαν αἱ μέγισται, τῆς πρὸς με πίστεως ἀποστάντας αὐτῷ προστίθεσθαι. κρεῖττον γὰρ ἐμοῦ στρατηγήσειν αὐτῶν [a] ἔφασκεν. καὶ [b] Σεπφωρεῖς μὲν, οὐδ' ἑτέρῳ γὰρ ἡμῶν προσεῖχον διὰ τὸ Ῥωμαίους ᾑρῆσθαι δεσπότας, οὐκ ἐπένευον αὐτῷ. Τιβεριεῖς δὲ τὴν μὲν ἀπόστασιν οὐκ ἐδέχοντο, καὶ αὐτοῦ δὲ συγκατένευον γενήσεσθαι φίλοι. οἱ δὲ Γάβαρα κατοικοῦντες προστίθενται τῷ Ἰωάννῃ. Σίμων δ' ἦν ὁ παρακαλῶν αὐτοὺς, πρωτεύων μὲν τῆς πόλεως, ὡς φίλῳ δὲ καὶ ἑταίρῳ τῷ Ἰωάννῃ χρώμενος. ἐκ μὲν οὖν τοῦ φανεροῦ τὴν ἀπόστασιν οὐχ ὡμολόγουν, σφόδρα γὰρ ἐδεδοίκεισαν τοὺς Γαλιλαίους, ἅτε δὴ πεῖραν αὐτῶν τῆς πρὸς ἐμὲ πολλάκις εὐνοίας λαβόντες. ἐκ τοῦ λεληθότος δὲ καιρὸν παραφυλάσσοντες ἐπιτήδειον ἐπεβούλευον. καὶ δὴ ἀφικόμην εἰς κίνδυνον τὸν μέγιστον, διὰ τοιαύτην αἰτίαν.

κϛ'. Νεανίσκοι τινὲς θρασεῖς, [c] Δαβαριττηνοὶ γένος, ἐπιτηρήσαντες τὴν Πτολεμαίου γυναῖκα, τοῦ βασιλέως ἐπιτρόπου, μετὰ πολλῆς παρασκευῆς καί τινων ἱππέων ἀσφαλείας χάριν ἑπομένων, διὰ τοῦ Μεγάλου πεδίου τὴν πορείαν ποιουμένην, ἐκ τῆς τοῖς βασιλεῦσιν ὑποτελοῦς χώρας εἰς τὴν Ῥωμαίων ἐπικράτειαν, ἐπιπίπτουσιν αὐτοῖς ἄφνω. καὶ τὴν μὲν γυναῖκα φυγεῖν ἠνάγκασαν, ὅσα δ' ἐπεφέρετο πάντα διήρπασαν. καὶ ἧκον [d] εἰς Ταριχέας πρὸς με τέσσαρας ἡμιόνους καταφόρτους ἄγοντες ἐσθῆτος καὶ σκευῶν. ἦν δὲ καὶ ἀργυρίου σταθμὸς οὐκ ὀλίγος, καὶ χρυσοῖ πεντακόσιοι. ταῦτ' ἐγὼ βουλόμενος διαφυλάξαι τῷ Πτολεμαίῳ. καὶ γὰρ ἦν ὁμόφυλος, ἀπηγόρευται δ' ἡμῖν ὑπὸ τῶν νόμων μηδὲ τοὺς ἐχθροὺς ἀποστερεῖν. πρὸς μὲν τοὺς κομίσαντας ἔφην αὐτὰ φυλάττειν δεῖν, ὅπως ἐκ τῆς [e] πράσεως αὐτῶν ἐπισκευασθῇ τὰ τείχη τῶν Ἱεροσολύμων. οἱ δὲ νεανίαι χαλεπῶς ἔσχον, οὐ λαβόντες μοίραν ἐκ τῶν λαφύρων καθάπερ προσεδόκησαν. καὶ πορευθέντες εἰς τὰς πέριξ τῆς Τιβεριάδος κώμας, [f] προδιδόναι μέλλειν με Ῥωμαίοις τὴν χώραν αὐτῶν

q Ἐκφορήσομεν.] Lege ἐκφορήσωμεν Coce.
r Βησαρὰν.] Ita cum *Cod. Vat.* Βησάραν in *Editis Aliiſque*.
s Ἐπηγόμην.] Sic *Voſſ.* ἐπηγόμην in *cæteris*.
t Νεοπολιτανὸς εἴλης.] *Lugd. Bat.* Νεοπολιτανὸς ἴλης. HAV.
v Λευὶ παῖς.] Varie admodum ſcribitur, nunc Λευὶ, nunc Λαιὶ ut alibi diximus. SPANH.
x Καταλύσιν.] Vide quæ ſuperius diximus ad §. 16. SPANH.
y Ἐξάψειεν.] Ἐξάψειε *Voſſ.*
z Πρὸς τούτοις.] Πρὸς τούτοις τε καὶ *Vat.*
a Ἔφασκεν.] Ἔφασκεν ἰκανὸν *Voſſ.*
b Σεπφωρεῖς.] Σεπφωρίτας appellat lib. 3. de B. Jud. cap. 4. §. 1. SPANH.
c Δαβαριττηνοὶ.] Δαβαριττῶν κώμης meminit inferius §. 62. & de B. Jud. lib. 2. cap. 21. §. 3. SPANH.
d Εἰς Ταριχέας πρὸς με.] Eadem hæc narrat lib. 2. de B. Jud. cap. 21. §. 3. ubi legitur Ταριχαίας. SPANH. Sed & hic quoque *Lugd. Bat.* eandem præfert lectionem. HAV.
e Πράσεως.] Male πράξεως *Lugd. Bat.* HAV.
f Προδιδόναι.] *Lugd. Bat.* ita auget καὶ προδιδόναι. HAV.

g Ad-

τῆς ἐλέγχων. κεχρῆσθαι γὰρ σοφίσματι πρὸς αὐτοὺς, λέγοντα, τὰ ἐκ τῆς ἁρπαγῆς κομισθέντα φυλάττειν εἰς τὴν ἐπισκευὴν τῶν τειχῶν τῆς Ἱεροσολυμιτῶν πόλεως, ἐγνωκέναι δὲ πάλιν τῷ δεσπότῃ ἀποδοῦναι τὰ ἡρπασμένα. καὶ κατὰ τοῦτό γε τῆς ἐμῆς γνώμης οὐ διήμαρτον. ἀπαλλαγέντων γὰρ αὐτῶν μεταπεμψάμενος δύο τοὺς πρώτους Δασσίωνα καὶ Ἰανναῖον τὸν τοῦ Λευΐ, φίλους ἐν τοῖς μάλιστα τοῦ βασιλέως καθεστῶτας, τὰ ἐκ τῆς ἁρπαγῆς σκεύη λαβόντας διαπέμψασθαι πρὸς ἐκεῖνον ἐκέλευον, θάνατον ἀπειλήσας αὐτοῖς τὴν ζημίαν, εἰ πρὸς ἕτερον ταῦτα ἀπαγγελοῦσιν.

κζ. Ἐπιχυθείσης δὲ φήμης τὴν Γαλιλαίαν ἅπασαν, ὡς τῆς χώρας [g] αὐτῶν μελλούσης ὑπ' ἐμοῦ τοῖς Ῥωμαίοις προδίδοσθαι, καὶ πάντων παροξυνθέντων ἐπὶ τὴν ἐμὴν τιμωρίαν, οἱ τὰς [h] Ταριχέας κατοικοῦντες, καὶ αὐτοὶ τοὺς νεανίσκους ἀληθεύειν [i] ὑπολαμβάνοντες, πείθουσι τοὺς σωματοφύλακας καὶ τοὺς ὁπλίτας, κοιμώμενόν με καταλιπόντας, [k] παραγενέσθαι θᾶττον εἰς ἱππόδρομον, ὡς ἐκεῖ βουλευσομένους μετὰ πάντων [l] κατὰ τοῦ στρατηγοῦ. πεισθέντων δὲ τούτων καὶ συνελθόντων, πολὺς ὄχλος ἤδη προσυνήθροιστο, μίαν τε πάντες ἐποιοῦντο φωνὴν, κολάζειν [m] τὸν προδότην πονηρὸν περὶ αὐτοὺς γεγενημένον. μάλιστα δ' αὐτοὺς ἐξέκαιεν ὁ τοῦ [n] Σαπφία παῖς Ἰησοῦς, ἄρχων τότε τῆς Τιβεριάδος, πονηρὸς ἄνθρωπος, καὶ ταράξαι μεγάλα πράγματα φύσιν ἔχων, στασιοποιός τε καὶ νεωτεριστὴς ὡς οὐχ ἕτερος. καὶ τότε δὴ λαβὼν εἰς χεῖρας τοὺς Μωϋσέως νόμους, καὶ προσελθὼν εἰς μέσον, „εἰ μὴ
„ὑπὲρ αὐτῶν, [o] ἔφη, πολῖται, μισεῖν δύνασθε Ἰώ-
„σηπον, εἰς τοὺς πατρίους ἀποβλέψαντες νόμους, ὧν ὁ
„πρῶτος ὑμῶν στρατηγὸς προδότης ἔμελλε γίνεσθαι,
„καὶ μισοπονηρήσαντες ὑπὲρ τούτων, τιμωρήσασθε τὸν
„τοιαῦτα τολμήσαντα.

κη. Ταῦτ' εἰπὼν, καὶ τοῦ πλήθους ἐπιβοήσαντος, ἀναλαβών τινας ὁπλίτας, ἐπὶ τὴν οἰκίαν ἐν ᾗ κατηγόμην ἔσπευδεν ὡς ἀναιρήσων. ἐγὼ δ' οὐδὲν προαισθόμενος διὰ κόπον πρὸ τῆς ταραχῆς [p] κατεκεκοίμην. Σίμων δ' ὁ τοῦ σώματός μου τὴν φυλακὴν πεπιστευμένος, [q] ὁ καὶ μόνος παραμείνας, ἰδὼν τὴν ἐπιδρομὴν τῶν πολιτῶν, διεγείρει με καὶ τὸν ἐφεστῶτά μοι κίνδυνον ἐξαγγέλλει. ἠξίου τε γενναίως θνήσκειν ὡς στρατηγὸν ὑπ' αὐτοῦ, πρὶν ἐλθεῖν τοὺς ἐχθροὺς ἀναγκάσοντας ἢ κτενοῦντας. ὁ μὲν ταῦτα ἔλεγεν, ἐγὼ δὲ, τῷ Θεῷ τὰ κατ' ἐμαυτὸν ἐπιτρέψας, εἰς τὸ πλῆθος ὡρμήθην προελθεῖν. μεθενδὺς οὖν [r] μελαίνην ἐσθῆτα, καὶ τὸ ξίφος ἀπαρτησάμενος ἐκ τοῦ αὐχένος, καθ' ὁδὸν ἑτέραν, ᾗ μηδένα μοι τῶν πολεμίων ὑπαντιάσειν ᾤμην, [s] ἧκον εἰς τὸν ἱππόδρομον ἄφνω τε φανεὶς, καὶ πρηνὴς πεσὼν, καὶ τὴν γῆν δάκρυσι φύρων, ἐλεεινὸς ἔδοξα πᾶσιν. συνεὶς δὲ τοῦ πλήθους τὴν μεταβολὴν, διϊστάναι τὰς γνώμας αὐτῶν ἐπειρώμην πρὸ τοῦ τοὺς ὁπλίτας ἀπὸ τῆς οἰκίας ὑποστρέψαι. καὶ συνεχώρουν μὲν ἀδικεῖν ὡς αὐτοὶ νομίζουσιν. ἐδεόμην δὲ διδάξαι πρότερον εἰς τίνα χρείαν ἐφύλαττον τὰ ἐκ τῆς ἁρπαγῆς κομισθέντα χρήματα, καὶ τότε θνή-

velle me Romanis regionem eorum prodere. me enim ipſos commento eluſiſſe, dicentem, quæ ex rapto allata erant ſervatum ire in reparationem mororum civitatis Hieroſolymitanæ, cum contra apud me decreviſſem quæ erepta erant ſuo reddere domino. Atque meum hac de re propoſitum recte conjiciebant. Poſt illorum enim diſceſſum, accitis duobus è primoribus *civitatis*, Daſſione & Jannæo Levi filio, qui regi facti erant amiciſſimi, mandabam eis, ut ſumpta quæ rapta erat ſupellectile, eam ad regem tranſmittendam curarent, mortem eis in multam interminatus, ſi vel alteri renunciaverint.

Joſephus Ptolemæo ſpolia reddere conatur, invitis Taricheatis.

27. Cum autem rumor Galilæam totam pervaſiſſet, quaſi regio ipſorum à me prodenda eſſet Romanis, eoque omnibus exaſperatis ad expetendum de me ſupplicium, Tarichæarum etiam incolæ, qui & ipſi juvenes verum dicere arbitrabantur, ſuadent ſatellites ac milites me obdormientem deſerere, ſeque quam ocyſſime in circum recipere, cum omnibus contra ducem ſuum conſilium inituros. Cum autem iſti perſuaderentur eóque conveniſſent, frequens jam ante congregatus erat populus, unaque voce clamabant omnes, ſupplicio plectendum eſſe qui ſeſe pro nefario illorum proditore geſſerat. Sed maxime eos accendebat Jeſus Sapphiæ filius, ſummus eo tempore Tiberiadis magiſtratus, vir malus, & à natura factus ad res magnas turbandas, quique ut nemo alius ſeditioſus erat rebuſque novis ſtudebat. Et tum quidem, cum manu ſumpſiſſet Moyſis leges & in medium prodiiſſet, „ſi non
„veſtri gratia, inquit, ô cives, Joſephum pote-
„ritis odiſſe, *certe* oculis in patrias leges conjec-
„tis, quarum iſte, exercitus veſtri dux primarius,
„proditor futurus eſt, & illarum ergo odio ipſum
„proſequuti, ab eo qui hujuſmodi quid auſus eſt
„pœnas exigite.

Seditio adverſus Joſephum Tarichæis.

Cui promovendæ ſtudet Jeſus.

28. Iſta loquutus & populi acclamatione exceptus, militibus quibuſdam aſſumptis, ad domum, in qua ipſe diverſabar, properabat, quaſi me *è veſtigio* occiſurus. Ego vero, ut qui nihil præſenſeram, ex laſſitudine ante tumultum ſomno captus, quieſcebam. At Simon, cui commiſſa erat corporis mei cuſtodia, & qui tum ſolus mecum permanſerat, viſo civium incurſu, è ſomno me excitat, & periculum mihi impendens enunciat: orabatque ut forti animo, prout ducem oportebat, ipſius manu mortem oppeterem, priuſquam ad illos pervenirent hoſtes vim ei illaturi eumve interfecturi. Atque ille quidem iſta dicebat, ego vero, ut qui meipſum Deo permiſeram, deſiderio tenebar memet proripiendi in mediam multitudinem. Veſte igitur nigra indutus, appenſoque ad collum gladio, alia via, qua neminem hoſtium mihi occurſurum eſſe putabam, in circum veniens, ex improviſo in conſpectum omnium memet dedi; humique proſtratus, & terram lachrymis perfundens, omnibus miſerandum viſus ſum ſpectaculum. Cum autem intellexiſſem factam eſſe in populo mutationem, pro virili adnitebar illos ut in varias diſtraherem ſententias, priuſquam milites à domo *ubi fueram* reverterentur: & quidem concedebam me inique egiſſe, ut illorum fert opinio; poſtulabam vero ut primum *eos* docerem, quem in uſum pecuniam

Simon ſatelles Joſepho ſalutis auctor.

Joſephus populum ad miſericordiam movet.

[g] Αὐτῶν.] MS. *Lugd. Bat.* αὐτῷ. male, ſuperius enim modo ipſe αὐτῶν dixit. HAV.

[h] Ταριχέας.] Et hic ſibi conſtat *Lugd. Bat.* Ταριχαίας ſcribens. HAV.

[i] Ὑπολαμβάνοντες.] Ὑπολαβόντες *Voſſ.*

[k] Παραγενέσθαι.] Suſpicaretur aliquis παραγίνεσθαι ſcribendum eſſe: niſi moris eſſet *Græcis*, promiſcue adhibere *præſentis* & *aoriſti* formam

[l] Κατὰ τοῦ στρατηγοῦ.] Περὶ τοῦ στ. *Voſſ.*

[m] Τὸν προδότην.] Confer. de B. Jud. lib. 2. cap. 21. §. 3. SPANH.

[n] Σαπφία παῖς Ἰησοῦς.] Antea Σαπφίου. HUDS. Vide quæ in prioribus de varia nominis hujus orthographia diximus. SPANH. *Lugd. Bat.* Σαπφᾶ hoc in loco. HAV.

[o] Ἔφη.] *Lugd. Bat.* ἔφε. HAV.

[p] Κατεκεκοίμην.] Deeſt ὕπνῳ, aut ſubaudiendum relinquitur.

[q] Ὁ καὶ μόνος παραμείνας.] Quatuor tamen permanſiſſe ſcribit libro & capite memorato §. 3. SPANH. Ergo vel tres quoque reliqui effugerant, vel hic propius reliquis & eodem cubiculo cum Joſepho aderat. HAV.

[r] Μελαίνην ἐσθῆτα.] Sciſſam quoque ibi veſtem commemorat Joſephus. SPANH.

[s] Ἧκον εἰς.] ita ſupplevimus atque diſtinximus ex *Lugd. Bat.* antea, & apud ipſum *Hudſonum* legebatur, εἰς τὸν ἱππόδρομον ἄφνω τε φανείς. Nunc verò ſenſus eſt prægnantior; in verſione itaque ita locus concipi debet: *veni in circum; ex improviſo itaque apparens*, &c. HAV.

niam rapto quæſitam & ad me allatam ſervarem, & tunc me mori non recuſare ſi juberent. Multitudine vero ut dicerem jubente, ſupervenerunt milites, & ad me conſpectum occidendi animo accurrerunt. At cum plebs imperaret, ut ſeſe continerent, *illico* paruerunt; fore exſpectantes, ut, ubi ipſis falſus fuero me regi pecuniam ſervaſſe, quaſi mea confeſſione proditionis compertum necarent.

Populum alloquitur.

29. Itaque facto ab omnibus ſilentio, „ Viri, „ inquam, tribules, mortem, ſi eam commeritus „ fuerim, non deprecor: volo tamen, antequam „ moriturus ſim, veritatem apud vos proloqui. Ci„ vitatem enim hanc cum animadverterem ad hoſ„ pites excipiendos propenſiſſimam, multiſque adeo „ hominibus abundantem, qui patria ſuâ relicta huc „ ſe contulerunt, ut de veſtra participarent fortuna, „ mihi in animo erat mœnia *vobis* condere ex iſtis „ pecuniis, de quibus vos mihi ſucceſſetis & iraſ„ cimini, quas plane fueram inſumpturus in eorum „ ſtructuram. ". Ad hæc *verba* Taricheatæ quidem & hoſpites vocem attollunt, gratias mihi agentes, meque bono eſſe animo adhortantes: Galilæi vero & Tiberienſes perſtabant in iracundia. factumque eſt inter ipſos diſſidium, his quidem ſupplicium minantibus, * illis vero contra ſecurum me eſſe jubentibus. Poſtquam autem promiſeram & Tiberiadi me ædificaturum mœnia, & aliis eorum civitatibus † quibus neceſſaria erant, fide mihi habita, ad ſua quiſque ſeſe ſubducebant. atque cum præter omnem ſpem periculum jam dictum effugiſſem, cum amicis & viginti militibus domum redii.

Ex inſidiis evadit.

In aliud incidit periculum.

30. Sed denuo latrones & ſeditionis auctores, timentes ſibi ipſis ne pœnas ab iis exigerem ob ea quæ perpetrarant, aſſumptis ſecum ſexcentis militibus ad domum, in qua diverſabar, veniebant, eam incendio deleturi. Nunciato autem mihi illorum adventu, turpe ratus fuga me proripere, decrevi * memet periculo audacter & intrepide objicere. Clauſis igitur meo juſſu ædium foribus, cum cœnaculum ipſe conſcendiſſem, poſtulabam ut ad me aliquos mitterent pecuniam accepturos; ita enim ab ira ipſos deſituros eſſe dicebam. cumque audaciſſimum eorum, quos intromiſerant, verberibus cecidiſſem, juſſiſſemque alteram è manibus ei abſcidi, colloque ejus appendiſſem, ita affectum ejeci ad eos qui ipſum miſerant *rediturum*. At illi animis conſternati erant & metu non mediocri perculſi. Veriti igitur, ne ipſi, ſi diutius illic hærerent, eadem paterentur (conjiciebant enim me plures intus habere milites quam qui cum illis eſſent) ſubito *omnes* diffugerunt. atque ego, ejuſmodi uſus ſtratagemate, inſidias iterum in me ſtructas evaſi.

Ejus ſtratagema.

Alia vulgi ſeditio.

31. Verum non defuerunt qui rurſum in me populum concitarent, affirmantes, magnates illos regios, qui ad me confugerant, indignos eſſe qui viverent, tranſire recuſantes in illorum ritus & inſtituta, apud quos agunt incolumitatis ergo: eoſque traducebant, veneficos eſſe dicentes, quique Romanos *contra ſe* venire hortarentur. atque illico in eorum ſententiam adducta erat multitudo, decepti verborum præſtigiis quæ ad gratiam eorum aucupandam erant accommodata. Cum autem iſta auditione accepiſſem, ego rurſus populum edocebam, non oportere eos

σκω εἰ κελεύοιεν. τοῦ δὲ πλήθους λέγειν κελεύοντος, ἐπῆλθον οἱ ὁπλῖται, καὶ θεασάμενοί με, προσέτρεχον ὡς κτενοῦντες. ἐπισχεῖν δὲ τοῦ πλήθους κελεύσαντος ἐπείσθησαν, προσδοκῶντες, ἐπειδὰν ὁμολογήσω πρὸς αὐτοὺς τὰ χρήματα τῷ βασιλεῖ τετηρηκέναι, ὡς ὡμολογηκότα τὴν προδοσίαν ἀναιρήσειν.

κθ'. Σιγῆς οὖν παρὰ πάντων γενομένης, „ ἄνδρες, εἶπον, ὁμόφυλοι, θανεῖν μὲν εἰ δίκαιόν ἐστιν „ οὐ παραιτοῦμαι· βούλομαι δ' ὅμως πρὸ τοῦ τελευ„ τῆσαι τὴν ἀλήθειαν φράσαι πρὸς ὑμᾶς. τὴν γὰρ „ πόλιν ταύτην φιλοξενωτάτην οὖσαν ἐπιστάμενος, „ πληθύουσάν τε τοσούτων ἀνδρῶν, οἳ τὰς ἑαυτῶν πα„ τρίδας καταλιπόντες ἀφίκοντο κοινωνοὶ τῆς ὑμετέρας „ γενόμενοι τύχης, ἐβουλήθην τείχη κατασκευάσαι ἐκ „ τῶν χρημάτων τούτων, περὶ ὧν ἡ παρ' ὑμῶν ἐστιν „ ὀργὴ δαπανωμένων εἰς τὴν οἰκοδομίαν αὐτῶν. " πρὸς ταῦτα, παρὰ μὲν τῶν [s] Ταριχεατῶν καὶ ξένων ἐγείρεται φωνὴ, χάριν ἔχειν ὁμολογούντων καὶ θαρρεῖν προτρεπομένων. Γαλιλαῖοι δὲ καὶ Τιβεριεῖς τοῖς θυμοῖς ἐπέμενον. καὶ γίνεται στάσις πρὸς ἀλλήλους, τῶν μὲν [t] κολάσειν ἀπειλούντων, τῶν δὲ καταφρονεῖν. ἐπεὶ δὲ ἐπηγγειλάμην καὶ Τιβεριάδι κατασκευάσειν τείχη, καὶ ταῖς ἄλλαις πόλεσιν αὐτῶν ταῖς ἀναγκαίαις, πιστεύσαντες ὑπεχώρουν ἕκαστος εἰς τὴν ἑαυτοῦ. κἀγὼ παρὰ πᾶσαν ἐλπίδα διαφυγὼν τὸν προειρημένον κίνδυνον, μετὰ τῶν φίλων καὶ ὁπλιτῶν εἴκοσιν εἰς τὴν οἰκίαν ὑπέστρεψα.

λ'. Πάλιν δὲ οἱ λῃσταὶ καὶ τῆς στάσεως αἴτιοι, δείσαντες περὶ ἑαυτῶν μὴ δίκας εἰσπραχθῶσιν ὑπ' ἐμοῦ τῶν πεπραγμένων, ἀναλαβόντες ἑξακοσίους ὁπλίτας ἧκον ἐπὶ τὴν οἰκίαν ἔνθα διέτριβον, ἐμπρήσοντες αὐτήν. ἀπαγγελθείσης δέ μοι τῆς ἐφόδου, φεύγειν μὲν ἀπρεπὲς ἡγησάμην. ἔκρινα δὲ [x] παραβαλλόμενος χρήσασθαί τι καὶ τόλμῃ. προστάξας οὖν ἀποκλεῖσαι τῆς οἰκίας τὰς θύρας, αὐτὸς ἐπὶ τὸ ὑπερῷον ἀναβὰς, παρεκάλουν εἰσπέμψαι τινὰς ληψομένους τὰ χρήματα. παύσασθαι γὰρ οὕτως τῆς ὀργῆς αὐτοὺς ἔφην. εἰσπεμψάντων δὲ τὸν θρασύτατον αὐτῶν [y] μάστιξιν αἰκισάμενος, [z] τὴν ἑτέραν τε τῶν χειρῶν [a] ἀποκόψαι κελεύσας καὶ κρεμάσας ἐκ τοῦ τραχήλου, τοῦτον ἐξέβαλον πρὸς τοὺς ἀποστείλαντας. τοὺς δ' ἔλαβεν ἔκπληξις, καὶ φόβος οὔ τι μέτριος. δείσαντες οὖν καὶ αὐτοὶ ταὐτὰ πείσεσθαι εἰ μένοιεν, εἴκαζον γὰρ ἔνδον ἔχειν με πλείους αὐτῶν ὁπλίτας, εἰς φυγὴν ὥρμησαν. κἀγὼ τοιούτῳ στρατηγήματι χρησάμενος τὴν δευτέραν ἐπιβουλὴν διέφυγον.

λα'. Πάλιν δὲ τὸν ὄχλον τινὲς ἠρέθιζον, τοὺς ἀφικομένους πρός με βασιλικοὺς μεγιστᾶνας οὐκ ὀφείλειν ζῆν λέγοντες, [b] μὴ μεταβῆναι θέλοντας εἰς τὰ παρ' αὐτοῖς ἔθη, πρὸς οὓς σωθησόμενοι πάρεισι. διέβαλλόν τε φαρμακέας εἶναι λέγοντες, καὶ [c] κελεύοντας [d] τοὺς Ῥωμαίους παραγενέσθαι. ταχὺ δὲ τὸ πλῆθος ἐπείθετο, ταῖς τῶν λεγομένων πρὸς χάριν αὐτοῖς [e] πιθανότησιν ἀπατώμενον. πυθόμενος δὲ περὶ τούτων, ἐγὼ πάλιν τὸν δῆμον ἀνεδίδασκον, μὴ δεῖν διώκεσθαι τοὺς καταφυγόντας πρὸς αὐτούς. τὸ δὲ φλύαρον τῆς περὶ τῶν φαρμά-

κων

ejus rei percrebeſcente Galilæorum quidem impetus reprimeretur, ſervareturque Sepphoritarum civitas. Tandemque *mihi* bene ſucceſſit hoc ſtratagema. Audito enim ejuſmodi nuncio ſibiipſis timuerunt; relictiſque à tergo quæ rapta ceperant, fugæ ſe mandarunt; præſertim cum me ducem *ſuum* eadem facere viderent. nam ad fidem rumori faciendam, ſimulabam me ſimiliter ac illos periculo terreri. Sepphoritæ autem præter omnium ſuorum ſpem hoc meo commento ſalutem conſequuti ſunt. *Joſephi ſtratagema in gratiam Sepphoritarum.*

68. Sed & Tiberias parum abſuit quin à Galilæis diriperetur, ex hujuſmodi cauſa. Senatus ejus primores ſcribunt ad regem, rogantes ut ad eos veniret urbemque ſub imperium ſuum acciperet. Rex ſe venturum promittebat, illiſque reſcripſit; & literas ad Tiberienſes perferendas cuidam eorum dedit, qui ei à cubiculo erant, Criſpo quidem nomine, genere vero Judæo. Galilæi hunc qui literas deferebat, *à ſuis* agnitum comprehenſumque, ad me ducunt: plebs autem omnis hac re audita, valde exaſperata erat, & ad arma procurrebat. cumque multi poſtridie ejus diei undique congregati eſſent, ad urbem Aſochin, in qua *tum* diverſabar, *confeſtim* veniebant; & vehementer vociferabant, Tiberiada proditricem appellantes regiſque amicam: poſtulabantque ut permitterem eos, deſcenſu illic facto, eam funditus evertere *ſoloque æquare*. Tibérienſibus quippe æque infenſi erant ac Sepphoritis. *Tiberias in periculo direptionis.*

69. Ego vero, iſtis auditis, mecum dubitabam, quo modo Tiberiadem iratis Galilæis eriperem. nam inficiari non potueram, Tiberienſes literis regem ad ſe, *deditionem facturos*, acciviſſe: nam literæ, ab illo ad eos reſcriptæ, rei veritatem arguebant. Itaque cum diu tacitus mecum cogitaſſem, tandem reſpondebam, „Tiberienſes quidem inique „egiſſe & ipſe novi; nec per me ſtabit quo mi„nus urbem eorum diripiatis. veruntamen ejuſ„modi quid non niſi adhibito judicio admitten„dum. non enim ſoli Tiberienſes libertatem no„ſtram prodiderunt: ſed & multi eorum qui in „Galilæa ſidei ſpectatiſſimæ habentur. Quare ma„nete tantiſper, dum exactius edidicero quinam „fuerint proditionis auctores: & tunc *eos* omnes „in poteſtate veſtra habebitis, & quotquot eorum „vos ſinguli *reos* adducere poteſtis." Atque hæc loquutus perſuaſi multitudini: moxque, ubi ira reſederat, domum quiſque ſuam diſceſſerunt. Cum autem eum qui à rege miſſus erat vinciri juſſiſſem, non ita multis poſt diebus cum ſimulaſſem me neceſſe habere è regno abire ad aliquid negotii conficiendum, Criſpo ad me clam accito, juſſi ut militem cuſtodem *ſuum* inebriaret, atque ita ad regem fugeret. Jam vero cum in extremo excidii diſcrimine iterum conſtituta eſſet Tiberias, mea ſolertia, qua ei providebam, periculum brevi adeundum hoc modo effugit. *Joſephus Tibérienſium ſaluti conſulit.* *Tiberias omni periculo liberata.*

70. Sub idem tempus Juſtus Piſti filius, me inſcio, ad regem perfugit. Cauſam autem, cur ita fecerit, *paucis* exponam. Cum primum ortum eſſet bellum, quod Judæi contra Romanos geſſerunt, Tiberienſes decreverant regi parere & à Romanis neutiquam deſciſcere. Juſtus vero ſuadet eos arma capere, quod & ipſe novis rebus ſtuderet, ſperaretque imperium adipiſci Galilæorum patriæque ſuæ. non tamen voti compos factus eſt. Nam & Galilæi *Juſtus ad regem fugit.*

Tibe-

m Μὲν τῶν Γαλιλαίων] Ita lego propter δὲ ſequens. μὴ in libris.
n Ἔφυγον.] Mallem συνέφυγον.
o Παρ᾽ ὀλίγον διηρπάσθη] Παρα λογον ανηρπασθη *Voſſ.*
p Ἄγουσιν ἐπ᾽ ἐμέ.] Ηγαγον *Vat.*
q Πανταχόθεν] Πανταχοθεν *Vat.*
r Ἀσωχὶν πόλιν,] Vid. ſupr. §. 41. SPANH.
s Ἄρδην ἀφανίσαι.] Conf. §. 67. ſup. SPANH.
t Γὰρ πρὸς τοὺς Τιβεριεῖς] Deeſt γὰρ in Cod. *Voſſ.*
v Εἶχον ἀπεχθῶς,] Εἶχον *Voſſ.*
x Ἐπ᾽ αὐτούς] Notanda conſtructio horum cum τὸ Τιβεριάδα. REL.
y Γεγραφέναι] Γεγραφηκεναι *Vat.*
z Οἶδα κἀγώ.] Ita *Voſſ.* εἶδα in *reliquis*.
a Αὐτῶν.] Vocem αὐτῶν non agnoſcunt *Voſſ.* & *Vat.*
b Μετ᾽ οὐ] *Lugd. Bat.* μετὰ. HAV.
c Πρὸς βασιλέα.] Poſt βασιλέα habemus in *Cod. Voſſ.* & *Vat.* μετὰ τὸ ἐκχωρῆσαι. ὁ δὲ μετὰ ταῦτα ὑπέδειξας ταπεινὰς διέφυγε.

Tiberienſibus infenſi, ex ira quam conceperant ob ea quæ ante bellum *ſuſceperunt* ab eo paſſi fuerant, Juſtum pro duce habere non ferebant. Quin & ego, cui commiſſa erat præfectura Galilææ à communi Hieroſolymorum, ſæpe numero adeo ira accenſus eram, ut parum abfuerim à Juſto occidendo, quod malitiam ejus perpeti nequiverim. Ille igitur veritus, ne ira *mea* aliquando in cædem prorumperet, ad regem miſit, fore ratus ut apud illum & melius & tutius habitaret.

Sepphoritæ ſtatuunt ſe dedere Ceſtio Gallo.

71. Sepphoritæ autem, præter opinionem è primo periculo elapſi, ad Ceſtium Gallum miſerunt, rogantes ut ad eos ocyus veniret, urbem in fidem ſuam accepturus, aut militum manum expediret, quæ hoſtium incurſiones reprimeret. Tandemque perſuaſerunt Gallo de integro ad eos mittere copias aliquammultas pedeſtres equeſtreſque: quas, cum veniſſent, noctu *in urbem* receperunt. Cum autem regio finitima à militibus Romanis vexaretur, ipſe, aſſumptis qui mecum erant militibus, Gareſimen veniebam. ubi, caſtris poſitis valloque circumdatis, cum abeſſem à Sepphori viginti ſtadiorum intervallo, nocte copiis urbi admotis mœnibus ſucceſſi: cumque per ſcalas magnam militum vim ea ſcandere feciſſem, maximam urbis partem in meam poteſtatem redigebam. Non multo autem poſt propter locorum ignorantiam neceſſitate coacti regreſſi ſumus, occiſis duodecim quidem Romanorum peditibus, duobus vero equitibus, & Sepphoritarum nonnullis: uno tantum è noſtris deſiderato. Aliquanto autem poſt prælio in planitie cum equitibus conſerto, cum diu pericula fortiter adiiſſemus, *tandem* victi ſumus. Nam cum circumventus eſſem à Romanis, qui mecum erant præ metu terga vertebant. Ex illa vero acie cadit unus eorum quibus credita erat corporis mei cuſtodia, Juſtus nomine, quique apud regem aliquando eundem locum tenuerat. Per idem autem tempus à rege veniebant copiæ equeſtres pedeſtreſque, & Sylla qui dux eis præerat, ſatellitum *regiorum* præfectus. Hic igitur, cum ad ſtadia quinque à Juliade caſtra poſuiſſet, cuſtodias præfecit viis, uni ad Cana ducenti, alteri ad caſtellum Gamala, ut omni à Galilæis commeatu incolas excluderet.

Joſephus, cum Sepphorin fere cepiſſet, re infecta diſcedit.

Sylla cum copiis adverſus Joſephum miſſus.

72. Iſta quamprimum ego acceperam, duo militum millia eò mitto, & qui dux illis eſſet Jeremiam. Illi vero, poſitis prope Jordanem amnem caſtris ſtadii intervallo à Juliade, ad nullam niſi velitarem pugnam venerunt, donec ipſe ad eos me conferebam cum tribus militum millibus. Sequenti vero die cum inſidias in valle quadam collocaſſem, haud ita procul ab illorum caſtris, regios ad pugnam provocabam, admonitis qui mecum erant militibus, tantiſper terga ut obverterent, quoad hoſtes ad progrediendum elicerent: id quod factum erat. Nam Sylla, ratus noſtros fugam non ſimulatam capeſſere, egreſſus ſeſe ad nos perſequendum expediebat. A tergo autem ipſum occupant qui ex inſidiis *ſurgebant*, & cæteros omnes valde perturbarunt. Ego vero è veſtigio celeriter converſus cum meis omnibus regiis obviam proceſſi, & in fugam compuli. Atque prælium mihi ea die ex animi ſententia ſucceſſiſſet, niſi fors quædam mihi obſtitiſſet. Equus

Syllam regiosque fugat Joſephus.

ἐχθρῶς ἔχοντας πρὸς τοὺς Τιβεριεῖς, [d] διὰ μῆνιν ὧν ὑπ᾽ αὐτοῦ πρὸ τοῦ πολέμου ἐπεπόνθεισαν, οὐκ ἠνείχοντο στρατηγοῦντος αὐτῶν Ἰούστου. κἀγὼ δὲ τὴν προστασίαν τῆς Γαλιλαίας πιστευθεὶς ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν, πολλάκις εἰς τοσαύτην ἧκον ὀργήν, ὡς ὀλίγου δεῖν ἀποκτεῖναι τὸν Ἰοῦστον, φέρειν αὐτοῦ τὴν μοχθηρίαν οὐ δυνάμενος. δείσας οὖν ἐκεῖνος, μὴ καὶ λάβῃ τέλος ἅπαξ ὁ θυμός, [e] ἔπεμψε πρὸς βασιλέα, κρεῖσσον καὶ ἀσφαλέστερον οἰκήσειν παρ᾽ ἐκείνῳ νομίζων.

οα΄. Σεπφωρῖται δὲ, παραδόξως τὸν πρῶτον κίνδυνον διαφυγόντες, πρὸς Κέστιον Γάλλον ἔπεμψαν, καὶ ἥκειν παρεκάλουν ὡς αὐτοὺς θᾶττον παραληψόμενον τὴν πόλιν, ἢ πέμπειν δύναμιν τὴν ἀνακόψουσαν τὰς ἐπ᾽ αὐτοὺς τῶν πολεμίων ἐπιδρομάς. καὶ τέλος ἔπεισαν τὸν Γάλλον πέμψαι δύναμιν αὐτοῖς ἱππικήν τε καὶ πεζικὴν πάλιν συχνήν, ἣν ἐλθοῦσαν νυκτὸς εἰσεδέξαντο. κακουμένης δὲ ὑπὸ τῆς Ῥωμαϊκῆς στρατιᾶς τῆς πέριξ χώρας, ἀναλαβὼν ἐγὼ τοὺς περὶ ἐμὲ στρατιώτας, ἧκον [f] εἰς Γαρισίμην. ἔνθα βαλλόμενος χάρακα πόρρω τῆς Σεπφωριτῶν πόλεως ἀπέχων σταδίων εἴκοσι νυκτὸς ἐπ᾽ αὐτὴν προσέμιξα, καὶ τοῖς τείχεσιν προσέβαλλον. καὶ διὰ κλιμάκων [g] ἐμβιβάσας συχνοὺς τῶν στρατιωτῶν, ἐγκρατὴς τοῦ πλείστου τῆς πόλεως μέρους ἐγενόμην. μετ᾽ οὐ πολὺ δὲ διὰ τὴν τῶν τόπων ἄγνοιαν ἀναγκασθέντες [h] ἀνεχωρήσαμεν, ἀνελόντες μὲν δύο καὶ δέκα Ῥωμαίων πεζούς, [i] δύο δὲ ἱππεῖς, ὀλίγους δὲ Σεπφωριτῶν, αὐτοὶ δὲ ἕνα μόνον ἀπεβάλομεν. γενομένης δὲ ὕστερον ἡμῖν κατὰ τὸ πεδίον μάχης πρὸς τοὺς ἱππεῖς, μέχρι πολλοῦ καρτερῶς διακινδυνεύσαντες ἡττήθημεν. περιελθόντων γάρ με τῶν Ῥωμαίων, οἱ μετ᾽ ἐμοῦ δείσαντες ἔφυγον εἰς τοὐπίσω. πίπτει δὲ τῆς παρατάξεως ἐκείνης εἷς τῶν πεπιστευμένων τὴν τοῦ σώματός μου φυλακήν, Ἰοῦστος τοὔνομα, καὶ παρὰ βασιλεῖ ποτε τὴν αὐτὴν τάξιν ἐσχηκώς. κατὰ τοῦτον δὲ τὸν καιρὸν ἡ παρὰ βασιλέως δύναμις ἧκεν ἱππική τε καὶ πεζική, καὶ [k] Σύλλας ἐπ᾽ αὐτῆς ἡγεμών, ὁ ἐπὶ τῶν σωματοφυλάκων. οὗτος οὖν [l] βαλλόμενος στρατόπεδον Ἰουλιάδος ἀπέχον σταδίους πέντε, φρουρὰς [m] ἐπέστησε ταῖς ὁδοῖς, τῇ τε [n] εἰς Κανὰ ἀγούσῃ, καὶ τῇ εἰς Γάμαλα τὸ φρούριον, ὑπὲρ τοῦ τὰς παρὰ τῶν Γαλιλαίων ὠφελείας τοῖς ἐνοίκοις ἀποκλείειν.

οβ΄. Ταῦτα δ᾽ ὡς ἐγὼ ἐπυθόμην, πέμπω δισχιλίους ὁπλίτας, καὶ στρατηγὸν αὐτῶν Ἱερεμίαν. [o] οἳ δή, καὶ χάρακα θέντες [p] ἀπὸ σταδίου τῆς Ἰουλιάδος πλησίον τοῦ Ἰορδάνου ποταμοῦ, πλέον ἀκροβολισμῶν οὐδὲν ἔπραξαν, μέχρι τρισχιλίους ἐγὼ στρατιώτας ἀναλαβὼν ἧκον πρὸς αὐτούς. κατὰ δὲ τὴν ἐπιοῦσαν ἡμέραν, ἔν τινι φάραγγι καθίσας λόχον οὐκ ἄποθεν αὐτῶν τοῦ χάρακος, προεκαλούμην τοὺς βασιλικοὺς εἰς μάχην, παραινέσας τοῖς μετ᾽ ἐμοῦ στρατιώταις στρέψαι τὰ νῶτα μέχρις ἂν [q] ἐπισπάσωνται τοὺς πολεμίους προελθεῖν. ὅπερ καὶ ἐγένετο. Σύλλας γὰρ, εἰκάσας [r] ταῖς ἀληθείαις τοὺς ἡμετέρους φεύγειν, προελθὼν ἐπιδιώκειν οἷός τε ἦν. κατὰ νώτου δ᾽ αὐτὸν λαμβάνουσιν οἱ ἐκ τῆς ἐνέδρας, καὶ σφόδρα πάντας ἐθορύβησαν. ἐγὼ δὲ εὐθὺς ὀξείᾳ χρησάμενος ὑποστροφῇ μετὰ τῆς δυνάμεως ὑπήντησα τοῖς βασιλικοῖς, καὶ εἰς φυγὴν ἔτρεψα. κἂν κατώρθωτό μοι κατὰ τὴν ἡμέραν ἐκείνην ἡ πρᾶξις, μὴ ἐμποδὼν γενομένου [s] δαίμονός τινος. ὁ γὰρ

d Διὰ μῆνιν] Διὰ μνήμην ὧν ὑπ᾽ αὐτῶν legiſſe videtur *Gelenius*, qui vertit, *recordatione eorum, quæ ab eis* &c.

e Ἔπεμψε] Ἐσώθη *Vat.* quod ſane poſtularet ὡς pro πρὸς, ut ſenſus ſit, *ſalvus evaſit ad regem.*

f Εἰς Γαρισίμην,] Εἰς Γάρις κώμην *Voſſ.* εἰς τὴν εἰς κώμην *Vat.*

g Ἐμβιβάσας] *Lugd. Bat.* ἀναβιβάσας. Hav.

h Ἀνεχωρήσαμεν,] Ὑπεχωρήσαμεν *Vat.*

i Δύο δὲ] *Ed. Gen.* δύο καὶ.

k Σύλλας] Σίλας *Gall.*

l Βαλλόμενος] *Lugd. Bat.* βαλόμενος. Hav.

m Ἐπέστησε ταῖς ὁδοῖς,] Ita cum *Cod. Vat.* ἐφίστησι in reliquis.

n Εἰς Κανὰ] Εἰς Σελευκίαν *Lugd. Bat.* ſeu *Voſſ.*

o Οἱ δή,] *Al.* οἳ δὴ καὶ χ.

p Ἀπὸ σταδίου] Atque ita paulo ſupra pro ἀπέχων in *Codd. Voſſ.* & *Vat.*

q Ἐπισπάσωνται τοὺς πολεμίους] Ita *Vat.* & *Voſſ.* [illegible] in *Editis Aliiſque.*

r Ταῖς ἀληθείαις] Sic *Vat.* (*Lugd. Bat.*) & *Voſſ.* τῇ ἀληθείᾳ in *cæteris.*

s Δαίμονός τινος.] Notanda Joſephi hic phraſiologia, ut & mox [illegible]. Rel.

ὁ γὰρ ἵππος [t] ἐν ᾧ τὴν μάχην ἐποιούμην, εἰς τελματώδη τόπον ἐμπεσὼν, συγκατήνεγκέ με ἐπὶ τοὔδαφος. θραύσεως δὲ τῶν ἄρθρων γενομένης ἐπὶ τὸν καρπὸν τῆς χειρὸς, ἐκομίσθην εἰς κώμην [v] Κεφαρνώμην λεγομένην. οἱ δὲ ἐμοὶ ταῦτ' ἀκούσαντες, καὶ δεδοικότες μή τι χεῖρον ἔπαθον, τῆς μὲν ἐπὶ πλεῖον διώξεως ἀπέσχοντο, ὑπέστρεφον δὲ περὶ ἐμὲ λίαν ἀγωνιῶντες. μεταπεμψάμενος οὖν ἰατροὺς καὶ θεραπευθεὶς, τὴν ἡμέραν ἐκείνην αὐτοῦ κατέμεινα πυρέξας, δόξαν τε τοῖς ἰατροῖς, τῆς νυκτὸς εἰς [x] Ταριχέας μετεκομίσθην.

ογ'. Σύλλας δὲ καὶ οἱ μετ' αὐτοῦ, πυθόμενοι τὰ κατ' ἐμὲ, πάλιν ἐθάρσησαν καὶ γνόντες ἀμελεῖσθαι τὰ περὶ τὴν φυλακὴν τοῦ στρατοπέδου, διὰ νυκτὸς ἱππέων λόχον ἱδρύσαντες ἐν τῷ πέραν τοῦ Ἰορδάνου, γενομένης ἡμέρας εἰς μάχην ἡμᾶς προεκαλέσαντο. τῶν δ' ὑπακουσάντων καὶ μέχρι τοῦ πεδίου [y] διελθόντων, ἐπιφανέντες οἱ ἐκ τῆς ἐνέδρας ἱππεῖς, καὶ ταράξαντες αὐτοὺς εἰς φυγὴν ἔτρεψαν. ἕξ τε τῶν ἡμετέρων ἔκτειναν, οὐ μὴν μέχρι τέλους τὴν νίκην ἤγαγον. καταπεπλευκέναι γάρ τινας ὁπλίτας ἀκούσαντες ἀπὸ Ταριχεῶν εἰς Ἰουλιάδα, φοβηθέντες ἀνεχώρησαν.

οδ'. Μετ' οὐ πολὺν δὲ χρόνον Οὐεσπασιανὸς εἰς Τύρον ἀφικνεῖται, καὶ σὺν αὐτῷ ὁ βασιλεὺς Ἀγρίππας. καὶ οἱ Τύριοι βλασφημεῖν ἤρξαντο τὸν βασιλέα, Τυρίων αὐτὸν καλοῦντες καὶ Ῥωμαίων πολέμιον. τὸν γὰρ στρατοπεδάρχην αὐτοῦ Φίλιππον ἔλεγον προδεδωκέναι τὴν βασιλικὴν αὐλὴν, καὶ τὰς Ῥωμαίων δυνάμεις τὰς οὔσας ἐν Ἱεροσολύμοις κατὰ τὴν αὐτοῦ πρόσταξιν. Οὐεσπασιανὸς δὲ ἀκούσας Τυρίοις μὲν ἐπέπληξεν, ὑβρίζουσιν ἄνδρα, καὶ βασιλέα καὶ Ῥωμαίοις φίλον. τῷ δὲ βασιλεῖ παρῄνεσε πέμψαι Φίλιππον εἰς Ῥώμην ὑφέξοντα λόγον [z] Νέρωνι περὶ τῶν πεπραγμένων. Φίλιππος δὲ πεμφθεὶς οὐχ ἧκεν εἰς ὄψιν Νέρωνι. καταλαβὼν γὰρ αὐτὸν ἐν τοῖς ἐσχάτοις ὄντα διὰ τὰς ἐμπεσούσας ταραχὰς καὶ τὸν ἐμφύλιον πόλεμον, ὑπέστρεψε πρὸς τὸν βασιλέα. ἐπεὶ δὲ Οὐεσπασιανὸς εἰς Πτολεμαΐδα παρεγένετο, οἱ πρῶτοι [a] τῶν τῆς Συρίας Δέκα πόλεων κατεβόων Ἰούστου τοῦ Τιβεριέως, ὅτι τὰς κώμας αὐτῶν [b] ἐνέπρησεν. παρέδωκεν οὖν αὐτὸν Οὐεσπασιανὸς τῷ βασιλεῖ κολασθησόμενον ὑπὸ τῶν τῆς βασιλείας ὑποτελῶν. ὁ βασιλεὺς δ' αὐτὸν ἔδησεν, ἐπικρυψάμενος τοῦτο Οὐεσπασιανὸν, ὡς ἀνωτέρω [c] δεδήλωται. Σεπφωρῖται δ' ὑπαντήσαντες, καὶ ἀσπασάμενοι Οὐεσπασιανὸν, λαμβάνουσι δύναμιν καὶ στρατηγὸν Πλάκιδον. [d] ἀναβάντες δὲ μετὰ τούτων ἑπομένου μου ἄχρι τῆς εἰς Γαλιλαίαν Οὐεσπασιανοῦ ἀφίξεως. περὶ ἧς τίνα τρόπον ἐγένετο, καὶ πῶς περὶ [e] Ταριχέαν κώμην τὴν πρώτην πρὸς ἐμὲ μάχην ἐποιήσατο, καὶ ὡς ἐκεῖθεν εἰς τὰ Ἰωτάπατα ἀνεχώρησαν, καὶ ὃν τρόπον ζῶν ληφθεὶς ἐδέθην, καὶ πῶς ἐλύθην. πάντα τε τὰ πεπραγμένα μοι κατὰ τὸν Ἰουδαϊκὸν πόλεμον καὶ τὴν Ἱεροσολύμων πολιορκίαν, μετ' ἀκριβείας ἐν ταῖς περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις ἀπήγγελκα. ἀναγκαῖον δ' ἐστὶν, ὡς οἶμαι, καὶ ὅσα μὴ κατὰ τὸν Ἰουδαϊκὸν πόλεμον ἀνέγραψα τῶν ἐν τῷ βίῳ μου πεπραγμένων νῦν προσαναγράψαι.

οε'. Τῆς γὰρ τῶν Ἰωταπάτων πολιορκίας λαβούσης τέλος, γενόμενος παρὰ Ῥωμαίοις μετὰ πάσης ἐπιμελείας ἐφυλασσόμην, τὰ πολλὰ διὰ τιμῆς ἄγοντός με Οὐεσπασιανοῦ. καὶ δὴ κελεύσαντος αὐτοῦ [f] ἠγαγόμην τινα

enim, ex quo pugnabam, in locum cœnoſum forte incidens, ſimul cum ipſo me ſolo alliſit. Cum autem articulorum ad manûs carpum facta eſſet contuſio, deportatus eram in vicum, cui nomen Cephamome. At mei, cum iſta audiviſſent, ſoliciti que eſſent, ne quid forſan pejus mihi acciderit, ab hoſtibus quidem perſequendis deſtiterunt, atque reverſi de me vehementer animis angebantur. Accitis igitur medicis & curatione adhibita, ibi per eum diem manſi quòd febriculam haberem, & nocte ex medicorum ſententia tranſlatus eram Taricheas.

Læſus equi lapſu.

73. Sylla autem & qui cum eo erant, ubi ad eos perlata eſſent quæ mihi acciderant, animos reſumpſerunt: cumque noviſſent negligentius cuſtodiri caſtra, noctu trans Jordanem collocata in inſidiis equitum turma, prima luce nos ad prælium provocarunt. Quibus pugnam non detrectantibus, & in planitiem progreſſis, coorti è latebris equites, *noſtris* terrore injecto, eos in fugam verterunt. E noſtris etiam ſex occiderunt, ſibi tamen è manibus victoriam excidere paſſi ſunt. nam cum audiſſent, milites nonnullos Taricheis navibus Juliada advectos eſſe, præ metu receptui cecinerunt.

Inde hoſtes animos ſumunt.

74. Non multo autem poſt Veſpaſianus Tyrum venit, & cum eo Agrippa rex. atque Tyrii regem maledictis inceſſere cœperunt, hoſtem eum vocantes & Tyriorum & Romanorum. Ejus enim exercituum præfectum Philippum regiam prodidiſſe dicebant, & Romanorum milites qui Hieroſolymis erant, idque ipſius juſſu. Atqui Veſpaſianus, his auditis, Tyrios quidem objurgavit; quod virum, & regem & Romanorum amicum, contumeliis afficerent; regem vero adhortatus eſt, ut Philippum Romam mitteret, Neroni eorum quæ geſta erant rationem redditurum. Philippus proinde *Romam* miſſus in Neronis conſpectum non veniebat. cum enim offendiſſet eum in extremis agentem propter tumultus qui inciderant bellumque civile, ad regem reverſus eſt. Veſpaſianus autem, poſteaquam Ptolemaïda adveniret, Decapolitanorum primores in Juſtum Tiberienſem palam vociferabant, quod vicos eorum incenderit. Quamobrem Veſpaſianus eum regi in poteſtatem tradidit, ut pœnas daret regni ſtipendiariis. At rex cum inſcio Veſpaſiano in vincula conjecit, quemadmodum ſupra dictum eſt. Tum Sepphoritæ, obviam progreſſi Veſpaſiano, eoque ſalutato, præſidium *ab eo* acceperunt duce Placido: cumque illis aſcenderunt, me à tergo eos perſequente, donec in Galilæam veniret Veſpaſianus. De quo adventu, & cujuſmodi erat, & qui modo circa vicum Taricheam mecum acie primum conflixerunt, utque illinc in Jotapata † ſe receperunt, quæque ipſe geſſi in ejus loci obſidione, & qui factum eſt ut ipſe vivus captus vinculis aſtrictus fuerim, & non multo poſt ſolutus, quæ item ipſe in bello Judaïco perfeci, quæque ſpectant ad Hieroſolymorum obſidionem, in libris de Bello Judaïco non perfunctorie narravi. Mihi autem neceſſarium eſſe arbitror, ut res à me in vita mea geſtas, quas in libros de Bello Judaïco non retulerim, nunc demum memorarem.

Veſpaſianus & Agrippa Tyrum veniunt.

Agrippa & Philippus à Tyriis accuſati.

Ex Veſpaſiani juſſu Philippus Romam mittitur.

Decapolitani Juſtum accuſant. Veſpaſianus jubet eum puniri.

Sc. libro IV.

75. Jotapatorum igitur obſidione ad finem perducta, cum jam eſſem in Romanorum poteſtate ſumma diligentia aſſervabar, magno tamen in honore à Veſpaſiano habitus. ideo illius juſſu in uxorem ducebam

Joſephus à Veſpaſiano in honore habetur.

t Ἐν ᾧ τὴν μάχην ἐποιούμην] Ἐφ' ᾧ Vat.

v Κεφαρνώμην λεγομένην] Κεφαρνώκον Voſſ. ſeu Κεφαρνωμὸν & Gall. Huds. Idem locus eſt cum Καπερναοὺμ ſicut ο & α permutarunt Judæi; inde autem Taricheas, ut in locum propinquum, delatus eſt. Rel. Adde eundem in Palæſt. pag. 6[illegible].

x Ταριχέας] Hic loc. Ταριχαίας in libris.

y Διελθόντων] Προελθόντων Voſſ.

z Νέρωνι] Ita MSS. in Editis deerat Νέρωνι.

a Τῶν τῆς Συρίας Δέκα πόλεων] Conf. dict. ad §. 65. Spanh.

b Ἐνέπρησεν] Ἐμπέπρηκεν Vat.

c Δεδήλωται] Δεδηλώκαμεν Vat.

d Ἀναβάντες] Ἀναβάντες pro ἀνέβησαν, participium pro verbo.

e Ταριχέαν κώμην] Ταρις κώμην Voſſ. Ταριχαίαν, in libris Huds. Sic & Capernaum; at πόλιν vocat bis alibi. A Tito autem everſa urbs eſt. Rel.

f Ἠγαγόμην μὲν] Ἠγαγόμην τινὰ π. & mox inferius ἠγαγόμην, pro ἤγαγον Vat. & Voſſ.

† *Se receperunt*] Græcè, *recepi me.* quo pacto reponi deberet ἀνεχώρησα, ut de ſe ipſo, non de comitatu ſuo, vel Judæis aliis, loquatur. Hav.

g Αἰχμα-

cebam virginem quandam, ex illarum numero quæ Cæſareæ captæ erant, *iſtius loci* indigenam. Verum apud me non diu manebat, ſed cum *vinculis* ſolutus eſſem & cum Veſpaſiano una profectus Alexandriam, *à me* diſceſſit: uxorem autem alteram ducebam Alexandriæ. Illinc quoque una cum Tito miſſus ad Hieroſolymorum obſidionem, non ſemel de vita periclitatus ſum; & Judæis modis omnibus id agentibus ut me in poteſtatem ſuam redigerent, quò me ſupplicio afficerent; & Romanis, quoties cladem aliquam acciperent, ac ſi ea ex mea proditione accidiſſet, continuo imperatorem appellantibus, & me ad pœnam tanquam illorum proditorem depoſcentibus. At Titus Cæſar, non ignarus belli viciſſitudinum, militum in me impetum ſilentio diſcutiebat. cumque in eo eſſet urbs Hieroſolymorum ut vi expugnaretur, ſubinde me hortabatur Titus Cæſar, ut ex patriæ excidio quicquid vellem ipſe ſumerem: quippe hanc poteſtatem ſe mihi concedere dicebat. Ego vero patria collapſa nihil prius habens & antiquius, quod in mearum calamitatum conſolationem acceptum ſervarem, quam corpora libera, Titum ea poſcebam, ſimulque libros ſacros, quos dono mihi dedit Titus. Cum autem non multo poſt fratris etiam vitam cum rogaſſem & amicorum quinquaginta, res mihi ex animi ſententia ſucceſſit. Sed &, facta mihi à Tito poteſtate, in templum ingreſſus, in quod incluſa erat magna captivarum mulierum & puerorum multitudo, quotquot inter eos amicorum meorum & familiarium deprehendi, omnes, circiter centum & nonaginta numero, liberavi, nulloque redemptionis pretio ſoluto dimiſi in priſtinum fortunæ ſtatum reſtitutos. Miſſus deinde à Tito Cæſare cum Cerealio & mille equitibus in vicum quendam cui nomen Thecoa, ad diſpiciendum an locus eſſet caſtris metandis idoneus, cum illinc revertens multos viderem crucibus ſuffixos, & in his tres mihi quondam familiares agnoſcerem, animo indolui, & cum Titi pedibus lachrymans accidiſſem, rem ut erat ei referebam. Ille vero mox juſſit ipſis detractis adhibendam eſſe curationem omni cum diligentia, & horum quidem duo dum curarentur animam efflarunt; tertio vero longior vitæ uſura reddita eſt.

Joſephus uxores duæ. *Joſephus in periculis à Judæis & Romanis.* *Titi erga Joſephum benevolentia.* *Joſephus captivos multos liberat.*

76. At Titus, poſtquam res in Judæa turbatas compoſuerat, facta conjectura agros quos habebam circa Hieroſolyma mihi inutiles fore, propter milites Romanos illic ad regionis cuſtodiam relinquendos, alia mihi prædia donavit in planitie: & Romam profecturus, me navigationis ſocium aſſumpſit, magno in honore habitum. Ubi vero Romam pervenimus, curæ non mediocri eram Veſpaſiano. Nam & mihi hoſpitium dedit iis in ædibus, quas antequam fieret imperator habitaverat, & civis Romani jure cohoneſtavit, & annuam mihi penſionem aſſignavit; meque honoribus cumulare non deſtitit, ſua erga me liberalitate ne minimum quidem deminuta donec è vita migrarit. id quod ex *nonnullorum* invidia me in diſcrimen *aliquoties* adduxit. Judæus enim quidam, Jonathas nomine, cum ſeditionem apud Cyrenen excitaſſet, & bis mille indigenis ut idem facerent perſuaſiſſet, iſtis quidem in cauſa

Joſephus prædiis donatus à Tito. *Cum Tito Romam profectus honorifice excipitur à Veſpaſiano.* *Judæorum calumniis appetitus.*

παρθένον ἐκ τῶν [g] αἰχμαλωτίδων τῶν κατὰ Καισάρειαν ἁλουσῶν ἐγχώριον. οὐ παρέμεινεν δ' αὕτη μοι πολὺν χρόνον, ἀλλὰ, λυθέντος καὶ μετὰ Οὐεσπασιανοῦ πορευθέντος εἰς τὴν Ἀλεξάνδρειαν, ἀπηλλάγη. γυναῖκα δ' ἑτέραν ἤγαγον κατὰ τὴν Ἀλεξάνδρειαν. κἀκεῖθεν ἐπὶ τὴν Ἱεροσολύμων πολιορκίαν συμπεμφθεὶς Τίτῳ, πολλάκις ἀποθανεῖν ἐκινδύνευσα, τῶν τε Ἰουδαίων [h] διὰ σπουδῆς ἐχόντων ὑποχείριόν με λαβεῖν τιμωρίας ἕνεκεν, καὶ Ῥωμαίων, ὁσάκις νικηθεῖεν, πάσχειν τοῦτο κατ' ἐμὴν προδοσίαν δοκούντων, συνεχεῖς καταβοήσεις ἐπὶ τοῦ αὐτοκράτορος ἐγίνοντο, κολάζειν με ὡς καὶ [i] αὐτῶν προδότην ἀξιούντων. Τίτος δὲ Καῖσαρ, τὰς τοῦ πολέμου τύχας οὐκ ἀγνοῶν, σιγῇ τὰς ἐπ' ἐμὲ τῶν στρατιωτῶν [k] ἐξέλυεν ὁρμάς. ἤδη δὲ κατὰ κράτος τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως ἐχομένης, Τίτος Καῖσαρ ἔπειθέν με πολλάκις ἐκ τῆς κατασκαφῆς τῆς πατρίδος πᾶν ὅ, τι θέλοιμι λαβεῖν. συγχωρεῖν γὰρ αὐτὸς ἔφασκεν. ἐγὼ δὲ τῆς πατρίδος πεσούσης μηδὲν ἔχων τιμιώτερον, ὃ τῶν ἐμαυτοῦ συμφορῶν εἰς παραμυθίαν λαβὼν φυλάξαιμι, σωμάτων ἐλευθέρων τὴν αἴτησιν ἐποιούμην Τίτον, [l] καὶ βιβλίων ἱερῶν ἔλαβον χαρισαμένου Τίτου. μετ' οὐ πολὺ δὲ καὶ τὸν ἀδελφὸν μετὰ πεντήκοντα φίλων αἰτησάμενος, οὐκ ἀπέτυχον. καὶ εἰς τὸ ἱερὸν δὲ πορευθεὶς, Τίτου τὴν ἐξουσίαν δόντος, ἔνθα πολὺ πλῆθος αἰχμαλώτων ἐγκέκλειστο γυναικῶν τε καὶ τέκνων, ὅσους ἐπέγνων φίλων ἐμῶν καὶ συνήθων ὑπάρχοντας ἐρρυσάμην, περὶ ἑκατὸν καὶ ἐνενήκοντα ὄντας τὸν ἀριθμόν, καὶ οὐδὲ λύτρα καταθεμένους ἀπέλυσα συγχωρήσας αὐτοὺς τῇ προτέρᾳ τύχῃ. πεμφθεὶς δὲ ὑπὸ Τίτου Καίσαρος σὺν [m] Κερεαλίῳ καὶ χιλίοις ἱππεῦσιν εἰς κώμην τινὰ [n] Θεκώαν λεγομένην, [o] πρὸς κατανόησιν εἰ τόπος ἐπιτήδειός ἐστι χάρακα δέξασθαι, ὡς ἐκεῖθεν ὑποστρέφων εἶδον πολλοὺς [p] αἰχμαλώτους ἀνεσταυρωμένους, καὶ τρεῖς [q] γνωρίσας συνήθεις μοι γενομένους, ἤλγησα τὴν ψυχὴν, καὶ μετὰ δακρύων προσελθὼν Τίτῳ εἶπον. ὁ δ' εὐθὺς ἐκέλευσεν καθαιρεθέντας αὐτοὺς θεραπείας ἐπιμελεστάτης τυχεῖν. καὶ οἱ μὲν δύο τελευτῶσιν θεραπευόμενοι, ὁ δὲ τρίτος ἔζησεν.

οϛʹ. Ἐπεὶ δὲ κατέπαυσεν τὰς ἐν τῇ Ἰουδαίᾳ ταραχὰς Τίτος, εἰκάσας τοὺς ἀγροὺς οὓς εἶχον ἐν τοῖς Ἱεροσολύμοις ἀνονήτους ἐσομένους μοι, διὰ τὴν μέλλουσαν ἐκεῖ Ῥωμαίων φρουρὰν ἐγκαθέζεσθαι, ἔδωκεν ἑτέραν χώραν ἐν πεδίῳ. μέλλων τε ἀπαίρειν εἰς τὴν Ῥώμην, σύμπλουν [r] ἐδέξατό με πᾶσαν τιμὴν ἀπονέμων. ἐπεὶ δὲ εἰς τὴν Ῥώμην ἥκομεν, πολλῆς ἔτυχον παρὰ Οὐεσπασιανοῦ προνοίας, καὶ γὰρ καὶ κατάλυσιν ἔδωκεν ἐν [s] τῇ οἰκίᾳ πρὸ τῆς ἡγεμονίας αὐτῷ γενομένῃ, πολιτείᾳ τε Ῥωμαίων ἐτίμησεν, καὶ σύνταξιν χρημάτων ἔδωκεν. καὶ τιμῶν διετέλει μέχρι τῆς ἐκ τοῦ βίου μεταστάσεως, οὐδὲν τῆς πρὸς ἐμὲ χρηστότητος ὑφελών. ὃ μοι διὰ τὸν φθόνον ἤνεγκε κίνδυνον. Ἰουδαῖος γάρ τις, Ἰωνάθης τοὔνομα, στάσιν [t] ἐξεγείρας ἐν Κυρήνῃ, καὶ δισχιλίους τῶν ἐγχωρίων συναναπείσας, ἐκείνοις μὲν αἴτιος ἀπωλείας ἐγένετο. αὐτὸς δὲ ὑπὸ τοῦ τῆς χώρας

g Αἰχμαλωτίδων] At Antiq. 3. 10. id non permiſſum ſcribit ſacerdotibus. verum apparet juſſu Veſpaſiani id feciſſe, & credibile forſan eſt, ideo poſtea repudiaſſe. Rel.

h Διὰ σπουδῆς ἐχόντων] Μετὰ σπουδῆς *Voſſ.*

i Αὐτῶν προδότην] Ita *Voſſ.* αὐτοῦ in *cæteris.*

k Ἐξέλυεν ὁρμάς. ἤδη δὲ κατὰ κράτος τῆς τῶν Ἱεροσολυμιτῶν] Abſunt hæc deſcriptoris incuria in *Lugd. Bat.* Hav.

l Καὶ βιβλίων] Illud καὶ deeſt in MS. *Lugd. Bat.* Hav.

m Κερεαλίῳ] Ita *Vat.* [illegible] in *cæteris.*

n Θεκώαν] Θεκῶαν *Vat.* Θεκω *Gall.* Θεκωὲ in *Bello Jud.* Huds. Ant. Jud. lib 9 cap. 1 §. 3. ὑπαίθρῳ Θεκώας πόλεως. lib. 8. cap 10. §. 1. pro Θεκὼς Gr. Lege Θεκωὲ ut de Bell. Jud. lib. 4. cap. 9. §. 5. in campo Θεκωὲ prope Hieroſ. 1. Maccab. 9. 31. Spanh.

o Πρὸς κατανόησιν] Προσκατανόησιν *Vat. Lugd. Bat.* ſeu *Voſſ.*

p Αἰχμαλώτους] Αἰχμαλώτους non agnoſcit *Lugd. Bat.* ſeu *Voſſ.*

q Γνωρίσας συνήθεις] Ἐγνώρισα *Voſſ.*

r Ἐδέξατό με] Illud με deeſt in *Lugd. Bat.* ſeu *Voſſ.*

s Τῇ οἰκίᾳ] Delectatum enim fuiſſe Veſpaſianum priſtinæ ſortis & memoriæ locis, diſcimus ex Suetonio in Vita ejus cap. 11. *Princeps quoque & locum incunabulorum aſſidue frequentavit, manente villa, qualis fuerat olim: ne quid ſcilicet oculorum conſuetudini deperiret.* Unde concludere licet & ædes ſuas, quas Romæ quoque privatus habitaverat, amaſſe, & amicis ſuis ibidem manſionis loca (ut Joſepho noſtro) aſſignaſſe. Hav.

t Ἐξεγείρας ἐν Κυρήνῃ,] Seditio Cyrenis orta de Bello Jud. lib. 7. cap. 11. §. 1. Spanh.

Σων

ρας ἡγεμόνος δεθεὶς, καὶ ἐπὶ τὸν αὐτοκράτορα πεμφθεὶς, ἔφασκεν ἐμὲ αὐτῷ ὅπλα πεπομφέναι καὶ χρήματα. οὐ μὴν Οὐεσπασιανὸν ψευδόμενος ἔλαθεν, ἀλλὰ κατέγνω θάνατον αὐτοῦ, καὶ παραδοθεὶς ἀπέθανεν. πολλάκις δὲ καὶ μετὰ ταῦτα τῶν βασκαινόντων μοι τῆς εὐτυχίας κατηγορίας ἐπ' ἐμὲ [v] συνθέντων, Θεοῦ προνοίᾳ πάσας διέφυγον. ἔλαβον δὲ παρὰ Οὐεσπασιανοῦ δωρεὰν γῆν οὐκ ὀλίγην ἐν τῇ Ἰουδαίᾳ. καθ' ὃν δὴ καιρὸν καὶ τὴν γυναῖκα, [x] μὴ ἀρεσκόμενος αὐτῆς τοῖς ἤθεσιν, ἀπεπεμψάμην, τριῶν παίδων γενομένην μητέρα. ὧν οἱ μὲν δύο ἐτελεύτησαν, εἷς δὲ ὃν Ὑρκανὸν προσηγόρευσα περίεστιν. μετὰ ταῦτα ἠγαγόμην γυναῖκα κατῳκηκυῖαν μὲν ἐν Κρήτῃ, τὸ δὲ γένος Ἰουδαίαν, γονέων εὐγενεστάτων καὶ τῶν κατὰ τὴν χώραν ἐπιφανεστάτων. ἤθει πολλῶν γυναικῶν διαφέρουσαν, ὡς ὁ μετὰ ταῦτα βίος αὐτῆς ἀπέδειξεν. ἐκ ταύτης δέ μοι γίνονται παῖδες δύο. πρεσβύτερος μὲν Ἰοῦστος, [y] Σιμωνίδης δὲ μετ' ἐκεῖνον, ὁ καὶ Ἀγρίππας ἐπικληθείς. ταῦτα μέντοι τὰ κατὰ τὸν οἶκον. διέμεινε δέ μοι ὅμοια καὶ τὰ παρὰ τῶν αὐτοκρατόρων. Οὐεσπασιανοῦ γὰρ τελευτήσαντος, Τίτος, τὴν ἀρχὴν διαδεξάμενος, ὁμοίαν τῷ πατρὶ τὴν τιμήν μοι διεφύλαξεν, πολλάκις τε κατηγορηθέντος οὐκ ἐπίστευσεν. διαδεξάμενος δὲ τοῦτον Δομετιανὸς, καὶ προσηύξησεν τὰς εἰς ἐμὲ τιμάς. τούς τε γὰρ κατηγορήσαντάς μου Ἰουδαίους ἐκόλασεν, καὶ δοῦλον εὐνοῦχον, παιδαγωγὸν τοῦ παιδός μου, κατηγορήσαντα, κολασθῆναι προσέταξεν. ἐμοί τε τῆς ἐν Ἰουδαίᾳ χώρας ἀτέλειαν ἔδωκεν, ἥπερ ἐστὶ μεγίστη τιμὴ τῷ λαβόντι. [z] ἡ δὲ τοῦ Καίσαρος γυνὴ Δομετία διετέλεσεν εὐεργετοῦσά με. ταῦτα μὲν τὰ πεπραγμένα μοι [a] διὰ παιδὸς τοῦ βίου ἐστίν. κρινέτωσαν δ' ἐξ αὐτῶν τὸ ἦθος, ὅπως ἂν ἐθέλωσιν, ἕτεροι. σοὶ δ' ἀποδεδωκὼς, [b] κράτιστε ἀνδρῶν [c] Ἐπαφρόδιτε, τὴν πᾶσαν τῆς ἀρχαιολογίας [d] ἀναγραφὴν, ἐπὶ τοῦ παρόντος ἐνταῦθα καταπαύω τὸν λόγον.

erat exitii; ille vero, à provinciæ præſide vinctus & ad imperatorem miſſus, ajebat me arma & pecunias illi ſuppeditaſſe. Veſpaſianum tamen non latebat, quod mentitus fuerit, capitiſque eum condemnabat, adeo ut *carnifici* traditus perierit. Sæpe etiam poſtea accuſationibus ab iis, qui meæ inviderunt felicitati, in me inſtitutis, Dei providentia ex omnibus evaſi. A Veſpaſiano autem dono accepi latifundium in Judæa. quo etiam tempore & uxorem dimiſi, quod ejus mores mihi non placerent, cum jam mater facta eſſet trium liberorum: quorum duo quidem diem ſuum obierunt, unus vero, quem Hyrcanum appellavi, ſuperſtes eſt. Paulo poſt aliam duxi uxorem, quæ in Creta quidem habitarat, genere autem Judæa erat, parentibus nobiliſſimis nata & omnium in illa regione ſplendidiſſimis, quæ multas mulieres morum præſtantia ſuperabat, ut vita ejus quam deinceps mecum agebat indicio fuit. Ex ea duos ſuſcepi filios, Juſtum natu grandiorem, & poſt eum Simonidem, qui & Agrippæ cognomen habuit. Et hujuſmodi quidem *ſunt* res noſtræ domeſticæ. Manſit autem mihi imperatorum benevolentia perpetuo eadem. Nam defuncto Veſpaſiano, Titus, qui eum in imperio excepit, in eodem quo pater honore me habuit; cumque ſæpius accuſarer, *delatoribus* non credidit. Domitianus autem, qui ei *in imperium* ſucceſſit, honoribus etiam & dignitate me auxit. Nam & Judæos accuſatores meos ſupplicio affecit, & ſervum eunuchum filii mei pædagogum, qui accuſationem in me inſtituerat, puniri juſſit. Quin & mihi, quod attinet ad agros in Judææ provincia, tributorum immunitatem dedit: id quod ei qui acceperit honorificentiſſimum cenſetur. Ad hæc Cæſaris uxor Domitia mihi benefacere nunquam deſiit. Et hæc quidem *præcipua* ſunt quæ per omnem vitam à me geſta ſunt. ex illis vero de moribus meis judicent alii, prout cuicunque libuerit. Cum autem tui in uſum, præſtantiſſime virorum Epaphrodite, antiquitates *noſtras* omnes *jam* perſcripſerim, in præſentia hic narrationem claudo.

A Veſpaſiano terras in Judæa accepit.

Secunda Joſephi uxor dimiſſa, quæ et liberos tres peperit.

Tertia Joſephi uxor.

Liberi ex ea ſuſcepti.

Joſephum benevolentia proſequuntur imperatores: Veſpaſianus & Titus. Domitianus & Domitia.

Epaphroditus ſummus Joſephi amicus.

[e] Ἐτελειώθησαν Φλαβίου Ἰωσήπου Ἰουδαϊκῆς [f] ἀρχαιολογίας λόγοι εἴκοσι, πρὸς οἷς καὶ ὁ βίος Ἰωσήπου.

Abſoluti ſunt Fl. Joſephi Antiquitatum Judaicarum libri XX. quibus acceſſit & vita Joſephi.

v Συνθέντων,] Συντεθέντων Vat.

x Μὴ] Lugd. Baſ. vult καὶ μὴ. Hav.

y Σιμωνίδης] Σιμωνιάδης Vat.

z Ἡ δὲ τοῦ Καίσαρος] Καὶ πολλὰ δὲ ἡ τοῦ Καίσαρος γυνὴ Δομετία διετέλεσεν εὐεργετοῦσά με. Voſſ.

a Διὰ παιδὸς] Διὰ τοῦ βίου Voſſ.

b Κράτιστε ἀνδρῶν] Ex hoc Epilogo concludit Valeſ. ad Euſeb. p. 47. hunc Joſephi librum epilogum tantum eſſe, ſeu Appendicem libri 20. Antiquitatum. Spanh.

c Ἐπαφρόδιτε,] Erat hic Epaphroditus, ut plerique volunt, Neroni à libellis; quem Domitianus capitali pœna condemnavit, teſte *Suetonio* in *Domitiano*, c. 14. *Grotio* fuiſſe videtur Trajani libertus & procurator. Vide eum ad *Luc.* c. 1. Huds. Ἀρχαιολογίας libri Epaphrodito dicati; de eo Præf. Ἀρχ. pag. 2. B. & mox ſub initium lib. 1. adv. Apionem §. 1. De Epaphrodito Neronis liberto cæſo ſub Domitiano, Dio lib. 67. p. 766. C. quem eundem ſtatuit Pearſon cum hoc Epaphrodito de quo Joſephus, in *Ann. prim. Epiſcop.* pag 172. Spanh.

d Ἀναγραφὴν,] Ita cum *MSS.* γραφὴν in *Editis.*

e Ἐτελειώθησαν] Ita in *Edit. Baſ.* & Codice quo uſus eſt *Tibmannus*. Τέλος τῆς Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας. *Voſſ.*

f Ἀρχαιολογίας] Hinc apparet hunc librum de Vita eſſe Appendicem libri ultimi Antiquitatum. Rel.

†ΙΟΥΣΤΟΥ ΤΙΒΕΡΙΕΩΣ ΧΡΟΝΙΚΟΝ.

Ἀνεγνώσθη Ἰούστου Τιβεριέως χρονικὸν, οὗ ἡ ἐπιγραφή. Ἰούστου Τιβεριέως Ἰουδαίων βασιλέων, τῶν ἐν τοῖς στέμμασιν. οὗτος ἀπὸ πόλεως τῆς ἐν Γαλιλαίᾳ Τιβεριάδος ὡρμᾶτο. ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ Μωσέως, καταλήγει δὲ ἕως τελευτῆς Ἀγρίππα, τοῦ ἑβδόμου μὲν τῶν ἀπὸ τῆς οἰκίας Ἡρώδου, ὑστάτου δὲ ἐν τοῖς Ἰουδαίων βασιλεῦσιν, ὃς παρέλαβε μὲν τὴν ἀρχὴν ἐπὶ Κλαυδίου, ηὐξήθη δὲ ἐπὶ Νέρωνος, καὶ ἔτι μᾶλλον ὑπὸ Οὐεσπασιανοῦ. τελευτᾷ δὲ ἔτει τρίτῳ Τραϊανοῦ: οὗ καὶ ἡ ἱστορία κατέληξεν. ἔστι δὲ τὴν φράσιν συντομώτατος τε, καὶ τὰ πλεῖστα τῶν ἀναγκαιοτάτων παρατρέχων. ὡς δὲ τὰ Ἰουδαίων νοσῶν. Ἰουδαῖος τε καὶ αὐτὸς ὑπάρχων τὸ γένος: τῆς Χριστοῦ παρουσίας, καὶ τῶν περὶ αὐτὸν τελεσθέντων, καὶ τῶν ὑπ᾽ αὐτοῦ τερατουργηθέντων, οὐδενὸς ὅλως μνήμην ἐποιήσατο. οὗτος παῖς μὲν ἦν Ἰουδαίου τινὸς ὄνομα Πιστοῦ, ἀνθρώπων δὲ (ὥς φησιν Ἰώσηπος) κακουργότατος, χρημάτων τε καὶ ἡδονῶν ἥττων. ἀντεπολιτεύετο δὲ Ἰωσήπῳ, καὶ πολλὰς κατ᾽ ἐκείνου λέγεται ἐπιβουλὰς ῥάψαι. ἀλλὰ τόν γε Ἰώσηπον, καίτοι ὑπὸ χεῖρα πολλάκις λαβόντα τὸν ἐχθρὸν, λόγοις μόνον ὀνειδίσαντα, ἀπαθῆ κακῶν ἀφεῖναι. καὶ τὴν ἱστορίαν δὲ, ἣν ἐκεῖνος ἔγραψε, πεπλασμένην τὰ πλεῖστα φασὶ τυγχάνειν, καὶ μάλιστα οἷς τὸν Ῥωμαϊκὸν πρὸς Ἰουδαίους διέξεισι πόλεμον, καὶ τὴν Ἱεροσολύμων ἅλωσιν.

JUSTI TIBERIENSIS Judæorum Regum CHRONICON.

LEctum eſt Juſti Tiberienſis Chronicon, cujus hæc inſcriptio, Juſti, Tiberienſis Regum Judæorum, qui coronati fuerunt. Hic e Tiberiade Galilææ oppido ortum nomenque traxit. Auſpicatur hiſtoriam a Moyſe, perducitque ad exitum uſque Agrippæ, ſeptimi e familia Herodis, & Judæorum regum poſtremi. Qui regnum ſub Claudio accepit: crevit ſub Nerone, ampliuſque dein ſub Veſpaſiano: obiit autem tertio Trajani anno, quo & hiſtoriæ finis ducitur. Stylus huic maxime conciſus, & pleraque relatu cum primis neceſſaria prætermittit. communi autem Hebræorum vitio laborans, Judæus genere cum eſſet, de Chriſti adventu deque iis, quæ ipſi acciderunt, aut de miraculis ab illo patratis, nullam prorſus fecit mentionem. Parentem Hebræum quemdam habuit, cui Piſto nomen: mortalium ipſe (ut ait Joſephus) nequiſſimus, & pecuniæ cupiditati ac libidini ſerviens. contendit idem in Republica cum Joſepho, cui multas ſtruxiſſe inſidias fertur: Joſephus tamen, etſi ſæpe numero hoſtem comprehendiſſet, verbis duntaxat caſtigatum impune abire permiſit. Hiſtoriam vero, quam texuit, magnam partem confictam ajunt, eaque potiſſimum, quibus Romanorum adverſus Judæos bellum, & Hieroſolymorum excidium perſequitur.

† Excerptum hoc, quod ſervavit Photius in Bibliotheca ſua, convenire hoc in loco duximus; *Juſti* enim hujus, ut adverſarii ſui, ſæpius in Vita ſua mentionem facit Joſephus. Hav.

ΦΛ. ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΤΟΥ

ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ,

Η

ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΙ Ζ.

FLAVII JOSEPHI

DE

BELLO JUDAICO,

SIVE

JUDAICÆ HISTORIÆ

DE EXCIDIO LIBRI VII.

Digitized by Google

[a] ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΠΡΩΤΩ ΛΟΓΩ ΤΩΝ ΙΩΣΗΠΟΥ ΙΣΤΟΡΙΩΝ ΤΗΣ ΙΟΥΔΑΙΚΗΣ ΑΛΩΣΕΩΣ.

JOSEPHI LIBRO PRIMO HISTORIARUM EXCIDI JUDAICI HÆC CONTINENTUR.

α'. Προοίμιον· ὅπως καὶ δι' ἣν αἰτίαν ὁ συγγραφεὺς ἦλθεν [b] ἐπὶ τὸ γράψαι τὴν παροῦσαν ἱστορίαν. ἔκθεσις κεφαλαιώδης τῶν ὑποθέσεων τῆς πάσης πραγματείας.

β'. Ὅπως διὰ στάσιν τῶν ἐν Ἱεροσολύμοις, Ἀντίοχος ὁ Ἐπιφανὴς τῆς τε πόλεως ἐγκρατὴς γέγονε, καὶ κακῶς τοὺς Ἰουδαίους διέθηκε. καὶ ὡς Ὀνίας πρὸς Πτολεμαῖον διέφυγεν.

γ'. Ὅπως Βακχίδην, ὠμότατα διακείμενον κατὰ τὸν Ἐλεάζαρον, [c] Ματθίας ὁ ἱερεὺς ἀποκτείνας, τὸ πλῆθος ἐπαγαγόμενος, τόν τε Ἀντίοχον ἐπολέμησε, καὶ τελευτῶν [d] Ἰούδᾳ τῷ πρεσβυτέρῳ τῶν παίδων τὴν ἀρχὴν καταλέλοιπε. καὶ ὅπως αὖθις ἐκεῖνος κατώρθωσε πολεμῶν.

δ'. Ὅπως τοῦ Ἐπιφανοῦς τελευτήσαντος, ὁ υἱὸς αὐτοῦ Ἀντίοχος, διαδεξάμενος τὸν πατέρα, κατὰ τῶν Ἱεροσολύμων ἐστράτευσε, καὶ τὴν πόλιν κατέσχε, καὶ ὡς Ἐλεάζαρος ὁ ἀδελφὸς Ἰούδα ἀπέθανεν ὑπὸ τοῦ ἐλέφαντος, μηδὲν μέγα δράσας. καὶ ὡς αὐτός τε Ἰούδας, καὶ Ἰωάννης ὁ ἀδελφὸς ἀνῃρέθη.

ε'. Ὅπως Ἰωνάθης τοῦ ἀδελφοῦ διαδεξάμενος τὴν ἀρχὴν, δόλῳ συλλαμβάνεται παρὰ Τρύφωνος τοῦ ἐπιτρόπου Ἀντιόχου καὶ κτείνεται.

ϛ'. Ὅπως ὁ Σίμων ὁ ἔσχατος διαδεξάμενος τὴν ἀρχὴν, καὶ γενναίως μὲν ἀφηγησάμενος τῶν πραγμάτων, ἐλευθερώσας δὲ καὶ τοὺς Ἰουδαίους [e] μετὰ ρό. ἔτη τῆς τῶν Μακεδόνων ἐπικρατείας, καὶ ἀποδειχθεὶς διὰ τοῦ πλήθους ἀρχιερεὺς, ἐπιβουλεύεται ἐν συμποσίῳ ὑπὸ Πτολεμαίου τοῦ γαμβροῦ.

ζ'. Ὅπως Ἰωάννης, ὁ καὶ Ὑρκανὸς, ὁ υἱὸς Σίμωνος, τὴν πατρῴαν διαδεξάμενος, τόν τε Πτολεμαῖον ἐξέφυγε, καὶ τὸν Ἀντίοχον ἀπώσατο, καὶ ὅσα κατώρθωσε διά τε ἑαυτοῦ καὶ τῶν παίδων Ἀριστοβούλου καὶ Ἀντιγόνου· καὶ ὡς, ἐν τριάκοντα τρισὶν ἔτεσι καλῶς ἀφηγησάμενος τῶν πραγμάτων, τελευτᾷ ἐπὶ ε' υἱοῖς, ἄρχων τε τοῦ ἔθνους, καὶ ἀρχιερεὺς, [f] καὶ προφήτης ὤν.

η'. Ὅπως Ἀριστόβουλος ὁ πρεσβύτατος τῶν Ὑρκανοῦ παίδων μετὰ τετρακοσιοστὸν οα'. ἔτος τῆς ἀπὸ Βαβυλῶνος ἀνακλήσεως, διάδημα περιθέμενος, καὶ τυραννικῶς ἄρξας, τελευτᾷ, οὐ πλεῖον ἐνιαυτοῦ βασιλεύσας.

θ'. Ὅπως ὁ ἀδελφὸς Ἀριστοβούλου Ἀλέξανδρος βασιλεύει, καὶ ὅσα ἔπραξεν ἐν πάσῃ τῇ ἀρχῇ αὐτοῦ καὶ ὅπως ἐμισήθη ὑπὸ τῶν ἰδίων διὰ πολλὴν ὠμότητα, καὶ ὡς ἀπηλλάγη βασιλεύσας ἔτη κζ'.

ι'. Ὅπως ἡ γυνὴ αὐτοῦ Ἀλεξάνδρα καλῶς ἦρξε, καὶ τῶν

1. *Proœmium: Quomodo & quam ob cauſam auctor hujus hiſtoriæ animum ad eam ſcribendam appulit. Summaria totius operis argumentorum expoſitio.*

2. *Quomodo Antiochus Epiphanes ex Hieroſolymitarum ſeditione urbem illorum cepit, & Judæos male tractavit: utque Onias ad Ptolemæum ſe recepit.*

3. *Qualiter Bacchiden, in Eleazarum crudeliter ſævientem, Matthias pontifex, populo ad ſe coacto, interfecit; dein bellum geſſit adverſus Antiochum, moriensque Judæ filiorum natu maximo imperium reliquit: & quomodo ille, bello ſuſcepto, feliciter res reſtituit.*

4. *Quomodo, poſt mortem Epiphanis, filius ejus Antiochus, qui patri ſucceſſit, contra Hieroſolyma exercitum duxit, & urbem occupavit; & qualiter Eleazarus, Judæ frater, ab elephante oppreſſus interiit, nulla re memorabili geſta: utque Judas & Joannes frater ejus interempti ſunt.*

5. *Quomodo Jonathas Judæ frater, imperio ſuſcepto, dolis à Tryphone Antiochi tutore capitur & occiditur.*

6. *Quomodo Simon fratrum natu minimus, cum imperium ſuſcepiſſet, & rebus ſtrenue adminiſtratis Judæos poſt* CLXX. *annos à dominatione Macedonum liberaſſet, & à populo pontifex factus fuiſſet, Ptolemæi generi ſui inſidiis in convivio appetitur.*

7. *Quomodo Joannes, qui & Hyrcanus dictus eſt, Simonis filius patriſque ſucceſſor, Ptolemæum effugit, & Antiochum repulit; & quæ præclare geſſit, tam per ſe quam per filios ſuos Ariſtobulum & Antigonum: utque rebus per* XXXIII. *annos pulchre adminiſtratis, & filiis* V. *relictis, moritur, cum & gentis princeps & pontifex exſtitiſſet, ſimulque propheta.*

8. *Quomodo Ariſtobulus, filiorum Hyrcani natu maximus, annis* CCCCLXX. *elapſis poſt revocationem è Babylonia, diadema ſumpſit, cumque tyrannorum more imperaſſet, vitam finivit, anno & non amplius in imperio exacto.*

9. *Quomodo Alexander Ariſtobuli frater poſt eum regnavit, & quas res geſſit dum imperaret: qualique odio ſui eum proſequuti ſunt propter crudelitatem ejus, utque è vita diſceſſit cum regnaſſet annos* XXVII.

10. *Quemadmodum uxor ejus Alexandra præclare res*

a *Al.* Κεφάλαια τῶν α'. βιβλίου τῆς Ἰουδαϊκῆς ἁλώσεως.
b Ἐπὶ τὸ γράψαι] Ita *Vat.* εἰς τὸ συγγράψαι *Gall.*
c Ματθίας] Ita *Gall.* Ματταθίας in *ceteris.*
d Ἰούδᾳ] deeſt *Gall.*

e Μετὰ ρό.—ἐπιβουλεύεται] Ita reſcripſi ex *Joſepho.* μετὰ ρό. ἔτη τῶν Μακεδόνων. καὶ ἀποδειχθεὶς [ἀποδειχθεὶς *Gall.*] διὰ τοῦ ἀρχιερέως, ἐπιβουλεύσαντας &c. *MSS. Vat.* & *Gall.*
f Καὶ προφήτης] Ita *Gall.* καὶ προφητεύων *Vat.*

res imperii geſſit, & Hyrcanum filiorum natu maximum pontificem conſtituit, atque Ariſtobulum vitam privatam agere voluit: & quomodo in periculis erat ex Phariſæorum potentia.

11. *Quomodo Ariſtobulus, mortua matre poſtquam per novennium regnaſſet, imperium obtinuit, fratre à rerum gubernaculis repulſo: poſtea vero cum eo in concordiam rediit, ita ut ille imperaret, & Hyrcanus pontificatum teneret.*

12. *Quomodo Ariſtobulo dominante, inimici ejus præ metu illius, maximeque Antipater Idumæus, perſuaſerunt Hyrcano ut ad Aretam Arabum regem fugeret: & qualiter in patriam cum ingenti exercitu reducitur, fratrique prævaluiſſet, niſi Scaurus dux Romanorum, muneribus ab Ariſtobulo acceptis, Hieroſolymorum obſidionem ſolviſſet.*

13. *Quomodo Pompejus, dum precibus eum fatigarent Hyrcanus & Antipater, iratus Ariſtobulo, quod præ ſuperbia omnino noluerit juris ſui rationem reddere, oppugnavit cepitque Hieroſolyma, & pontificatum Hyrcano reſtituit.*

14. *Quomodo Pompejus, capto Ariſtobulo cum ejus prole, Romam ſe contulit; atque Alexander unus è filiis Ariſtobuli inter eundum elapſus eſt. & qualiter Scaurus in Arabiam impreſſionem fecit, & ex ea receſſit: quæque Alexander profugus geſſit & perpeſſus eſt.*

15. *Quomodo Syriæ urbes, quas olim Judæis acquiſiverant Maccabæi, eis abſtulit, & illarum cæteræque Syriæ procuratorem fecit Scaurum: ubi etiam agitur de modo quo balſamum naſcitur & conficitur, & de iis quæ Pompejus in templo invenit, deque numero occiſorum ex utraque parte.*

16. *Quomodo Gabinius, miſſus in Syriam ut Scauro ſuccederet, cum Alexandrum viciſſet veniamque petenti dediſſet, Judæam omnem in conventus quinque diviſit.*

17. *Quomodo & Ariſtobulus, qui Româ profugerat & Gabinio bellum intulerat, tandem victus eſt, iterumque Romæ in vinculis vitam agit.*

18. *Qualiter Gabinius, contra Parthos profectus, à Ptolemæo impeditur: atque Judæos, iterum in ſeditionem concitatos, adortus compeſcuit.*

19. *Quomodo Craſſus, ſucceſſor Gabinii, à Parthis occiſus eſt: & quænam Caſſius, qui cum eo fugerat, in Syria geſſit.*

20. *De Antipatro ejuſque progenie.*

21. *Quomodo Cæſar Ariſtobulum vinculis ſolutum Hieroſolyma miſit, quæque ille eò profectus liberique ipſius à Pompejanis paſſus eſt.*

22. *Quomodo Antipater, cum Mithridati Peluſium obſidenti, ut Cæſarem demereretur, auxilium tuliſſet, ſeque in prælio ſtrenuum oſtendiſſet, civitate Romana ſimul & immunitate donatus eſt à Cæſare: utque ab Antigono Ariſtobuli filio accuſatus apud Cæſarem in cauſa diſceptatione ſuperior evaſit; idque obtinuit ut Hyrcanus in pontificatu confirmaretur, & ipſe totius Judææ procurator fieret.*

23. *Quomodo Antipater & mœnia à Pompejo antea everſa inſtauravit, & tumultus in provincia ſedavit, atque è filiis ſuis Phaſaelum quidem natu maximum Hieroſolymis & regioni vicinæ præfecit, Herodem vero Galilææ.*

24. *Quomodo Hyrcanus ab obtrectatoribus Herodis irritatus, atque ipſe Herodi ob res præclare*

υἱῶν τὸν μὲν πρεσβύτερον Ὑρκανὸν ἀρχιερέα δείκνυσι, τὸν δὲ Ἀριστόβουλον ἰδιώτην κατεῖχε· καὶ ὡς διὰ τὴν τῶν Φαρισαίων ἐξουσίαν ἐκινδύνευσεν.

ια'. Ὅπως Ἀριστόβουλος, τῆς μητρὸς μετὰ θ'. ἔτος τελευτησάσης, τὸν Ὑρκανὸν καταγωνισάμενος, ἐκράτησε τῆς ἀρχῆς. ἔπειτα δὲ διαλλάττεται, καὶ ὁ μὲν τὴν βασιλείαν, Ὑρκανὸς δὲ τὴν ἀρχιερωσύνην λαμβάνει.

ιβ'. Ὅπως κρατήσαντος Ἀριστοβούλου, δείσαντες οἱ διάφοροι, καὶ μάλιστα ὁ Ἰδουμαῖος Ἀντίπατρος, ἔπεισεν Ὑρκανὸν φυγεῖν πρὸς Ἀρέταν τὸν Ἀράβων βασιλέα. καὶ ὅπως κατήγαγεν αὐτὸν μετὰ πλήθους στρατοῦ πρὸς τὴν πατρίδα. κἂν ἐκράτησεν, εἰ μὴ Σκαῦρος ὁ Ῥωμαίων στρατηγὸς, δῶρα λαβὼν παρὰ Ἀριστοβούλου, τὴν πολιορκίαν ἔλυσεν.

ιγ'. Ὅπως, Ὑρκανοῦ καὶ Ἀντιπάτρου δεηθέντων, Πομπήϊος ὀργισθεὶς Ἀριστοβούλῳ, ἐπείπερ ὑπερηφάνει μέχρι παντὸς ἀπολογεῖσθαι ὑπὲρ τῶν δικαίων, ἐπολιόρκησέ τε καὶ ἔλαβεν Ἱεροσόλυμα, καὶ τῷ Ὑρκανῷ τὴν ἀρχιερωσύνην ἀποκατέστησεν.

ιδ'. Ὅπως τὸν Ἀριστόβουλον μετὰ τῆς γενεᾶς λαβὼν εἰς Ῥώμην ᾔει ὁ Πομπήϊος, ἐξ ὧν Ἀλέξανδρος διαδιδράσκει ὁ Ἀριστοβούλου ἐκ τῆς ὁδοῦ. καὶ ὅπως Σκαῦρος εἰς τὴν Ἀραβίαν ἐνέβαλε, καὶ αὖθις ἀπέστη. καὶ ὅσα ἀποδρὰς Ἀλέξανδρος ἔδρασέ τε καὶ ἔπαθεν.

ιε'. Ὅπως ἀφελόμενος [g] τὰ προκτηθέντα πάλαι ἐκ τῆς Συρίας τῶν Ἰουδαίων παρὰ τῶν Μακκαβαίων, αὐτῶν τε καὶ τῆς ἄλλης Συρίας Σκαῦρον ἐπίτροπον κατέστησεν. ἔνθα καὶ περὶ τῆς τοῦ βαλσάμου φησὶν ἐργασίας, καὶ περὶ ὧν ὁ Πομπήϊος εὗρεν ἐν τῷ ἱερῷ, καὶ ὅσοι ἀμφοτέρωθεν ἀπώλοντο.

ιϛ'. Ὅπως Γαβίνιος, Σκαύρῳ πεμφθεὶς διάδοχος, καταγωνισάμενος [h] Ἀλέξανδρον, καὶ συγγνώμην δοὺς αἰτησαμένῳ, πᾶν τὸ Ἰουδαϊκὸν ἔθνος εἰς πέντε συνόδους διεῖλεν.

ιζ'. Ὅπως καὶ Ἀριστόβουλος ἀποδρὰς ἐκ Ῥώμης, καὶ πολεμήσας Γαβίνιον, τέλος ἡττᾶται, καὶ ἐν Ῥώμῃ δέσμιος πάλιν ἄγεται.

ιη'. Ὅπως ὁρμήσας κατὰ Πάρθων Γαβίνιος, ἐμποδίζεται ὑπὸ Πτολεμαίου. καὶ ὡς πάλιν τοὺς Ἰουδαίους ὑπὸ Ἀλεξάνδρου ἀνασταθέντας ἐπελθὼν κατεστήσατο.

ιθ'. Ὅπως Κράσσος, ἐλθὼν αὐτῷ διάδοχος, ὑπὸ Πάρθων κτείνεται. καὶ ὅσα Κάσσιος [i] μετ' αὐτοῦ φυγὼν διεπράξατο.

κ'. Περὶ Ἀντιπάτρου καὶ τῆς αὐτοῦ γενεᾶς.

κα'. Ὅπως Καῖσαρ ἀνεὶς τῶν δεσμῶν Ἀριστόβουλον εἰς Ἱεροσόλυμα ἔπεμψε. κἀκεῖνος ἀπελθὼν ἐκεῖσε, οἷα αὐτός τε καὶ παῖδες παρὰ τῶν Πομπηΐου πεπόνθασιν.

κβ'. Ὅπως Ἀντίπατρος ἐπὶ θεραπείᾳ Καίσαρος συμμαχήσας Μιθριδάτῃ Πηλούσιον πολιορκοῦντι, καὶ γενναῖος κατὰ τὴν μάχην φανεὶς, πολιτείᾳ τε τῇ Ῥωμαίων καὶ ἀτελείᾳ παρ' αὐτῷ τετίμηται. καὶ ὡς κατηγορηθεὶς παρ' Ἀντιγόνου τοῦ Ἀριστοβούλου παιδὸς ἐπὶ Καίσαρος, κρατεῖ ταῖς δικαιολογίαις, καὶ Ὑρκανῷ βεβαιοῖ τὴν ἀρχιερωσύνην, καὶ αὐτὸς ἐπίτροπος τῆς ὅλης Ἰουδαίας γίνεται.

κγ'. Ὅπως Ἀντίπατρος τά τε κατεστραμμένα ὑπὸ Πομπηΐου πρότερον ἐτειχίσατο, καὶ τοὺς ἐν τῇ χώρᾳ θορύβους κατέστελλε. καὶ τῶν υἱῶν τὸν μὲν Φασάηλον Ἱεροσολύμων καὶ τῶν πέριξ στρατηγὸν, τὸν δὲ Ἡρώδην τῆς Γαλιλαίας κατεστήσατο.

κδ'. [k] Ὅπως Ὑρκανὸς ὑπό τε βασκάνων ἐρεθιζόμενος, καὶ αὐτὸς ἐν τοῖς κατορθώμασι βασκαίνων τὸν Ἡρώδην

g Τὰ προκτηθέντα] Sic in *Cod. Gall.* καταληφθέντας πάλαι ἐκ τῆς Συρίας Ἰουδαίους *Vat.* Videſis *Antiquitatum* lib. xiv.
h Ἀλέξανδρον,] Ἀλεξάνδρῳ *Gall.*

i Μετ' αὐτοῦ] Μετὰ τοῦ Φ. *Vat.* mallem, ἐκ Συρίας φυγὼν διεπράξατο.
k Summarium hoc acceptum debemus *Codici Gall.*

δὴ εἰς κρίσιν ἐκάλεσε, καὶ αὖθις ἀπέλυσε. καὶ ὡς Ἡρώδης ἐπὶ τούτῳ μνησικακῶν ἐπεστράτευε τῷ Ὑρκανῷ, καὶ αὖθις ἀνίησι παρακληθεὶς ὑπό τε τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ Φασαήλου.

κε'. Περὶ τοῦ γενομένου ἐμφυλίου πολέμου Ῥωμαίοις πρὸς Ἀπάμειαν.

κϛ'. Ὅπως Βροῦτος καὶ Κάσσιος ἐδολοφόνησαν Καίσαρα, καὶ οἷα Κάσσιος ἐν Ἰουδαίᾳ ἔπραξε. καὶ ὡς, ὑποσχόμενος μεγάλα Ἀντιπάτρῳ εἰ κρατήσειεν, αἴτιος αὐτῷ διὰ ταῦτα τοῦ καὶ ἀπολέσθαι ὑπὸ Μαλίχου φαρμάκοις ἐγένετο.

κζ'. Ὅπως Ἡρώδης ἐτιμωρήσατο Μάλιχον Κασσίου συνεργίᾳ. καὶ ὡς [l] Ἕλιξ ὑπὸ τοῦ ἀδελφοῦ Μαλίχου ἐπαναστὰς Φασαήλῳ, καὶ ἡττηθεὶς πρότερον παρ' ἐκείνου, ἔπειτα δὲ καὶ παρ' Ἡρώδου ἱκέτης ἀφίεται. καὶ ὡς Μαρίων ὁ τύραννος ἀπηλλάγη Γαλιλαίας ὑπ' Ἡρώδου.

κη'. Ὅπως Ἡρώδης μετὰ τὴν πρώτην γυναῖκα, καὶ δευτέραν τὴν Μαριάμμην, τοῦ Ὑρκανοῦ μὲν θυγατριδῆν, Ἀριστοβούλου δὲ θυγατέρα, ἠγάγετο.

κθ'. Ὅπως μετὰ τὴν Κασσίου ἀναίρεσιν Ἀντώνιος εἰς Ἀσίαν ἐλθὼν, κατηγορηθέντας τοὺς περὶ τὸν Ἡρώδην οὐ μόνον οὐ παρέλυσε τῆς ἀρχῆς, ἀλλὰ καὶ [m] τετράρχας κατέστησεν.

λ'. Ὅσα ἐπράχθη παρὰ Βαρζαφάρνου καὶ Πακόρου τῶν Πάρθων, βουλομένων καταγαγεῖν τὸν [n] Ἀντίγονον ἐπὶ τὴν βασιλείαν. καὶ ὅπως ὅ, τε Φασάηλος ἀπώλετο, καὶ Ἡρώδης ἐπιβουλευθεὶς ἐξέφυγεν, ὁ δὲ Ὑρκανὸς τὰ ὦτα λωβηθεὶς εἰς Παρθυηνὴν ἀπηνέχθη, καὶ Ἀντίγονος τῆς βασιλείας κατεῖχεν.

λα'. Ὅπως Ἡρώδης ἀπελθὼν πρὸς τὸν Ἀράβων βασιλέα, λαβεῖν χρήματα πρὸς τὸ λυτρώσασθαι τὸν ἀδελφὸν, ἀποτυχὼν δὲ τῆς ἐλπίδος, δι' Ἀλεξανδρείας εἰς Ῥώμην παραγίνεται, καὶ Ἀντωνίῳ καὶ Καίσαρι τὰς συμφορὰς ἀποδυράμενος, καὶ διηγησάμενος πῶς Ἀντίγονος διὰ Πάρθων τῆς βασιλείας ἐγκρατὴς γέγονε, βασιλεὺς αὐτὸς παρ' αὐτῶν τῆς συγκλήτου συμψηφισαμένης ἀποδείκνυται.

λβ'. Ὅπως Ἀντίγονος τοὺς ἐν Μασάδᾳ τῷ Ἡρώδῃ [o] προσήκοντας ἐπολιόρκει.

λγ'. Ὅπως Ἡρώδης ἀπὸ Ῥώμης ἐπανελθὼν τὸν πρὸς Ἀντίγονον διήνεγκε πόλεμον. καὶ ὅπως τοὺς περὶ αὐτὸν εἰς τὴν κατὰ Πάρθων ἐκπέμψας μάχην, αὐτὸς τοὺς ἐν τοῖς σπηλαίοις λῃστὰς ἐκπολεμήσας ἐχειρώσατο.

λδ'. Ὅπως Ἡρώδου ἐπὶ Ἀντίγονον ὁρμήσαντος εἰς Σαμάρειαν ἐπανίσταντο Γαλιλαῖοι, καὶ ὡς ὑποστρέψας πάλιν αὐτοὺς κατεστήσατο. καὶ ὡς μετὰ τὴν Πάρθων ἧτταν λαβὼν συμμάχους παρ' Ἀντωνίου ἐπὶ τὸν Ἀντίγονον, ἐπειδὴ ὁ στρατηγὸς αὐτῶν Μαχαιρᾶς οὐ κατὰ σύμμαχον πρὸς αὐτὸν διετέθη, πάλιν πρὸς Ἀντώνιον ὑπέστρεψε, καὶ τὰ Σαμόσατα πολιορκοῦντι [p] συνεξεπόρθει, ἡνίκα καὶ Ἰώσηπος ὁ ἀδελφὸς αὐτοῦ ἀπόντος συμβαλὼν Ἀντιγόνῳ αὐτὸς σφάττεται, καὶ τὸ στρατιωτικὸν πᾶν διαφθείρεται, καὶ τὰ ὑπήκοα αὖθις ἐπανίσταται.

λε'. Ὅπως ὑπανελθὼν Ἡρώδης ἀπὸ Ἀντωνίου, καὶ συμβαλὼν τοῖς τοῦ Ἀντιγόνου, ἄλλας τε πολίχνας αἱρεῖ καὶ τὴν Ἱεριχοῦντα· καρατομεῖ δὲ καὶ Πάππον τὸν στρατηγὸν Ἀντιγόνου, τὸν φονέα τοῦ ἰδίου ἀδελφοῦ Ἰωσήπου.

λϛ'. Ὅπως ἐπολιόρκησε τὰ Ἱεροσόλυμα, ἤδη τρίτου ἔτους αὐτῷ τῆς βασιλείας ἀνυομένου, καὶ οἷα μὲν μετὰ τὴν ἅλωσιν Ἱεροσολυμίταις ἀπήντησεν. οἵῳ δὲ τέλει καὶ Ἀντίγονος ἐχρήσατο.

geſtas invidens, eum in judicium vocavit, ac deinde abſolvit: atque Herodes injuriæ memor exercitum ducebat contra Hyrcanum; ac mox eum dimittit, ex conſilio patris & Phaſaëli fratris.

25. *De bello civili inter Romanos orto circa Apamiam.*

26. *Qualiter Brutus & Caſſius dolo interficiunt Cæſarem, & quænam Caſſius in Judæa geſſit: atque magna Antipatro promittendo ſi victoriam obtineret, inde cauſa erat cur ille a Malicho fuerit veneno peremptus.*

27. *Qualiter Herodes adjutore Caſſio ultus eſt Malichum: & quomodo Felix ut Malichi fratris necem vindicaret, inſurrexit in Phaſaëlum, & cum ab illo prius vinceretur, poſtea etiam ab Herode ſupplex dimittitur. atque Marion tyrannus è Galilæa pulſus eſt ab Herode.*

28. *Quomodo Herodes poſt primam uxorem alteram duxit, Mariammen ſcilicet, Hyrcani quidem neptem ex filia, Ariſtobuli vero filiam.*

29. *Quomodo poſt Caſſii cædem Antonius, cum in Aſiam veniſſet, Herodem fratremque à Judæis accuſatos, non ſolum non imperio privavit, ſed & tetrarchas ambos conſtituit.*

30. *Quænam geſta erant à Barzapharne & Pacoro Parthis, dum ſtuderent Antigonum in regnum reducere: qualiterque & Phaſaëlus interiit & Herodes inſidiis petitus effugit, atque Hyrcanus auribus mutilatus in Parthiam abductus eſt, & Antigonus regnum obtinuit.*

31. *Quomodo Herodes, cum ſe contuliſſet ad Arabum regem, ut pecunias ab eo acciperet quibus fratrem redimeret, ſpe vero de ſua excidiſſet, via Alexandriæ Romam proficiſcitur, cumque apud Antonium & Cæſarem calamitates ſuas deploraſſet, narraſſetque quo pacto Antigonus Parthorum ope regnum nactus eſt, ipſe rex ab illis ex conſenſu ſenatus declaratur.*

32. *Qualiter Antigonus Herodis neceſſarios Maſadæ incluſos obſidet.*

33. *Quomodo Herodes Roma reverſus bellum agitavit contra Antigonum; atque ſuis ad bellum contra Parthos perſequendum miſſis, ipſe latrones in ſpeluncis debellatos in poteſtatem ſuam redegit.*

34. *Quomodo, Herode contra Antigonum profecto, Galilæi in Samaria ſeditionem movent, atque reverſus motus eorum compoſuit: qualiterque poſt Parthos devictos, cum ſuppetias ab Antonio impetraſſet contra Antigonum, duce illorum Machæra ſe pro ſocio idoneo minime gerente, reverſus eſt ad Antonium, eique Samoſata obſidenti ſubminiſtrabat, quando & Joſephus frater, ejus in abſentia, cum Antigono commiſſus occiditur ipſe, & omnem exercitum amiſit; quique ſubditi erant iterum rebellarunt.*

6. Cæterum pœnitudo ex ſcelere ſtatim fecit ut Ariſtobulo morbus ingraveſceret; dumque animum cædem ſecum reputando perturbatum haberet, contabeſcebat, donec immodico dolore laceratis viſceribus, ſanguinem multum emitteret. Hunc dum quidam puerorum qui ei miniſtrabant foras effert, divina providentia prolapſus cadit, eo in loco quo Antigonus erat occiſus, & ſuper exſtantes cædis maculas interfectoris cruorem effudit. Mox autem ſublatus eſt ululatus ab iis qui id conſpexerant, tanquam puer de induſtria ſanguinem illic libaſſet: & cum rex clamore audito cauſam ſciſcitaretur, eamque nemo prodere auſus eſſet, eo magis inſtabat diſcendi deſiderio. Tandem vero, cum minas intentaret eoſque cogeret, verum quod erat ei indicaverunt. At ille, cum lachrymis oppleſſet oculos, quantumque poterat ingemuiſſet, dicebat, „ haud utique erat ut * magnum Dei „ oculum ob facta nefaria effugerem, ſed me celeris pœna perſequitur ob cognati cædem. Quouſque, ô corpus impudentiſſimum, matri fratrique damnatam animam detinebis? Quamdiu „ & ipſe paulatim illis ſanguinem meum libabo? „ ſimul totum accipiant; ne amplius inferias ex „ meis viſceribus factas derideat numen. " His dictis illico moritur, cum non plus anno regnum tenuiſſet.

Fratris interitum dolet Ariſtobulus. Ant. l. 13. c. 11. §. 3.

Moritur. Ant. l. 13. c. 11. §. 3.

ΚΕΦ. δ'.

Οἷα ἐπράχθη ὑπ' Ἀλεξάνδρου Ἰανναίου, βασιλεύσαντος ἑπτὰ πρὸς ταῖς εἴκοσιν ἔτη.

Λύσασα δ' ἡ γυνὴ τοὺς ἀδελφοὺς αὐτοῦ βασιλέα καθίστησιν Ἀλέξανδρον, [o] τὸν καὶ καθ' ἡλικίαν καὶ μετριότητα προὔχειν δοκοῦντα. ὁ δὲ, παρελθὼν εἰς τὴν ἐξουσίαν, τὸν ἕτερον μὲν τῶν ἀδελφῶν [p] βασιλειῶντα κτείνει· τὸν δὲ καταλειπόμενον, ἀγαπῶντα τὸ ζῆν δίχα πραγμάτων, εἶχεν [q] ἐν τιμῇ.

β'. Γίνεται δ' αὐτῷ καὶ πρὸς τὸν Λάθουρον ἐπικληθέντα Πτολεμαῖον συμβολὴ, πόλιν [r] Ἀσωχὶν ᾑρηκότα·

CAP. IV.

Quas res geſſerit Alexander Jannæus, qui regnavit annos XXVII.

UXor autem *Ariſtobuli*, cum fratres vinculis exemiſſet, regem conſtituit Alexandrum, qui & ætate & morum modeſtia *cæteris* præſtare videbatur. Verum is, ad poteſtatis faſtigium provectus, è fratribus quidem alterum regnum affectantem occidit; alterum vero, † vita quieta contentum, in honore habuit.

2. Accidit autem, ut *is* prælio congrederetur cum Ptolemæo cognomine Lathyro, qui urbem Aſochim cepe-

Alexander Jannæus rex Judæorum. Ant. l. 13. c. 12. §. 1.

Pugna inter Alexandrum & Ptolemæum Lathyrum. Ant. l. 13. c. 12. §. 2. 3. 4. 5.

x Ἀποθανεῖν.] Ἀπῃρῆσθαι Big. Bod. & Voſſ. Ἀναιρεῖσθαι Roſ.
y Εἵμαρτο.] Roſ. Εἵμαρται.
z Οὐδὲ δὴ] Lugd. Bat. Ὁ δή.
a Ὑπὸ συννοίας] Ἐπὶ συννοίας MS. Lipſ. Spanh. Ἐπὶ συννοίας Big. & Bod. & Roſ. & Lugd. Bat. ἐπὶ συννοίας Lipſ.
b Ὑπόγαιον χωρίον, ὃ δὴ καὶ αὐτὸ Στράτωνος ἐκαλεῖτο πύργος, ὁμωνύμως τῇ παράλῳ Καισαρείᾳ.] Καισάρεια παράλιος ante Stratonis Turris dicta, ut libr. Antt. 13. c. 11. §. 2. ὃ καὶ αὐτὸ Στράτωνος πύργος ἐκαλεῖτο, ὁμωνύμως τῇ παράλῳ Καισαρείᾳ. & alibi, lib. 3. c. 8. §. 1. πεδιὰς οὖσα, καὶ παράλιος. & lib. 7. c. 2. §. 1. εἰς τὴν παράλιον ἐπανελθὼν Καισάρειαν. item eod. lib. c. 1. §. 3. πρὸς τὴν ἐπὶ τῇ θαλάττῃ Καισάρειαν.
c Περὶ τοῦ μύσους] Conf. ſup. c. 2. §. 3. Spanh.
d Ἄθρουν αἷμα] Ἄθρουν αὐτοῦ τοῦτον ἀποδίδους, de eadem morte ἀρχ. lib. 13. c. 11. §. 3. Spanh.
e Ἀναβάλλει.] Ἀναβάλλειν in nonnullis MSS.
f Φαινομένοις ἔτι] Videlis J. A. Boſii Diſſ. ad 2 Tim. 2. 22.

g Εὐθὺς οἰμωγὴ] Εὐθέως hic loci & ſupra v. 26. in Roſ. Lugd. Bat. pleriſque MSS.
h Ἐπικατασπείσαντος] Lugd. Bat. ἐπισπείσαντος.
i Ἐνέκειτο] Roſ. ἐκεῖτο.
k Ὅσον ἦν] Omittit ἦν Roſ.
l Ταχεῖα] Roſ. τάχιον.
m Ἐκ τῶν] Abeſt a Lugd. Bat.
n Εὐθέως τελευτᾷ.] Roſ. ἐντελευτᾷ, οὐ πλεῖον βασιλεύσας ἐνιαυτοῦ.
o Τὸν καὶ καθ'] Lugd. Bat. τὸν καθ' Roſ. τοῦτον καθ'.
p Βασιλειῶντα κτείνει.] Conf. ſup. Procem. §. 2.
q Ἐν τιμῇ.] Illa ἐν τιμῇ addidi ex Antt. l. 13. c. 12. §. 1. in fine.
r Ἀσωχὶν ᾑρηκότα.] Conf. de Vita §. 41. Spanh. Ἀσωχὶν Voſſ. vide ad l. 13. c. 12. §. 4. in fine.
* Sc. Deum omnia ſpectantem.
† Ablatis rebus ſecum habebat, Roſ.

ceperat: in quo multos quidem hoſtium peremit, ſed victoria in Ptolemæum propendebat. Poſtea vero quam ille, à matre Cleopatra fugatus, in Ægyptum diſceſſerit, Alexander & Gadara obſidione in poteſtatem ſuam redigit, & caſtellum Amathuntis, munitionem omnium quæ ad Jordanem ſitæ erant maximam, ubi & pretioſiſſima quæque bonorum Theodori filii Zenonis adſervabantur. At Theodorus, cum repente *ei* ſuperveniſſet, & res ſuas capit & regis impedimenta, & Judæorum decem circiter millia interficit. * Alexander autem ab iſta plaga revaleſcit, & in maritimam regionem verſus Raphiam capit & Gazam, itemque Anthedonem, quæ poſtea à rege Herode Agrippias nominata eſt.

Ant. l. 13. c. 12. §. 5.

Pugna inter Alexandrum & Theodorum. Ant. l. 13. c. 13. §. 3.

Alexander multas urbes capit. Ant. l. 13. c. 13. §. 3.

3. Cum autem *urbes* iſtas ſubjugaſſet, inſurrectio fit populi Judaïci in feſto. Tum enim maxime, cum feſta celebrantur, excitatur ſeditio. Nec apparebat, quo pacto ex inſidiis evadere potuerit, niſi ei auxilium tuliſſent copiæ peregrinæ, Piſidæ nempe & Cilices: Syros quippe in mercenarios non admittebat, propter ingenitum illis erga gentem Judæorum odium. Cum autem ſupra ſex millia eorum, qui in eum inſurrexerant, occidiſſet, in Arabiam incurſionem facit: cumque eam ſimulque Galaaditas & Moabitas ſubegiſſet, tributumque illis imperaſſet, ad Amathunta reverſus eſt. Theodoro etiam ex rebus ejus proſpere geſtis metu perculſo, cum caſtellum *omni* præſidio vacuum reperiſſet, *de* fundamentis *illud* dejecit.

Mota in Alexandrum ſeditio. Ant. l. 13. c. 13. §. 5.

Moabitas aliaſque gentes ſubigit Alexander. Ant. l. 13. c. 13. §. 5.

4. Mox autem congreſſus cum Oboda rege Arabum, qui locum juxta Gaulanam prior inſidiis occupaverat, illis captus totum amiſit exercitum, in vallem profundam compulſum, atque camelorum multitudine contritum. Ille vero fuga dilapſus in Hieroſolyma, gentem olim ſibi inſenſam calamitatis magnitudine in ſeditionem excitavit. Fit autem etiam tunc ſuperior, crebriſque præliis non pauciores quinquaginta Judæorum millibus interfecit, ſex annorum ſpatio: nequaquam tamen victoriis lætabatur, ut qui regni ſui vires conſumeret. adeo ut armis omiſſis adniteretur verbis bellum cum ſubditis componere. Illi autem eo magis odio habebant ejus reſipiſcentiam morumque varietatem. Cumque percontaretur quid cauſæ eſſet, quid ipſi faciendum ut eos placatum iret, ut moreretur, dicebant. nam cum eo, qui tam multa nefaria patraſſet, etiam mortuo vix redituros eſſe in gratiam. Simul etiam Demetrium, cognomine Eucærum in auxilium vocabant. Cumque ille, majorum ſpe, eis haud ægre obſequutus eſſet, & cum exercitu veniſſet, ſeſe cum auxiliis ejus circa Sicima conjunxerunt Judæi.

Ab Oboda fuſus fugatuſque. Ant. l. 13. c. 13. §. 5.

Multa cum cæde in Judæos graſſatur. Ant. l. 13. c. 3. §. 5.

Demetrius Eucærus à Judæis in auxilium accerſitus. Ant. l. 13. c. 13. §. 5.

καὶ πολλοὺς μὲν ἀπῶλε τῶν πολεμίων, ἡ δὲ νίκη πρὸς [s] Πτολεμαῖον ἔρρεψεν. ἐπεὶ δ' οὗτος ὑπὸ τῆς μητρὸς Κλεοπάτρας διωχθεὶς εἰς Αἴγυπτον ἀνεχώρησεν, Ἀλέξανδρος Γαδάρων τε πολιορκίᾳ κρατεῖ, καὶ Ἀμαθοῦντος, ὃ δὴ μέγιστον μὲν ἦν ἔρυμα τῶν [t] περὶ Ἰορδάνην, τὰ τιμιώτατα δὲ τῶν Θεοδώρου τοῦ Ζήνωνος [v] κτημάτων ἦν ἐν αὐτῷ. ἐπελθὼν δ' ἐξαίφνης ὁ Θεόδωρος, τά τε σφέτερα, καὶ τὴν βασιλέως ἀποσκευὴν αἱρεῖ, τῶν τε Ἰουδαίων εἰς μυρίους κτείνει. γίνεται δ' ἐπάνω τῆς πληγῆς Ἀλέξανδρος, καὶ τραπόμενος εἰς τὴν παραλίαν, αἱρεῖ [x] Ῥαφίαν τε καὶ Γάζαν, καὶ Ἀνθηδόνα, τὴν αὖθις ὑφ' Ἡρώδου τοῦ βασιλέως [y] Ἀγριππιάδα ἐπικληθεῖσαν.

γ΄. Ἐξανδραποδισαμένῳ δὲ ταύτας ἐπανίσταται τὸ Ἰουδαϊκὸν [z] ἐν ἑορτῇ. μάλιστα γὰρ ἐν ταῖς εὐωχίαις αὐτῶν στάσις ἅπτεται. καὶ [a] ἐδόκει μὴ ἂν κρείττων γίνεσθαι τῆς ἐπιβουλῆς, εἰ μὴ τὸ ξενικὸν αὐτῷ παρεβοήθει, Πισίδαι καὶ Κίλικες ἦσαν. Σύρους γὰρ οὐκ ἐδέχετο μισθοφόρους, [b] διὰ τὴν ἔμφυτον αὐτῶν πρὸς τὸ ἔθνος ἀπέχθειαν. [c] κτείνας δὲ τῶν ἐπαναστάντων ὑπὲρ [d] ἑξακισχιλίους, Ἀραβίας ἥπτετο· καὶ ταύτην ἑλών, Γαλααδίτας τε καὶ [e] Μωαβίτας, φόρον τε αὐτοῖς ἐπιτάξας, ἀνέστρεψεν ἐπὶ [f] Ἀμαθοῦντα. Θεοδώρου δὲ πρὸς τὰς εὐπραγίας [g] αὐτοῦ καταπλαγέντος, ἔρημον λαβὼν τὸ φρούριον κατέσκαψεν.

δ΄. Ἔπειτα συμβαλὼν [h] Ὀβόδᾳ τῷ Ἀράβων βασιλεῖ προλοχίσαντι κατὰ τὴν [i] Γαυλάνην, [k] ἐνέδρας αὐτῷ γενομένης, πᾶσαν ἀποβάλλει τὴν στρατιάν, [l] συνωσθεῖσαν κατὰ βαθείας φάραγγος, καὶ πλήθει καμήλων συντριβεῖσαν. διαφυγὼν δ' αὐτὸς εἰς Ἱεροσόλυμα, τῷ μεγέθει τῆς συμφορᾶς πάλαι μισοῦν τὸ ἔθνος ἠρέθισεν εἰς ἐπανάστασιν. γίνεται δὲ καὶ τότε κρείττων, καὶ μάχαις ἐπαλλήλοις οὐκ ἐλάττους πεντακισμυρίους [m] Ἰουδαίων ἀπῶλεν ἐν ἓξ ἔτεσιν· εἰ μὴ [n] ηὐφραίνετό γε ταῖς νίκαις, τὴν ἑαυτοῦ βασιλείαν ἀναλίσκων. [o] ὥς τε, παυσάμενος τῶν ὅπλων, [p] λόγοις ἐπεχείρει διαλύεσθαι πρὸς τοὺς ὑποτεταγμένους. οἱ δὲ μᾶλλον ἐμίσουν τὴν μετάνοιαν αὐτοῦ, καὶ τοῦ τρόπου τὸ ἀνώμαλον. [q] πυνθανομένῳ τε τὸ αἴτιον, [r] τί ἂν ποιήσας καταστείλειεν αὐτούς, [s] ἀποθανὼν ἔλεγον. νεκρῷ γὰρ ἂν διαλλαγῆναι [t] μόλις τῷ τοσαῦτα δράσαντι. ἅμα δὲ καὶ τὸν [v] Εὔκαιρον ἐπικληθέντα Δημήτριον ἐπεκαλοῦντο. ῥᾳδίως δ' ὑπακούσαντος κατ' ἐλπίδα μειζόνων, καὶ μετὰ στρατιᾶς ἥκοντος, συνέμισγον οἱ Ἰουδαῖοι τοῖς συμμάχοις περὶ Σίκιμα.

ε΄. Δέ-

s Πτολεμαῖον] Articulum τὸν præponit *Lugd. Bat.*

t Περὶ Ἰορδάνην,] Ὑπὲρ Ἰορδάνην *MS. Lipſ.* & *Ruſin.* SPANH. Τοῦ Ἰορδάνου *Bod.* ὑπὲρ *Big. Voſſ.* & *Lipſ.* Vide ad l. 13. c. 12. §. 5.

v Κτημάτων] *Roſt.* κλημάτων.

x Ῥαφίαν] ΡΑΦΙΑ Nummi. SPANH. *Al.* Ῥάφιαν.

y Ἀγριππιάδα] Ἀγρίππιον inf. c. 21. §. 8. SPANH. Sic inf. c. 5. §. 4.

z Ἐν ἑορτῇ] Et inde, quoniam epulæ & dies Feſti ſeditiones accendunt, Romani milites ſuper porticum Templi locabant, noluerunque Judæi Chriſtum Feſto die capere. REL.

a Ἐδόκει] *Roſt.* δοκεῖ.

b Διὰ τὴν ἔμφυτον] Inſita inter Syros & Judæos inimicitia, ἀρχ. lib. 13. c. 13. §. 5. id tribuit privato Alexandri erga Syros odio. SPANH.

c Κτείνας δὲ] *Roſt.* κτείνας γὰρ.

d Ἑξακισχιλίους,] Ita *Voſſ. Bod. Roſt.* expreſſis etiam literis & *Ant.* in *Ant.* l. 13. c. 14. §. 5. in *Impreſſis* ὀκτακισχιλίους. in *Ruſini Editis octo millibus*, ſed *ſex millia* habent *MSS.*

e Μωαβίτας,] Non eſt in *Roſt.*

f Ἀμαθοῦντα.] *Lugd. Bat.* Ἀμαθοῦντας.

g Αὐτοῦ καταπλαγέντος,] Αὐτὸν & αὐτῶν in *libris aliquot.*

h Ὀβόδᾳ] Ὀβόδᾳ ex *Ant.* l. 13. c. 14. §. 5. Ὀβόδῃ *Big. Voſſ.* & *Roſt.* Βόδῃ *Roſt.* Ἰοβόδᾳ *Lugd. Bat.*

i Γαυλάνην,] Ἀρχ. lib. 13. c. 15. §. 3. Γαυλάνην SPANH. Eandem eſſe cum urbe *Golan* exiſtimat *Relandus* in *Palæſtina* S. p. 815. Inſidias collocatas fuiſſe κατὰ Γάδαρα κώμην τῆς Γαλααδίτιδος memorat *Joſephus* in *Ant.* l. 13. c. 14. §. 5. κατὰ τὴν Γαυλάνην in *Galaaditide* [*Gaulonenſi* & *Gaulenſi* & *Galenſi MS.*] *regione* vertit *Ruſinus.*

k Ἐνέδρας] Conf. ἀρχ. lib. 13. c. 13. §. 5. SPANH.

l Συνωσθεῖσαν] Συνωσθεῖσαν *Bod.*

m Ἰουδαίων ἀπῶλεν] Ἰουδαίους *Big.* & *Bod.*

n Ηὐφραίνετό γε] *Roſt.* εὐφραίνει γε.

o Ὥς τε, παυσάμενος τῶν ὅπλων,] Ὅθεν *Big. Roſt.* & *Bod.* & forſan *Ruſinus*, qui vertit, *unde.*

p Λόγοις] *Roſt.* ἐν λόγοις.

q Πυνθανομένῳ τε τὸ αἴτιον,] Πυνθανομένου *Big. Voſſ. Roſt.* & & *Bod.*

r Τί ἂν] Καὶ τί ἂν π. *MS. Lipſ.* SPANH.

s Ἀποθανὼν ἔλεγον.] Atque ita *voluntaria morte maximo juſtiſſimoque civium odio quam primum ſatisfaceret*, ut ad Tiberium ſcripſiſſe Artabanum in Vita ejus cap. 66. narrat *Suetonius.* quaſi *aliter tot flagitiis ejus ſubveniri non poſſet*, ut cordatus centurio Aſper in pœna ſua ad Neronem apud *Tacitum* lib. Annal. 15. cap. 68. Quomodo & legatis Dionyſii Syracuſarum Tyranni, extollentibus pietatem ejus in ſepeliendis illis, qui ex hoſtibus in acie ceciderant, reſponſum ſatis amarè eſt a civibus profugis: *non alio ipſum Dionyſium beneficio dignum eſſe, imo Deos ſe precari, ut eodem quamprimum afficeretur.* Narrante Diodoro l. 14. c. 9. HAV.

t Μόλις τῷ] Abeſt a *Roſt.*

v Εὔκαιρον] Demetrius Εὔκαιρος. ἀρχ. lib. 13. c. 13. §. 5. τὸν Ἄκαιρον *MS. Lipſ.* & *Ruſin.* SPANH. Ἄκαιρον *Big. Bod. Voſſ. Roſt.* & *Ruſ.* in quibuſdam *exemplaribus.* Potuit Demetrius per ludibrium ita appellari, uti & Antiochus *Epimanes* pro *Epiphanes*, & Ptolemæus *Cacergetes* pro *Euergetes.* ALDR.

* Verum Alexander receptis poſt cladem viribus, *Ruf.*

ε'. Δέχεται δ' ἑκατέρους Ἀλέξανδρος, [x] ἱππεῦσι μὲν χιλίοις, μισθοφόροις δὲ πεζοῖς [y] ὀκτακισχιλίοις· παρῆν δὲ αὐτῷ καὶ τὸ εὖνουν Ἰουδαϊκὸν, εἰς [z] μυρίους. τῶν δ' ἐναντίων ἱππεῖς μὲν ἦσαν τρισχίλιοι, πεζῶν δὲ μύριοι τετρακισχίλιοι. [a] καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν διὰ κηρύκων οἱ βασιλεῖς ἐπειρῶντο τῶν παρ' ἀλλήλοις ἀποστάσεων· Δημήτριος μὲν τοὺς Ἀλεξάνδρου μισθοφόρους, Ἀλέξανδρος δὲ τοὺς ἅμα Δημητρίῳ Ἰουδαίους μεταπείσειν ἐλπίσας. ὡς δ' οὔτε οἱ Ἰουδαῖοι [b] θυμῶν, οὔθ' οἱ Ἕλληνες [c] ἐπαύσαντο πίστεως, διεκρίνοντο ἤδη τοῖς ὅπλοις συμπεσόντες. κρατεῖ δὲ τῇ μάχῃ Δημήτριος, καίτοι πολλὰ τῶν Ἀλεξάνδρου μισθοφόρων καὶ ψυχῆς ἔργα καὶ χειρὸς ἐπιδειξαμένων. χωρεῖ δὲ τὸ τέλος τῆς παρατάξεως [d] παρὰ δόξαν ἀμφοτέροις. οὔτε γὰρ Δημητρίῳ παρέμειναν νικῶντι οἱ καλέσαντες, καὶ κατ' οἶκτον τῆς μεταβολῆς Ἀλεξάνδρῳ προσεχώρησαν, εἰς τὰ ὄρη καταφυγόντι, Ἰουδαίων ἑξακισχίλιοι. ταύτην τὴν ῥοπὴν οὐκ ἤνεγκε Δημήτριος, ἀλλ' ὑπολαβὼν ἤδη μὲν ἀξιόμαχον εἶναι πάλιν Ἀλέξανδρον, μεταῤῥεῖν δὲ καὶ πᾶν τὸ ἔθνος [e] εἰς αὐτὸν, ἀνεχώρησεν.

ϛ'. Οὐ μὴν [f] τόγε λοιπὸν πλῆθος, ἀναχωρησάντων τῶν συμμάχων, κατέθεντο τὰς διαφοράς· συνεχὴς δὲ πρὸς Ἀλέξανδρον ἦν αὐτοῖς ὁ πόλεμος, μέχρι πλείστους ἀποκτείνας τοὺς λοιποὺς ἀπήλασεν εἰς [g] Βεμέσελιν πόλιν, καὶ ταύτην καταστρεψάμενος αἰχμαλώτους ἀνήγαγεν εἰς Ἱεροσόλυμα. προέκοψε δ' αὐτῷ, δι' ὑπερβολὴν ὀργῆς, εἰς ἀσέβειαν [h] τὰ τῆς ὠμότητος. τῶν γὰρ [i] ληφθέντων εἰς ὀκτακοσίους ἀνασταυρώσας ἐν μέσῃ τῇ πόλει, γυναῖκάς τε καὶ τέκνα αὐτῶν [k] ἀπέσφαξε ταῖς ὄψεσι· καὶ ταῦτα πίνων καὶ συγκατακείμενος ταῖς παλλακίσιν [l] ἀφεωρᾶτο. τοσαύτη δὲ κατάπληξις [m] ἔσχε τὸν δῆμον, ὥς τε τῶν ἀντιστασιαστῶν κατὰ τὴν ἐπιοῦσαν νύκτα φυγεῖν ὀκτακισχιλίους ἐξ Ἰουδαίας ὅλης, οἷς ὅρος τῆς φυγῆς ὁ Ἀλεξάνδρου θάνατος κατέστη. τέλος δὲ, τοιούτοις ἔργοις ὀψὲ καὶ μόλις ἡσυχίαν τῇ βασιλείᾳ πορίσας, ἀνεπαύσατο τῶν ὅπλων.

ζ'. Γίνεται δὲ αὐτῷ πάλιν ἀρχὴ θορύβων [n] Ἀντίοχος, ὁ καὶ [o] Διόνυσος ἐπικληθεὶς, [p] Δημητρίου μὲν ἀδελφὸς ὢν, [q] τελευταῖος δὲ τῶν ἀπὸ Σελεύκου. τοῦτον γὰρ δείσας, στρατευόμενον ἐπὶ τοὺς Ἄραβας ὡρμημένον, τὸ μὲν μεταξὺ [r] τῆς Ἀντιπατρίδος παρορείου καὶ τῶν Ἰόππης αἰγιαλῶν διαταφρεύει φάραγγι βαθείᾳ. πρὸ δὲ τῆς τάφρου τεῖχος ἤγειρεν ὑψηλὸν, καὶ ξυλίνους πύργους ἐνετεκτήνατο, τὰς εὐμαρεῖς ἐμβολὰς ἀποφράττων. οὐ μὴν εἶρξαί γε τὸν Ἀντίοχον ἴσχυσεν. ἐμπρήσας γὰρ τοὺς πύργους καὶ τὴν τάφρον χώσας, διήλαυνε [s] μετὰ τῆς δυνάμεως. θέμενος δ' ἐν δευτέρῳ τὴν πρὸς τὸν κωλύσαντα ἄμυναν, εὐθὺς ἐπὶ τοὺς Ἄραβας ᾔει. τῶν δὲ ὁ βασιλεὺς, [t] ἀναχωρῶν εἰς τὰ

5\. Attamen utroſque excipit Alexander mille quidem equitibus, peditibus vero mercenariis octo millibus: ipſi etiam aderant ex Judæis qui ei bene volebant ad decem millia. Erant autem ex adverſa parte equitum quidem tria millia, peditum vero quadraginta millia. Et priuſquam manus invicem conſererent, tentabant per præcones reges utrinque, an *aliquos* ad defectionem ſolicitare poſſent: Demetrius quidem Alexandri mercenarios; Alexander vero Judæos qui cum Demetrio erant ad ſe pertrahere ſperans. Sed cum * neque Judæi ab iracundia ceſſarent, neque fidem Græci deſererent, armis jam cominus decernebant. Cæterum pugna ſuperior erat Demetrius, quamvis Alexandri mercenarii multa magno animo fortique manu facta oſtenderunt. Eventus autem pugnæ utriſque præter opinionem ceſſit. nam neque Demetrio *licet* victori adhæſere qui eum acciverant; & fortunæ mutatæ miſericordia ſex Judæorum millia ad Alexandrum, qui in montes effugerat, ſe contulerunt. Hanc *rerum* inclinationem ferre non potuit Demetrius; ſed Alexandrum jam quidem ratus iterum pugnando eſſe, gentemque univerſam ad ipſum tranſire, mox inde digreſſus eſt.

Alexander à Demetrio ſuperatur. Ant. l. 13. c. 14. §. 1.

6\. Non tamen reliqua multitudo, ex militis auxiliarii diſceſſu, ſimultates depoſuit: ſed bello continuo tam diu cum Alexandro decertabat, donec is pleriſque interfectis cæteros in urbem Beſemelim compulit, eaque everſa in Hieroſolyma captivos abduxit. Verum immoderata fecit iracundia, ut crudelitas ejus ad impietatem uſque procederet. nam captorum octingentis in media civitate cruci ſuffixis, mulieres earumque liberos mutuo in conſpectu necavit: atque iſta inter potandum & cum concubinis ſuis recubans aſpiciebat. Tantus autem populum terror invaſit, ut adverſæ partis homines uſque ad octo millia nocte ſequente extra Judææ fines ſe proriperent, quibus exſilii finem attulit mors Alexandri. Tandemque, cum ejuſmodi factis ſero ægreque regno tranquillitatem dediſſet, ab armis requievit.

Alexander ſævit in Judæos. Ant. l. 13. c. 14. §. 2.

7\. Rurſus autem ei turbas creavit Antiochus, qui etiam Dionyſus dictus eſt, Demetrii quidem frater, Seleucidarum vero ultimus. Hunc enim veritus, qui in Arabas expeditionem fecerat, totum quidem ſuper Antipatrida montibus proximum & inter Joppes littora ſpatium foſſa profunda diſſecuit: ante foſſam vero murum arduum erexit, turreſque ligneas, ut faciles aditus obſtrueret, fabricandas curavit. Non tamen Antiochum arcere valuit: nam turribus exuſtis foſſaque repleta, *illac* cum copiis *ſuis* tranſit. nulla autem ratione habita eum à quo prohibitus fuerat ulciſcendi, protenus in Arabas contendit. Horum autem rex, abſcedens in regionis

IV. Antiochus Dionyſius in Judæos expeditionem facit. Ant. l. 13. c. 15. §. 1.

[x] Ἱππεῦσι μὲν χιλίοις] Ἱππεῦσι μὲν χιλίοις μισθοφόροις, πεζοῖς δὲ Bod. Ἱππεῦσι μὲν, χιλίοις μισθοφόροις πεζοῖς δὲ ἄλλοις, Roſt.

[y] Ὀκτακισχιλίοις.] In Ant. l. 13. c. 14. §. 1. Ἀλέξανδρος δὲ μετὰ μισθοφόρων ἑξακισχιλίων καὶ διακοσίων, Ἰουδαίων τε περὶ δισμυρίους, οἳ ἐφρόνουν τὰ αὐτοῦ, [illegible] ἀπήντησε τῷ Δημητρίῳ.

[z] Μυρίους] Χιλίους Bod. & Roſt.

[a] Καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν] Roſt. Καὶ πρὶν μὲν ἐλθεῖν. Lugd. Bat. καὶ πρὶν ἑκάστων εἰς χ. ε.

[b] Θυμῶν,] Lugd. Bat. εὐθυμιῶν.

[c] Ἐπαύσαντο πίστεως,] Διεπαύσαντο Bod.

[d] Παρὰ δόξαν] Caſ. παράδοξα.

[e] Εἰς] Abeſt a Roſt.

[f] Τόγε λοιπὸν πλῆθος,] Τόγε πλῆθος MS. Lipſ. Spanh.

[g] Βεμέσελιν] Βεθόμην πόλιν, ἀρχ. lib. 13. c. 14. §. 2. Spanh. Βεθόμην Ant. l. 13. c. 14. §. 2. unde ſuſpicatur Relandus in Palæſt. p. 623. Βεμέσελιν corrupte ſcribi pro Βεθόμην πόλιν.

[h] Τὰ τῆς ὠμότητος.] Τὸ τῆς ὠμ. Bod. Big. & Voſſ.

[i] Ληφθέντων εἰς ὀκτακοσίους] Ληφθέντων Bod. εἰς abeſt a Roſt.

[k] Ἀπέσφαξε] Caſ. κατέσφαξε. ut & Lugd. Bat. κατέσφαξε Roſt.

[l] Ἀφεωρᾶτο.] Ἀφεώρα Voſſ. & Big.

[m] Ἔσχε τὸν δῆμον.] Κατέσχε Bod.

[n] Ἀντίοχος.] Φιλίππου, ἀρχ. lib. 13. c. 15. §. 1. vid. Oxon. Spanh.

[o] Διόνυσος ἐπικληθεὶς,] Διονύσιος perperam in Baſ. & Gen. Vide ad Ant. l. 13. c. 15. §. 1. Ita Ant. l. 13. c. 15. & recte; eſt enim Liberi Patris cognomen aliis quoque regibus uſurpatum. In impreſſis male legi Διονύσιος, cum ex multis conſtat ſcriptoribus, tum ex hujus Antiochi nummis admodum frequentibus ΒΑΣΙΛΕΩΣ ΑΝΤΙΟΧΟΥ ΕΠΙΦΑΝΟΥΣ ΔΙΟΝΥΣΟΥ inſcriptis. Aldr.

[p] Δημητρίου μὲν ἀδελφὸς ὢν,] Φιλίππου Ant. l. 13. c. 15. §. 1. Utrumque recte. Nam Antiochus Grypus quinque filios reliquit; Seleucum Epiphanem, Antiochum & Philippum gemellos, utrumque cognomine Philadelphum, Demetrium Eucærum, & Antiochum Dionyſum: horum omnium meminit Joſephus. Aldr.

[q] Τελευταῖος] Neque enim numerandum cenſet Joſephus Antiochum illum Aſiaticum ſive Commagenum, qui cum totis 14 annis, quibus Syriam obtinebat Tigranes, latuiſſet potius quam regnaſſet, tandem ἐν ταῖς ἀγκάλαις τοῦ Πομπηΐου annum unum adeo non regnavit, ut ne habenti quidem regnum adimere ſe dixerit Pompejus. Appian. in Syr. p. 133. Juſtin. LXI. 2. Aldr.

[r] Τῆς Ἀντιπατρίδος] Ἀντιπατρίδος infra cap. 21. §. 9. Spanh. τοῦ τῆς Ἀντ. Lugd. Bat. τῆς πατρίδος Roſt.

[s] Μετὰ τῆς δυνάμεως.] Delet τῆς Roſt.

[t] Ἀναχωρῶν εἰς] Ἀναχωρήσας ἐν. Big. Bod. Roſt. & Voſſ.

* Neque Judæi ſacramenta, neque Græci fidem contemnerent, Roſt.

nis loca pugnæ commodiora, dein cum equitibus derepente converſus, (numero autem erant ad decem millia) Antiochi milites, priuſquam in ordinem cogerentur, adoritur. Verum acri prælio commiſſo, quamdiu quidem ſupererat Antiochus, impetum ſuſtinebat ejus exercitus, quamvis magnam in eo ſtragem ediderint Arabes: ubi vero cecidit (nam & periculis ſemper ſe objiciebat ut victis ſuccurreret) terga dant omnes, & ex illis quidem plerique partim in acie partim in fuga abſumuntur, reliquis vero, in vicum Canam dilapſis, neceſſariorum inopia perire contigit, præter admodum paucos.

Antiochus ab Arabibus laceſſitus. Ant. l. 13. c. 15. §. 1.

In prælio cadit. Ant. l. 13. c. 15. §. 1.

8. Deinde Damaſceni, ex ſuo erga Ptolemæum Mennæi filium odio *inveterato*, Aretam ſibi adſciſcunt, & Cœles-Syriæ regem conſtituunt. Iſte autem expeditionem facit in Judæam, cumque prælio viciſſet Alexandrum, ex pactione diſceſſit. Cæterum Alexander Pella capta Geraſam rurſus petiit, Theodori divitiarum cupiditate: cumque triplici muro valloque cuſtodes cinxiſſet, locum vi expugnat. Porro Gaulanam & Seleuciam ſubvertit, & Antiochi vallem, ut appellatur: inſuper ubi Gamala validum caſtellum ceperat, & Demetrio in eo imperanti multa ob crimina provinciam ademerat, in Judæam revertitur, triennio in expeditione conſumpto. Libenter autem à gente exceptus eſt, ob res proſpere geſtas: & quam primum à bello requievit, in morbum incidit. Et quoniam febri quartana laboravit, depulſum iri morbum credidit, ſi rurſus negotiis ſeſe admoveret. qua re fiebat, ut, cum intempeſtivæ militiæ ſeſe daret, & ultra vires corpus laboribus vexaret, diem ſupremum obierit. Moritur itaque mediis in tumultibus, cum ſeptem & viginti annos regnaſſet.

Aretas Cœles-Syriæ rex. Ant. l. 13. c. 15. §. 2.

Vincit Alexandrum. Ant. l. 13. c. 15. §. 2.

Alexander multas urbes in poteſtatem ſuam redigit. Ant. l. 13. c. 15. §. 4.

Moritur. Ant. l. 13. c. 15. §. 5.

χρησιμώτερα τῆς χώρας [v] πρὸς τὴν μάχην, ἔπειτα [x] τὴν ἵππον ἐξαίφνης ἐπιστρέψας, μυρία δ' ἦν τὸν ἀριθμὸν, [y] ἀτάκτοις ἐπιπίπτει τοῖς περὶ τὸν Ἀντίοχον. καρτερᾶς δὲ [z] μάχης γενομένης, ἕως μὲν περιῆν Ἀντίοχος ἀντεῖχεν ἡ δύναμις αὐτοῦ, καίτοι ἀνέδην ὑπὸ τῶν Ἀράβων φονευόμενοι. πεσόντος δὲ, καὶ γὰρ προεκινδύνευεν ἀεὶ τοῖς ἡττωμένοις παραβοηθῶν, ἐκκλίνουσι πάντες, καὶ τὸ μὲν πλεῖστον αὐτῶν, ἐπί τε τῆς παρατάξεως, [a] κἀν τῇ φυγῇ διαφθείρεται, τοὺς δὲ λοιποὺς, [b] καταφυγόντας εἰς Κανὰ κώμην, σπάνει τῶν ἐπιτηδείων ἀναλωθῆναι συνέβη πλὴν ὀλίγων ἅπαντας.

η'. Ἐκ τούτου Δαμασκηνοὶ διὰ τὸ πρὸς Πτολεμαῖον τὸν [c] Μενναίου μῖσος, Ἀρέταν ἐπάγονται, καὶ καθιστῶσι Κοίλης Συρίας βασιλέα. στρατεύεται δ' οὗτος ἐπὶ τὴν Ἰουδαίαν, καὶ μάχῃ νικήσας Ἀλέξανδρον, [d] κατὰ συνθήκας ἀνεχώρησεν. Ἀλέξανδρος δὲ, [e] Πέλλαν ἑλὼν, ἐπὶ [f] Γέρασαν [g] ᾔει [h] πάλιν, τῶν Θεοδώρου κτημάτων γλιχόμενος. καὶ τρισὶ τοὺς φρουροὺς περιβόλοις [i] ἀποτειχίσας, διὰ μάχης τὸ χωρίον παραλαμβάνει. καταστρέφεται δὲ καὶ [k] Γαυλάνην, καὶ Σελεύκειαν, καὶ [l] τὴν Ἀντιόχου φάραγγα καλουμένην πρὸς οἷς Γάμαλα φρούριον καρτερὸν ἑλὼν, τὸν ἄρχοντα Δημήτριον ἐν αὐτῷ [m] περιδύσας ἐκ πολλῶν ἐγκλημάτων, ἐπάνεισιν [n] εἰς Ἰουδαίαν, τρία πληρώσας ἔτη τῆς στρατείας. ἀσμένως δ' ὑπὸ τοῦ ἔθνους [o] προσεδέχθη διὰ τὴν εὐπραγίαν, καὶ λαμβάνει τὴν ἀνάπαυσιν τοῦ πολεμεῖν, ἀρχὴν νόσου. [p] τεταρταίαις δὲ περιόδοις πυρετῶν ἐνοχλούμενος, ᾠήθη [q] διακρούσασθαι [r] τὴν νόσον, πάλιν ἁψάμενος πραγμάτων. διὸ δὴ στρατείαις [s] ἀκαίροις ἑαυτὸν [t] ἐπιδιδοὺς, καὶ βιαζόμενος παρὰ δύναμιν τὸ σῶμα πρὸς τὰς ἐνεργείας, ἀπήλλαξε. τελευτᾷ γοῦν ἐν μέσοις τοῖς θορύβοις στρεφόμενος, βασιλεύσας ἑπτὰ πρὸς τοῖς εἴκοσιν ἔτη.

CAP. V.

Regnante per novennium Alexandra, imperium penes Phariſæos.

Regnum autem Alexandræ conjugi ſuæ reliquit, Judæos ei vel maxime dicto audientes fore non dubitans; quod cum longe ab ejus crudelitate abeſſet & legum violationi obſiſteret, populi benevolentiam ſibi conciliarit. Neque ſpes eum fefellit. namque muliercula, ex opinione quam de pietate præbuerat, principatum obtinuit: quippe quæ mores gentis patrios probe noverat, &

Alexandra regnat. Ant. l. 13. c. 16. §. 1.

ΚΕΦ. ε'.

Ἀλεξάνδρας ἔτεσιν ἐννέα βασιλευούσης, τὴν ἀρχὴν ἔχουσιν οἱ Φαρισαῖοι.

Καταλείπει δὲ τὴν βασιλείαν Ἀλεξάνδρᾳ τῇ γυναικὶ, πεπεισμένος ταύτῃ μάλιστα ἂν [v] ὑπακοῦσαι τοὺς Ἰουδαίους, ἐπειδὴ τῆς ὠμότητος αὐτοῦ μακρὰν ἀποδέουσα, καὶ ταῖς παρανομίαις [x] ἀνθισταμένη, τὸν δῆμον εἰς εὔνοιαν προσηγάγετο. καὶ οὐ διήμαρτε τῆς ἐλπίδος. ἐκράτησε γὰρ τῆς ἀρχῆς τὸ γύναιον, διὰ δόξαν εὐσεβείας. [y] ἠκρίβου γὰρ δὴ τοῦ ἔθνους μάλιστα τὰ πάτρια, καὶ τοὺς πλημ-

v Πρὸς τὴν μάχην,] Roſſ. Πρὸ τῆς μάχης.

x Τὴν ἵππον] Nota τὴν ἵππον femininum de *Equitatu*, ut ſæpe apud Poëtas; Æſchyl. Perſ. v. 315. & quæ ibi noto. SPANH.

y Ἀτάκτοις ἐπιπίπτει] *Caſ.* ἀτάκτως & *Roſſ.* qui ἀτάκτως περιπίπτει, commodius *Lugd. Bat.* ἀτάκτοις περιπίπτει, ſed placet magis vulgata lectio. HAV.

z Μάχης] *Lugd. Bat.* τῆς μάχης.

a Κἀν τῇ φυγῇ] Καὶ τῆς φυγῆς *Bod. Roſſ.* & *Lugd. Bat.*

b Καταφυγόντας εἰς Κανὰ κώμην,] Κανα Syriæ ἀρχ. lib. 13. c. 15. §. 1. & lib. 15. c. 5. §. 1. Κανάθα κώμη. lib. 1. c. 19. §. 2. & Euſeb. קנת Num. 32. 42. Ox. SPANH.

c Μενναίου μῖσος,] Μενναίου & ita ἀρχ. lib. 13. c. 15. §. 2. Cœles S. SPANH. Ita *Big.* & *Bod. Roſſ.* Μεναίου *Baſ.* & *Gen.* cum aliis. Mallem τὸν Μενναίου ex Antiq. l. 13. c. 16. §. 3. atque ita forſan legendum Antiq. l. 14. c. 15. §. 2.

d Κατὰ συνθήκας ἀνεχώρησεν.] Ἐπὶ συνθήκαις in *Ant.* ibidem.

e Πέλλαν ἑλὼν,] Conf. inf. lib. 2. c. 18. §. 1. ut & lib. 3. c. 3. §. 3. Φιλαδέλφεια & Γέρασα ut in MSS. *Lipſienſ.* benè & firmatum, non Γέραμα. SPANH. Δῖον vel Δῖον *Ant.* ibidem §. 3. *Stephanus Byzantinus* ſeptem urbes ennumerat hoc nomine appellatas; harum ſeptima eſt Κοίλης Συρίας, κτίσμα Ἀλεξάνδρου, ἡ καὶ Πέλλα. *Joſepho*, *Plinio*, *Ptolemæo* Pella & Dium ſunt vicinæ urbes, ſed diverſæ. *Joſ. Ant.* l. 14. c. 4. §. 4. *Plin.* V. 18. *Ptol.* V. 15. ALDR.

f Γέρασαν] Ita *Big. Roſſ. Bod. Voſſ.* & ipſe alibi *Joſephus*. Γέρασα & Γέσα in *Impreſſis*. Eadem *Ant.* l. 14. c. 4. §. 4.

g Ἤει] *Lugd. Bat.* ἦκε.

h Πάλιν,] Ita *Voſſ. Big.* & *Rufin.* πόλιν in *Impreſſis*.

i Ἀποτειχίσας,] Ἀποτειχίζειν *circumdare*. Vide Epictetum Rel. ἐπιτειχίσας *Roſſ.*

k Γαυλάνην,] Vide ad Antiq. l. 13. c. 15. §. 3.

l Τὴν Ἀντιόχου φάραγγα καλουμένην.] Conf. Antt. lib. 13. c. 15. §. 3. Polyb. lib. 5. p. 402. de Seleuciæ ſitu, τὴν Σελεύκειαν συμβαίνει κειμένην διεζευγμένην φάραγγι καὶ [illegible]. SPANH.

m Περιδύσας ἐκ πολλῶν ἐγκλημάτων,] Ita MSS. ALDR. ipſeque *Joſephus* in Antiq. ibidem. παραλύσας in *Editis*.

n Εἰς Ἰουδαίαν.] Voculam τὴν intulerit *Lugd. Bat.*

o Προσεδέχθη] Simpliciter ἐδέχθη *Roſſ.* & *Lugd. Bat.*

p Τεταρταίαις δὲ περιόδοις πυρετῶν] Τεταρταίῳ πυρετῷ &c. Ant. lib. 13. c. 15. §. 2. SPANH.

q Διακρούσασθαι] *Lugd. Bat.* Διακρούσεσθαι.

r Τὴν νόσον,] Τὴν ἀρρωστίαν *Big. Bod. Voſſ.* & *Roſſ.*

s Ἀκαίροις] *Roſſ.* ἀκαίρως.

t Ἐπιδιδοὺς, καὶ βιαζόμενος] Diſtinctionem & voculam καὶ tollit *Lugd. Bat.*

v Ὑπακοῦσαι] *Lugd. Bat.* ἐπακοῦσαι.

x Ἀνθισταμένη, τὸν δῆμον εἰς εὔνοιαν] *Roſſ.* & *Lugd. Bat.* ἀνισταμένη τὸν δῆμον, πρὸς (*Lugd. Bat.* εἰς) εὔν.

y Ἠκρίβου γὰρ δὴ] Medium γὰρ tollit *Roſſ.*

α Ἀντι-

πλημμελοῦντας εἰς τοὺς ἱεροὺς νόμους ἐξ ἀρχῆς [z] ἀπεβάλετο. δύο δ' αὐτῇ παίδων ὄντων ἐξ Ἀλεξάνδρου, τὸν μὲν πρεσβύτερον Ὑρκανὸν, διά τε τὴν ἡλικίαν [a] ἀποδείκνυσιν ἀρχιερέα, καὶ ἄλλως ὄντα νωθέστερον [b] ἢ ὥς τε ἐνοχλεῖν περὶ τῶν ὅλων. τὸν δὲ νεώτερον Ἀριστόβουλον, διὰ θερμότητα κατεῖχεν ἰδιώτην.

β'. Παραφύονται δὲ αὐτῇ εἰς τὴν ἐξουσίαν [c] Φαρισαῖοι, σύνταγμά τι Ἰουδαίων, [d] δοκοῦν εὐσεβέστερον εἶναι τῶν ἄλλων, καὶ τοὺς νόμους [e] ἀκριβέστερον ἀφηγεῖσθαι. τούτοις περισσὸν δή τι προσεῖχεν ἡ Ἀλεξάνδρα, σεβομένη περὶ τὸ θεῖον. οἱ δὲ τὴν ἁπλότητα τῆς ἀνθρώπου κατὰ μικρὸν ὑπιόντες, ἤδη καὶ διοικηταὶ τῶν ὅλων ἐγίνοντο, διώκειν τε καὶ κατάγειν οὓς ἐθέλοιεν, λύειν τε [f] καὶ δεῖν. καθόλου δ' αἱ μὲν ἀπολαύσεις τῆς βασιλείας ἐκείνων ἦσαν, τὰ δὲ ἀναλώματα καὶ αἱ δυσχέρειαι τῆς Ἀλεξάνδρας. δεινὴ δ' ἦν τὰ μείζω διοικεῖν, δύναμίν τε ἀεὶ συγκροτοῦσα, διπλασίονα κατέστησε, καὶ ξενικὴν συνήγαγεν οὐκ ὀλίγην. ὡς μὴ μόνον [g] κρατύνεσθαι τὸ οἰκεῖον ἔθνος, [h] ἀλλὰ καὶ φοβερὰν τοῖς ἔξωθεν εἶναι δυνάσταις. ἐκράτει δὲ τῶν μὲν ἄλλων αὐτὴ, Φαρισαῖοι δ' αὐτῆς.

γ'. Διογένην γοῦν τινα τῶν ἐπισήμων, φίλον Ἀλεξάνδρῳ γεγενημένον, κτείνουσιν αὐτοὶ, σύμβουλον ἐγκαλοῦντες γεγονέναι περὶ τῶν ἀνασταυρωθέντων ὑπὸ τοῦ βασιλέως ὀκτακοσίων. ἐνῆγον δὲ τὴν Ἀλεξάνδραν εἰς τὸ καὶ [i] τοὺς ἄλλους [k] διαχειρίσασθαι τῶν παροξυνάντων ἐπ' ἐκείνους τὸν Ἀλέξανδρον. [l] ἐνδιδούσης δ' ὑπὸ [m] δεισιδαιμονίας, ἀνῄρουν οὓς ἐθέλοιεν [n] δ' αὐτοί. προσφεύγουσι δὲ Ἀριστοβούλῳ τῶν κινδυνευόντων οἱ προύχειν δοκοῦντες. κἀκεῖνος πείθει τὴν μητέρα, [o] φείσασθαι μὲν διὰ τὸ ἀξίωμα τῶν ἀνδρῶν. ἐκπέμψαι δ' αὐτοὺς, εἰ μὴ καθαροὺς ὑπείληφεν, ἐκ τῆς πόλεως. οἱ μὲν οὖν, δοθείσης ἀδείας, ἐσκεδάσθησαν ἀνὰ τὴν χώραν. Ἀλεξάνδρα δὲ ἐκπέμψασα ἐπὶ Δαμασκὸν στρατιὰν, πρόφασις δ' ἦν Πτολεμαῖος ἀεὶ θλίβων τὴν πόλιν, ταύτην μὲν [p] ὑπεδέξατο μηδὲν ἀξιόλογον [q] ἐργασαμένην. Τιγράνην δὲ τὸν Ἀρμενίων βασιλέα προσκαθεζόμενον [r] Πτολεμαΐδι, καὶ πολιορκοῦντα Κλεοπάτραν, συνθήκαις καὶ δώροις ὑπηγάγετο. φθάνει δ' ἐκεῖνος ἀναστὰς διὰ τὰς οἴκοι ταραχὰς, ἐμβεβληκότος εἰς τὴν Ἀρμενίαν [s] Λευκόλλου.

δ'. Κἀν τούτῳ νοσούσης Ἀλεξάνδρας, ὁ νεώτερος τῶν παίδων Ἀριστόβουλος, τὸν καιρὸν ἁρπάσας, μετὰ τῶν οἰκετῶν, εἶχε δὲ πολλοὺς καὶ πάντας εὔνους διὰ τὴν θερμότητα, [t] κρατεῖ μὲν τῶν ἐρυμάτων ἁπάντων. τοῖς δ' ἐκ τούτων χρήμασι μισθοφόρους ἀθροίσας, ἑαυτὸν ἀποδείκνυσι βασιλέα. πρὸς ταῦτα, ὀδυρόμενον τὸν Ὑρκανὸν ἡ μήτηρ οἰκτείρασα, τήν τε γυναῖκα καὶ τοὺς παῖδας [v] Ἀριστοβούλου

quotquot leges ſacras temeraſſent * poteſtate *omni* exuebat. Cum autem duos filios ex Alexandro haberet, natu quidem maximum Hyrcanum, & propter ætatem pontificem facit, & quod præterea ſegnior eſſet quam ut de rerum ſumma ei moleſtiam faceſſeret; minorem vero Ariſtobulum, quod fervidioris eſſet ingenii, inter privatæ vitæ officia continebat.

Hyrcanus & Ariſtobulus Alexandri filii. Ant. l. 13. c. 16. § 1.

Hyrcanus fit pontifex. Ant. l. 13. c. 61. § 2.

2. Ei autem ſeſe ad poteſtatem *participandam* adjungunt Phariſæi, factio quædam Judæorum, qui præter alios pietatem colere putarentur, & peritius leges interpretari. Ob eam cauſam eo magis eis auſcultabat Alexandra, utpote religioſa erga Deum. Illi autem in fœminæ ſimplicis conſuetudinem paulatim ſe inſinuantes, ſtatim res omnes gubernant & moderantur, ita ut quoſvis pro libidine in exſilium pellant & ab eo revocent, ſolvant ligentque. in univerſum & illi regni quidem commodis fruebantur, expenſas vero & difficultates Alexandra perferebat. Eadem autem artis gnara erat res arduas adminiſtrandi; atque copiis colligendis ſemper intenta, duplo majorem conſtituit exercitum, & non pauca ſibi comparavit auxilia peregrina: adeo ut gentis ſuæ vires auxerit, ſeque dynaſtis exteris metuendam reddiderit. In alios autem imperium ipſa quidem habebat, in ipſam vero Phariſæi.

Phariſæi Alexandræ ſeſe adjungunt. Ant. l. 13. c. 16. § 2.

In omnibus dominantur. Ant. l. 13. c. 16. § 2.

3. Quare Diogenem virum quendam illuſtrem, qui Alexandro fuerat amicus, illi interficiunt; ejus conſilio factum criminati, quod octingenti regis juſſu in crucem fuerint ſublati. Induxerunt etiam Alexandram, ut & alios, quibus auctoribus Alexander in eos concitatus erat, *ſimiliter* occideret. Cumque illis præ religione totam ſe dederet, quos etiam ipſi vellent trucidabant. Ad Ariſtobulum autem confugiunt ex periclitantibus, qui viſi ſunt eminentiſſimi. Atque ille matri perſuadet, ut viris quidem propter dignitatem parceret, civitate autem eos pelleret, niſi culpæ immunes eſſe crederet. Et quidem illi, data ſibi impunitate, per regionem diſperſi erant. Alexandra vero, miſſo in Damaſcum exercitu, prætexens Ptolemæum ſine intermiſſione civitatem premere, illam quidem nulla re memorabili geſta recepit: Tigranem vero Armeniorum regem, qui, admoto Ptolemaïdi milite, Cleopatram obſidebat, pactionibus doniſque ſolicitat: atqui ille prior inde movit domeſticarum turbarum metu, quod in Armeniam incurſionem fecerat Lucullus.

Sæviunt in Judæos. Ant. l. 13. c. 16. § 2.

Damaſcus ab Alexandra recepta. Ant. l. 13. c. 16. § 3.

Cleopatra Selene à Tigrane obſeſſa. Ant. l. 13. c. 16. § 4. Et liberata.

4. Interea ægrotante Alexandra, minor ejus filius Ariſtobulus, opportunitate arrepta, cum famulis ſuis (multos enim habebat, & omnes ex ætatis fervore ei benevolos) univerſa quidem caſtella occupat; pecunia vero, quam ibi reperit, conductis auxiliis, regem ſe declarat. Ad hæc miſerata querelas Hyrcani mater, conjugem Ariſtobuli cum filiis inclu-

Ariſtobulus regnum occupat. Ant. l. 13. c. 16. § 3.

z Ἀπεβάλετο.] *Lugd. Bat.* περιεβάλετο.

a Ἀποδείκνυσιν] *Lugd. Bat.* & *Roſſ.* αὐτοῦ δείκνυσιν.

b Ἢ ὥς τε ἐνοχλεῖν] Καὶ οὐχ ὥς τε ἐνοχλεῖν *Bod.* & *Roſſ.*

c Φαρισαῖοι,] De Phariſæis Antt. lib. 13. c. 5. §. 9. item c. 10. §. 5. & §. 6. & alibi. lib. 2. c. 8. §. 2. De ipſorum potentia lib. Antt. 13. c. 16. §. 2. & de ipſorum ſecta Antt. lib. 18. c. 1. §. 3. SPANH.

d Δοκοῦν εὐσεβέστερον εἶναι] Quam modeſte, licet ipſe Phariſæus eſſet; ſed ſcribit gentibus. REL.

e Ἀκριβέστερον] Ἀκριβέστερον MS. *Lipſ.* SPANH. *Lugd. Bat.* etiam & *Roſſ.* HAV. Ita MS. ἀκριβεστέρους perperam *Baſ.* & *Gen.* Idem de Phariſæis Antiq. l. 17. c. 2. §. 6. ἐν ᾧ μόριον τι &c. *erat enim quædam Judæorum ſecta exactiorem patriæ legis cognitionem ſibi vindicans, quibus tanquam Deo, ut cœteri colebant, chari, addictum erat hoc mulierum ſodalitium.* in Vita ſua §. 38. τῇ δὲ Φαρισαίων αἱρέσεως &c. *Phariſæum ſecta, quæ quidem videtur exactius, quam alia, tenere leges patrias.* Adde & *Act.* 22, 3. & 26, 5. HUDS.

f Καὶ δεῖν.] Καὶ δεῖν MS. *Lipſ.* καὶ δεσμεῖν. SPANH.

g Κρατύνεσθαι] Κρατύνασθαι in MSS.

h Ἀλλὰ καὶ φοβερὰν] Φοβερὰν δὲ καὶ MS. *Lipſ.* SPANH.

i Τοὺς ἄλλους] Καὶ deeſt *Bod.* *Roſſ.* *Aliique.*

k Διαχειρίσασθαι] Διαχειρίσασθαι in aliquot MSS.

l Ἐνδιδούσης] Pro ἐνδιδούσης MS. *Lipſ.* ἐκδιδούσης. SPANH.

m Δεισιδαιμονίας,] Ita vocem accipio prout Antiq. l. 19. c. 5. §. 3.

n Δ' αὐτοί.] Illud δὴ non agnoſcit *Roſſ.*

o Φείσασθαι μὲν διὰ τὸ ἀξίωμα] *Roſſ.* Φείσασθαι μὲν τὸ ἀξίωμα omiſſo διὰ.

p Ὑπεδέξατο] *Al.* (ut & *Roſſ.* & *Lugd. Bat.*) ἀπεδέξατο.

q Ἐργασαμένην.] *Roſſ.* εἰργασμένην.

r Πτολεμαΐδι,] *Strabo* l. XVI. p. 740. pro Ptolemaïde Seleuciam habet Meſopotamiæ caſtellum, ἐν ᾗ Σελήνην ἐπικαλουμένην Κλεοπάτραν Τιγράνης ἀνεῖλε, καθείρξας χρόνον τινὰ ἐκπεσοῦσαν τῆς Συρίας. Verum is in rebus ad *Joſephi* hiſtoriam pertinentibus ſæpe fallitur. ALDR.

s Λευκόλλου.] *Al.* (ut *Roſſ.* ſed per ſimplex λ.) Λευκόλλου, & Λουκόλλου.

t Κρατεῖ μὲν τῶν ἐρυμάτων ἁπάντων.] *Roſſ.* κρατεῖ δὲ πάντων τῶν ἐρυμάτων.

v Ἀριστοβούλου] *Lugd. Bat.* τοῦ præfigit.

* Ab initio detelliebatur, *Roſſ.*

incluſam dedit in Antoniam. Caſtellum autem erat à ſeptentrione fano adjacens, olim quidem ut dixi, Baris appellatum, poſtea vero hoc nomen ſortitum eſt, imperante Antonio, quemadmodum ab Auguſto & Agrippa Sebaſte & Agrippias, aliæ civitates, mutato nomine dicta erant. Ante tamen, quam in Ariſtobulum fratris ejus, quem dejici regno curaverat, contumeliæ vindicarentur, moritur Alexandra, cum per novennium imperaſſet.

Alexandra moritur. Antt. l. 13. c. 16. §. 6.

καθείργνυσιν [x] εἰς [y] Ἀντωνίαν. φρούριον δ' ἦν τῷ βορείῳ κλίματι [z] τοῦ ἱεροῦ προσκείμενον, πάλαι μὲν ὡς ἔφην [a] Βᾶρις ὀνομαζόμενον, αὖθις δὲ ταύτης τυχὸν τῆς προσηγορίας, ἐπικρατήσαντος Ἀντωνίου, καθάπερ ἀπό τε τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα Σεβαστὴ καὶ [b] Ἀγριππιὰς, πόλεις ἕτεραι, μετωνομάσθησαν. πρὶν δ' ἐπεξελθεῖν Ἀλεξάνδραν τὸν Ἀριστόβουλον τῆς [c] τἀδελφοῦ καταλύσεως, [d] τελευτᾷ, διοικήσασα τὴν ἀρχὴν ἔτεσιν ἐννέα.

CAP. VI.

Alexandra hæres Hyrcanus regno cedit Ariſtobulo. Idem poſtea Antipatri opera ab Areta in regnum reducitur: indeque litis inter fratres orta Pompejus arbiter deligitur.

ΚΕΦ. ϛʹ.

Ὑρκανοῦ Ἀλεξάνδρας κληρονόμου τῆς ἀρχῆς ἐκστάντος, βασιλεύει Ἀριστόβουλος. καὶ αὖθις ὁ αὐτὸς Ὑρκανὸς πράξει Ἀντιπάτρου ὑπ' Ἀρέτα ἐξάγεται. τέλος δὲ ἀδελφῶν πρὸς ἀλλήλους διαφορῶν Πομπήιος γίνεται διαιτητής.

Ariſtobuli & Hyrcani de regno contentio. Antt. l. 14. c. 2. §. 1.

ET hæres quidem omnium erat Hyrcanus, cui regnum etiam viva commiſerat *mater*: verum Ariſtobulus viribus atque animo præſtabat. Cum autem de rerum ſumma apud Hierichuntem prælio congrederentur, plerique Hyrcano relicto ad Ariſtobulum tranſeunt. Ille vero cum iis qui ſecum manſerant fugiens occupat Antoniam: ibique ſalutis obſides nactus (iſti autem erant Ariſtobuli conjux & liberi) priuſquam ſcilicet gravius aliquid accideret, ea lege cum fratre reconciliatus eſt, ut regnum quidem Ariſtobulus haberet, Hyrcanus vero eo cederet, aliiſque ut frater regis honoribus frueretur. His conditionibus in gratiam redeuntes, & invicem circumſtante multitudine amiciſſime complexi, domos permutant: & Ariſtobulus in regiam diſcedit, Hyrcanus in Ariſtobuli domum.

Fœdus ineunt, & Ariſtobulus fit rex. Antt. l. 11. c. 4. §. 2.

V. Antipater Idumæus pater Herodis M. Antt. l. 14. c. 1. §. 3. & 4.

2. Metus vero & alios ejus inimicos præter ſpem dominantis occupat, & maxime Antipatrum olim Ariſtobulo inviſum. Erat autem genere Idumæus, & nobilitate & opibus * & alia poteſtate gentis ſuæ princeps. Idemque ille & Hyrcano, ut ad Aretam regem Arabiæ perfugeret, & regnum ſibi vindicaret, ſuadebat; & Aretæ, ut & Hyrcanum ſuſciperet, & in regnum reduceret. multis quidem Ariſtobuli moribus obtrectans, multis vero Hyrcanum laudibus extollens, ut hoſpitio eum exciperet *Aretam* hortabatur: *ſimulque ei ſuggerens*, quod ipſum deceret, qui tam amplo præerat imperio, manum porrigere injuria affectis. atque Hyrcanum injuriam pati, qui principatu, ætatis prærogativa

Auctor Hyrcano ut ad Aretam fugiat.

Et Aretæ ut Hyrcanum recipiat. Antt. l. 14. c. 1. §. 4.

ΚΑΙ κληρονόμος μὲν ἦν τῶν ὅλων Ὑρκανὸς, ᾧ καὶ ζῶσα τὴν βασιλείαν ἐνεχείρισε. δυνάμει δὲ καὶ φρονήματι, προεῖχεν ὁ Ἀριστόβουλος. [e] γενομένης δὲ αὐτοῖς περὶ τῶν ὅλων συμβολῆς περὶ Ἱεριχοῦντα, καταλιπόντες οἱ πλεῖστοι τὸν Ὑρκανὸν, μεταβαίνουσι πρὸς τὸν Ἀριστόβουλον. ὁ δὲ μετὰ τῶν συμμεινάντων φθάνει συμφυγὼν ἐπὶ τὴν Ἀντωνίαν, καὶ κυριεύσας τῶν πρὸς σωτηρίαν ὁμήρων, ταῦτα δ' ἦν ἡ Ἀριστοβούλου γυνὴ μετὰ τῶν τέκνων, ἀμέλει πρὶν ἀνηκέστου πάθους, διελύθησαν, ὥς τε βασιλεύειν μὲν Ἀριστόβουλον, Ὑρκανὸν δ' ἐκστάντα τῆς ἄλλης ἀπολαύειν τιμῆς, ὥσπερ [f] ἀδελφὸν βασιλέως. ἐπὶ τούτοις διαλλαγέντες ἐν τῷ ἱερῷ, καὶ τοῦ λαοῦ [g] περιεστῶτος φιλοφρόνως ἀλλήλους ἀσπασάμενοι, διήμειψαν τὰς [h] οἰκίας. Ἀριστόβουλος μὲν γὰρ, εἰς τὰ βασίλεια, Ὑρκανὸς δ' ἀνεχώρησεν εἰς τὴν Ἀριστοβούλου οἰκίαν.

βʹ. Δέος δὲ τοῖς τε ἄλλοις τῶν Ἀριστοβούλου διαφόρων ἐμπίπτει παρ' ἐλπίδα κρατήσαντος, καὶ μάλιστα Ἀντιπάτρῳ πάλαι διαμισουμένῳ. [i] γένος δ' ἦν Ἰδουμαῖος, προγόνων τε ἕνεκα καὶ πλούτου καὶ τῆς ἄλλης ἰσχύος πρωτεύων τοῦ ἔθνους. [k] ὁ αὐτὸς δὲ ἅμα καὶ τὸν Ὑρκανὸν, Ἀρέτᾳ προσφυγόντα τῷ βασιλεῖ τῆς Ἀραβίας, ἀνακτήσασθαι τὴν βασιλείαν ἔπειθε, καὶ τὸν Ἀρέταν δέξασθαί τε τὸν Ὑρκανὸν, καὶ καταγαγεῖν ἐπὶ τὴν ἀρχήν. πολλὰ μὲν τὸν Ἀριστόβουλον εἰς τὸ ἦθος διαβάλλων, πολλὰ δ' ἐπαινῶν τὸν Ὑρκανὸν, παρῄνει [l] δέξασθαι. καὶ ὡς πρέπον εἴη τὸν οὕτω [m] λαμπρᾶς προεστῶτα βασιλείας, [n] ὑπερέχειν χεῖρα [o] τοῖς ἀδικουμένοις. ἀδικεῖσθαι δὲ Ὑρκανὸν, στερηθέντα τῆς κατὰ

[p] τὸ

x Εἰς] *Roſ.* πρὸς Ἀντωνίαν.
y Ἀντωνίαν.] Conf. ſup. c. 3. §. 3. Spanh.
z Τοῦ ἱεροῦ] *Roſ.* τῷ ἱερῷ.
a Βᾶρις ὀνομαζόμενον,] Hieronymus in Epiſtola ad Principiam: *Baris, verbum eſt ἐπιχώριον Paleſtinæ.* בירה in ſacris literis, Βᾶρις a Græcis dicitur. Hinc לפני הבירה eſt κατὰ πρόσωπον τῆς Βάρεως in Talmude. Rel.
b Ἀγριππιὰς] Conf. ſup. c. 4. §. 8. Spanh.
c Τἀδελφοῦ καταλύσεως,] Τοῦ ἀδελφοῦ *Big.* & *Voſſ.* τοῦ Ὑρκανοῦ *Bod.* & *Roſ.* τἀδελφοῦ Ὑρκανοῦ legiſſe videtur *Ruf.*
d Τελευτᾷ,] Ἐτελεύτησε *Bod.*
e Γενομένης δὲ αὐτοῖς] Alexandræ ſucceſſit Hyrcanus Ol. CLXXVII. 3. Q. Hortenſio & Q. Metello Cretico Coſſ. *Antt.* l. 14. c. 5. §. 4. Idem regno ceſſit Ariſtobulo poſt tres menſes *Antt.* p. 977. 978. Ariſtobulum deturbavit Pompejus Ol. CLXXIX. C. Antonio & M. T. Cicerone Coſſ. *Antt.* l. 14. c. 4. §. 3. anno primo *Euſeb.* cum triennium & totidem menſes regnaſſet *Antt.* XX. 8. Habemus igitur pro ſexennio triennium & ſemiſſ de reliquo tempore ſilentium eſt. Verum exinde nonnulli male corrigunt *Joſephum*, & pro tribus Hyrcani menſibus totidem annos reponunt. Quis enim credat Ariſtobulum, qui vivente etiamnum Alexandra XXII. caſtella occupaverat, totamque pene dominationem ad ſe traxerit, univerſum poſtea triennium & amplius expectaſſe, donec frater regno cederet? Satius eſt dicere quod *Joſephus* illud pluſquam biennium quo litem hanc bellumque inter fratres duraſſe colligitur ex *Antt.* XIV. 3. 4. eorum neutri attribuit, ſed pro interregno habet. Aldr.
f Ἀδελφὸν βασιλέως.] Ἀδελφῷ *MS. Lipſ.* Spanh. Ita *Big.* & *Voſſ.* ἀδελφὸς *Baſ.* & *Gen.* ὥσπερ ἀδελφοῦ *Roſ.* ὡς παρ' ἀδελφοῦ *Bod.*
g Περιεστῶτος] *Lugd. Bat.* Περιεστῶτες.
h Οἰκίας.] *Gen.* οἰκείας, & mox οἰκείαν.
i Γένος δ' ἦν Ἰδουμαῖος,] De ejus genere è Judæis Babyloniis Nicol. Damaſcen. ἀρχ. lib. 14. c. 1. §. 3. Spanh. De eo quid mentitus ſit *Nicolaus Damaſcenus* vide *Antt.* l. 14. c. 1. §. 3. Illum ſequitur *Arabs* in *Bibliis Polyglottis cap.* 35. *hiſtoria Maccabaicis ſubnexa.* Plerique Patres Chriſtiani Antipatrum cenſent Herodis cujuſdam Aſcalonitæ Apollinis Hieroduli filium fuiſſe, abductum à latronibus Idumæis eorumque moribus & diſciplina imbutum. Qua de re vide *Euſeb* in *Hiſt.* l. 6. 7. Idumæos *Strabo* fuiſſe dicit Nabatæos, qui, patria per ſeditionem ejecti, Judæis ſe adjunxerint & eorum leges ſint amplexi: indeque Herodem ἄνδρα ἐπιχώριον, quem Antigonus *Antt.* l. 14. c. 15. §. 8. [illegible] vocat. Idumæi pro Judæis habebantur poſtquam illos Joannes Hyrcanus circumciſionem cæteroſque ritus Judaicos ſuſcipere coegiſſet: Judæi non tam gentis quam religionis nomen eſt. Vide *Strab.* l. XVI. p. 760. & p. 765. *Antt.* XIII. 27. & *Dionem.* in *lib.* 37. Aldr. Vide ad l. 14. c. 15. §. 8.
k Ὁ αὐτὸς δὲ ἅμα] Οὗτος δὲ ἅμα *MS. Lipſ.* Spanh.
l Δέξασθαι.] Δέχεσθαι *Bod. Roſ.* & *Lugd. Bat.*
m Λαμπρᾶς προεστῶτα βασιλείας,] Λαμπρῶς *Bod.*
n Ὑπερέχειν] Ὑπερέχειν (*Gen.* ὑπερέχειν) *MS. Big.* & *Ox.* Spanh. & alii quoque MSS.
o Τοῖς ἀδικουμένοις.] Τῷ ἀδικουμένῳ *MS. Lipſ.* Spanh. Τῷ ἀδικουμένῳ *Lipſ.* & *Lugd. Bat.* Forſan, ὑπερέχειν χεῖρα τῷ ἀδικουμένῳ *oppreſſos protegere.*
* Καὶ τῆς ἄλλης ἰσχύος non interpretatur *Rufinus.* forſan quod ea non habuerit in *ſuo Codice.*

p Τὸ

[p] τὸ πρεσβεῖον αὐτῷ προσηκούσης ἀρχῆς. προκατασκευάσας δὲ [q] ἀμφοτέρους, νύκτωρ ἀναλαβὼν Ὑρκανὸν, [r] τῆς πόλεως ἀποδιδράσκει, καὶ συντόνῳ φυγῇ χρώμενος, εἰς τὴν καλουμένην Πέτραν διασώζεται. βασίλειον αὕτη τῆς Ἀραβίας ἐστίν. ἔνθα τῷ [s] Ἀρέτᾳ τὸν Ὑρκανὸν ἐγχειρίσας, καὶ πολλὰ μὲν καθομιλήσας, πολλοῖς δὲ δώροις ὑπελθὼν, δοῦναι δύναμιν αὐτῷ πείθει τὴν κατάξουσαν αὐτόν. ἦν δ' αὕτη πεζῶν τε καὶ ἱππέων πέντε μυριάδες, πρὸς ἣν οὐκ ἀντέσχεν Ἀριστόβουλος. ἀλλ' ἐν τῇ πρώτῃ συμβολῇ [t] λειφθεὶς, εἰς Ἱεροσόλυμα συνελαύνεται. κἂν ἔφθη κατὰ κράτος ληφθεὶς, εἰ μὴ Σκαῦρος ὁ Ῥωμαίων στρατηγὸς, ἐπαναστὰς αὐτῶν τοῖς καιροῖς, ἔλυσε τὴν πολιορκίαν. ὃς ἐπέμφθη μὲν εἰς [v] Συρίαν ἀπὸ Ἀρμενίας ὑπὸ Πομπηίου Μάγνου, πολεμοῦντος πρὸς Τιγράνην. παραγενόμενος δὲ εἰς Δαμασκὸν, ἑαλωκυῖαν προσφάτως ὑπὸ Μετέλλου καὶ Λολλίου, καὶ τούτους μεταστήσας, [x] ἐπεὶ καὶ τὰ κατὰ τὴν Ἰουδαίαν ἐπύθετο, [y] καθάπερ ἐφ' ἕρμαιον ἠπείχθη.

γ'. Παρελθόντος γοῦν εἰς τὴν χώραν, [z] πρέσβεις εὐθέως ἧκον [a] παρὰ τῶν ἀδελφῶν ἑκατέρων, ἑκάτερος δεομένου βοηθεῖν αὐτῷ. γίνεται δ' ἐπίπροσθεν τοῦ δικαίου τὰ παρὰ Ἀριστοβούλου [b] τριακόσια τάλαντα. τοσοῦτον γὰρ λαβὼν Σκαῦρος ἐπικηρυκεύεται πρός τε Ὑρκανὸν καὶ τοὺς Ἄραβας, ἀπειλῶν Ῥωμαίους καὶ Πομπήιον, εἰ μὴ λύσειαν τὴν πολιορκίαν. ἀνεχώρησε δ' ἐκ τῆς Ἰουδαίας [c] εἰς Φιλαδέλφειαν Ἀρέτας καταπλαγεὶς, καὶ πάλιν εἰς Δαμασκὸν Σκαῦρος. Ἀριστοβούλῳ δ' οὐκ ἀπέχρησε τὸ μὴ [d] ἁλῶναι, πᾶσαν δὲ τὴν δύναμιν ἐπισυλλέξας, εἵπετο τοῖς πολεμίοις, καὶ περὶ τὸν καλούμενον [e] Παπυρῶνα συμβαλὼν αὐτοῖς, [f] ὑπὲρ ἑξακισχιλίους κτείνει, [g] μεθ' ὧν καὶ τὸν ἀδελφὸν [h] Ἀντιπάτρου, [i] Φαλίωνα.

δ'. Ὑρκανὸς δὲ καὶ Ἀντίπατρος, τῶν Ἀράβων ἀφαιρεθέντες, μετέφερον ἐπὶ τοὺς ἐναντίους τὴν ἐλπίδα. καὶ ἐπειδὴ [k] Πομπήιος [l] ἐπιὼν τὴν Συρίαν εἰς Δαμασκὸν ἧκεν, ἐπ' αὐτὸν καταφεύγουσι. [m] καὶ δίχα δώρων, [n] ταῖς καὶ πρὸς Ἀρέταν δικαιολογίαις χρώμενοι κατελιπάρουν, μισῆσαι μὲν τὴν Ἀριστοβούλου βίαν, κατάγειν δ' ἐπὶ τὴν βασιλείαν τὸν καὶ τῷ τρόπῳ [o] καὶ καθ' ἡλικίαν [p] προσήκοντα. οὐ μὴν [q] οὐδ' ὁ Ἀριστόβουλος ὑστέρει, πεποιθὼς τῇ Σκαύρου δωροδοκίᾳ. παρῆν τε καὶ αὐτὸς, ὡς οἷόν τε ἦν βασιλικώτατα κεκοσμηκὼς ἑαυτόν. ἀδοξήσας δὲ [r] πρὸς τὰς θεραπείας, καὶ μὴ φέρων δουλεύειν ταῖς χρείαις ταπεινότερον τοῦ σχήματος, ἀπὸ [s] Διοσπόλεως χωρίζεται.

ſibi debito, exciderat. Cum autem ambos ita præparaſſet, noctu cum Hyrcano ex civitate profugit, curſuque citato in oppidum quod Petra dicitur ſalvus evaſit. ea eſt Arabiæ regia. Ibi cum Hyrcanum Aretæ in manus tradidiſſet, & multa quidem verba feciſſet, multis vero muneribus eum ſubiiſſet, perſuadet ei ſuppeditare copias quibus in regnum reſtitueretur. erant autem iſtæ peditum equitumque quinquaginta millia, quibus nequaquam reſtitit Ariſtobulus, ſed primo in congreſſu deſertus *à ſuis*, cum illis Hieroſolyma ſe recipit: & proculdubio vi captus fuiſſet, niſi dux Romanorum Scaurus * adverſis horum temporibus imminens obſidionem ſolviſſet. Namque is ex Armenia quidem in Syriam miſſus erat à Pompejo Magno, qui cum Tigrane bellum gerebat. Cum autem Damaſcum veniſſet, nuper admodum à Metello & Lollio captam, & illos inde abduxiſſet, audito quo in ſtatu res Judæorum eſſent, *illuc* veluti ad certum quæſtum properabat.

Aretas Hyrcano auxilium ſuppeditat. Antt. l. 14. c. 1. §. 4.

Ariſtobulus Hieroſolymis obſidetur. Antt. l. 14. c. 2. §. 1.

3. Denique mox ut regionem ingreſſus eſt, legati ad eum veniunt à fratribus utriſque, uno & altero orantibus ut ſibi opem ferret & auxilium. Sed plus apud eum valebant trecenta talenta ab Ariſtobulo miſſa, quam jus & æquum. Tot enim acceptis ad Hyrcanum & Arabas legatos mittit Scaurus, Romanorum & Pompeji nomine minas illis intentans, niſi ab obſidione deſiſterent. Itaque Aretas metu perculſus ex Judæa in Philadelphiam receſſit, & Scaurus Damaſcum repetit. Ariſtobulo autem non ſuffecit, quod captus non fuerit; ſed copiis *ſuis* omnibus coactis, hoſtes perſequebatur: prœlioque ad Papyrona ut vocatur commiſſo, ſupra ſex eorum millia occidit; in quibus erat & Phalion Antipatri frater.

Scaurus ingreditur Judæam Antt. l. 14. c. 2. §. 3.

Obſidionem Hieroſolymorum ſolvit. Antt. l. 14. c. 2. §. 3.

4. Hyrcanus vero & Antipater, Arabum privati auxilio, ſpem in adverſarios tranſtulerunt. Et poſtquam Pompejus Syria peragrata Damaſcum perveniſſet, ad ipſum confugiunt: nulliſque ei datis muneribus, ac eadem in juris ſui defenſionem, quibus ad Aretam uſi ſunt, afferentes, ei ſupplicarunt, ut, Ariſtobuli vi odio habita, regno Hyrcanum reſtitueret, cui tam ætate quam moribus deberetur. Sed nec Ariſtobulus ſibi deerat, Scauro fretus, quem muneribus corruperat: nam & ipſe aderat, cultu regio, quoad ejus fieri poterat, ornatus. Verum indignum ratus ut obſequiis niteretur, ægreque ferens abjectius quam habitum ejus deceret utilitati ſervire, à Dioſpoli digreditur.

Hyrcanus & Antipater ad Pompejum ſe conferunt. Antt. l. 14. c. 2. §. 3.

Aderat etiam Ariſtobulus & mox digreditur. Antt. l. 14. c. 3. §. 3.

5. De

p Τὸ πρεσβεῖον] Articulum τὸ negligit *Lugd. Bat.*

q Ἀμφοτέρους,] *Gen.* ἀμφοτέρας.

r Τῆς πόλεως ἀποδιδράσκει,] Ἐκ τ. πολ. *MS. Ox.* Spanh. Ἐκ τῆς πόλεως *Voſſ. Roſſ. Big.* & *Bod.*

s Ἀρέτᾳ] Τῷ Ἀρέτᾳ βασιλεῖ *Ruf.*

t Λειφθεὶς] Λειφθεὶς *MS. Ox.* Spanh. Ita *Voſſ.* & *Roſſ.* & recte. Ariſtobulus nempe à ſuis deſertus eſt. μονωθεὶς *Antt.* l. 14. c. 2. §. 1. λαφθεὶς *Baſ.* & *Gen.* θλιφθεὶς *Bod.*

v Συρίαν ἀπὸ Ἀρμενίας] Συρ. ἀπὸ Ἀρμενίας *Ox.* & *Edit. Baſil.* Spanh. Deerat ἀπὸ in *Edit. Gen.* ſed eſt in *MSS.*

x Ἐπεὶ καὶ] *Lugd. Bat.* ἐπειδὲ.

y Καθάπερ ἐφ' ἕρμαιον ἠπείχθη.] *Roſſ.* ita plane exhibet κ. ἐ. ἑ. ὥσπερ καθάπερ (ſic) ἠπείχθη. quod ex gloſſa vel duplici ſcriptura natum videtur. Hav.

z Πρέσβεις εὐθέως ἧκον] Ἰουδαίων πρέσβεις *Ruf.*

a Παρὰ τῶν ἀδελφῶν ἑκατέρων,] Παρὰ τῶν ἀδελφῶν, ἑκατέρου δεομ. *Bod.* & *Big.* Huds. Imo & *Lugd. Bat.* ita ut ſeſe ſatis tueri iſta lectio poſſit, ſi præcedens comma deleatur. Hav.

b Τριακόσια τάλαντα.] *Gen.* Τετρακόσια ut ἀρχ. lib. 14. c. 2. §. 3. ſed *MS.* & *Rufin Ox* hic τριακόσια. Spanh. Ita *Bod. Roſſ.* & *Ruf.* nec aliter in *Cod.* aliquot *Antt.* aliis τετρακόσια præferentibus. Διακόσια *Voſſ.*

c Εἰς Φιλαδέλφειαν Ἀρέτας καταπλαγεὶς,] Conf. ſup. cap. 2. §. 4. Spanh.

d Ἁλῶναι,] Ἁλῶναι è MS. Ox. Spanh. Sic *Voſſ. Big. Roſſ.* & *Ruf.* ἁλῶναι *Baſ. Gen.* & aliquot *MSS.*

e Παπυρῶνα] Conf. Antt. lib. 14. c. 2. §. 3. ubi Παπυρῶνα Spanh.

f Ὑπὲρ ἑξακισχιλίους] Περὶ ἑξακισχιλίους. *MS. Ox.* Spanh. Ita *Voſſ. Big. Bod.* & *Ruf.* ut & *Hen. Euſeb.* & *Epiphan.* in *Antt.* l. 14. c. 2. §. 3. ὑπὲρ πεντακισχιλίους *Baſ.* & *Gen.* & in *Antt.* ὑπὲρ ἑξακισχιλίους.

g Μεθ' ὧν] Deeſt in *Lugd. Bat.* & *Roſſ.*

h Τὸν Ἀντιπάτρου,] *Lugd. Bat.* τοῦ. verum ſæpe ita amat loqui Joſephus. Hav.

i Φαλίωνα.] Antt. lib. 14. c. 2. §. 3. Antipatri frater dictus Κεφάλων *Gen.* καὶ Φαλίων. *Hudſ.* Spanh. Ita lego prout in *Antt.* l. 14. c. 2. in fine. Incertum quomodo legerit *Rufinus*, quum nonnulli codices habeant *Cephalon*, alii *Phallion*. Huds.

k Πομπήιος] De Pompeji rebus in Syria geſtis conſule *Plutarchum* in *Pompejo*, *Dionem*. l. 37. *Appianum* in *Mithridaticis* p. 244. *Syriacis* p. 119. *Strabonem* l. XVI. p. 762, 765. *Tacitum* in *Hiſt.* V. 9. *Florum* V. 5. *Oroſium* VI. 6. *Lucanum* in *Pharſal.* 3. *Euſebium* in *Dem.* VIII. 2. *Joſephus* in *Antt.* teſtes laudat *Strabonem* (*Cappadocem*) *Nicolaum* (*Damaſcenum*) & *T. Livium*, nempe lib. 102. ut ex *epitome* patet. Aldr.

l Ἐπιὼν τὴν Συρίαν] Ἐπελθὼν *Bod.* & *Roſſ.*

m Καὶ δίχα] Vel οὐ δίχα δ. & ita *Rufin.* Spanh. Interpres Lat. *multiſque muneribus* &c. atqui ex oppoſitione conatuum Ariſtobuli videtur ſequi Pompejum quoque dona accepiſſe quæ ab Hyrcano afferebantur, nam, ut vere de illo Cato apud Lucanum, l. 9. p. 197.

Immodicas poſſedit opes, ſed plura retentis
Intulit. Hav.

n Ταῖς] Ita *Lugd. Bat.* reliqui ἐν. minus commode. Hav.

o Καὶ καθ' ἡλικίαν] Haud ἐν è *MSS.*

p Προσήκοντα.] Forte προσήκουσα. Coccejus.

tem agebat, cætera benevolentiam præ ſe ferens, utque reditum maturaret orans atque obſecrans. fore enim, ut, itinere accelerato, miſſum faciat querelas adverſus matrem. nam matrem ſuam *è regia* ejectam eſſe non ignorabat Antipater. Et prius quidem Tarenti literas acceperat de morte Pheroræ, & maximum edidit luctum, id quod nonnulli quaſi ob patruum factum laudabant. Verum, quantum conjicere datum eſt, cauſa conturbationis erat, quod inſidiæ pro voto non ceſſerant, neque tam Pheroram lugebat quam *maleficiorum* miniſtrum. Præterea ob ea quæ confecerat metus eum occupabat, ne forte deprehenderetur venenum. Tunc autem in Cilicia literis à patre, *ut* jam ante diximus, acceptis, ſtatim quidem feſtinabat. Ubi vero in Celenderim navi advectus erat, ſubiit eum quædam de matris calamitate cogitatio, anima ex ſeipſa *mali aliquid* præſagiente. Et amicorum quidem prudentiores *ei* conſulebant, ne prius patrem conveniret, quam pro certo cognoſceret, quibus ex cauſis matrem ejus *regia* pepuliſſet: quippe *ipſos* in metu eſſe, ne fiat acceſſio ad crimina matri objecta. Qui vero minus providi erant parumque cauti, & patriæ viſendæ cupidi magis quam quid Antipatro in rem eſſet conſiderantes, hortabantur ut properaret, & non ex cunctatione patri quidem pravæ ſuſpicionis cauſam præberet, anſam vero calumniantibus daret. Etenim nunc ſi quid contra eum motum fuerit, ex abſentia ejus ortum cepiſſe; neque quenquam id auſum eſſe, eo præſente. Abſurdum autem videri propter ſuſpiciones incertas certis exui bonis; neque mature ſe patri reddere, ab eoque regnum accipere, in eo ſolo fluctuans. Paruit his Antipater, impellente Dei numine: cumque *inde mare* tranſiiſſet, in Sebaſtum Cæſareæ portum vehitur.

Antipater de ſe ſollicitus.

Non autem idemque Antipatro ſuadetur ab amicis. Ant. l. 17. c. 5. §. 2.

4. Illic autem præter opinionem offendit maximam ſolitudinem, utpote quod omnes eum devitarent, nec quiſquam auderet ad eum accedere. nam ſimiliter *omnibus* erat inviſus, & tunc nemo ſubveritus eſt ſuum prodere odium. Multos autem avertebat metus à rege incuſſus: quoniam omnes jam civitates impleverat fama Antipatro adverſa, ſoluſque de ſe quid ageretur ignorabat Antipater. Nec enim vel clarius eo quiſquam deductus eſt cum Romam navigaret, vel minus honorifice inde ſuſceptus eſt. Cæterum ille cum jam aliquid ſuſpicaretur de calamitate eum domi manente, adhuc tamen omnia callide diſſimulabat, cumque interius fere mortuus eſſet præ metu, coactus eſt vultum præ ſe ferre arrogantem. nulla autem fugæ via patebat, nec potuit è malis quibus circumdatus erat evadere: & nihil quidem certi de domo etiam illic nunciabatur propter minas à rege intentatas: ſpei vero aliquid lætioris relictum erat, aut nihil forſan deprehenſum eſſe, aut ſi quid fuerit deprehenſum, forſan erit ut illud diſcuteret impudentia & aſtutia; quæ ſolæ *ei* in ſalutem cedere poterant.

Antipater amicorum minus prudentium conſilium ſequitur.

De rebus ſuis dubitare cœpit.

5. Itaque iſtis inſtructus munituſque in regiam intrabat abſque amicis: nam illi ad primam januam contumelioſe repulſi erant. Intus autem *forte* aderat Varus Syriæ præſes. Cæterum ad patrem ingredi-

Male excipitur domum reverſus. Ant. l. 17. c. 5. §. 1.

φρονίμως, καὶ σπεύδειν παρεκάλει. θήσεσθαι γὰρ αὐτοῦ καὶ τὰς πρὸς τὴν μητέρα μέμψεις [d] ἐπειχθέντος, οὐ γὰρ ἠγνόει τὴν [e] ἐκβολὴν τῆς μητρὸς Ἀντίπατρος. πρότερον μὲν οὖν εἰλήφει τὴν περὶ τῆς Φερώρα τελευτῆς ἐπιστολὴν ἐν [f] Τάραντι, καὶ μέγιστον ἐποιήσατο πένθος, ὃ καί τινες ὡς ἐπὶ θείῳ κατῄνουν. ἦν δὲ, ὡς ἔοικεν, ἐπὶ διαμαρτίᾳ τῆς ἐπιβουλῆς ἡ σύγχυσις, καὶ οὐ Φερώραν κλαίων, ἀλλὰ τὸν ὑπηρέτην. ἤδη δὲ καὶ φόβος ἐπῄει τις [g] αὐτὸν τῶν [h] τετελεσμένων, μή ποτε φωραθείη τὸ φάρμακον. τότε δὲ ἐν Κιλικίᾳ λαβὼν ἣν προειρήκαμεν παρὰ τοῦ πατρὸς ἐπιστολὴν, παραχρῆμα μὲν ἔσπευδεν. ὡς δὲ εἰς Κελένδεριν κατέπλει, λαμβάνει τις αὐτὸν ἔννοια τῶν περὶ τὴν μητέρα κακῶν, προμαντευομένης ἤδη [i] καθ᾽ ἑαυτὴν τῆς ψυχῆς. οἱ μὲν οὖν προμηθέστεροι τῶν φίλων συνεβούλευον, μὴ πρότερον ἐμπίπτειν τῷ πατρὶ, πρὶν πυθέσθαι σαφῶς δι᾽ ἃς αἰτίας ἐξέβαλεν αὐτοῦ τὴν μητέρα. δεδιέναι γὰρ μὴ πρὸς προσθήκη γένηται τῶν κατ᾽ ἐκείνης διαβολῶν. οἱ δὲ ἀσκεπτότεροι, καὶ τὴν πατρίδα σπεύδοντες ἰδεῖν μᾶλλον, ἢ τὸ συμφέρον Ἀντιπάτρῳ σκοποῦντες, ἐπείγεσθαι παρῄνουν, καὶ μὴ τῇ μελλήσει παρασχεῖν τῷ πατρὶ μὲν ὑποψίαν φαύλην, τοῖς διαβάλλουσι δ᾽ ἀφορμήν. καὶ γὰρ νῦν εἴ τι κεκίνηται κατ᾽ αὐτοῦ, [k] παρὰ τὴν ἀπουσίαν γεγονέναι. μηδὲ γὰρ ἂν τολμῆσαι, παρόντος. ἄτοπον δὲ εἶναι δι᾽ ἀδήλους ὑποψίας, προδήλων ἀγαθῶν στερίσκεσθαι, καὶ μὴ θᾶττον ἀποδοῦναι μὲν ἑαυτὸν τῷ πατρὶ, κομίσασθαι δὲ τὴν βασιλείαν, ἐπ᾽ αὐτῷ μόνῳ [l] σαλεύουσαν. πείθεται τούτοις, ἐνῆγε γὰρ τὸ δαιμόνιον. καὶ διαπεράσας [m] εἰς τὸν Σεβαστὸν τὸν λιμένα τῆς Καισαρείας κατάγεται.

δ'. Παρυπήντησε δὲ αὐτῷ παρὰ δόξαν ἐρημία πολλὴ, πάντων ἐκτρεπομένων, καὶ μηδενὸς προσιέναι τολμῶντος. ἐμισεῖτο μὲν γὰρ ἐπίσης, καὶ τότε φανῆναι τὸ μῖσος ἔσχε παρρησίαν. πολλοὺς δὲ ὁ ἐκ τοῦ βασιλέως φόβος ἀπέστρεφεν, ἐπειδὴ πᾶσα πόλις ἤδη τῆς κατ᾽ Ἀντιπάτρου φήμης πεπλήρωτο, καὶ μόνος ἠγνόει τὰ καθ᾽ ἑαυτὸν Ἀντίπατρος. οὔτε γὰρ προεπέμφθη λαμπρότερόν τις ἐκείνου πλέοντος ἐπὶ Ῥώμης, οὔτε ἀτιμότερον ὑπεδέχθη. ὁ δὲ ἤδη μὲν ὑπενόει τὰς οἴκοι συμφορὰς, ἔτι δὲ πανουργίᾳ ὑπεκρύπτετο. καὶ τῷ δέει τεθνηκὼς ἔνδοθεν, σοβαρὸς εἶναι τὸ πρόσωπον ἐβιάζετο. φυγὴ δ᾽ [n] ἦν οὐκέτι, οὐδὲ ἐκ τῶν περιεχόντων ἀνάδυσις, καὶ σαφὲς μὲν οὐδὲ ἐκεῖ τι τῶν οἴκοθεν ἀπηγγέλλετο διὰ τὴν ἐκ τοῦ βασιλέως ἀπειλήν. ὑπελείπετο δ᾽ ἐλπὶς ἱλαρωτέρα, τάχα μὲν μηδὲν [o] πεφωρᾶσθαι, τάχα δ᾽ εἴ τι καὶ πεφώραται [p] διασκεδάσειν ἀναιδείᾳ καὶ δόλοις, ἅπερ ἦν αὐτῷ μόνα τῆς σωτηρίας ἐφόδια.

ε'. Φραξάμενος οὖν αὐτοῖς, ἧκεν εἰς τὸ βασίλειον δίχα τῶν φίλων. οὗτοι γὰρ ὑβρισθέντες ἐπὶ τοῦ πρώτου πυλῶνος εἴρχθησαν. ἔτυχε δὲ ἔνδον ὢν ὁ τῆς Συρίας ἡγεμὼν Οὔαρος. ὁ δὲ εἴσεισι πρὸς τὸν πατέρα, καὶ, τῷ

d Ἐπειχθέντος.] *Roſſ.* Ἐπειχθέντα.
e Ἐκβολὴν] *Roſſ.* Ἐκβουλήν.
f Τάραντι,] Τάρας in Nummis quoque, nomen conditoris, uti Ninus, & urbis. Rel. Vide Tabulas Numiſmatum, in fine hujus Tomi.
g Αὐτὸν] Αὐτῷ τῶν λελογισμένων *Voſſ.* Huds. Αὐτῷ *Voſſ.* Spanh.
h Τετελεσμένων,] Λελογισμένων *Voſſ.* Spanh.
i Καθ᾽ ἑαυτὴν] *Lugd. Bat.* Καθ᾽ ἑαυτῆς.
k Παρὰ τὴν ἀπουσίαν] Κατὰ τὴν ἀπ. *Bod.*
l Σαλεύουσαν.] Σαλευομένην in *pleriſque MSS.* ut & *Roſſ.*
m Εἰς τὸν Σεβαστὸν] Ita, vel εἰς τὸν λιμένα τῆς Καισαρείας Σεβαστὸν cum Cl. *Aldrichio* legendum cenſeo: præſertim cum eo modo legiſſe videatur *Rufinus*, qui vertit, *tranſmiſſuſque in Sebaſtum Cæſareæ portum defertur.* Vide *Ant.* lib. 17. c. 5. §. 1. & Cl. *Relandum* in *Palæſtina* S. p. 672. Huds. Conf. ſup. c. 21. §. 5. Spanh. Τὸν Σεβαστὸν pro quo in margine codicis reperto, imperitus aliquis librarius τὸν Σεβαστὸν textui inſeruit alieno loco. Niſi legiſſet *Rufinus*, omitti poterat. Nunc ſcribendum eſt διαπεράσας εἰς τὸν Σεβαστὸν τὸν λιμένα, vel εἰς τὸν λιμένα τῆς Καισαρείας Σεβαστόν: nam præpoſitionem εἰς in ſoluta oratione caſui ſuo poſtponi, (ſcribitur enim vulgo τὸν Σεβ. εἰς τὸν λιμ.) nimis eſt coactum. Aldr.
n Ἦν οὐκέτι,] *Lugd. Bat.* Οὐκέτι ἦν.
o Πεφωρᾶσθαι,] Πεφανερῶσθαι *Baub.* & *Roſſ.* & mox πεφανέρωται *Voſſ. Baub.* & *Bod.*
p Διασκεδάσειν] Ita cum *Aldrichio* ex *Voſſ. Big. Roſſ.* Ox. & *Bod.* antea erat διασκεδάσειεν, quod forſan idem poteſt ſignificare ac διασκεδάζειν, ut ſupra modo §. 2. ἀποκαλύπτειν idem valet ac ἀποκαλύψειν.

q Πα-

τῇ τόλμῃ [q] παρακροτήσας ἑαυτὸν, [r] ἤγγισεν ὡς ἀσπασόμενος. κἀκεῖνος, τὰς χεῖρας προβαλὼν καὶ τὴν κεφαλὴν παρεκκλίνας, „ [s] ἔστω, ἐξεβόησε, καὶ τοῦτο πατραλοίου, τὸ περιπλέκεσθαί μοι θέλειν, [t] ἐν τηλικαύταις αἰτίαις ὄντα. φθείρου, δυσσεβεστάτη κεφαλὴ, „ μηδέ μου ψαύσῃς, πρὶν ἀποσκευάσασθαι τὰ ἐγκλήματα. δίδωμι δέ σοι [v] δικαστήριον καὶ δικαστὴν εὐκαίρως ἥκοντα, Οὔαρον. ἴθι, καὶ σκέπτου τὴν ἀπολογίαν εἰς αὔριον. [x] παρέχω γάρ σοι καιρὸν [y] πανουργήμασι." πρὸς ταῦτα μηδὲν ὑπ' ἐκπλήξεως ἀποκρίνασθαι δυνηθεὶς αὐτὸς, ὑπέστρεψε. παραγενόμεναι δὲ πρὸς αὐτὸν, διηγήσαντο πάντας τοὺς ἐλέγχους, ἥτε μήτηρ καὶ ἡ γυνή· καὶ τότε μὲν ἀνανήψας, ἐν σκέψει τῆς ἀπολογίας ἦν.

tur *Antipater*; confirmatuſque audacia, velut ejus ſalutandi cauſa, propius accedebat. Atqui ille protenſis manibus & capite averſo, exclamavit, „ & „ hoc parricidæ eſt, qui me amplexari velit, tot „ criminibus implicitus. Diſpereas, nequiſſimum „ caput, & ne me tange, priuſquam tibi objecta „ diluas. Dabo tibi forum judiciale, & judicem, „ qui opportune præſens adeſt, Varum. Abi, & „ de tui defenſione in diem craſtinum cogita. Nam „ tibi ad verſutias *colligendas* tempus concedo." Ad iſta ille animo conſternatus, quia nihil reſpondere potuit foras ſe recepit. Cum autem ad eum veniſſent mater & uxor, ei omnia expoſuerunt indicia. & tunc quidem experrectus, cogitare cœpit quo pacto ſeſe defenderet.

Tandem Antipater de ſui defenſione cogitat.

ΚΕΦ. λβ'.

Ἐπὶ Οὐάρου κατηγορεῖται Ἀντίπατρος, καὶ ἐλέγχοις φανερωτάτοις ἐπίβουλος εὑρίσκεται. τιμωρίας ἀνεβάλλετο Ἡρώδης ἕως ῥαΐσῃ, καὶ ἐν τούτῳ τὴν διαθήκην μεταγράφει.

ΤΗ δὲ ἐπιούσῃ, συνέδριον μὲν ὁ βασιλεὺς ἀθροίζει τῶν συγγενῶν καὶ φίλων, [z] εἰσκαλεῖ δὲ καὶ τοὺς Ἀντιπάτρου φίλους. προκαθέζεται δ' αὐτὸς ἅμα Οὐάρῳ, καὶ τοὺς μηνυτὰς ἅπαντας ἐκέλευσεν εἰσαγαγεῖν. ἐν οἷς εἰσήχθησαν καὶ τῆς Ἀντιπάτρου μητρὸς οἰκεταί τινες, οἱ πρὸ ὀλίγου συνειλημμένοι, γράμματα κομίζοντες ἀπ' αὐτῆς πρὸς τὸν υἱὸν τοιάδε. „ Ἐπεὶ τοῦ πεφώραται „ πάντα ἐκεῖνα παρὰ τῷ πατρί σου, μὴ παραγίνου πρὸς „ αὐτὸν, ἂν μή τινα πορίσῃ παρὰ Καίσαρος δύναμιν." τούτων σὺν τοῖς ἄλλοις εἰσηγμένων, Ἀντίπατρος εἰσέρχεται, καὶ [a] πεσὼν πρηνὴς πρὸ τῶν ποδῶν τοῦ πατρὸς, „ ἱκετεύω, πάτερ, ἔφη, μηδέν μου προκατεγνωκέναι, „ παρασχεῖν δέ μοι τὰς ἀκοὰς ἀκεραίους εἰς τὴν „ ἀπολογίαν. ἀποδείξω γὰρ ἐμαυτὸν καθαρὸν, ἂν σὺ θέλῃς.

β'. Ὁ δ' αὐτῷ σιγᾷν ἐγκραγὼν πρὸς τὸν Οὔαρον εἶπεν. „ Ἀλλ' ὅτι μὲν καὶ σὺ, Οὔαρε, καὶ πᾶς δικαστὴς ὅσιος, Ἀντίπατρον [b] ἐξώλη κρινεῖ πέπεισμαι. δέδοικα δὲ [c] μὴ κἀμοῦ μισήσῃς τὴν τύχην, „ κἀμὲ κρίνῃς πάσης ἄξιον συμφορᾶς, τοιούτους υἱοὺς „ γεγεννηκότα. χρὴ δέ με [d] διὰ τοῦτο ἐλεεῖσθαι μᾶλλον, ὅτι πρὸς οὕτω μιαροὺς καὶ φιλοστοργότατος „ πατὴρ ἐγενόμην. τοὺς μὲν γὰρ προτέρους βασιλείας „ τε ἔτι νέους ἀξιώσας, καὶ, πρὸς τοῖς ἐν Ῥώμῃ τροφείοις, φίλους Καίσαρος ζηλωτούς τε ποιήσας βασιλεῦσιν ἑτέροις, εὗρον ἐπιβούλους, οἳ τεθνήκασι τὸ „ πλέον Ἀντιπάτρου. νέῳ γὰρ ὄντι καὶ διαδόχῳ, τούτῳ μάλιστα τὴν ἀσφάλειαν ἐπορίζομην. τὸ δὲ μιαρὸν τοῦτο θηρίον, τῆς ἐμῆς ὑπερεμπλησθὲν [e] ἀνεξικακίας, ἤνεγκε κατ' ἐμοῦ τὸν κόρον. ἔδοξα γὰρ αὐτῷ πολὺν ζῆν χρόνον, καὶ τὸ ἐμὸν γῆρας ἐβαρύνθη, „ βασιλεὺς τ' οὐχ ὑπέμεινεν, εἰ μὴ διὰ πατροκτονίας, γενέσθαι. δίκαιά τι βουλευσάμενος, ὅτι κα-

CAP. XXXII.

Apud Varum accuſatus Antipater, manifeſtiſſimis indiciis convincitur. Supplicium ejus differt Herodes donec ipſe convaleſcat, & interea teſtamentum corrigit.

DIE autem ſequente concilium cogit rex cognatorum & amicorum, inſuper & Antipatri amicos advocat. Ipſe autem cum Varo *concilio* præſidet, & indices cunctos adduci juſſit; in quibus adducti erant etiam ſervi quidam matris Antipatri non multo ante comprehenſi, ab ea ad filium deportantes hujuſcemodi literas: „ Quandoquidem „ iſta omnia patri tuo comperta ſunt, cave ad „ eum venias, niſi auxilium à Cæſare impetrave„ ris." His ſimul cum aliis introductis, ingreditur Antipater: cumque pronus ante pedes patris cecidiſſet, „ Oro, inquit, pater, ne me ante tem„ pus condemnatum habeas, ſed aures integras „ & incorruptas meæ defenſioni adhibeas. nam „ memet, ſi tu velis, *ſceleris* purum demon„ ſtrabo.

Judicio ſiſtitur coram Varo. Antt. l. 17. c. 5. §. 3.

2. Herodes autem, cum alta voce Antipatro ſilentium imperaſſet, ad Varum dicebat. At enim nul„ lus dubito, quin & tu quidem, Vare, & quivis „ juſtus judex, Antipatrum hominem perditiſſi„ mum pronunciabis. Nonnihil tamen veritus ſum, „ ne mea quoque tibi inviſa ſit fortuna, omnique „ calamitate me dignum cenſeas, qui ejuſmodi fi„ lios genuerim. Verum ob hoc mei potius miſera„ tione commoveri debes, quod liberorum adeo „ ſceleſtorum pater amantiſſimus fuerim. Nam & „ filios priores, quos, dum adhuc eſſent adoleſcentu„ li, mei in regno ſucceſſores conſtitueram, & „ quos, ne quid dicam de præmiis educationis Ro„ mæ perſolutis, Cæſaris amicos aliiſque regibus „ invidendos feceram, cum mei inſidiatores inve„ niſſem, è medio ſuſtuli in Antipatri gratiam. „ Huic enim, utpote juveni & ſucceſſori, ſecurita„ tem *modis omnibus* præſtari volui. At nefaria hæc „ belua, mea patientia ſupra modum expleta, in me „ ſatietatem ſuam profudit. nam & ipſi diu vivere „ viſus ſum, meamque graviter tulit ſenectutem, „ ſeque regnum adipiſci niſi parricidio non paſſus „ eſt.

Ab Herode accuſatur. Ibid.

q Παρακροτήσας] Ita clariſſime habet *Lugd. Bat.* pro παραθαρσύνας, quod in reliquis omnibus eſt. Et videtur melior eſſe hæc noſtra lectio. dicit enim non modo Antipatrum confirmaſſe animum ſuum, verum etiam fiduciam vultus & lætitiæ ſumpſiſſe, quaſi eſſet applauſu dignus, re optime geſta. Hav.

r Ἤγγισεν] Ἤγγιζεν *Bod.* ἤγγιζε *Rhed.*

s Ἔστω, ἐξεβόησε,] In *MS. Bod.* ἔσω, ἔσω ἐξεβόησε.

t Ἐν τηλικαύταις αἰτίαις ὄντα.] *Roſ.* Ἐπὶ, &c.

v Δικαστήριον] Καὶ δικαστήριον *Buſb. Lugd. Bat.* & *Rhed.* & δικαστήριον, & δικαστὴν οἶα, ἥκ. *Bod.*

x Παρέχω γάρ σοι καιρόν] Æneas ad Turnum apud Virgil. 12. Æneid. verſu 891.

Verte omnes tete in facies; & contrahe quidquid,
Sive animis, ſive arte vales; Hav.

y Πανουργήμασι.] *Roſ.* Πανουργεύμασι.

z Εἰσκαλεῖ δὲ] Qui, cum Alexander cauſam diceret, excluſerat Archelaum. Aldr.

a Πεσὼν πρηνὴς] Πρηνὴς, ἐπὶ πρόσωπον πεπτωκὼς Heſychius. infra lib. 6. c. 1. §. 6. πρηνὴς ἐπ' αὐτῷ, &c. κείμενον. Stahl.

b Ἐξώλη] Ita *Aldrichius* cum *Big.* & *Bod.* ἐξώλην perperam in *cæteris.*

c Μὴ κἀμοῦ] *Roſ.* Κἀγὼ μὴ κἀμοῦ non male. Hav.

d Διὰ τοῦτο] Καὶ διὰ τοῦτο *Buſb.*

e Ἀνεξικακίας,] Conf. ſupr. c. 25. §. 1. Stahl.

f Ευημα,]

eſt. * quæ non immerito in me ſtatuit, quod eum rejectaneum ex agro accerſiverim, &, excluſis quos mihi regina pepererat filiis, regni *mei* ſucceſſorem declaraverim. Tibi, Vare, mentis meæ errorem confiteor. Ego filios iſtos in memet irritavi, quod ſpes illis Antipatri gratia juſtas præciderim. Ecquid beneficii in eos contuli, quod non in iſtum cumulatius effudi? cui vivus etiam poteſtatem meam pene conceſſi, plane & aperte in teſtamento regni ſucceſſorem ſcripſi, & ſeorſum quidem reditum quinquaginta talentorum ei attribui, abunde vero pecuniarum ex meis ſuppeditavi; & nunc cum Romam navigaret, trecenta talenta dedi, ſolumque ex omni familia mea, tanquam patris ſervatorem, Cæſari commendatum eſſe volui. Ecquid vero illi ſceleris ejuſmodi admiſerunt, quantum Antipater? ecquidve probationis contra eos prolatum, quale hunc inſidiatorem eſſe arguit? Verum aliquid proloqui auſus eſt parricida, ſperatque fore ut verborum præſtigiis rurſum occulat veritatem. Tibi, Vare, cavendum: nam ego *iſtam* beluam *probe* novi, & quam ſit veriſimilia dicturus jam nunc proſpicio, fletuſque *ejus* ſimulatos. Hic eſt qui me quondam monebat, ut Alexandrum, cum in vivis eſſet, caverem, neque corpus *meum* omnibus crederem. Hic eſt qui uſque ad cubile meum ingredi ſolebat, & circumſpicere ne quis mihi forte paraſſet inſidias. † Hic eſt qui ſomnos meos curabat, & mihi ſecuritatem præſtabat, & qui mihi occiſorum vicem dolenti conſolationem adhiberet, & de fratrum viventium benevolentia dijudicaret, mei propugnator, & corporis cuſtos. Cum, Vare, in mentem revoco, quantus in unaquaque re ſit veterator, & quam egregius ſimulator, vix me credo vivere, & mirari ſubit quo pacto ſummum adeo inſidiatorem effugerim. Quandoquidem vero Deus aliquis domum meam deſolare videatur, mihique dilectiſſimos contra me ſemper incitare, ego quidem fatum *meum* lugebo, meamque ſolitudinem gemitibus proſequar. Nemo autem qui ſanguinem meum ſitierit è manibus elabetur, etiamſi adverſus omnes filios meos extiterint probationes.

Antipatri defenſio. *Antt. l. 17. c. 5. §. 4.*

3. Dum iſta diceret, ‡ illi quidem ex animi perturbatione abruptus eſt ſermo: Nicolaum vero, unum ex amicis, probationes perſequi juſſit. Interea autem Antipater, ſublato capite (ad patris enim pedes proſtratus jacebat) *magna voce* clamabat; „ Tu, pater, cauſam meam egiſti. Nam quomodo ego parricida *qui* te confitentem habeam, quod ſemper cuſtos tibi adfuerim. pietatem *meam* appellas prodigioſa mea mendacia & ſimulationem. Quomodo itaque aliis in rebus tantæ calliditatis, adeo bardus & inſipiens eram, ut, non intelligerem, facile non eſſe homines latere tantum ſceleris machinantem, cœleſtem vero latere judicem omnino non poſſe, qui omnia aſpicit & ubique præſens adeſt? an fratrum exitum ignorabam, quorum pœnas Deus adeo perſequutus eſt, quod tibi necem machinati fuerint? Quid autem erat quod me contra te incitaret? num regni cupido? ſed regnabam. num odii ſuſpicio? Nonne diligebar? Prætereane aliquis ex te metus? Quin te incolumem ſervans, aliis timendus eram. Num

παραγαγὼν αὐτὸν ἐκ τῆς χώρας ἀπερριμμένον, καὶ παρωσάμενος τοὺς ἐκ βασιλίδος μοι γεγεννημένους, ἀπέδειξα τῆς ἀρχῆς διάδοχον. ἐξομολογοῦμαί σοι, Οὔαρε, τὴν ἐμαυτοῦ φρενοβλάβειαν. ἐγὼ τοὺς υἱοὺς ἐκείνους κατ' ἐμαυτοῦ παρώξυνα, δικαίας αὐτῶν ἀποκόψας ἐλπίδας, δι' Ἀντίπατρον. καὶ τί μὲν ἐκείνους εὐηργέτησα τηλικοῦτον, ἡλίκον τοῦτον; ᾧ γε ζῶν μὲν ὀλίγου δεῖν παρεκεχωρήκεσα τῆς ἐξουσίας, φανερῶς δὲ ταῖς διαθήκαις ἐνέγραψα τῆς ἀρχῆς διάδοχον, καὶ πρόσοδον μὲν ἰδίᾳ πεντήκοντα ταλάντων [f] ἔνειμα, τῶν δὲ ἐμαυτοῦ ἐχορήγησα χρημάτων ἀνέδην, πλέοντι δὲ νῦν εἰς Ῥώμην ἔδωκα τριακόσια τάλαντα, Καίσαρι δὲ ἐξ ὅλης τῆς γενεᾶς μόνον ὡς σωτῆρα τοῦ πατρὸς παρεθέμην. τί δὲ ἐκεῖνοι τοιοῦτον ἠσέβησαν, οἷον Ἀντίπατρος; ἢ τίς ἔλεγχος ἠνέχθη κατ' αὐτῶν, ἡλίκος [g] ἀποδείκνυσι τοῦτον ἐπίβουλον; ἀλλὰ φθέγγεσθαί τι τετόλμηκεν ὁ πατροκτόνος, καὶ πάλιν δόλοις τὴν ἀλήθειαν ἐπικαλύψειν ἐλπίζει. Οὔαρε, σοὶ φυλακτέον. ἐγὼ γὰρ οἶδα τὸ θηρίον, καὶ προορῶμαι τὴν μέλλουσαν ἀξιοπιστίαν, καὶ τὸν ἐπίπλαστον ὀλοφυρμόν. οὗτός ἐστιν ὁ παραινῶν ἐμοί ποτε φυλάττεσθαι ζῶντα Ἀλέξανδρον, καὶ μὴ πᾶσι πιστεύειν τὸ σῶμα. οὗτος ὁ μέχρι τῆς κοίτης εἰσάγων, καὶ μή τις ἐνεδρεύοι περιβλέπων. οὗτος ὁ ταμίας τῶν ὕπνων, καὶ χορηγὸς τῆς ἀμεριμνίας, ὁ παραμυθούμενος τὴν ἐπὶ τοῖς ἀνῃρημένοις λύπην, καὶ διακρίνων τὴν τῶν ζώντων εὔνοιαν ἀδελφῶν, ὁ ὑπερασπιστὴς ὁ ἐμός, ὁ σωματοφύλαξ. ὅταν ἀναμνησθῶ, Οὔαρε, τὸ πανοῦργον ἐν ἑκάστῳ καὶ τὴν ὑπόκρισιν, ἀπιστία με τοῦ ζῆν εἰσέρχεται, καὶ θαυμάζω πῶς οὕτω βαθὺν ἐπίβουλον διέφυγον. ἀλλ' [h] ἐπεὶ [i] δαίμων τις ἐξερημοῖ τὸν ἐμὸν οἶκον, καὶ μοι τοὺς φιλτάτους ἐπανίστησιν ἀεί, κλαύσομαι μὲν ἐγὼ τὴν ἄδικον εἱμαρμένην, καὶ κατ' ἐμαυτὸν στενάξω τὴν ἐρημίαν. διαφεύξεται δ' οὐδεὶς διψήσας τοὐμὸν αἷμα, κἂν διὰ πάντων μου τῶν τέκνων ὁ ἔλεγχος ἔλθῃ.

γʹ. Τοιαῦτα λέγων, αὐτὸς μὲν ὑπὸ συγχύσεως ἐνεκόπη. Νικολάῳ δέ, ἑνὶ τῶν φίλων, λέγειν „ τὰς [k] ἀποδείξεις ἐκέλευε. μεταξὺ δὲ ὁ Ἀντίπατρος ἐπάρας τὴν κεφαλήν, ἔκειτο γὰρ δὴ βεβλημένος πρὸ τῶν ποδῶν τοῦ πατρός, ἐβόα. „ Σύ, πάτερ, ὑπὲρ ἐμοῦ πεποίηκας τὴν ἀπολογίαν. πῶς γὰρ ἐγὼ πατροκτόνος, ὃν ὁμολογεῖς αὐτὸς φύλακα διὰ παντὸς ἐσχηκέναι. τερατείαν δέ μου καὶ ὑπόκρισιν λέγεις, τὴν εὐσέβειαν. πῶς οὖν ὁ πανοῦργος οὕτως ἐν τοῖς ἄλλοις ἄφρων ἐγενόμην, ὡς μὴ νοεῖν, ὅτι λαθεῖν [l] οὐδὲ ἀνθρώπους ῥᾴδιον τηλικοῦτον [m] μῦσος ἐνσκευαζόμενον, τὸν δὲ ἀπ' οὐρανοῦ δικαστὴν ἀμήχανον, ὃς ἐφορᾷ πάντα, καὶ πανταχοῦ πάρεστιν; ἢ τὸ τῶν ἀδελφῶν τέλος ἠγνόουν, ὡς ὁ Θεὸς οὕτω μετῆλθε τῆς εἰς σὲ κακοβουλίας; τί δέ με καὶ παρώξυνε κατὰ σοῦ; βασιλείας ἐλπίς; ἀλλ' ἐβασίλευον. ὑπόνοια μίσους; [n] οὐ γὰρ ἐστεργόμην; φόβος ἐκ σοῦ τις ἄλλος; ἀλλὰ μὴν σὲ τηρῶν, ἑτέροις φοβερὸς ἤμην.

f Ἔνειμα,] Roſʃ. Ἔνεμον.
g Ἀποδείκνυσι] Roſʃ. Ἐπιδείκνυσι.
h Ἐπεὶ] Ita in *MSS.* ἐπειδὴ δαίμων τις ἐξερημοῖ *Baſ.* & *Gen.*
i Δαίμων——οἶκον,] Domum meam deſolat, inſtigatque dilectiſſimos, quos contra me ſemper incitat. Oxon. Spanh.
k Ἀποδείξεις] Iterum cum *MSS.* ἐπιδείξεις *Baſ.* & *Gen.* Huds. Ἀποδείξεις *Big. Bod.* Ox. Spanh.
l Οὐδὲ] Forte οὐδ' ἄν. Ald. οὐδ' *Voſſ.* & *Big.* ὅτι *Ald.* Huds. Οὐδὲ *Baſil.* οὐδ' *Big.* fortè οὐδ' ἂν Ox. Spanh.
m Μῦσος] Ita *Big.* μῖσος in *cæteris*. Huds. Μῦσος *Big.* Spanh.
n Οὐ γὰρ ἐστεργόμην;] Ἀλλ' ἐστεργόμην *Bas.* [illegible] *Roſ.* Μὴ γὰρ οὐκ ἐστεργόμην; *Roſ.*
* Quæ profecto non iniqua ratione cogitavit, *Ruf.*
† Hic eſt ſomni diſpenſator & miniſter ſecuritatis. *Hegeſipp.*
‡ Indignatione pariter & dolore intercepta eſt vox loquentis: *Hegeſipp.*

Ἔξω

» ἡμῖν. ἔνδεια χρημάτων; καὶ τίνι μᾶλλον [o] ἐξῆν ἀναλίσκειν; εἰ δ' ἐξωλέστατος πάντων ἀνθρώπων ἐγενόμην, καὶ θηρίου ψυχὴν εἶχον ἀνημέρου, πάτερ, οὐκ ἂν ταῖς σαῖς εὐεργεσίαις ἐνικήθην, ὃν κατήγαγες μὲν, ὡς ἔφης αὐτὸς, προέκρινας δὲ [p] τοσούτων τέκνων, ἀπέδειξας δὲ ζῶν βασιλέα, διὰ δ' ὑπερβολὴν τῶν ἄλλων ἀγαθῶν ἐποίησας ἐπίφθονον; ὢ τάλας ἐγὼ τῆς πικρᾶς ἀποδημίας· ὡς πολὺν ἔδωκα καιρὸν τῷ φθόνῳ, καὶ μακρὰν τοῖς ἐπιβουλεύουσι [q] διωρίαν. σοὶ δὲ, πάτερ, καὶ τοῖς σοῖς ἀγῶσιν ἀπεδήμουν, ἵνα μὴ Συλλαῖος τοῦ σοῦ γήρως καταφρονήσῃ. Ῥώμη μοι μάρτυς τῆς εὐσεβείας, καὶ ὁ τῆς οἰκουμένης προστάτης Καῖσαρ, ὁ Φιλοπάτορά με πολλάκις εἰπών. λάβε, πάτερ, τὰ παρ' αὐτοῦ γράμματα. ταῦτα τῶν ἐνθάδε διαβολῶν πιστότερα. [r] ταῦτα ἀπολογία μοι μόνη. τούτοις τῆς εἰς σὲ φιλοστοργίας τεκμηρίοις χρῶμαι. μέμνησο δὲ ὡς οὐχ ἑκὼν ἔπλεον, ἐπιστάμενος τὴν ἐμφωλεύουσαν [s] τῇ βασιλείᾳ [t] καθ' ἐμοῦ δυσμένειαν. σὺ δέ με, πάτερ, ἄκων ἀπώλεσας, ἀναγκάσας καιρὸν διαβολῆς δοῦναι τῷ φθόνῳ. [v] πάρειμι δὲ, ἐπὶ τοὺς ἐλέγχους πάρειμι, διὰ γῆς καὶ θαλάσσης οὐδὲν οὐδαμοῦ παθὼν ὁ πατροκτόνος. [x] ἀλλὰ μήπω τούτῳ ὠφέλημαι τῷ τεκμηρίῳ. κατέγνωσμαι γὰρ καὶ [y] παρὰ Θεῷ [z] καὶ παρὰ σοὶ, πάτερ. κατεγνωσμένος δὲ δέομαι, μὴ [a] ταῖς ἄλλων βασάνοις πιστεύειν, ἀλλὰ κατ' ἐμοῦ φερέσθω τὸ πῦρ, ὁδευέτω διὰ τῶν ἐμῶν σπλάγχνων τὰ ὄργανα, μὴ φείδεσθε ὀλοφυρμοῦ τοῦ μιαροῦ σώματος. εἰ γάρ εἰμι πατροκτόνος, οὐκ ὀφείλω θνήσκειν [b] ἀβασανίστως." τοιαῦτα [c] μετ' ὀλολυγμοῦ καὶ δακρύων ἐκβοῶν, τούς τε ἄλλους ἅπαντας καὶ τὸν Οὔαρον εἰς οἶκτον προεκαλέσατο. μόνον δὲ ὁ θυμὸς Ἡρώδην ἄδακρυν διεκράτει, τοὺς ἐλέγχους ἀληθεῖς ἐπιστάμενον.

δ'. [d] Ἐν τούτῳ, τοῦ βασιλέως κελεύσαντος, Νικόλαος, πολλὰ πρὸς τὸ πανοῦργον τὸ Ἀντιπάτρου προειπὼν, καὶ τὸν ἐπ' αὐτοῦ διαχέας ἔλεον, ἔπειτα πικρὰν κατηγορίαν [e] κατέτεινε, πάντα μὲν τὰ κατὰ τὴν βασιλείαν κακουργήματα [f] περιτιθεὶς αὐτῷ, μάλιστα δὲ τὴν ἀναίρεσιν τῶν ἀδελφῶν, ἀποδεικνὺς ταῖς [g] ἐκείνου διαβολαῖς ἀπολωλότας. ἐπιβουλεύειν δὲ αὐτὸν ἔλεγε καὶ τοῖς ζῶσιν, ὡς ἐφέδροις τῆς διαδοχῆς. τὸν γὰρ [h] παρασκευάσαντα πατρὶ φάρμακον, πότε ἂν ἀδελφῶν ἀποσχέσθαι; [i] προελθὼν δὲ ἐπὶ τὸν ἔλεγχον τῆς φαρμακείας, τάς τε μηνύσεις ἑξῆς ἀπεδείκνυε, καὶ περὶ Φερώρα κατεσχετλίαζεν, ὅτι κἀκεῖνον Ἀντίπατρος ποιήσειεν ἀδελφοκτόνον, καὶ τοὺς φιλτάτους τῷ βασιλεῖ διαφθείρας, ὅλον τοῦ [k] μύσους ἀναπλήσειε τὸν οἶκον. ἄλλα τε πολλὰ πρὸς τούτοις εἰπὼν καὶ ἀποδείξας, καταπαύει τὸν λόγον.

έ. [l] Οὔαρος δὲ κελεύσας ἀπολογεῖσθαι τὸν Ἀντίπα-

» pecuniæ inopia? Et cui adeo licebat quantum vellet expendere? Sin vero omnium hominum perditiſſimus evaſerim, & immanis belluæ animam nactus fuerim, pater, annon tuis vincendus eſſem beneficiis, quem, ut ipſe dixiſti, *in regiam* reduxeris, & tot filiis prætuleris, & vivus regem declaraveris, aliorumque bonorum ingenti magnitudine invidendum reddideris? O me miſerum, ex acerba peregrinatione mea! quam multum temporis livori, & quam longum inſidiantibus ſpatium dederim. Verum tui gratia, pater, & ad tuas cauſas agendas peregre proficiſcebar, ne Syllæus tuam contemptui haberet ſenectutem. Roma mihi teſtis eſt pietatis, & qui orbi terrarum præeſt Cæſar, qui me patris amatorem ſæpiuſcule vocabat. Accipe, pater, has ab eo literas. Iſtæ plus fidei merentur quam *fictæ* criminationes. iſtæ ſola mei defenſio. iſtis mei erga te affectûs argumentis utor. Memento quod invitus hinc navigaverim, ut qui probe norim latentes in regno contra me inimicitias. Tu me, pater, præter voluntatem tuam perdidiſti, qui me accuſandi tempus invidiæ dare compuliſti. Verum præſens adſum, adſum adverſus indicia, terra marique nihil omnino ut parricida perpeſſus; quanquam nihil mihi profuturum ſit hoc argumentum. nam & apud Deum & apud te, pater, ſum condemnatus: condemnatus autem precor, ne aliorum tormentis fidem habeas, ſed in me feratur ignis, per viſcera mea pergant quæſtionum fidiculæ. Ne mihi parcite lamentationis ergo à ſceleſto corpore profectæ. nam ſi parricida ſum, mori non debeo cruciatuum expers". Talia cum ejulatu & lachrymis vociferans, & alios omnes & Varum ad miſericordiam alliciebat. Solum autem Herodem à lachrymis continebat iracundia, utpote quod probationes veras eſſe cognoverit.

4. Tum Nicolaus juſſu regis multa de Antipatri calliditate præfatus, diſcuſſaque illius miſericordia, mox atrociſſimam accuſationem inſtituit, cuncta quidem in regnum admiſſa maleficia ei adſcribens, maxime vero fratrum interitum, quos ipſius calumniis periiſſe demonſtrabat. Quin & ſuperſtitibus eum inſidiari dicebat, ut qui id agerent ut ſucceſſionem interciperent. Quomodo enim à fratribus abſtinere potuit, qui patri venenum paraverat? Cum autem ad veneni probationem veniſſet, & ordine proferebat indicia; & de Pherora valde indignabatur, quod & ipſum Antipater fratricidam feciſſet, iiſque qui regi amiciſſimi erant corruptis, regiam omnem ſcelere compleviſſet. Atque ita, aliis inſuper multis dictis & probatis, finem dicendi facit. *Nicolaus Antipatri crimina exaggerat. Antt. l. 17. c. 5. §. 5. & 6.*

5. Varus autem cum reſpondere juſſiſſet Antipatrum, *Varus Antipatro dicendi pro ſe*

o Ἐξῆν] *Roſ.* Ἐξὸν.
p Τοσούτων] Σὺ τῶν *Big.* Spanh.
q Διωρίαν.] Διωρία ἐχρῶντο οἱ Ἀθηναῖοι, ὥστ' αὐτῷ δὴ προθεσμίαν frequente. Phrynichus. Sic διωρίαν βουλῆς infr. lib. 5. c. 9. §. 1. Spanh.
r Ταῦτα ἀπολογία μοι μόνη.] Ita, ταῦτα ἀπολογία μοι μόνη, cum *Aldricho* inſerta dedimus ex *MS. Gr. & Lat.* Huds. Ταῦτα ἀπολογία μοι μόνη *MS. & Rufin. Oxon.* Spanh. Addit item *Roſ.* Ταῦτα ἀπολογία μοι μόνη. Ita ſcribens. Hav.
s Τῇ βασιλείᾳ] *Lugd. Bat.* Τῆς βασιλείας. Non incongrue. Hav.
t Καθ' ἐμοῦ] Abſunt a *Roſ.*
v Πάρειμι—πάρειμι,] Ita in omnibus fere (certe etiam in *Lugd. Bat.* & *Roſ.*) *MSS.* πάρειμι διὰ γῆς καὶ θαλ. in *Edit. Baſ.* & *Gen.* omiſſis reliquis.
x Ἀλλὰ—τεκμηρίῳ.] Quamquam nihil mihi profuturum ſit hoc argumentum *Oxon.* Spanh.
y Παρὰ Θεῷ] Παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις καὶ σ. in *Bod.* & *Gall.* Huds. Imo etiam in *Roſ.* & ſi velit quis recipi, non abnuo. Hav.
z Καὶ παρὰ σοί,] Καὶ παρὰ ἀνθρώποις add. *Bod. Oxon.* Spanh.

a Ταῖς ἄλλων βασάνοις] Ταῖς τῶν ἄλλων *Bod.* & *Rhed.*
b Ἀβασανίστως.] *Lugd. Bat.* Ἀβασανίστους.
c Μετ' ὀλολυγμοῦ] Μετ' ὀλοφυρμοῦ in quibuſdam *libris.* Huds. Sed in *Lugd. Bat.* atque *Roſ.* lectio *Hudſoniana* quoque exſtat. Hav.
d Ἐν τούτῳ,] *Roſ.* Ἐν τούτοις.
e Κατέτεινε,] Κατέτεινε in *pleriſque* (etiam *Lugd. Bat.*) *MS.* Huds. Κατέτεινε *MS. Ox.* κατατείνεσθαι *fidibus contentis torqueri*, de quæſtionibus ſervorum apud Demoſthenem adv. Olympiod. p. 592. C. κατατεινόμενος ὑπὸ τοῦ βασάνου apud *Euripid. Hecub.* v. 131. λόγων κατατεινομένων *ſermonum controverſorum.* Galenus κατατείνεσθαι pro *diſtrahi labore* uſurpat. Spanh.
f Περιτιθεὶς] Ita *Bod.* & *Raf.* ἀνατιθεὶς in *Editis Aliiſque.* Huds. Περιθεὶς *MS. Lipſ.* Spanh.
g Ἐκείνου διαβολαῖς ἀπολωλότας.] *Roſ.* Ἐκείνου δ. ἀπολωλότας.
h Παρασκευάσαντα] Παρασκευάσαντα *Bod.* Spanh.
i Προελθὼν δὲ] Ita *Aldrichius* cum *Big.* & *Bod.* προσελθὼν in *cæteris.*
k μύσους ἀναπλήσειε] Ita ex *MSS.* (etiam *Lugd. Bat.*) μύσους in *Editis.*
l Οὔαρος δὲ κελεύσας] Οὐάρου δὲ κελεύσαντος *Bod.* & *Roſ.*

perſtatem facit. Ant. l. 17. c. 5. §. 6.

patrum, & ille nihil amplius loquutus, quam Deus teſtis eſt innocentiæ meæ, tacitus jaceret, petiit ut venenum afferretur, & vincto cuidam capitis damnato ebibendum dedit. Cumque ille ſtatim moreretur, Varus quidem, nonnulla in occulto cum Herode colloquutus, quæ geſta erant in concilio ad Cæſarem ſcripſit, poſteroque die *inde* diſcedit: rex autem in vincula conjicit Antipatrum; certoſque ad Cæſarem miſit, qui ſuam illi calamitatem nunciarent.

Antipater in vincula conjectus. Ant. l. 17. c. 5. §. 7.

Ejus in Salomen inſidiæ detectæ ex literis Acmes. Ant. l. 17. c. 5. §. 7.

6. Poſt hæc autem Salomen inſidiis appetiiſſe arguebatur Antipater. Quidam enim è domeſticis Antiphili venerat, literas ferens ab ancillula Juliæ, cui nomen erat Acme. Atque ab ipſa quidem ſcriptum erat regi, * inter literas Juliæ quaſdam à Salome datas ſe reperiſſe, eique clam benevolentiæ ergo *eas* miſiſſe. In Salomes autem literis contumeliæ erant in regem acerbiſſimæ, & accuſatio graviſſima. Iſtæ vero ab Antipatro fictæ erant, cumque is Acmen *pecunia* corrupiſſet, ei perſuaſit ut literas ad Herodem mitteret. Res autem comperta eſt ex ejus ad illum literis. nam muliercula ei ſcripſerat, „ Sicut voluiſti, patri „ tuo ſcripſi, literaſque iſtas *ad eum* miſi, per- „ ſuaſum habens, regem ſorori ſuæ nequaquam „ parſurum, cum eas legerit. Bene autem facies, „ ſi, rebus omnibus perſectis, promiſſorum tuo- „ rum memor fueris.

Inde Herodes Antipatrum de nece filiorum ſuſpicatur.

7. Hiſce literis, & quæ in Salomen compoſitæ erant, deprehenſis, regem ſubiit cogitatio, forſan & illas contra Alexandrum fictas fuiſſe: & vehementer perturbatus erat ex animi motu, quod parum abfuerit quin ſororem propter Antipatrum occidiſſet. Itaque non amplius cunctatus eſt omnia ejus crimina in eum perſequi: ſed, dum in Antipatrum incitatur, morbo difficili corripitur. Veruntamen de Acme & accuſatione in Salomen *improbe* conficta literas ad Cæſarem dedit: cumque teſtamentum afferri juſſiſſet, *illud* mutabat, regemque declarabat Antipam, præteritis Archelao & Philippo natu grandioribus. nam & illos calumniatus fuerat Antipater. Cæſari autem, præter vaſa aliaque ei donata, mille talenta † reliquit, itemque uxori ejus & liberis & amicis & libertis circiter quingenta: cæteriſque omnibus agrorum & pecuniarum non parum diſtribuit; ac ſororem Salomen donis luculentiſſimis honoravit. Et in teſtamento quidem iſta correxit.

Literas de eo Romam mittit. Ant. l. 17. c. 5. §. 8.

Teſtamentum de novo condit. l. 17. c. 6. §. 1.

τρον, ὡς οὐδὲν πλέον [m] ἐκεῖνος εἰπὼν, ἢ Θεὸς ἐστί μοι τοῦ μηδὲν ἀδικεῖν μάρτυς, ἔκειτο [n] σιγῶν, [o] αἰτήσας τὸ φάρμακον, δίδωσί τινι τῶν ἐπὶ θανάτῳ [p] κατακρίτων δεσμώτῃ πιεῖν· τοῦ δὲ παραχρῆμα τελευτήσαντος, ὁ μὲν Οὔαρος, ἀπορρήτους ποιήσας τὰς πρὸς Ἡρώδην ὁμιλίας, καὶ τὰ περὶ τὸ συνέδριον Καίσαρι γράψας, μετὰ μίαν ἡμέραν χωρίζεται. [q] δεσμεῖ δ' ὁ βασιλεὺς Ἀντίπατρον, καὶ πρὸς Καίσαρα τοὺς δηλώσοντας τὴν συμφορὰν ἐξέπεμψεν.

ϛ. Μετὰ δὲ ταῦτα, καὶ κατὰ Σαλώμης [r] ἐπίβουλος Ἀντίπατρος εὑρίσκεται. τῶν γὰρ Ἀντιφίλου τις [s] οἰκετῶν ἧκεν, ἐπιστολὰς κομίζων ἀπὸ Ῥώμης παρὰ Ἰουλίας θεραπαινίδος, [t] Ἀκμῆς τοὔνομα. καὶ παρὰ μὲν ταύτης ἐπέσταλτο βασιλεῖ, τὰς παρὰ Σαλώμης ἐπιστολὰς ἐν τοῖς Ἰουλίας εὑρηκέναι γράμμασι. πεπομφέναι τε αὐτῷ λάθρα δι' εὔνοιαν. αἱ δὲ τῆς Σαλώμης λοιδορίας τε τοῦ βασιλέως περιεῖχον πικροτάτας, καὶ κατηγορίαν μεγίστην. ταύτας δὲ πλάσας [u] ὁ Ἀντίπατρος, καὶ τὴν Ἀκμὴν διαφθείρας, ἔπεισεν Ἡρώδῃ πέμψαι. διηλέγχθη δὲ ἐκ τῆς πρὸς αὐτὸν ἐπιστολῆς. καὶ γὰρ [x] ἐκείνῳ τὸ γύναιον ἔγραψεν· „ ὡς [y] ἠβουλήθης, ἔγραψά σου τῷ „ πατρὶ, καὶ τὰς ἐπιστολὰς ἐκείνας ἔπεμψα, πεπεισ- „ μένη τὸν βασιλέα μὴ [z] φείσασθαι τῆς ἀδελφῆς, ὅταν „ ἀναγνῷ. καλῶς δὲ ποιήσεις, ἐπειδὰν ἀπαρτισθῇ πάν- „ τα, μνημονεύσας ὧν ὑπέσχου.

ζ. Ταύτης φωραθείσης τῆς ἐπιστολῆς, καὶ τῶν κατὰ [a] Σαλώμην ἐνσκευασθεισῶν, ἔννοια [b] μὲν ἐμπίπτει τῷ βασιλεῖ, τάχα καὶ κατ' Ἀλεξάνδρου πλασθῆναι γράμματα. περιαλγὴς δὲ ἦν ὑπὸ τοῦ πάθους, ὡς παρ' ὀλίγον καὶ τὴν ἀδελφὴν [c] ἀποκτείνας δι' Ἀντίπατρον. οὐκέτι οὖν ἀνεβάλλετο λαβεῖν τιμωρίαν ὑπὲρ ἁπάντων. ὁρμώμενος δὲ ἐπὶ τὸν Ἀντίπατρον, ἐπισχέθη νόσῳ χαλεπῇ. περὶ μέντοι τῆς Ἀκμῆς καὶ τῶν κατὰ Σαλώμης [d] ἐσκευωρημένων, ἐπέστειλε Καίσαρι· τήν τε διαθήκην [e] αἰτήσας, μετέγραφε, καὶ βασιλέα μὲν ἀποδείκνυσιν [f] Ἀντίπαν, ἀμελῶν τῶν πρεσβυτάτων, Ἀρχελάου καὶ Φιλίππου. διεβεβλήκει γὰρ καὶ τούτους Ἀντίπατρος. Καίσαρι δὲ, σὺν τοῖς [g] δίχα χρημάτων δώροις, [h] κατέλιπε χίλια τάλαντα, τῇ τε γυναικὶ καὶ τέκνοις αὐτοῦ καὶ φίλοις καὶ ἀπελευθέροις περὶ πεντακόσια· ἀπένειμε δὲ καὶ τοῖς ἄλλοις ἅπασι τῆς τε χώρας οὐκ ὀλίγα καὶ τῶν χρημάτων, λαμπροτάταις τε δωρεαῖς ἐτίμα Σαλώμην τὴν ἀδελφήν. ἐν μὲν οὖν ταῖς διαθήκαις, ταῦτα διωρθώσατο.

ΚΕΦ.

m Ἐκεῖνος] Vocem ὁ αὐτῶς debemus *Codici Bod.* eandemque legiſſe videtur *Ruf.* HUDS. Cum *Cod. Bod.* Sicuti paſſim facit *Ruf.* Sed in *Lugd. Bat.* etiam haud male exſtat, καὶ ὡς οὐδὲν πλέον εἰπὼν, &c. quod ego quidem præferrem. HAV.

n Σιγῶν,] Poſt σιγῶν in *impreſſis* erat & quibuſdam *MSS.* ὁ τοῦ Ἡρώδου. contra *Big. Voſſ. Ruf.* & de Bello l. 1. c. 3. §. 5. ALDR.

o Αἰτήσας] *Gen.* interit ὁ τοῦ Ἡρώδου quæ deſunt in *Big. Bod. Ruf.* & ἀρχ. lib. 17. c. 5. § 7. SPANH.

p Κατακρίτων δεσμώτῃ] *Ruſ.* Κατακρίτων, omiſſa voce poſteriore.

q Δεσμεῖ] *Lugd. Bat.* Δεσμοῖ.

r Ἐπίβουλος Ἀντίπατρος εὑρίσκεται.] *Lugd. Bat.* Ἐπιβουλὰς Α. ε. πεποιηκώς.

s Οἰκετῶν] *Ruſ.* Οἰκέτης.

t Ἀκμῆς] *Lugd. Bat.* Ἀκμοῦς, & mox Ἀκμοῦν & ita paſſim.

u Ὁ Ἀντίπατρος.] Illud ὁ adjectum eſſe volui è *Cod. Buſb.*

x Ἐκείνῳ] Ἐκεῖνο *Buſb.*

y Ἠβουλήθης.] Ita cum *Buſb. Rhed.* & *Ruf.* ἠβουλήθεις *Voſſ.* & *Big.* forſan pro ἠβουλήθη. in *Editis* βουληθεὶς. HUDS. Ἠβουλήθεις *Big.* pro ἠβουλήθης Ox. SPANH. In *Lugd. Bat.* quoque ita exſtat, nec reficiendum videtur. HAV.

z Φείσασθαι] Corrigit in ora codicis mei φείσεσθαι *Cocceijus*, quod malim. HAV.

a Σαλώμην] *Lugd. Bat.* Σαλώμης.

b Μὲν ἐμπίπτει] Illud μὲν additum è *Cod. Buſb.*

c Ἀποκτείνας] *Ruſ.* Ἀποκτεῖναι.

d Ἐσκευωρημένων,] Conf. ſupr. c. 3. §. 1. SPANH. *Lugd. Bat.* Ἐσκευασμένων. Male.

e Αἰτήσας,] Ζητήσας *Buſb.*

f Ἀντίπαν,] Ἀρχ. lib. 17. c. 6. §. 1. Phaſaelo vid. ἀρχ. lib. 17. c. 1. §. 3. & pro Antipa tamen infr. lib. 17. c. 8. §. 1. Archelaus Rex declaratur à Patre. vid. & ἀρχ. lib. 17. c. 9. §. 4. & 5. ubi Ἀρχέλαος πρεσβύτερος dicitur. Pro *Antipa* hic *Phaſaelus* dicendus filius natu minimus Herodis liberorum ἀρχ. lib. 17. c. 1. §. 3. & c. 6. §. 1. SPANH.

g Δίχα χρημάτων] Δία non agnoſcit *Buſb.* HUDS. Edidit poſt *Gen.* & alios *Hudſonus* διὰ χρημάτων. At in *Ruſ.* melius, ut puto, exſtat δίχα, quod dicit in reliquis donis Cæſari deſtinatis, præter pretioſiorem ſupellectilem, fuiſſe &c. HAV.

h Κατέλιπε] Κατέλιπε inſertum dedi è *Cod. Buſb.* & *Rhed.*

* Epiſtolas I. L. Jul. repertas *Ruſin.* MSS. Oxon. SPANH.

† Hujuſmodi interpretationem locus poſtulat. nam in *Ant.* l. 17. c. 8. dicitur quod Cæſari dederit ἀργυρίου ἐπισήμου μυριάδας χιλίας, χωρὶς δὲ σκεύη τὰ μὲν χρυσᾶ τὰ δὲ ἀργυρᾶ, καὶ ἐσθῆτα παμπολυτελῆ. In *Ruſini* verſione, *poſt alia pecuniaria munera mille talenta*, &c.

ΚΕΦ. λγ'.

Αἰετὸς χρυσοῦς ἐκκόπτεται. Ἡρώδου τεθνήξεσθαι μέλλοντος ὠμότης. ἑαυτὸν ἀναιρεῖν πειρᾶται. Ἀντίπατρον κτείνεσθαι κελεύει. ἐπιβιοὺς πέντε ἡμέρας τελευτᾷ.

[i] ΠΡοήει δ' αὐτῷ πρὸς τὸ χαλεπώτερον ἡ νόσος, ἅτε δὴ τῶν ἀρρωστημάτων ἐν γήρᾳ καὶ ἀθυμίᾳ ἐπιπεσόντων. ἦν μὲν γὰρ ἤδη σχεδὸν [k] ἐτῶν ἑβδομήκοντα, τεταπείνωτο δὲ τὴν ψυχὴν ταῖς περὶ τῶν τέκνων συμφοραῖς, ὡς μηδὲ ἐν ὑγείᾳ τι τῶν ἡδέων προσίεσθαι. τῆς νόσου δὲ ἦν ἐπίτασις ζῶν Ἀντίπατρος, ὃν οὐκ [l] ἐν παρέργῳ, [m] ῥαΐσας δὲ προῄρητο ἀνελεῖν.

β'. Γίνεται δ' ἐν ταῖς συμφοραῖς [n] αὐτῷ καὶ δημοτική τις ἐπανάστασις. δύο ἦσαν [o] σοφισταὶ κατὰ τὴν πόλιν, μάλιστα δοκοῦντες ἀκριβοῦν τὰ πάτρια, καὶ διὰ τοῦτο ἐν ἅπαντι τῷ ἔθνει μεγίστης ἠξιωμένοι δόξης, Ἰούδας, τε υἱὸς [p] Σεπφωραίου, καὶ Ματθίας ἕτερος [q] Μαργάλου. τούτοις οὐκ ὀλίγοι προσῄεσαν τῶν νέων ἐξηγουμένοις [r] τοὺς νόμους, καὶ συνῆγον ὁσημέραι τῶν ἡβώντων στρατόπεδον. οἳ τότε τὸν βασιλέα πυνθανόμενοι ταῖς ἀθυμίαις [s] ὑπεκρέοντα καὶ τῇ νόσῳ, λόγον καθίεσαν εἰς τοὺς γνωρίμους, [t] ὡς ἄρα καιρὸς ἐπιτηδειότατος εἴη, τιμωρεῖν ἤδη τῷ Θεῷ, καὶ τὰ κατασκευασθέντα παρὰ τοὺς πατρίους νόμους [v] ἔργα κατασπᾶν. [x] ἀθέμιτον γὰρ εἶναι, [y] κατὰ τὸν ναὸν, ἢ εἰκόνας, ἢ προτομὰς, [z] ἢ ζῴου τινὸς ἐπώνυμον ἔργον εἶναι. κατεσκευάκει δὲ ὁ βασιλεὺς, ὑπὲρ τῆς μεγάλης πύλης, αἰετὸν χρυσοῦν. ὃν δὴ τότε παρῄνουν ἐκκόπτειν οἱ σοφισταὶ, καλὸν εἶναι λέγοντες, εἰ καί τις [a] γένοιτο κίνδυνος, ὑπὲρ τοῦ πατρίου νόμου θνήσκειν. τοῖς γὰρ οὕτω [b] τελευτῶσιν [c] ἀθάνατόν τε τὴν ψυχὴν, καὶ τὴν ἐν ἀγαθοῖς αἴσθησιν αἰώνιον παραμένειν. τοὺς δὲ ἀγεννεῖς, καὶ τῆς αὐτῶν σοφίας ἀπείρους, ἀγνοοῦντας φιλοψυχεῖν, καὶ πρὸ τοῦ δι' ἀρετῆς τὸν ἐκ νόσου θάνατον αἱρεῖσθαι.

γ'. Ἅμα δὲ τοῖς ἐκείνων λόγοις, διεφημίσθη καὶ θνήσκειν ὁ βασιλεὺς, ὥστε θαρραλεώτερον ἥπτοντο τῆς ἐπιχειρήσεως οἱ νέοι. μέσης γοῦν ἡμέρας, καὶ πολλῶν κατὰ τὸ ἱερὸν ἀναστρεφομένων, σχοίνοις παχείαις καθιμήσαντες σφᾶς [d] αὐτοὺς ἀπὸ τοῦ τέγους τὸν χρυσοῦν ἐκεῖνον αἰετὸν ἐξέκοπτον

CAP. XXXIII. XXI.

Aquila aurea dejicitur. Morituri Herodis immanitas. Sibi manus inferre conatur. Antipatrum occidi jubet. Quinto poſt die ipſe moritur.

MOrbus autem ei ingraveſcebat, quod invalitudinem urgeret ſenectus pariter ac mœror. jam enim annos fere LXX. natus erat, & ex calamitatibus quas ei intulerant liberi adeo animo erat dejectus, ut nec cum bene valeret quicquam jucunditatis admitteret. Ægritudinem autem acriorem faciebat, quòd Antipater viveret; quem non obiter & aliud agens, ſed cum *ipſe* convaluiſſet, occidere decreverat. *Herodi morbus ingraveſcit.* Ibid.

2. At dum in iſtis verſaretur calamitatibus, oritur populi quidam tumultus. In civitate erant duo * ſophiſtæ, qui accurate leges patrias ſcire videbantur, & per totam gentem in maxima erant apud omnes gloria, Judas filius Sepphoræi, & alter Margali Matthias. Ad iſtos, dum leges exponerent, adoleſcentium non pauci ſe conferebant, & quotidie puberum exercitum colligebant. Qui, cum regem audiiſſent mœrore ac morbo tabeſcere, ad diſcipulos verba faciebant, quòd jam tempus opportunum eſſet ut Deus vindicaretur, fabricataque adverſus leges patrias opera detraherentur. quippe nefas eſſe, in templo haberi aut imagines, aut vultus, opuſve quodcunque animantium alicui cognomen. Fecerat enim rex & ſupra magnam templi portam *collocaverat* aquilam auream. eamque ut exſcinderent ſuadebant ſophiſtæ, pulchrum eſſe dicentes, aliquid licet inde periculi inſtaret, *etiam* pro lege patria mori. Eos enim qui ita diem ſupremum obeunt, & animæ immortalitatem, & æternam bonorum fruitionem manere: minus autem generoſos, rudeſque in illorum ſapientia, animamque amare neſcientes, per morbum quam per virtutem emori malle. *Judas & Matthias, ob aquilam auream occaſione arrepta, ſeditionem moverunt. Ant.* l. 17. c. 6. §. 2.

3. Dum hos illi ſermones ſererent, rumor erat regem in ipſo deceſſu eſſe, adeo ut juvenes ad rem aggrediendam facti eſſent audaciores. Itaque meridie, dum multi in templo verſarentur, cum ſemet craſſis funibus è tecto demiſiſſent, auream illam *Aquila aurea à juvenibus exſciſſa. Ant.* l. 17. c. 6. §. 3.

i Προήει] Raf. Προῄει.

k Ἐτῶν ἑβδομήκοντα,] Videſis *Tornielluum* in *Annalibus S.* ad *Annum M.* 3982. n. 1. & A. 4051. n. 34.

l Ἐν παρέργῳ,] Illud ἐν delet *Raf.*

m Ῥαΐσας] Ῥάσας ἀρχ. lib. 14 c. 11. §. 7. Contra *ῥαιστήριον φάρμακον* Apoll. Rh. lib. 3. v. 789. de noxiis venenis & *ῥαιστήριον* idem lib. 4. v. 911. Spanh.

n Αὐτῷ] Ita *Bod.* in *ceteris* αὐτ. *Rufinus* vertit, *ad hos ei calamitates accidit*, &c.

o Σοφισταὶ] Leges Σοφισταὶ exponunt juvenibus, uti hic docemur. In Antiq. lib. 17. ubi eandem Hiſtoriam narrat *Joſephus* hos appellat ἐξηγητὰς νόμων, quomodo juriſperiti dicuntur a Romanis, qui & νομικοὶ appellari ſolent. Fuerunt ergo & hi Σοφισταὶ Legis Doctores, & iidem qui Νομικοὶ *Luc.* XI. 45. vocantur. Rel.

p Σεπφωραίου,] Σαμφοραίου *Bod.* Σαμφοραίου *Gall.* Σαμφοραίου *Raf.* Σαριφαίου in *Ant.* l. 17. c. 6. §. 2. Huds. Σαριφαίου ἀρχ. lib. 17. c. 6. §. 2. Σεμφοραίου *Bod.* Ox. Spanh.

q Μαργάλου.] Γαργάλου *Gall.* Μαργαλώθου in *Ant.* ibid. Huds. Pro Μαργάλου ἀρχ. lib. 17. c. 6. §. 2. Μαργαλώθου. Spanh.

r Τοὺς νόμους,] Τὸν νόμον *Bod.* & *Raf.* ἀρχ. lib. 17. c. 6. §. 2. Τῶν πατ. ἐξηγηταὶ νόμων. Spanh.

s Ὑπεκρέοντα] Ὑπορρέοντα *Voſſ.* Huds. Spanh.

t Ὡς ἄρα] Ὡς ἄρτι *Bod.* Huds. Spanh.

v Ἔργα] *Raf.* ἔδη.

x Ἀθέμιτον γὰρ εἶναι,] Præceptum *Decalogi* ſecundum non vetat [illegible], ſed [illegible]: & communis *Hebræorum* ſententia imagines etiam humanas tolerabat; modo abeſſet ſuſpicio & periculum cultus extranei. *Phariſaica*, quæ erat ſeverior, diſciplina, ad cautelam abundantem, animati cujuſcumque imaginem fieri vetuit; ſed permiſit res inanimatas & animalium monſtra depingi: totumque picturæ genus, quam *Grotteſcam* Itali appellant, apud *Judæos* omnes in uſu & pretio ſemper erat. Vide *Ant.* lib. 3. c. 5. §. 5. collat. cum *Levit.* XXVI. 1: *Hebr. Ant.* l. 15. c. 2. §. 6. & l. 19. c. 8. §. 2. *Philonem* περὶ πρεσβ. p. 196. *Iſ. Voſſium* ad *Catullum* p. 195—201. Sed memineris una conſulere *Plin.* XXXVII. 2. *Ant.* 14. c. 3. & *Belli* I. c. 7. Ald. De cultu imaginum, aut ſimulacris apud Judæos prohibitis ἀρχ. lib. 3. c. 4. §. 5. [illegible]. Unde juxta Hebræos imagines quædam toleratæ, modò abeſſet earum cultus vid. *Lev.* XXVI. 1. Philon. περὶ πρεσβ. p. 196. & ἀρχ. lib. 15. c. 8. §. 2. & c. 9. §. 5. Nefas enim Judæis imagines more Græcorum colere; non imagines erigere: at animantium effigies conſecrare vetitum Judæis. Prohibet autem lex imaginum elevationes, vel animalium propoſitiones conſtituere, vid. de animalium effigie ad cultum prohibita ἀρχ. lib. 3. c. 4. §. 5. & lib. 18. c. 4. §. 1. ubi ſigna cum effigie Tiberii Hieroſolymæ introducta à Pilato præter Judæorum legem. Conf. lib. 18. ἀρχ. cap. 6. §. 3. & infr. lib. 2. c. 9. §. 2. vid. Philon. περὶ πρεσβ. p. 217. Spanh.

y Κατὰ τὸν ναὸν,] Ita in *Lugd. Bat.* & *Hudſ.* at *Gen.* κατὰ τ. ν. omnia delet *Raf.* Hav.

z Ἢ ζῴου τινὸς ἐπώνυμον ἔργον εἶναι.] Non licebat eſſe ζώου ἔργα, ideo Salomon boves fabricando ſub mari æneo a *Joſepho* condemnatur. Rel.

a Γένοιτο] *Raf.* Γίνεται.

b Τελευτῶσιν] Pro *decedentibus* alii MS. *decidentibus.* Ox. Spanh.

c Ἀθάνατον] An ergo alias non ἀθάνατος? Rel.

d Αὐτοὺς ἀπὸ τοῦ τέγους τὸν χρυσοῦν] Ad hunc modum diſtinctum in *Rufini* codice, αὐτοὺς, ἀπὸ τοῦ τέγους τὸν χρ. nam vertit, *demiſſi funibus, aquilam ex tecto*, &c. Huds. Alii τῶ, ſed τὸν *Ed. Baſil.* & *Bod. Voſſ.* Ox. Spanh.

* Id eſt, *Rabbini.*

illam aquilam ſecuribus exſcindunt. ſtatim *quod factum eſt* prætori regis nunciabatur, atque ille multa cum manu eò accurrebat, & captos circiter quadraginta juvenes ad regem adducebat. Cumque ille primum eos interrogaret, an aquilam auream exſcindere auſi fuiſſent; *feciſſe* confitebantur. deinde cujus juſſu; legis patriæ, reſponderunt. Cum vero ab iis quæſiviſſet, quid ita gaudio exſultarent mox interficiendi; dicebant, quòd poſt mortem bonis pluribus fruituri eſſent.

De illis facta inquiſitio. Ant. l. 17. c. 6. §. 3.

4. Iſtis rex commotus, iracundiæ vehementiâ morbum ſuperat, adeoque in concionem procedit, atque multum in eos quaſi ſacrilegos invectus, quódque legis prætextu majus quiddam aggrederentur, æquum cenſebat & ſupplicio eos addicere ut impios. Populus autem veritus, ne multi ex indiciis convicti eſſent, rogabat, ut cum primum quidem facinoris ſuaſores, ac deinde in eo deprehenſos pœnæ ſubjeciſſet, iram in cæteros miſſam faceret. Vix perſuadetur rex, & qui funibus ſe demiſerant una cum ſophiſtis vivos cremavit, reliquos vero qui comprehenſi ſunt miniſtris interficiendos tradidit.

In eos animadvertitur. l. 17. c. 6. §. 4.

5. Poſt hæc morbi vis, per univerſum ejus corpus diffuſa, variis doloribus *id* diſtrahebat. nam febris quidem erat, non *tamen* vehemens, pruritus vero per totam corporis ſuperficiem intolerabilis, coli quoque dolores continui, & circa pedes tumores quaſi aqua intercute laborantis, atque inflatio abdominis, & in pudendis putredo vermes generans. Ad hæc, non potuit niſi cum erectus eſſet reſpirare, & tum reſpirandi difficultate laborabat, & membrorum omnium convulſione cruciabatur, adeo ut harioli morbos *iſtos* pœnam eſſe dicerent ob cædem ſophiſtarum irrogatam. Ille vero, quamvis tot cruciatibus conflictaretur, vivendi tamen deſiderio tenebatur, & ſalutis ſpem retinebat, ac de curationibus cogitabat. Itaque trajecto Jordane, aquis calidis, quæ juxta Callirhoën ſunt, uſus eſt. Hæ influunt quidem in Aſphaltiten lacum, adeo tamen ſunt dulces, ut etiam potui commodæ ſint. Ibi cum medicis viſum eſſet, ut totum corpus, demiſſum in dolium olei plenum, foveretur, * oculi enervantur, eoſque morientis ad inſtar reciprocavit. Cum autem in tumultu eſſent miniſtri, clamore excitatus ad ſe quidem rediit: ſalutis autem ſpe in poſterum abjecta, & quinquaginta drachmas militibus viritim, & ingentem pecuniam ducibus atque amicis diſtribui juſſit.

Herodi morbus magis adhuc ingraveſcit. Ant. l. 17. c. 6. §. 5.
Morbi deſcriptio. Ant. l. 17. c. 6. §. 5.

πελέκεσιν. ἠγγέλθη δὲ εὐθέως τῷ βασιλέως στρατηγῷ, κἀκεῖνος, μετὰ χειρὸς οὐκ ὀλίγης ἀναδραμὼν, [e] περὶ τεσσαράκοντα νεανίας συλλαμβάνει, καὶ κατήγαγε πρὸς τὸν βασιλέα. πυνθανομένῳ δὲ αὐτῷ πρῶτον εἰ τολμήσειαν τὸν χρυσοῦν [f] ἀετὸν ἐκκόπτειν, ὡμολόγουν. ἔπειτα, τίνος κελεύσαντος, ἀπεκρίναντο τοῦ πατρίου νόμου. τί δὲ οὕτω γεγήθασι, διερωτήσαντος, ἀναιρεῖσθαι μέλλοντες, ἔλεγον, ὅτι πλειόνων ἀγαθῶν ἀπολαύσουσι μετὰ τὴν τελευτήν.

δ΄. Ἐπὶ τούτοις ὁ βασιλεὺς, δι᾽ ὑπερβολὴν ὀργῆς κρείττων τῆς νόσου γενόμενος, πρόεισιν εἰς ἐκκλησίαν, καὶ πολλὰ τῶν ἀνδρῶν κατηγορήσας ὡς ἱεροσύλων, καὶ προφάσει τοῦ νόμου πειραζόντων τι μεῖζον, κολάζειν ἠξίου ὡς ἀσεβεῖς· ὁ δὲ δῆμος, δείσας μὴ διὰ πολλῶν ὁ ἔλεγχος ἔλθῃ, παρεκάλει πρῶτον μὲν τοὺς ὑποθεμένους τὴν πρᾶξιν, ἔπειτα τοὺς ἐν αὐτῇ συλληφθέντας κολάσαντα, τοῖς λοιποῖς τὴν ὀργὴν ἀφεῖναι. πείθεται μόγις ὁ βασιλεὺς, καὶ τοὺς μὲν καθιμήσαντας ἑαυτοὺς ἅμα τοῖς σοφισταῖς κατέκαυσε ζῶντας, τοὺς λοιποὺς δὲ τῶν συλληφθέντων παρέδωκε τοῖς ὑπηρέταις ἀνελεῖν.

ε΄. [g] Ἔνθεν αὐτοῦ τὸ σῶμα πᾶν ἡ νόσος διαλαβοῦσα, ποικίλοις πάθεσι [h] διεμερίζετο. πυρετὸς μὲν γὰρ [i] ἦν οὐ λάβρος, κνησμὸς δ᾽ ἀφόρητος τῆς ἐπιφανείας ὅλης, καὶ [k] κόλου συνεχεῖς ἀλγηδόνες, περί τε τοὺς πόδας [l] ὥσπερ ὑδρωπιῶντος οἰδήματα, τοῦ τε [m] ἤτρου φλεγμονὴ, [n] καὶ δι᾽ αἰδοίου σηπεδὼν [o] σκώληκας γεννῶσα. πρὸς τούτοις, [p] ὀρθόπνοια, καὶ δύσπνοια, [q] καὶ σπασμὸς ἁπάντων τῶν μελῶν, ὥστε τοὺς ἐπιθειάζοντας ποινὴν εἶναι [r] τῶν σοφιστῶν τὰ νοσήματα λέγειν. ὁ δὲ, παλαίων τοσούτοις πάθεσιν, ὅμως τοῦ ζῆν ἀντείχετο, σωτηρίαν τε ἤλπιζε, καὶ θεραπείας ἐπενόει. διαβὰς γοῦν τὸν Ἰορδάνην, τοῖς κατὰ [s] Καλλιρόην θερμοῖς [t] ἐνεχρῆτο. ταῦτα δὲ ἔξεισι μὲν εἰς τὴν [v] Ἀσφαλτῖτιν λίμνην, ὑπὸ γλυκύτητος δ᾽ ἐστὶ καὶ πότιμα. δόξαν δ᾽ ἐνταῦθα τοῖς ἰατροῖς ἐλαίῳ θερμῷ πᾶν ἀναθάλψαι τὸ σῶμα, χαλασθὲν εἰς ἐλαίου πλήρη πύελον, [x] ἐκλύει δὲ τοὺς ὀφθαλμοὺς, [y] καὶ ὡς τεθνεὼς ἀνέστρεψε. θορύβου δὲ τῶν [z] θεραπόντων γενομένου, πρὸς μὲν τὴν [a] φωνὴν ἀνήνεγκεν· εἰς δὲ τὸ λοιπὸν ἀπογνοὺς τὴν σωτηρίαν, τοῖς τε στρατιώταις ἀνὰ δραχμὰς πεντήκοντα [b] ἐκέλευσε διανεῖμαι, καὶ πολλὰ χρήματα τοῖς ἡγεμόσι καὶ τοῖς φίλοις.

ϛ΄. Αὐ-

e Περὶ τεσσαράκοντα νεανίας) Cumque his una Judam & Matthiam facinoris hujus autores. *Ant.* lib. 17. c. 6. §. 3.

f Ἀετὸν ἐκκόπτειν,] Vocem ἀετὸν inſertam dedi ex *Rufini* verſione.

g Ἔνθεν—διαλαβοῦσα,] Citantur hæc & ſequentia ab Euſeb. H. Eccl. lib. 1. c. 8. ſcil. tanquam è lib. 2. Hiſt. Bell. J. Vide eadem de Herodis morbo ἀρχ. lib. 17. c. 6. §. 5. Spanh.

h Διεμερίζετο.] Ἐμερίζετο *Euſeb.* ἐμερίζετο *Niceph. Calliſt.*

i Ἦν οὐ λάβρος,] Οὐ λάβρος deſunt *Cod. Bod.* & *Roſſ.* ἦν λάβρος legiſſe videntur *Hegeſipp.* & *Ruf.* quorum ille quidem vertit, *febris vehemens*; hic vero, *febris non mediocris.* πυρετὸς γὰρ ἦν αὐτῷ μαλακὸς ἐπιγενόμενος in *Athanaſii* ſermonibus in *Matth.* editis per *D. Bern. de Montfaucon* in *Nova Collectione Patrum & Scriptorum Gr.* Vol. 2. p. 26. οὐ λάβρος habet *Niceph.* atque hoc convenit cum ipſo *Joſepho* in *Ant.* l. 17. c. 6. §. 4. ubi dicit πυρετὸς μὲν γὰρ μαλακὸς ἦν &c. & cum *Euſebio*, ubi hic locus citatur in hunc modum, πυρετὸς ἦν χλιαρὸς, &c.

k Κόλου] Κώλου *Big.* & *Euſeb.* loco dicto Spanh.

l Ὥσπερ ὑδρωπιῶντος] Ὡς ὑδρ. *Euſeb.* & *Niceph.* Huds.

m Ἤτρου] Ita in MSS. & apud *Euſeb. Niceph.* & *Athanaſ.* qui habet etiam φλεγμονὴ ὑπέρογκος. ἤτρου φλεγμονὴ perperam in *Editt. Baſ.* & *Gen.* Huds. Ἤτρου ἀρχ. lib. 17. c. 6. §. 5. & *Bod. Ruf.* Ox. ἤτρου etiam *Euſeb.* Spanh.

n Καὶ δι᾽ αἰδοίου] Καὶ αἰδοίου σηπ. *Euſeb.* & *Niceph.* καὶ δι᾽ αἰδοίου in uno *MS.* Huds. *MS.* cujus meminit *Hudſonus*, *Voſſianus* erit, ſeu *Lugd. Bat.* ibi enim clare ita exſtat. Hav.

o Σκώληκας] Ita cum *MS. Euſeb. Niceph. Athanaſ.* & *Ruf.* σκώληκα in *Editis.* Huds. Σκώληκας *MS. Ox.* & ἀρχ. lib. 17. c. 6. §. 5. Spanh.

p Ὀρθόπνοια] Superſcrib. in *Lugd. Bat.* Κακόπνοια.

q Καὶ σπασμὸς] Σπασμοὶ in aliquibus *MS*, quo modo & *Athanaſ.* & *Niceph.* Huds. Καὶ σπασμοὶ *MS. Lipſ.* Spanh.

r Τῶν σοφιστῶν] Illa τῶν σοφιστῶν non agnoſcunt *Euſeb.* & *Niceph.* Huds.

s Καλλιρόην] Καλλιῤῥόην (prout apud *Ptolemæum*, & *Nicephorum*) *Voſſ. Bod.* & *Busb.* Huds. Proſpicit (inquit *Plinius* N. H. V. 16.) Aſphaltiten ab oriente Arabia Nomadum, à meridie Machærus, ſecunda quondam arx Judææ ab Hieroſolymis. Eodem latere eſt calidus fons, medicæ ſalubritatis Callirhoë, aquarum gloriam ipſo nomine præferens. Quem locum non intelligens *Solinus*, Callirhoen fontem Hieroſolymis proximum ſtatuit. Aldr. Καλλιρόην *Euſeb.* Καλλιῤῥόην *Voſſ.* & ἀρχ. lib. 17. c. 6. §. 5. Spanh.

t Ἐνεχρῆτο.] Ἐχρῆτο *Euſeb.* & *Niceph.* Huds. Ἐχρῆτο *Euſeb.* Spanh.

v Ἀσφαλτῖτιν λίμνην,] Λίμνην ἀσφαλτοφόρον ἀρχ. lib. 17. c. 6. §. 5. item lib. 1. c. 1. §. …, & lib. 8. c. 1. §. 2. & lib. 9. c. 10. §. 1. Spanh.

x Ἐκλύει—ὀφθαλμοὺς,] Λύει καὶ τοὺς in uno *MS.* (in *Bod.* forſan, certe in *Roſſ.* *Lugd. Bat.* habet ἐκλύει, καὶ τοὺς ὀφθαλμοὺς ὡς, &c.) ἐκλύει τοὺς in altero & in *Euſeb.* ἐκλύει καὶ τοὺς *Niceph.* Huds.

y Καὶ ὡς τεθνεὼς ἀνέστρεψε.] Ὡς δὲ τεθνεὼς *Niceph.* Huds.

z Θεραπόντων γενομένου,] Ita lego auctoritate *Euſebii* & *Nicephori*, necnon ipſius *Joſephi*, qui in *Ant.* lib. 17. c. 6. §. 5. dicit, τῶν οἰκείων οἰμωγῇ χρησαμένων ἐπανήγαγεν, &c. in *Editis* & *MS.* θεραπευόντων. Nec aliter forſan *Ruf.* qui vertit, *perturbatis qui eum curabant.*

a Φωνὴν ἀνήνεγκεν.] Κραυγὴν *Euſeb.*

b Ἐκέλευσε διανεῖμαι,] Ita in pleriſque *MS.* & apud *Euſeb.* & *Niceph.* ἐκέλευε in *Editis.*

* *Al.* Unde reſoluti ſunt oculi, quos tanquam moriens torquebat.

2. Data autem accuſantibus dicendi venia, primum ea proſequuti ſunt quæ contra leges feciſſet Herodes, „ non ſe regem, dicentes, ſed tyrannum „ pertuliſſe, omnium qui unquam tyrannidem „ exercuerant crudeliſſimum. Multis quippe ab eo „ occiſis, talia paſſos eſſe ſuperſtites ut etiam mor„ tuos *beatos* prædicarent. nec ſolum ſubditorum „ corporibus quæſtionem *eum* adhibuiſſe, ſed & „ civitatibus. nam ſuæ quidem gentis *plurimas* di„ laniaſſe, alienigenarum vero ornaſſe, & externis „ populis Judææ ſanguinem condonaſſe. Pro anti„ qua autem felicitate ac patriis legibus gentem „ egeſtate impleviſſe ſimul & iniquitate. in ſum„ ma, Judæos paucis quidem annis plures ab He„ rode *illatas* calamitates toleraſſe, quam in omni „ ævo perpeſſi ſunt majores ſui, poſtquam ex Ba„ bylone diſceſſerint, & Xerxe regnante in *patriam* „ fuerint reverſi. Attamen aſſueſcendo dura pati & „ adverſa animos adeo demiſſos humileſque gere„ re, ut ultro eum pro ſucceſſore acciperent ſub

ΚΕΦ. ϛ'.

Πολλὰ Ἀρχελάῳ ἐγκαλοῦσιν Ιουδαῖοι, καὶ τοῖς Ῥωμαίων στρατηγοῖς ὑποκεῖσθαι ἀξιοῦσιν. ὧν ἀκουσθέντων, Καῖσαρ τοῖς Ηρώδου τέκνοις τὰ πατρῷα ὡς βούλεται διανέμει.

[v] ΑΡχελάῳ δ' ἐπὶ Ῥώμης πάλιν ἄλλη συνίσταται δίκη πρὸς Ιουδαίους, οἳ πρὸ τῆς ἀποστάσεως, ἐπιτρέψαντος Οὐάρου, πρέσβεις ἐξεληλύθεσαν περὶ τῆς [x] τοῦ ἔθνους αὐτονομίας. ἦσαν δὲ πεντήκοντα μὲν οἱ παρόντες· [y] συμπαρίσταντο δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης Ιουδαίων ὑπὲρ ὀκτακισχιλίους. ἀθροίσαντος δὲ Καίσαρος συνέδριον τῶν ἐν τέλει Ῥωμαίων καὶ τῶν φίλων ἐν τῷ [z] κατὰ τὸ Παλάτιον Ἀπόλλωνος ἱερῷ, κτίσμα δ' ἦν ἴδιον αὐτοῦ θαυμασίῳ πολυτελείᾳ κεκοσμημένον, μετὰ μὲν τῶν πρεσβευτῶν τὸ Ιουδαϊκὸν πλῆθος ἔστη, σὺν δὲ τοῖς φίλοις ἄντικρυς Ἀρχέλαος. [a] τῶν δὲ τούτου συγγενῶν οἱ φίλοι παρ' οὐδετέροις, [b] συμπαρίστασθαι μὲν [c] γὰρ Ἀρχελάῳ διὰ μῖσος καὶ φθόνον οὐχ ὑπομένοντες, ὀφθῆναι δὲ μετὰ τῶν κατηγόρων ὑπὸ Καίσαρος αἰδούμενοι. ἐπὶ τούτοις [d] παρῆν καὶ Φίλιππος ὁ ἀδελφὸς Ἀρχελάου, προπεμφθεὶς κατ' εὔνοιαν ὑπὸ Οὐάρου, δυοῖν ἕνεκα, Ἀρχελάῳ τε συναγωνίσασθαι, κἂν διανέμῃ τὸν Ηρώδου Καῖσαρ οἶκον πᾶσι τοῖς ἐκγόνοις κλήρου τινὸς ἀξιωθῆναι.

β. Ἐπιτραπὲν δὲ λέγειν τοῖς κατηγόροις τὰς Ηρώδου [e] παρανομίας πρῶτον διεξῄεσαν, „ οὐ βασιλέα, λέγοντες, ἀλλὰ τῶν πώποτε τυραννησάντων ὠμότατον ἐνηνοχέναι τύραννον. πλείστους γοῦν ἀνῃρημένους ὑπ' αὐτοῦ, τοιαῦτα πεπονθέναι τοὺς καταλειφθέντας, ὥστε μακαρίζεσθαι τοὺς ἀπολωλότας. βεβασανικέναι γὰρ οὐ μόνον τὰ σώματα τῶν ὑποτεταγμένων, ἀλλὰ καὶ τὰς πόλεις. τὰς μὲν γὰρ ἰδίας λελωβῆσθαι, τὰς δὲ τῶν ἀλλοφύλων κεκοσμηκέναι, καὶ τὸ τῆς Ιουδαίας αἷμα κεχαρίσθαι τοῖς ἔξωθεν δήμοις. ἀντὶ δὲ τῆς παλαιᾶς εὐδαιμονίας καὶ τῶν πατρίων νόμων, πενίας τὸ ἔθνος καὶ παρανομίας ἐσχάτης πεπληρωκέναι. καθόλου τε πλείους ὑπομεμενηκέναι τὰς ἐξ Ηρώδου συμφορὰς ἐν ὀλίγοις ἔτεσιν Ιουδαίους, ὧν ἐν ἅπαντι τῷ χρόνῳ μετὰ τὴν ἐκ Βαβυλῶνος ἀναχώρησιν ἔπαθον οἱ πρόγονοι, Ξέρξου βασιλεύοντος ἐπαναστραφέντες. εἰς τοῦτο μέντοι ταπεινότητος [f] ἐκ τοῦ δυστυχεῖν ἔθους προελθεῖν, ὥστε ὑπομεῖναι τῆς πικρᾶς „ δουλείας

r Κατ' οἰκείου βασιλέως] Ita Big. Bod. Lugd. Bat. Roſ. Gall. & Ruf. κατὰ τοῦ βασιλέως in cæteris.

s Τὰ ἐν Ιεροσολύμοις.] Roſ. Τὰ Ιεροσόλυμα.

v Ἀρχελάῳ—δίκη] Conf. ἀρχ. lib. 17. c. 13. §. 1.

x Τοῦ ἔθνους αὐτονομίας.] Conf. ſupr. c. 2. §. 3. Spanh.

y Συμπαρίσταντο] Ita edidit Hudſ. & adſtipulatur. Lugd. Bat. reliqui συμπαρίσαντο. Hav.

z Κατὰ—πολυτελείᾳ] Publica opera plurima exſtruxit: ex quibus vel præcipua forum cum æde Martis Ultoris, templum Apollinis in Palatio, ædem Tonantis Jovis in Capitolio. Suet. in Aug. c. 29. & paulo poſt. Templum Apollinis in ea parte Palatinæ domus excitavit, quam fulmine ictam deſiderari a Deo haruſpices pronunciarant. Addita porticus, cum bibliotheca Latina Græcaque. quo loco jam ſenior ſæpe etiam ſenatum habuit, decuriaſque judicum recognovit. Templum illud deſcribit *Propertius*, l. 2. el. 23. Aldr. Apollinis Ædes in Palatio ab Auguſto exſtructa, item ἀρχ. lib. 17. c. 13. §. 1. Vide Sueton. in Aug. c. XXIX. Spanh.

a Τῶν δὲ τούτου συγγενῶν] Ὅσοι δὲ συγγενεῖς ἦσαν τοῦ Ἀρχελάου in *Antt.* lib. 17. c. 13. §. 1.

b Συμπαρίστασθαι] Hic rurſus *Lugd. Bat. Hudſoniane* editioni aſſentitur, ut modo ſupra. Hav.

c Γὰρ Ἀρχελάῳ] Hanc particulam habet Big. omittunt *cæteri*.

d Παρῆν—Ἀρχελάου.] Conf. ἀρχ. lib. 17. c. 13. §. 1. natus ex eadem Matre ἀρχ. lib. 17. c. 1. §. 3.

e Παρανομίας] Conf. *Antt.* lib. 17. c. 13. §. 2. Spanh.

f Ἐκ—προελθεῖν.] Ita ego cum *Rufino*, qui vertit, *verum ſe tamen ad moeſtitiam ex adverſæ fortunæ conſuetudine provenisse.* antea erat καὶ τὸ δυστυχεῖν in *Græcis* omnibus.

* Herodis regnum ejus nepotibus. *Ruf.*

g Ba-

δουλείας καὶ διαδοχὴν αὐθαίρετον. Ἀρχέλαον γοῦν τὸν τηλικούτου τυράννου παῖδα, μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, [g] βασιλέα τε προσειπεῖν ἑτοίμως, καὶ συμπενθῆσαι τὸν Ἡρώδου θάνατον αὐτῷ, καὶ συνεύξασθαι περὶ τῆς διαδοχῆς. τὸν δὲ, ὥσπερ ἀγωνιάσαντα μὴ νόθος υἱὸς δόξειεν Ἡρώδου, προοιμιάσασθαι τὴν βασιλείαν τρισχιλίων πολιτῶν φόνῳ, καὶ τοσαῦτα μὲν παραστῆσαι θύματα περὶ τῆς ἀρχῆς τῷ Θεῷ, τοσούτους δὲ ἐμπεπληρεκέναι νεκροὺς τὸ ἱερὸν ἐν ἑορτῇ. τοὺς μέντοι περιλειφθέντας ἐκ τῶν τοσούτων κακῶν εἰκότως ἐπεστράφθαι ἤδη ποτὲ πρὸς τὰς συμφορὰς, καὶ πολέμου νόμῳ θέλειν τὰς πληγὰς κατὰ [h] πρόσωπον δέχεσθαι, δεῖσθαι δὲ Ῥωμαίων ἐλεῆσαί τε τὰ τῆς Ἰουδαίας λείψανα, καὶ μὴ τὸ περιὸν αὐτῆς ἀπορρίψαι τοῖς ὠμῶς [i] σπαράττουσι, συνάψαντας δὲ τῇ Συρίᾳ τὴν χώραν αὐτῶν διοικεῖν ὑπὸ [k] ἰδίοις ἡγεμόσιν. ἐπιδείξεσθαι γὰρ ὡς οἱ νῦν στασιώδεις διαβαλλόμενοι καὶ πολεμικοὶ, φέρειν οἴδασι μετρίους ἡγεμόνας." Ἰουδαῖοι μὲν οὖν ἐκ τῆς κατηγορίας κατέληξαν εἰς τὴν τοιαύτην ἀξίωσιν. ἀναστὰς δὲ Νικόλαος, ἀπεδύσατο μὲν τὰς εἰς τοὺς βασιλεῖς αἰτίας, κατηγόρει δὲ τοῦ ἔθνους τό, τε δύσαρχον καὶ δυσπειθὲς φύσει πρὸς τοὺς βασιλέας· συνδιέβαλλε δὲ καὶ τοὺς Ἀρχελάου συγγενεῖς, ὅσοι πρὸς τοὺς κατηγόρους ἀφιστήκεσαν.

ϛ. Τότε μὲν οὖν Καῖσαρ, ἀκούσας [l] ἑκατέρων, διέλυσε τὸ συνέδριον μετὰ δὲ ὀλίγας ἡμέρας, [m] τὸ μὲν ἥμισυ μέρος τῆς βασιλείας Ἀρχελάῳ δίδωσιν, [n] ἐθνάρχην προσειπὼν, ὑποσχόμενός τε καὶ βασιλέα ποιήσειν, ἐὰν ἄξιον ἑαυτὸν παράσχῃ, τὸ δὲ λοιπὸν ἥμισυ διελὼν εἰς [o] δύο τετραρχίας, δυσὶν ἑτέροις παισὶν Ἡρώδου δίδωσι, τὴν μὲν Φιλίππῳ, τὴν δὲ [p] Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον ἀμφισβητήσαντι περὶ τῆς βασιλείας. ἐγένετο δὲ ὑπὸ τούτῳ μὲν ἥ τε Περαία καὶ Γαλιλαία, πρόσοδος διακοσίων ταλάντων· Βαταναία τε καὶ [q] Τράχων, [r] Αὐρανῖτίς τε καὶ μέρη τινὰ τοῦ [s] Ζήνωνος οἴκου [t] τὰ περὶ Ἰάμνειαν, πρόσοδον ἔχοντα ταλάντων ἑκατὸν, ὑπὸ Φιλίππῳ [v] ἐτέτακτο. τῆς Ἀρχελάου δ' ἐθναρχίας Ἰδουμαία τε καὶ Ἰουδαία πᾶσα, καὶ Σαμαρεῖτις ἦν, [x] κεκουφισμένη τετάρτῳ μέρει τῶν φόρων εἰς τιμὴν τοῦ μὴ μετὰ τῶν ἄλλων ἀποστῆναι. πόλεις δὲ ὑπηκόους παρέλαβε, Στράτωνός τε πύργον, καὶ Σεβαστὴν, καὶ [y] Ἰόππην, καὶ [z] Ἱεροσόλυμα. [a] τὰς γὰρ Ἑλληνίδας, Γάζαν καὶ Γάδαρα καὶ [b] Ἵππον, [c] ἀποτεμνόμενος τῆς βασιλείας, προσέθηκε Συρίᾳ. πρό-

quo acerbam ſervituri eſſent ſervitutem. Archelaum quippe, tanti tyranni filium, patre mortuo regem ſine mora appellaſſe, & una cum eo mortem Herodis luxiſſe, ſimulque ut is ſuccederet vota nuncupaſſe. illum vero, quaſi veritus eſſet ne germanus Herodis filius non haberetur, civium trium millium cæde regno præluſiſſe; & tot quidem victimas pro regno immolaſſe, tot vero cadaveribus in feſto ſolenni templum impleviſſe. Recte igitur eos, qui è tantis malis evaſiſſent, aliquando ad calamitates ſuas reſpexiſſe, & belli lege cupere vulneribus excipiendis ora præbere, atque ab Romanis precari, ut Judææ reliquias miſericordia dignarentur, & quod ex illis ſuperſit crudeliter eos lacerantibus non objicerent: ſed regionem illorum, Syriæ contributam, à præſidibus Romanis regi ſinerent. ita enim perſpicuum fore *Judæos*, quos nunc ſeditioſos eſſe ac belli cupidos calumniantur, noſſe moderatum ferre imperium". Et hujuſmodi quidem petitione accuſationem clauſerunt Judæi. Cum autem *contra* ſurrexiſſet Nicolaus, quæ regibus objecerant *facile* diluit, gentem vero accuſabat, quod difficulter imperio regeretur, atque ita à natura facta eſſet ut ægre regibus obſequium præſtaret: porroque Archelai propinquos, qui ad accuſatores defecerant, criminis inſimulabat.

Nicolaus quæ facta eſſent ab Herode & Archelao excuſat. Ant. l. 17. c. 13. §. 2.

3. Et tunc quidem Cæſar, auditis quæ utrinque dicerentur, dimiſit concilium. Paucis autem poſt diebus Archelao quidem dat regni *Herodis* dimidium cum ethnarchæ nomine, ipſum etiam regem, ſi ſe dignum *eo honore* præſtitiſſet, facturum eſſe pollicitus; reliquum vero dimidium, in duas tetrarchias diviſum, duobus aliis Herodis filiis tribuit, unam Philippo, alteram Antipæ, qui cum Archelao de regno contendebat. Et huic quidem in ditionem cedebat Peræa, & Galilæa; *quarum* reditus ducenta talenta: & Philippo ſubjiciebantur Batanæa & Trachon, & Auranitis & partes quædam domus Zenonis circa Jamniam, quæ talenta centum reddebant. Archelai vero ad ethnarchiam pertinebant & Idumæa & Judæa omnis, & Samaria, quarta tributorum parte * levata, honoris ergo quod cum aliis non defecerat. Civitates etiam, quibus imperaret, accipiebat, & Stratonis turrim, & Sebaſten, & Joppen, & Hieroſolyma. Nam Græcas, Gazam & Gadara & Hippon, regno avulſas, Syriæ adjunxit

Quomodo Cæſar regnum Herodis ejuſque facultates diviſit. Ant. l. 17. c. 13. §. 4.

g Βασιλέα τε] *Roſſ.* Βασιλέα τε αὐτοῦ ἑτοίμως, καὶ συμπενθῆσαι.
h Προσώπῳ] Πρόσωπον *Bod.* & *Roſſ.*
i Σπαράττουσι,] Ita *Big.* & *Ruf.* σπαράσσουσι in *cæteris.*
k Ἰδίοις] *Roſſ.* Οἰκείοις.
l Ἑκατέρων.] Ἀμφοτέρων *Bod.* & *Roſſ.*
m Τὸ—βασιλείας] Τὸ μὲν ἥμισυ τῆς βασ. *MS. Lipſ.* Spanh. *Tacit. Hiſt.* V. 9. Gentem coërcitam liberi Herodis tripartito rexere. *Strabo,* lib. 16. p. 765. A. Τῶν δὲ υἱῶν τοὺς μὲν αὐτὸς ἀνεῖλεν ὡς ἐπιβουλεύσαντας αὐτῷ, τοὺς δὲ τελευτῶν διαδόχους ἀπέλιπε μερίδας αὐτοῖς ἀποδούς. Καῖσαρ δὲ καὶ τοὺς υἱοὺς ἐτίμησε τοῦ Ἡρώδου, καὶ τὴν ἀδελφὴν Σαλώμην καὶ τὴν ταύτης θυγατέρα Βερενίκην. Aldr.
n Ἐθνάρχην] Ἀρχέλαος Ἐθνάρχης. ἀρχ. lib. 17. c. 13. §. 4. ipſum malè Ἐθνάρχην dici à *Joſepho*, qui Rex fuerit ab *Auguſto* declaratus, contendit *Harduin. de numm. Herod.* p. 24. Spanh.
o Δύο τετραρχίας,] Antipæ & Philippi Tetrarchiæ ἀρχ. lib. 17. c. 13. §. 4. Spanh.
p Ἀντίπᾳ] Antipas idem, qui Herodes ἀρχ. lib. 17. c. 13. §. 4. & infr. c. 9. §. 1. Ἡρώδης ὁ κληθεὶς Ἀντίπας. Hinc *Herodes* paſſim infra dictus, non *Antipas* & ἀρχ. lib. 18. c. 2. §. 1. & c. 6. §. 1. ut c. 8. §. 1. Spanh.
q Τράχων,] Τραχωνῖτις in *Ant.* lib. 17. c. 13. §. 4.
r Αὐρανῖτις] *Lugd. Bat.* Αὐρανεῖτις.
s Ζήνωνος οἴκου] In *Ant.* lib. 17. c. 13. §. 4. Ζηνοδώρου οἶκος, *Zenodori domus*, quæ antea dicta erat *Lyſaniæ domus*, ut conſtat ex *Ant.* lib. 15. c. 10. §. 1. Cumque ſubjicit *Joſephus* καὶ τὰ περὶ Ἰάμνειαν, nota præter duas Jamnias *Plinii*, etiam tertiam fuiſſe ἐν τῇ ἄνω Γαλιλαίᾳ cujus meminit *Joſephus* in *Vita ſua*, §. 37. quamque hic intelligit. Aldr. Ζηνοδώρου ἀρχ. lib. 17. c. 13. §. 4. & ἁλωσ. lib. 1. c. 20. §. 4. Spanh.
t Τὰ περὶ Ἰάμνειαν,] Eſt qui malit καὶ τὰ περὶ Ἰάμνειαν.
v Ἐτέτακτο.] Ἐτέτακτο *Big.* Spanh.
x Κεκουφισμένη] Idem valet hoc loco κεκουφισμένη quod κεκουφισμένης, ut notavit Cl. *Aldrichius*, conferendo *Ant.* lib. 17. c. 13. §. 4.
y Ἰόππην,] Ita in omnibus *MSS.* & *Ruf.* cum *Ant.* lib. 17. c. 13. §. 4. Ἰόππη in *Impreſſis*. Aldr. Ἰόππην *Gen.* Ἰόππην ἀρχ. lib. 17. c. 13. §. 4. & *MS.* Spanh.
z Ἱεροσόλυμα.] Niſi me fallit conjectura, legendum Ἀνθηδόνα. Quippe cur *Joſephus* hoc loco ſeptem haſce civitates, nec plures, nec alias nominet, nulla potior occurrit ratio, quam quod eaſdem olim Auguſtus Herodis regno adjeciſſet; at nunc volebat quatuor Archelai Ethnarchiæ, tres reliquas provinciæ Syriæ contribui. Vide *Bell.* l. 1. c. 20. §. 4. Has tres *Joſephus* Ἑλληνίδας πόλεις vocat; h. e. in quibus Ἕλληνες numero & auctoritate præpollebant Judæis, quæque inſtitutis utebantur Ἑλληνικοῖς. Notum vero omnes incircumciſos cujuſcunque demum gentis à Judæis Ἕλληνας appellari. Aldr. Pro Ἱεροσόλυμα in *Not. Ox.* Ἀνθηδόνα. Verum Ἱεροσόλυμα & in ἀρχ. lib. 17. c. 13. §. 4. Spanh.
a Τὰς γὰρ Ἑλληνίδας,] *Lugd. Bat.* Male τὰς γὰρ Ἑλληνίδος.
b Ἵππον,] Ita *Big. Voſſ.* lib. 17. c. 13. §. 4. *Ruf.* & *Ant.* lib. 17. c. 13. §. 4. Ἵππον in *cæteris*. ut & in *Roſſ.* Aldr. Vid. ἀρχ. lib. 17. c. 13. §. 4. Male vero Ἵππον. Ἵππον pro Ἵππον. *Big. Voſſ. Ruf.* Spanh.
c Ἀποτεμνόμενος] Ἀποτεμόμενος *Lugd. Bat.*

* *Aldrichius* malit *levatas*, & mox *defecerant*.

Cæſaris erga Salomen liberalitas. Ant. l. 17. c. 13. §. 5. junxit *Cæſar*. Archelao autem ex regione ſibi data *quotannis* redibant quadringenta talenta. At Salome, præter illa quæ rex teſtamento ſuo ei legaverat, & Jamniæ & Azoti & Phaſaëlidis domina facta eſt: eidemque regias etiam in Aſcalone largitur Cæſar. ex quibus omnibus *annui* ſexaginta talentorum reditus colligebantur. domum vero ejus Archelai ethnarchiæ ſubdidit. Quin & cæteris ex Herodis progenie reddita erant legata, prout teſtamento relicta erant. Duabus autem filiabus ejus virginibus dat Cæſar, extra ea quæ pater *Herodis duas filias virgines Pheroræ filiis elocata. Ant. l. 17. c. 13. §. 5.* legaverat, quingenta millia argenti *ſignati*: easque nuptum collocavit Pheroræ filiis. Immo, diviſo *regis* patrimonio, eis diſtribuit mille talenta ipſi ab Herode dono relicta; parvi pretii nonnullis ex regia ſupellectile ſibimet reſervatis, in honorem defuncti.

σοδος ἣ δ' ἦν τῆς Ἀρχελάῳ δοθείσης χώρας, [d] τετρακοσίων ταλάντων. Σαλώμη δὲ, πρὸς οἷς ὁ βασιλεὺς ἐν ταῖς διαθήκαις κατέλιπεν, [e] Ἰαμνίας τε καὶ Ἀζώτου καὶ Φασαηλίδος ἀποδείκνυται δεσπότις· χαρίζεται δ' αὐτῇ Καῖσαρ καὶ τὰ ἐν Ἀσκάλωνι βασίλεια. συνήγετο δ' ἐκ πάντων ἑξήκοντα προσόδου τάλαντα. τὸν δὲ οἶκον αὐτῆς ὑπὸ τὴν Ἀρχελάου [f] ἐθναρχίαν ἔταξε. τῆς δὲ ἄλλης Ἡρώδου γενεᾶς ἕκαστος τὸ καταλειφθὲν ἐν ταῖς διαθήκαις ἐκομίζετο. [g] δυσὶ δὲ αὐτοῦ θυγατράσι παρθένοις Καῖσαρ ἔξωθεν χαρίζεται [h] πεντήκοντα μυριάδας ἀργυρίου, καὶ [i] συνῴκισεν αὐτὰς τοῖς Φερώρα παισί. μετὰ δὲ τὸν οἶκον, ἐπιδιένειμεν αὐτοῖς τὴν αὐτῷ καταλειφθεῖσαν ὑφ' Ἡρώδου δωρεὰν, οὖσαν [k] χιλίων ταλάντων, εὐτελῆ τινα τῶν κειμηλίων εἰς τὴν τοῦ κατοιχομένου [l] τιμὴν ἐξελόμενος.

V.

CAP. VII.

Hiſtoria de Pſeudalexandro. Relegatur Archelaus, moritur Glaphyra; uterque per quietem præmonitus.

Pſeudalexander nude. Ant. l. 17. c. 14. §. 1. INterea juvenis quidam, genere Judæus, Sidone educatus apud quendam Romani civis libertum, formæ ſimilitudine ſemet Alexandrum eſſe mentitus ab Herode occiſum, Romam veniebat, fore ſperans ut non detegeretur. Ipſi autem adjutor erat homo ejuſdem tribûs, ſciens omnium quæ ad regnum pertinerent, à quo inſtructus aſſeverabat, quod ii qui miſſi erant ad ſe & Ariſtobulum occidendum miſericordia commoti ipſos ſurripuerint, ſimilibus ſubditis corporibus. Itaque *Judæis impoſuit. Ibid.* cum iſtis decepiſſet Judæos in Creta degentes, & ſplendidum nactus eſſet commeatum, in Melum navigavit: ubi cum multo plus in *viaticum* collegiſſet, quod res admodum credibilis videretur, hoſpitibus etiam ſuis perſuaſit ut Romam ſecum navigarent. Cum autem appulſus eſſet Dicæarchiam, & dona quam plurima ab iſtius loci Judæis accipit, & tanquam rex à paternis amicis deducebatur. Tantum enim fidei conciliaverat formæ ſimilitudo, ut qui Alexandrum viderant planeque noverant, hunc eum eſſe jurarent. Porro Judæi Romæ degentes omnes ad eum viſendum ſe effuderunt, & ingens hominum multitudo vias, per quas ferebatur, obſidebat. nam eo quidem dementiæ proceſſerunt Melii, ut illum & ſella portarent, ſuiſque ſumptibus cultum & apparatum regium *ei* ſuppeditarent.

Fraudem ſuſpicatur Cæſar, eumque accerſit. Ant. l. 17. c. 14. §. 2. 2. Cæſar autem, ut qui perfecte norit Alexandri oris lineamenta, (accuſatus enim apud eum fuerat ab Herode) perſpiciebat quidem, priuſquam hominem videret, ſimilitudinis fallaciam, aliquid vero fi-

ΚΕΦ. ζ.

Ἱστορία περὶ Ψευδαλεξάνδρου. Φυγαδεύεται Ἀρχέλαος, καὶ τελευτᾷ Γλαφύρα· ὀνείρῳ τοῦ μέλλοντος ἀμφοτέροις δηλωθέντος.

[m] ΚΑΝ τούτῳ νεανίας τις Ἰουδαῖος μὲν τὸ γένος, τραφεὶς δ' ἐν Σιδῶνι παρά τινι τῶν Ῥωμαϊκῶν ἀπελευθέρων, δι' ὁμοιότητα μορφῆς ψευδόμενος ἑαυτὸν Ἀλέξανδρον τὸν ἀναιρεθέντα ὑφ' Ἡρώδου, κατ' ἐλπίδα τοῦ λήσειν, [n] ἧκεν εἰς Ῥώμην. συνεργὸς δ' ἦν τις ὁμόφυλος αὐτῷ [o] πάντα τὰ κατὰ τὴν βασιλείαν ἐπιστάμενος, ὑφ' οὗ διδαχθεὶς ἔλεγεν, ὡς οἱ πεμφθέντες ἐπὶ τὴν ἀναίρεσιν αὐτοῦ τε καὶ Ἀριστοβούλου, δι' οἶκτον ἐκκλέψειαν αὐτοὺς ὁμοίων ὑποβολῇ σωμάτων. τούτοις γοῦν [p] τοὺς ἐν Κρήτῃ Ἰουδαίους ἐξαπατήσας, καὶ λαμπρῶς ἐφοδιασθεὶς, διέπλευσεν εἰς Μῆλον. ἔνθα συναγείρας πολλῷ πλείω δι' ὑπερβολὴν ἀξιοπιστίας, ἀνέπεισε καὶ τοὺς ἰδιοξένους εἰς Ῥώμην αὐτῷ συνεκπλεῦσαι. καταχθεὶς δὲ εἰς Δικαιαρχίαν, δῶρά τε παμπληθῆ παρὰ τῶν ἐκεῖ Ἰουδαίων λαμβάνει, καὶ καθάπερ βασιλεὺς ὑπὸ τῶν πατρῴων προεπέμφθη φίλων. προελήλυθε δ' εἰς τοσοῦτον πίστεως τὸ τῆς μορφῆς ὅμοιον, ὥστε τοὺς ἑωρακότας Ἀλέξανδρον, καὶ σαφῶς ἐπισταμένους, διόμνυσθαι τοῦτον εἶναι. τό γε μὴν Ἰουδαϊκὸν ἐν Ῥώμῃ πᾶν ἐξεχύθη πρὸς τὴν θέαν αὐτοῦ, καὶ πλῆθος ἄπειρον ἦν περὶ τοὺς στενωποὺς, δι' ὧν ἐκομίζετο. καὶ γὰρ δὴ προῆλθον εἰς τοσοῦτον φρενοβλαβείας [q] οἱ Μήλιοι, ὥστε φορείῳ τε αὐτὸν κομίζειν, καὶ θεραπείαν βασιλικὴν ἰδίοις παρέχειν ἀναλώμασι.

β'. Καῖσαρ δὲ γινώσκων ἀκριβῶς τοὺς Ἀλεξάνδρου χαρακτῆρας, κατηγόρητο γὰρ ὑφ' Ἡρώδου παρ' αὐτῷ, συνεώρα μὲν καὶ πρὶν ἰδεῖν τὸν ἄνθρωπον τὴν τῆς ὁμοιότητος ἀπάτην, διδοὺς δέ τι καὶ πίστεως ταῖς ἱλαρωτέ-

---

d *Τετρακοσίων ταλάντων.*] Ἑξακοσίων in *Ant.* lib. 17. c. 13. §. 4. ut & apud *Zonaram*. quæ quidem lectio eſt minus probabilis, quando regni tantum ſemiſſis Archelao ceſſit. ALDR. Pro *τετρακοσίων ταλάντων* ἀρχ. lib. 17. c. 13. §. 4. *τάλαντα ἑξακόσια*. & hæc lectio præfertur in *Not. Ox.* quod dimidiam tantum regni Herodis partem haberet Archelaus. SPANH.

e *Ἰαμνίας τε καὶ Ἀζώτου*] Merito dubitatur utrum hæc ſit genuina lectio, nam & has tres urbes ſorori legavit Herodes, *Ant.* lib. 17. c. 8. §. 1. Emendatius certe loquitur *Joſephus* in *Ant.* lib. 17. c. 13. §. 4. *Σαλώμῃ δὲ πρὸς οἷς ὁ ἀδελφὸς ἐν ταῖς διαθήκαις ἀπένειμεν. Ἰάμνεια δὲ ἦν ταῦτα καὶ Ἄζωτος καὶ Φασαηλὶς καὶ ἀργυρίου ἐπισήμου μυριάδες πεντήκοντα. Καῖσαρ χαρίζεται καὶ τὴν ἐν Ἀσκάλωνι βασίλειον οἴκησιν.* ALDR.

f *Ἐθναρχίαν ἔταξε.*] Ita reſcripſi auctoritate *Rufini*. antea perperam *τετραρχίαν*. nam Ethnarchia Archelai plures Toparchias complectebatur.

g *Δυσὶ δὲ αὐτοῦ*] Conf. *Ant.* lib. 17. c. 13. §. 5. SPANH.

h *Πεντήκοντα—ἀργυρίου.*] Id eſt, *μυριάδας ἀνὰ πέντε καὶ εἴκοσι*, prout in *Ant.* lib. 17. c. 13. §. 5.

i *Συνῴκισεν—παισί.*] Conf. *Ant.* lib. 17. c. 13. §. 5. SPANH.

k *Χιλίων ταλάντων,*] *Πεντακοσίων καὶ χιλίων* in *Ant.* lib. 17. c. 13. §. 5. connumerato quod & Liviæ donarat Herodes, *Ant.* lib. 17. c. 8. §. 1. ALDR. Ἀρχ. lib. 17. c. 13. §. 5. *Πεντακοσίων ταλάντων καὶ χιλίων*, nempe additis 500 Talentis Liviæ datis, de quibus ἀρχ. lib. 17. c. 8. §. 1. ubi *Joſephum* ſe non prodere accurationis omnis ſcriptorem, quod *Juliæ* nomen ibi pro *Liviæ* habeat, contendit *Harduinus de Num. Herod.* p. 32. ſed fruſtra. Quamvis enim ita demum *Julia* poſt obitum Auguſti ſit dicta, idem nomen potuit ibi à *Joſepho* deſignari. vid. *Not. Ox.* SPANH.

l *Τιμὴν ἐξελόμενος.*] Si quis *μνήμην* malit, per me licet.

m *Κἀν—ἀπελευθέρων,*] Vid. *Ant.* lib. 17. c. 14. §. 1. SPANH.

n *Ἧκεν*] *Reg.* *ἦλθεν*.

o *Πάντα—ἐπιστάμενος,*] *Ἔμπειρος τῶν ἀμφὶ τὸ βασίλειον* in *Ant.* lib. 17. c. 15. §. 1.

p *Τοὺς—ἐξαπατήσας,*] Judæi in Creta ἀρχ. lib. 17. c. 13. §. 1. SPANH.

q *Οἱ Μήλιοι,*] *Gen. Tanta enim dementia mentis ceperat*, ſcribe *Melios*. SPANH.

r Ea

τέρας ἐλπίσι, Κέλαδόν τινα πέμπει τῶν σαφῶς ἐπισταμένων Ἀλέξανδρον, κελεύσας ἀγαγεῖν αὐτῷ τὸν νεανίσκον. ὁ δὲ, ὡς εἶδεν, ἐτεκμήρατο μὲν τάχιστα καὶ τὰς διαφορὰς τοῦ προσώπου· τὸ δὲ ὅλον σῶμα σκληρότερόν τε καὶ δουλοφανὲς καταμαθὼν, συνῆκε πᾶν τὸ σύνταγμα. πάνυ δὲ αὐτὸν παρώξυνεν ἡ τόλμα τῶν ὑπ' αὐτοῦ λεγομένων. τοῖς γὰρ πυνθανομένοις περὶ Ἀριστοβούλου, σώζεσθαι μὲν κἀκεῖνον ἔλεγεν, ἀπολελεῖφθαι δ' ἐπίτηδες [p] ἐν Κύπρῳ τὰς ἐπιβουλὰς φυλασσόμενον· ἧττον γὰρ ἐπιχειρεῖσθαι διεζευγμένους. ἀπολαβόμενος δὲ αὐτὸν κατ' ἰδίαν, μισθὸν ἔφη παρὰ Καίσαρος ἕξειν τὸ ζῆν, εἰ μηνύσει τὸν ἀναπείσαντά σε [q] πλάσασθαι τηλικαῦτα. [r] κἀκεῖνος, αὐτῷ δηλώσειν εἰπὼν, ἕπεται πρὸς Καίσαρα, καὶ τὸν Ἰουδαῖον ἐνδείκνυται, καταχρησάμενον αὐτοῦ [s] τῇ ὁμοιότητι πρὸς ἐργασίαν. τοσαῦτα γὰρ εἰληφέναι δῶρα καθ' ἑκάστην πόλιν, ὅσα ζῶν Ἀλέξανδρος οὐκ ἔλαβε. γελάσας δὲ Καῖσαρ ἐπὶ τούτοις, τὸν μὲν Ψευδαλέξανδρον δι' εὐεξίαν σώματος ἐγκατέταξε τοῖς ἐρέταις, τὸν ἀναπείσαντα δὲ ἐκέλευσεν ἀναιρεθῆναι. Μηλίοις δὲ ἤρκεσεν ἐπιτίμιον τῆς ἀνοίας τὰ ἀναλώματα.

γʹ. [x] Παραλαβὼν δὲ τὴν ἐθναρχίαν Ἀρχέλαος, καὶ [y] κατὰ μνήμην τῶν πάλαι [z] διαφορῶν, οὐ μόνον Ἰουδαίοις, ἀλλὰ καὶ Σαμαρεῦσι χρησάμενος ὠμῶς, [a] πρεσβευσαμένων ἑκατέρων [b] κατ' αὐτοῦ πρὸς Καίσαρα, ἔτει τῆς ἀρχῆς [c] ἐννάτῳ [d] φυγαδεύεται μὲν εἰς Βίενναν πόλιν τῆς Γαλατίας αὐτὸς, ἡ οὐσία δ' αὐτοῦ τοῖς Καίσαρος θησαυροῖς ἐγκατετάσσετο. πρὶν κληθῆναι δὲ αὐτὸν ὑπὸ τοῦ Καίσαρος, ὄναρ ἰδεῖν φασὶ τοιόνδε. ἔδοξεν ὁρᾷν στάχυς [e] ἐννέα, πλήρεις καὶ μεγάλους, ὑπὸ βοῶν καταβιβρωσκομένους. μεταπεμψάμενος δὲ τοὺς μάντεις καὶ τῶν [f] Χαλδαίων τινὰς, ἐπυνθάνετο τί σημαίνειν δοκοῖεν. ἄλλων δὲ ἄλλως ἐξηγουμένων, Σίμων τις Ἐσσαῖος τὸ γένος ἔφη. „ [g] τοὺς μὲν στάχυς, ἐνιαυτοὺς „ νομίζειν, τοὺς δὲ βοῦς, μεταβολὰς πραγμάτων, διὰ „ τὸ τὴν χώραν ἀροτριῶντας ἀλλάσσειν. ὥστε [h] βασι„λεύσειν μὲν αὐτὸν τὸν τῶν σταχύων ἀριθμὸν, ἐν ποικίλαις „ δὲ πραγμάτων μεταβολαῖς γενόμενον τελευτήσειν." ταῦτα ἀκούσας Ἀρχέλαος, μεθ' πέντε ἡμέρας, ἐπὶ τὴν δίκην μετεκλήθη.

dei tribuere volens lætiori de eo conceptæ ſpei, Celadum quendam, unum ex iis qui Alexandrum probe noſceret, mitti jubet, ut Alexandrum ſibi *in conſpectum* adduceret. Atque ille, eo viſo, ſtatim quidem conjectura deprehendit perſonæ diverſitatem: at cum totum corpus animadvertiſſet, & duritiam ejus habitumque ſervilem, commentum omne intellexit. Valde autem eum commoverunt, quæ tanta cum fiducia dicere auſus eſt. nam cum de Ariſtobulo interrogaretur, ſalvum quidem illum eſſe reſpondebat, Cypri vero de induſtria relictum eſſe, ut ſibi ab inſidiis caveret. difficilius enim disjunctos poſſe apprehendi. Cum autem eum paululum ſeduxiſſet Cæſar, ei dixit, vitam in præmium fore, ſi illius indicium fecerit, qui ei perſuaſerit ejuſmodi res comminiſci. Atque ille ſe indicaturum eſſe pollicitus eſt, & Cæſarem ſequutus ad eum accedit, atque Judæum * *ei* oſtendit, qui formæ ſuæ ſimilitudine ad quæſtum abuſus eſt. tanta enim dona à civitatibus eum ſingulis accepiſſe, quanta vivus Alexander non conſequutus fuiſſet. Cum autem ad iſta riſiſſet Cæſar, Pſeudalexandrum quidem propter habitudinem corporis remigum ordini inſeruit, fraudis vero auctorem interfici juſſit. Cæterum Melii, ſumptibus quos fecerant, ſtultitiæ pœnarum ſatis dediſſe viſi ſunt.

Qui vir ſit fictus Pſeudalexander. Ant. l. 17. c. 14. §. 1.

Ad remiges relegatur. Ibid.

3. Cum autem Archelaus ethnarchia ſuſcepta, ſuperioris diſcordiæ memor, non ſolum Judæos ſed etiam Samarienſes, crudeliter tractaret, ab utriuſque populi legatis accuſatus apud Cæſarem, anno regni nono in exſilium pellitur Viennam, quæ Galliæ urbs eſt, & ejus patrimonium fiſco Cæſaris adjudicatur. Verum prius quam à Cæſare accerſeretur, hujuſcemodi ſomnium dicitur vidiſſe. Sibi viſus eſt *in ſomnis* ob oculos habere novem ſpicas, plenas & magnas, quas boves depaſcebant. Cumque conjectores acciviſſet & Chaldæorum nonnullos, eos interrogabat, quidnam *illis* ſignificari putarent. Aliis autem aliter *viſum* interpretantibus, Simon quidam, genere Eſſenus, dicebat: „ ſpicæ quidem mihi videntur *eſſe* anni; boves vero „ rerum mutationes *indicare*, eo quod dum ararent terram *verterent &* mutarent. adeoque totidem annos regnaturum, quot numero eſſent „ ſpicæ, tandem vero poſt varias rerum viciſſitudines moriturum eſſe." Iſtis auditis, poſt quinque dies Archelaus ad cauſam dicendam accitus eſt.

VI. *Archelaus accuſatur & in exſilium mittitur. Ant. l. 17. c. 7. §. 3.*

Ejus ſomnium. Ant. l. 17. c. 15. §. 3.

4. Di-

[p] Ἐν Κύπρῳ] Ἐν πραιτωρίῳ *Bod.* atque ita *Rhed.* ejus autem in margine ἐν Κύπρῳ. Huds. ἐν πραιτωρίῳ quoque habent *Lugd. Bat. Colbin.* & *Roſ.* verum alteram lectionem prævalere docent rationes quæ in *Ant.* proferuntur. Hav. Ἐν πραιτωρίῳ *Bod.* & *MSS. Lipſ.* Spanh.

[q] Πλάσασθαι τηλικαῦτα.] Eſt qui malit πλάσασθαι.

[r] Κἀκεῖνος,—εἰπὼν,] Κἀκεῖνος ταῦτα πρὸς αὐτὸν δηλ. *Bod.* & *Roſ.*

[s] Τῇ ὁμοιότητι] *Roſ.* Τὴν ὁμοιότητα.

[x] Παραλαβὼν—Ἀρχέλαος.] De hoc Archelao explicatur ignotus Nummus, quem olim vulgavi Diſſ. de Num. p. 447. ubi hinc ΗΡΩΔΟΥ, illinc ΕΘΝΑΡ. ſed de hac re alibi. Spanh.

[y] Κατὰ μνήμην] *Lugd. Bat.* Εἰς μνήμην.

[z] Διαφορῶν,] *Lugd. Bat.* Διαφόρων.

[a] Πρεσβευσαμένων ἑκατέρων] In hunc modum diſtingui poteſt ſententia, πρεσβευσαμένων ἑκατέρων κατ' αὐτοῦ πρὸς Καίσαρα ἔτει τῆς ἀρχῆς ἐννάτῳ, φυγαδεύεται μὲν εἰς B. ut delatum ſtatuamus Archelaum anno *nono*, relegatum *decimo*. quo modo ſibimet conciliari poteſt *Joſephus*, qui in *Ant.* lib. 17. c. 14. §. 4. decimo relegatum fuiſſe ſcribit. Aldr. Sed quidni relegatum intelligamus Archelaum, *nono* quidem anno regni ſui exacto & completo, *decimo* vero inchoato. *Caſaub. c. Baronium* p. 218. *Edit. Lond.* Addeſis *Samſonum* in *Chronic. Cathol.* parte VII. ad *Annum Chriſti* X.

[b] Κατ' αὐτοῦ] *Lugd. Bat.* Περὶ αὐτοῦ.

[c] Ἐννάτῳ] *Ἀρχ.* lib. 17. c. 15. §. 2. Δεκάτῳ δὲ ἔτει, &c. Non decimo, ſed ſexto Archelai anno id vult contigiſſe *Harduin. de Num. Herod.* p. 23. Spanh.

[d] Φυγαδεύεται] Meminit *Strabo* XVI. p. 765. Quin & *Dio*. LV. p. 567. in hæc verba. ὅ, τε Ἡρώδης Παλαιστινὸς αἰτίαν τινὰ ὑπὸ τῶν ἀδελφῶν λαβὼν, πέραν τῶν Ἄλπεων ὑπερωρίσθη, καὶ τὸ μέρος τῆς ἀρχῆς αὐτοῦ ἐδημοσιώθη. Quem Herodem Palæſtinum vocat non alius eſt quam hic ipſe Archelaus; in exſilium proinde miſſus M. Æmilio Lepido, L. Arruntio Nepote Coſſ. h. e. A. U. C. 759. circa finem. Neque vero *Dionem* in Archelai nomine lapſum exiſtimo; quin potius Archelaum (ſicut Antipam quoque & Philippum) Herodis nomine gaviſum; atque hujus denique eſſe nummum, de quo ambigit *Ez. Spanhemius* in libro *de Præſtantia & Uſu Numiſmatum*, p. 447. *Edit. Amſt.* 1671. [& quem in *Edit. Lond.* p. 521.] Herodi primo ſeu Magno adſcribit, cujus una facies ΗΡΩΔΟΥ altera ΕΘΝΑΡΧΟΥ inſcribitur. Aldr. Vide Num. Tabulas.

[e] Ἐννέα,] Subducta temporum ratione ab Herodis morte, relegatum intelligimus Archelaum anno principatus ſui decimo, ſed vixdum inchoato. Is enim cœpit exeunte Novembri; Archelaus vero relegatus eſt ante Kalendas ſequentis Januarii. Quibus rite perpenſis, tum facile conſtabit Archelaum anno regni non decimo, ſed exeunte nono accuſatum, tum eodem fere tempore hoc illi ſomnium contigiſſe; in quo (quod hiſce congruum eſt ſentire) non decem ſpicas viderit, ſaltem non decem plenas integraſque, ſed novem tantum. Quorſum vero *Joſephus* in *Originibus* pro *novem* & *nono* ſubſtituerit *decem* & *decimo*, & utra ſit verior lectio, cuivis alteri inquirendum libentiſſime relinquo. Aldr. Videſis *Langium* in lib. II. *de Annis Chriſti*, p. 349. Pro ἐννέα, etiam δέκα ἀρχ. lib. 17. c. 15. §. 3. Spanh.

[f] Χαλδαίων τινὰς.] Chaldæi ita artis divinandi & ſomnia interpretandi periti erant, ut quod nomen gentis fuerit, factum ſit nomen profeſſionis.

[g] Τοὺς—πραγμάτων,] *Ἀρχ.* lib. 2. c. 5. §. 6. ut & lib. 17. c. 15. §. 3. ubi boves in ſomnio miſeriam ſignificant. Spanh.

[h] Βασιλεύσειν] Ita *Big.* & *Ruf.* Βασιλεύειν in *cæteris*. Βασιλεύσειν *Big. Ox.* Spanh.

* *Al.* accuſat.

Τινὰ

Glaphyræ ſomnium. Antt. l. 17. c. 15. §. 4.

4. Dignum etiam eſt quod memoretur Glaphyræ ſomnium, quæ filia erat Archelai Cappadocum regis, primumque uxor Alexandri (qui frater quidem erat Archelai, de quo loquimur, filius vero regis Herodis, à quo interfectus eſt, ut jam ante memoravimus) ejus poſt deceſſum nupta Jubæ regi Libyæ; quo defuncto, cum ipſam reverſam, & apud patrem in viduitate degentem, conſpexiſſet Archelaus ethnarcha, adeo amore accenſus eſt, ut ſtatim, repudiata conjuge ſua Mariamne, eam duceret. Hæc igitur, cum in Judæam rediiſſet, brevi poſt tempore quam eò veniret, cernere viſa eſt Alexandrum adſtantem ſibi *iſta* dicere. „Satis fuiſſet tibi Libycum matrimonium, ſed tu, illo non contenta, rurſum ad meos penates reverteris, tertio marito, ipſoque fratre meo, ô audaciſſima, tibi adſcito. Verum non inſuper habebo contumeliam, ſed te, licet invitam, ad me recipiam." Poſtquam hoc ſomnium narraſſet, vix ultra biduum vixit.

δ'. Ἄξιον δὲ μνήμης ἡγησάμην καὶ τὸ τῆς γυναικὸς αὐτοῦ Γλαφύρας ὄναρ, ἥπερ ἦν θυγάτηρ μὲν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως, [i] γυνὴ δ' Ἀλεξάνδρου γεγονυῖα τὸ πρῶτον, ὃς ἦν ἀδελφὸς [k] μὲν Ἀρχελάου, περὶ οὗ [l] διεξίμεν, υἱὸς δ' Ἡρώδου τοῦ βασιλέως, ὑφ' οὗ καὶ ἀνῃρέθη, καθάπερ [m] προδεδηλώκαμεν, μετὰ δὲ τὸν ἐκείνου θάνατον, συνῴκησεν Ἰόβᾳ [n] τῷ βασιλεύοντι Λιβύης, οὗ τελευτήσαντος ἐπανελθοῦσαν αὐτὴν καὶ χηρεύουσαν παρὰ τῷ πατρὶ θεασάμενος ὁ ἐθνάρχης Ἀρχέλαος, ἐπὶ τοσοῦτον ἔρωτος ἦλθεν, ὥστε παραχρῆμα, τὴν συνοικοῦσαν αὐτῷ [o] Μαριάμμην ἀποπεμψάμενος, ἐκείνην ἀγάγεσθαι. παραγενομένη τοίνυν εἰς Ἰουδαίαν, μετ' ὀλίγον τῆς ἀφίξεως χρόνον, ἔδοξεν ἐπιστάντα τὸν Ἀλέξανδρον αὐτῇ λέγειν. „ἀπέχρη μὲν ὁ κατὰ Λιβύην σοι γάμος, σὺ δὲ οὐκ ἀρκεσθεῖσα τούτῳ, πάλιν ἐπὶ τὴν ἐμὴν ἑστίαν ἀνακάμπτεις, τρίτον ἄνδρα, καὶ ταῦτα τὸν ἀδελφὸν, ὦ τολμηρὰ, τὸν ἐμὸν ᾑρημένη. πλὴν οὐ περιόψομαι τὴν ὕβριν, ἀπολήψομαι δέ σε καὶ μὴ θέλουσαν." τοῦτο διηγησαμένη τὸ ὄναρ, δύο μόγις ἡμέρας ἐβίω.

VII.

CAP. VIII.

Archelai ethnarchia in provinciam redacta. Seditio Judæ Galilæi. Judæorum tres ſectæ.

ΚΕΦ. η'.

Τῆς Ἀρχελάου ἐθναρχίας εἰς ἐπαρχίαν περιγραφή. στάσις Ἰούδα Γαλιλαίου. τρεῖς Ἰουδαίων αἱρέσεις.

Archelai ethnarchia in provinciam redacta, Coponius fit procurator. Antt. l. 17. c. 14. §. 5.

Judas defectionis auctor. Antt. l. 17. c. 1. §. 1.

Judæorum ſectæ. Antt. l. 18. c. 1. §. 2.

De Eſſenis, eorumque

ARchelai autem regione in provinciam redacta, procurator quidam, ordinis apud Romanos equeſtris, Coponius, mittitur, * ſumma à Cæſare poteſtate accepta. Eo provinciam adminiſtrante, vir quidam Galilæus, cui nomen erat Judas, ad defectionem indigenas excitabat, ignavos dicens, ſi Romanis tributum pendere ſuſtinerent, & poſt Deum mortales dominos agnoſcerent. Erat autem hic propriæ ſectæ ſophiſta, nulla in re aliis ſimilis.

2. Nam tria hominum genera apud Judæos philoſophantur, & unius quidem *generis* aſſeclæ ſunt Phariſæi; alterius vero Sadducæi; tertium vero, quod ſane vitam ſeveriorem exercere videtur, Eſſeni appellantur; gente quidem Judæi, at mutuo

ΤΗΣ δὲ Ἀρχελάου χώρας εἰς ἐπαρχίαν περιγραφείσης, [p] ἐπίτροπός τις ἱππικῆς παρὰ Ῥωμαίοις τάξεως [q] Κωπώνιος πέμπεται, [r] μέχρι τοῦ κτείνειν [s] λαβὼν παρὰ τοῦ Καίσαρος ἐξουσίαν. [t] ἐπὶ τούτου τις ἀνὴρ [v] Γαλιλαῖος [x] Ἰούδας ὄνομα εἰς [y] ἀπόστασιν ἐνῆγε τοὺς ἐπιχωρίους, κακίζων, εἰ φόρον τε Ῥωμαίοις τελεῖν ὑπομενοῦσι, καὶ μετὰ τὸν Θεὸν οἴσουσι θνητοὺς δεσπότας. ἦν δὲ οὗτος, [z] σοφιστὴς ἰδίας αἱρέσεως, [a] οὐδὲν τοῖς ἄλλοις προσεοικώς.

β' [b] Τρία γὰρ παρὰ Ἰουδαίοις εἴδη φιλοσοφεῖται, καὶ τοῦ μὲν [c] αἱρετισταὶ [d] Φαρισαῖοι, τοῦ δὲ Σαδδουκαῖοι, [e] τρίτον δὲ ὃ δὴ καὶ δοκεῖ [f] σεμνότητα ἀσκεῖν, [g] Ἐσσηνοὶ καλοῦνται, Ἰουδαῖοι μὲν γένος ὄντες, [h] φι-

i Γυνὴ—πρῶτον,] Eadem de tribus his Glaphyræ maritis ἀρχ. lib. 17. c. 15. §. 4. SPANH.

k Μὲν Ἀρχελάου,] Illud μὲν adjectum eſſe volui è *Cod. Big.* & *Ruf.*

l Διεξίμεν,] Ita ex *Lugd. Bat.* Sed *vulg.* διεξίμεν. HAV.

m Προδεδηλώκαμεν,] *Roſt.* Εἰπομεν.

n Τῷ βασιλεύοντι Λιβύης,] Τῷ βασιλεῖ *Ruf. Roſt.* & *Græci nonnulli.*

o Μαριάμμην ἀποπεμψάμενος,] Mariamne Ariſtobuli filia ἀρχ. lib. 17. c. 1. §. 2. & lib. 20. c. 6. §. 3. SPANH.

p Ἐπίτροπος—τάξεως] Ἐπίτροπος τῆς ἱππ. HUDS. Coponius Procurator Judææ cum plena poteſtate, excepto jure gladii vid. ἀρχ. lib. 18. c. 1. §. 1. SPANH.

q Κωπώνιος πέμπεται,] Ita *Big. Rhed.* & in *Antt.* lib. 18. c. 1. §. 1. Κοπώνιος hic loci in *Editis Aliiſque.*

r Μέχρι τοῦ κτείνειν] Τῇ ἐπὶ πᾶσιν ἐξουσίᾳ in *Antt.* lib. 18. c. 1. §. 1.

s Λαβὼν—ἐξουσίαν,] *Lugd. Bat.* Παρὰ Καίσαρος ἐξουσίαν λαβών.

t Ἐπὶ τούτου] Ἐπὶ τούτοις *Bod.* & *Euſeb.* in *H. E.* lib. 1. c. 5. quod *ea tempeſtate* vertit *Valeſius*. atque *deinceps* reddit *Montacutius* in *Originibus Eccl.* Part. 1. p. 315.

v Γαλιλαῖος] Ita *Bod.* & *Ruf.* Γαυλανίτης in *cæteris*. Hunc *Joſephus* iterum appellat Galilæum in *Antt.* lib. 18. c. 1. §. 6. & lib. 20. c. 4. §. 2. & *Gamaliel* apud *Apoſtolum* in *Act.* V. 37. quare certum eſt recte dici Galilæum. Verum in *Antt.* lib. 18. c. 1. §. 1. Γαυλανίτης ἀνὴρ dicitur ἐκ πόλεως ὄνομα Γάμαλα, qui locus haud dubie depravatus eſt; nam cum laudans Joſephus *Antt.* lib. 20. c. 4. §. 2. aſſerit ſe Judam noſtrum (non Gaulanitem ſed) Galilæum ante dixiſſe. οἱ παῖδες inquit Ἰούδα τοῦ Γαλιλαίου—τοῦ τὸν λαὸν ἀπὸ Ῥωμαίων ἀποστήσαντος, Κυρηνίου τῆς Ἰουδαίας τιμῶντος, ὡς ἐν τοῖς πρὸ τούτων ἐδηλώσαμεν. Præter Gamalam Gaulanitidis alia erat Gamala Galilææ, de qua vide *Belli* lib. III. ALDR. Confer quæ annotavimus ad lib. 18. c. 1. §. 5.

x Ἰούδας] Γαυλανίτης ἀνὴρ hic Judas dicitur ἀρχ. lib. 18. c. 1. §. 1. verum lib. 20. c. 4. §. 2. Ἰούδα τοῦ Γαλιλαίου. Vid. Act. v. 37. & infra c. 17. §. 8. & ulterius lib. 18. *Antt.* c. 1. §. 1. SPANH.

y Ἀπόστασιν] *Euſeb.* Ἀποστασίαν.

z Σοφιστὴς ἰδίας αἱρέσεως,] Conf. inf. c. 17. §. 8. SPANH.

a Οὐδὲν τοῖς ἄλλοις προσεοικώς.] *Τοῖς μὲν λοιποῖς πᾶσι γνώμῃ τῶν Φαρισαίων ὁμολογοῦσι, δυσνίκητος δὲ τοῦ ἐλευθέρου ἔρως ἐστὶν αὐτοῖς*, &c. *Antt.* lib. 18. c. 1. §. 5.

b Τρία γὰρ—φιλοσοφεῖται,] Conf. *Antt.* lib. 13. c. 5. §. 9. SPANH.

c Αἱρετισταὶ] Αἱρετικοὶ infr. §. 7. Polyb. lib. 1. p. 80. A. ἀπὸ τῶν αἱρετιστῶν. SPANH.

d Φαρισαῖοι,] Conf. ἀλωσ. lib. 1. c. 5. §. 2. SPANH.

e Τρίτον δὲ] Quæ de Eſſenis dicta ſunt hoc capite, *Porphyrius* exſcripſit *de Abſt.* IV. 11. 12. 13. & ex *Porphyrio* etiam *Euſebius* in *Præp.* IX. 3. De iis ſcribit alibi *Joſephus* in *Antt.* lib. 13. c. 5. §. 9. lib. 14. c. 10. §. 4. & 5. ut & lib. 18. c. 1. §. 5. Quæ *Porphyrius* exſtitiſſe dicit l. 2. *contra Apionem*, ea hodie non comparent. De Eſſenis præterea ſcripſit *Philo* in *lib. ὅτι πᾶς σπουδαῖος ἐλεύθερος*, p. 600. Ex ejuſdem *Apologia pro Judæis* elegantem locum profert *Euſebius* in *Præp.* VIII. 10. De Eſſenis denique *Plinius* in *N. H.* V. 17. Quicquid ſani apud alios ſcriptores invenitur ex hiſce fontibus promanavit; hos itaque tirones diligenter legant, nec ſe cæteris impediri patiantur. ALDR.

f Σεμνότητα] Σεμνότερον forſan *Ruf.* qui hoc modo interpretatur, *tertium vero quod etiam probabilius habetur*. HUDS. Σεμνότατα videtur *Rufin.* Ox. SPANH.

g Ἐσσηνοὶ—ὄντες,] Alibi quidem Ἐσσαῖοι, nam utroque nomine appellari ſolent. ALDR. Conf. *Antt.* lib. 13. c. 10. §. 8. & lib. 15. c. 10. §. 4. & lib. 17. c. 15. §. 3. SPANH.

* Sive magis ad verbum, *vitæ necisque à Caſ.* &c. quod *Rufinus* ita reddidit, ac ſi legiſſet tantum ὅσιον, ſc. *ea plena à Cæſare mandata poteſtate.*

h Φι-

[h] φιλάλληλοι δὲ καὶ τῶν ἄλλων πλέον. οὗτοι τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται, τὴν δὲ ἐγκράτειαν, καὶ τὸ μὴ τοῖς πάθεσιν [i] ὑποπίπτειν, [k] ἀρετὴν ὑπολαμβάνουσι. καὶ γάμου μὲν ὑπεροψία παρ' αὐτοῖς, τοὺς δ' ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες, ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται, καὶ τοῖς ἤθεσι τοῖς ἑαυτῶν [l] ἐντυποῦσι· τὸν μὲν γάμον, καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν, οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγίας φυλαττόμενοι, [m] καὶ μηδεμίαν τηρεῖν πεπεισμένοι τὴν πρὸς ἕνα πίστιν.

γ'. Καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ [n] κοινωνικὸν, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινὰ παρ' αὐτοῖς ὑπερέχοντα. νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δημεύειν τῷ τάγματι τὴν οὐσίαν. ὥστε ἐν ἅπασι μήτε πενίας ταπεινότητα φαίνεσθαι, μήθ' ὑπεροχὴν πλούτου, τῶν δὲ ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν οὐσίαν εἶναι. κηλῖδα δὲ ὑπολαμβάνουσι [o] τὸ ἔλαιον, κἂν [p] ἀλιφῇ τις ἄκων, σμήχεται τὸ σῶμα. τὸ γὰρ αὐχμεῖν ἐν καλῷ τίθενται, λευχειμονεῖν τε διαπαντός. χειροτονητοὶ δὲ [q] οἱ τῶν κοινῶν ἐπιμεληταὶ, καὶ [r] ἀδιαίρετοι πρὸς ἁπάντων εἰς τὰς χρείας ἕκαστοι.

δ'. Μία δὲ οὐκ ἔστιν [s] αὐτῶν πόλις, ἀλλ' ἐν ἑκάστῃ [t] κατοικοῦσι πολλοί. καὶ τοῖς ἑτέρωθεν ἥκουσιν [u] αἱρετισταῖς ἀναπέπταται τὰ παρ' αὐτοῖς ὁμοίως ὥσπερ ἴδια, [x] καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους· διὸ καὶ ποιοῦνται τὰς ἀποδημίας, [y] οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι, διὰ δὲ τοὺς λῃστὰς ἔνοπλοι. κηδεμὼν δὲ [z] ἐν ἑκάστῃ πόλει τοῦ τάγματος [a] ἐξαιρέτως τῶν ξένων ἀποδείκνυται, ταμιεύων ἐσθῆτα καὶ τὰ ἐπιτήδεια. καταστολὴ δὲ καὶ σχῆμα σώματος ὅμοιον τοῖς μετὰ φόβου παιδαγωγουμένοις παισίν. οὔτε δὲ ἐσθῆτας, οὔτε ὑποδήματα ἀμείβουσι, πρὶν ἢ [b] διαρραγῆναι τὸ πρότερον παντάπασιν, ἢ δαπανηθῆναι τῷ χρόνῳ. [c] οὐδὲν δὲ ἐν ἀλλήλοις οὔτε ἀγοράζουσιν οὔτε πωλοῦσιν, ἀλλὰ τῷ χρῄζοντι διδοὺς ἕκαστος [d] τὰ παρ' αὐτῷ, τὸ παρ' ἐκείνου χρήσιμον ἀντικομίζεται· καὶ χωρὶς δὲ τῆς ἀντιδόσεως, ἀκώλυτος ἡ μετάληψις αὐτοῖς παρ' ὧν ἂν ἐθέλωσι.

ε'. Πρός γε μὴν τὸ θεῖον [e] ἰδίως εὐσεβεῖς· πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον, οὐδὲν φθέγγονται τῶν βεβήλων, πα-

ſeſe amore magis quam alii complectentes. Iſti à voluptatibus tanquam à ſcelere abhorrent, continentiam vero *ſervare*, & cupiditatibus non ſuccumbere pro virtute *maxima* ducunt. Et ipſis quidem deſpectui habentur nuptiæ, alienos vero liberos, dum ad *capeſſendas* diſciplinas molles adhuc ſunt, ſuſcipientes, pro cognatis ſuis reputant, ſuiſque moribus informant: non tamen matrimonium, & *legitimam* ex eo ſucceſſionem tollentes, ſed ſibimet à procaci mulierum petulantia caventes, nullamque earum uni *viro* fidem ſervare *poſſe* perſuaſum habentes. *moribus & inſtitutis. Ant. l. 18. c. 1. §. 5.*

3. Quin & divitias contemnunt, & admiranda plane inter eos obtinet bonorum communio, neque quiſquam apud eos inveniri poteſt qui plura aliis poſſidet. Lege ſancitur ut qui iſti ſectæ nomen ſuum dare velint, facultates ſuas ſodalitio communes facerent: adeo ut inter omnes neque egeſtatis humilitas, nec opum vis immodica appareat, ſed permixtis ſingulorum facultatibus, unum omnium ſit tanquam fratrum patrimonium. Labis autem inſtar oleum habent, & ſi quis vel invitus unctus fuerit, corpus abſtergit. * nam ſqualere honori ducunt, & veſte candida ſemper indui. Deſignatos autem communium rerum procuratores habent; & ad uſus omnium ſingulos indiſcretos. *Confer Ant. Ibid.* *Confer Ant. Ibid.*

4. Illis non eſt una civitas certa, ſed domicilia habent multi in ſingulis: ac ſuæ ſectæ hominibus aliunde advenientibus quicquid habent æque patet ac ſi *eorum* proprium eſſet, & ad eos quos nunquam viderant, quaſi maxime familiares, ingrediuntur. quare cum peregre proficiſcuntur, nihil omnino in victum tollunt, contra latrones tamen arma geſtant. In ſingulis vero civitatibus certus quidam hoſpitum curator conſtituitur, qui veſtes aliaque neceſſaria ſuppeditet. Amictus autem cultuſque corporis † qualis puerorum, in metu & ſub cura magiſtri agentium, eſſe ſolet. Imo nec veſtem nec calceos mutant, donec priora vel diſciſſa omnino fuerint vel vetuſtate detrita. Nihil inter ſe emunt, nec vendunt quicquam; ſed egenti unuſquiſque è ſuis largiens, viciſſim ab eo, quod ſibi uſui ſit, accipit: & ſi nihil mutuo rependant, eos tamen à quibuſcunque velint, accipere nihil vetat.

5. Cæterum erga Deum pietate *ſunt* ſingulari: nihil enim ‡ profani ante ſolis ortum loquuntur, ſed *Confer Ant. l. 18. c. 1. §. 5.*

h Φιλάλληλοι—πλέον.] Hoc modo legiſſe videtur *Rufinus*, Φιλάλληλοι δὲ μάλιστα, καὶ τῶν ἄλλων πλέον τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται, nam vertit, *verum inter ſe mutuo amore conjunctiſſimi; & qui præter cæteros voluptates quidem quaſi maleficia vitarent*, &c. Eſſenorum inſtituta cum Pythagoricis plerumque conveniunt. *Ant.* lib. 15. c. 10. §. 4. & 5. ut lib. 18. c. 1. §. 5. Dacos enim à Zamolxide Pythagoreo inſtitutos perinde notum eſt atque Pythagoram ipſum ſua pleraque à Judæis eſſe mutuatum. Facile erat utriuſque ſectæ dogmata moreſque conferre; ſed ab hoc labore tanquam ſupervacaneo abſtinemus, cum Pythagoræ inſtituta nemo neſciat. ALDR. Conf. infr. §. 14. SPANH.

i Ὑποπίπτειν,] *Raf.* Ὑπεκπίπτειν.

k Ἀρετὴν ὑπολαμβάνουσι.] *Rufinus*, qui ἀρετὴν *virtutem maximam* interpretatur, non aliter legit; ſed ἀρετὴν recte intellexit ἐμφατικῶς eſſe ſumendum. ALDR.

l Ἐντυποῦσι.] *Raf.* Ἐκτυποῦσι.

m Καὶ—πίστιν.] Illa καὶ μηδ. τ. π. τ. π. ἕ. πίστιν deſiderantur apud *Porphyrium*, in lib. IV. *de Abſtinentia*, §. XI. ut & apud *Euſebium* de *Præp. Evang.* lib. IX. cap. III. HUDS. Hæc omittunt *Porphyrius* & *Euſebius*. OX. SPANH.

n Κοινωνικὸν] Κοινωνικὸν *Porphyr. Euſeb. Buſb. Raf.* etiam & *Lugd. Bat.* & *Rhed.* HUDS. SPANH.

o Τὸ ἔλαιον.] Τὸ ἔλαιον. *Porph.* & *Euſeb.*

p Ἀλιφῇ] Ἀλειφῇ *Porph.* ἀλειφθῇ *Euſeb.* HUDS. Pro ἀλιφῇ *Porphyr.* ἀλειφῇ *Euſeb.* ἀλειφθῇ. OX. SPANH.

q Οἱ τῶν κοινῶν ἐπιμεληταί,] Illud οἱ deeſt *Porph.*

r Ἀδιαίρετοι] *Lugd. Bat.* Αἱρετοί.

s Αὐτῶν πόλις,] Αὐτοῖς *Bod.*

t Κατοικοῦσι πολλοί.] Ita cum *Cod. Buſb.*

u Αἱρετισταῖς] Sic *Big.* (*Lugd. Bat.*) *Buſb. Rhed. Bod.* & *Euſeb.* (αἱρετικοῖς *Raf.*) αἱρέσεις *Baſ.* & *Gen.* αἱρετισταῖς *Porph.* HUDS.

x Καὶ πρὸς—διὸ καὶ] Ἀναπέπταται τὰ παρ' ἀλλήλοις, καὶ οἱ πρῶτον ἰδόντες εἰσίασιν ὥσπερ [ὡς πρὸς *Euſeb.*] συνήθεις. οὐδὲ ποιοῦνται τὰς ἀποδημίας ἐπικομιζόμενοί τι ἀναλωμάτων ἕνεκα. οὐδὲ π. *Porph.* & *Euſeb.* reliquis omiſſis. HUDS.

y Οὐδὲν μὲν ὅλως] *Lugd. Bat.* Οὐδὲν ὅλως.

z Ἐν ἑκάστῃ πόλει] Nota in urbibus Eſſenos. REL.

a Ἐξαιρέτως] Ita ex *Lugd. Bat.* Reliqui ἐξαίρετος. HAV.

b Διαρραγῆναι] Ita *Big. Porphyr. Euſeb.* OX. SPANH.

c Οὐδὲν δὲ ἐν ἀλλήλοις] Οὐδὲν δὲ ἐν ἀλλ. *Buſb. Bod.* & *Rhed.* οὐδ' ἀγοράζουσί τι οὐδὲ π. *Porph.* & *Euſeb.* HUDS. Inſerui δὲ quod *Lugd. Bat.* etiam agnoſcit. HAV.

d Τὰ παρ' αὐτῷ,] Τὰ παρ' ἑαυτῷ *Porph.* & *Euſeb.* παρ' αὐτοῦ *Bod.*

e Ἰδίως εὐσεβεῖς.] *Idem præcipue*, ut vertit *Rufinus*, ſeu potius *peculiari modo*. Apud *Joſephum* lib. 18. c. 1. §. 5. dicuntur βελτίονες ἀνδρες τῷ τρόπῳ, quod nequaquam diceret, ſi Eſſenos *Solicolas* h. e. idololatras eſſe cenſuiſſet. Quare quod mox ſequitur εἰς αὐτὸν benigna interpretatione leniendum eſt. Extant in ſacris quoque literis εὐχαί, πρὸς τὸν Θεὸν quidem, ſed & εἰς τὸν ἥλιον. v. g. *Pſal.* XIX. 4. 5. 6. & CIV. 19—23. qui locus Eſſenorum propoſito valde eſt accommodatus. Quod ſi Eſſeni, ut exiſtimat *Serarius*, ſolem ipſum *per proſopopœiam appellaverint ut ſolus ſanctus qui oritur omnibus*, poterant ſe tueri Solomonis exemplo, qui ventos ſimiliter appellavit. *Surge Aquilo & veni Auſter, perfla hortum meum, & fluant aromata illius*, *Cant.* IV. 6. ALDR. Illa εἰς ἥλιον ita interpretanda cenſeo, ut intelligatur, illos bis ſingulis diebus, h. e. ad ortum & occaſum ſolis, *facie verſus ſolem converſa* ſolennes orationes habuiſſe. BERNARDUS.

* Squalorem decorem putant, dummodo ſemper in veſte ſint candida. *Ruf.* Squalorem non ſecus ac perpetuum candidæ veſtis uſum honori ducunt. *Viger.*

† Omnibus pueris in metu & ſub cura magiſtri agentibus par eſt, *Ruf.*

‡ *Al.* de rebus profanis.

ſed patria quædam vota ei nuncupant, quaſi ut illuceſcat obſecrantes. Tum ad eam quam quiſque novit artem à curatoribus dimittuntur, in qua perpetuo & continenti ad quintam horam labore verſati, eundem ſimul in locum denuo conveniunt, ac lineis præcincti velaminibus, ita *demum* corpus frigida abluunt: moxque ab ea luſtratione proprium in domicilium, quo alterius ſectæ nemini pedem inferre licet, una omnes confluunt; ipſique ab omni labe puri, non aliter ad cœnaculum, quam ad delubrum quoddam ſanctius, accedunt. atque ubi placide ac quiete conſederint, piſtor quidem panes ſuo cuique ordine apponit; coquus vero ſingulis unum pulmenti ejuſdem vaſculum apponit. Sacerdos autem antequam cibum capiunt preces adhibet, nec ulli ante precationem quicquam guſtare fas eſt. *Idem* finito prandio iterum precatur; & cum *edere* incipiunt & deſinunt, Deum venerantur, ut qui omnia ad victum largiatur. Tunc * veſtibus quaſi ſacris depoſitis, rurſum ad opera ſua redeunt uſque ad veſpertinum crepuſculum: atque inde reverſi cœnam eodem *quo prandium* ritu ſumunt, conſidentibus ſimul hoſpitibus, ſi qui forte advenerint. Neque vero clamor unquam aut tumultus domum contaminat, ſed loquendi vices ordine alii aliis concedunt: illiſque qui foris ſunt horrendi inſtar myſterii videtur ſilentium eorum qui intus ſunt. Hujus autem rei cauſa perpetua ſobrietas, † & cibi & potionis uſque ad ſatietatem dimenſio.

6. Et cæterorum quidem nihil eſt quod ſine ‡ curatorum mandato faciunt: duo vero iſta in ipſorum poteſtate ſunt, alios juvare, eorumque miſereri. Nam dignis, quandocunque aliquid ab iis peterent, ſuo arbitrio cuique licet, ut & egentibus alimenta porrigere: ſed cognatis aliquid donare niſi juſſu curatorum non permiſſum eſt. Iræ diſpenſatores juſti *ſunt*, iracundiæ coërcitores, fidei antiſtites, pacis adminiſtri. Et quicquid ab ipſis quidem dictum ſit firmius eſt jurejurando: jurare autem ipſis * ſupervacuum eſt, ita ut perjurio pejus æſtiment. jamjam enim eum damnatum dicunt, cui abſque Deo nequaquam creditur. Mirabile autem ſtudium collocant in veterum ſcriptis *pervolutandis*, ex quibus ea maxime deligunt, quæ animæ corporique conducant. hinc diligenter inveſtigant & radices remediis afferendis idoneas, & lapidum proprietates quibus medicinam morbis faciant.

πρίους δέ τινας εἰς αὐτὸν εὐχὰς, ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι. μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν ὑπὸ τῶν ἐπιμελητῶν [f] διαφίενται, καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως, ἔπειτα πάλιν εἰς ἓν [g] ἀθροίζονται χωρίον, ζωσάμενοί τε [h] σκεπάσμασι λινοῖς, [i] οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι καὶ μετὰ ταύτην τὴν [k] ἁγνείαν, εἰς ἴδιον οἴκημα συνίασιν, ἔνθα μηδενὶ τῶν ἑτεροδόξων [l] ἐπιτέτραπται παρελθεῖν· αὐτοί τε καθαροὶ καθάπερ [m] εἰς ἅγιόν τι τέμενος παραγίνονται τὸ δειπνητήριον. καὶ καθισάντων μεθ' ἡσυχίας, ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ [n] παρατίθησι. προκατεύχεται δὲ ὁ ἱερεὺς [o] τῆς τροφῆς, καὶ γεύσασθαί τινα [p] πρὸ τῆς εὐχῆς ἀθέμιτον. [q] ἀριστοποιησάμενος [r] ἐπεύχεται [s] πάλιν· ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι τὸν Θεὸν, [t] ὡς χορηγὸν τῆς τροφῆς. ἔπειτα ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας, πάλιν ἐπ' ἔργα μέχρι δείλης τρέπονται. δειπνοῦσι δὲ ὑποστρέψαντες ὁμοίως συγκαθεζομένων τῶν ξένων, εἰ τύχοιεν αὐτοῖς παρόντες. οὐδὲ κραυγή ποτε τὸν οἶκον, [v] οὔτε θόρυβος [x] μολύνει, τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις· καὶ τοῖς ἔξωθεν, ὡς μυστήριόν τι φρικτὸν, ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται. [y] τούτου δὲ αἴτιον [z] ἡ διηνεκὴς νῆψις, καὶ τὸ μετρεῖσθαι παρ' αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου.

ς'. [a] Τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ, τι μὴ τῶν ἐπιμελητῶν προσταξάντων ἐνεργοῦσι· δύο δὲ ταῦτα παρ' αὐτοῖς αὐτεξούσια, ἐπικουρία καὶ ἔλεος. βοηθεῖν τε γὰρ τοῖς ἀξίοις, ὁπόταν δέωνται, καὶ [b] καθ' αὑτοὺς ἀφίεται, καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν. τὰς δὲ εἰς τοὺς συγγενεῖς μεταδόσεις οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπιτρόπων. ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοί, πίστεως προστάται, εἰρήνης ὑπουργοί. καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ' αὐτῶν ἰσχυρότερον ὅρκου· [c] τὸ δὲ ὀμνύειν [d] αὐτοῖς περιΐσταται, χεῖρόν τι τῆς ἐπιορκίας ὑπολαμβάνοντες. ἤδη γὰρ ἤδη κατεγνῶσθαί φασι τὸν ἀπιστούμενον, δίχα Θεοῦ. σπουδάζουσι δὲ ἐκτόπως περὶ [e] τὰ τῶν παλαιῶν συγγράμματα, μάλιστα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες. ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν, ῥίζαι τε ἀλεξιτήριοι, καὶ λίθων ἰδιότητες ἀνερευνῶνται.

ζ. [f] Τῶν

[f] Διαφίενται,] Ἀφίενται *Euſeb.* ἵνα ἀφίενται *Porph.* ἀφίενται *Euſeb.* Huds.

[g] Ἀθροίζονται] *Raſt.* Συνάγονται.

[h] Σκεπάσμασι λινοῖς,] Σκέπασι *Porph.*

[i] Οὕτως ἀπολούονται—ὕδασι.] Adnotavit in Codice meo locum Johannis Ev. cap. 4. v. 6. *Coccejus.* Conf. inf. §. 7. & 13. & Lucian. in Dea Syria. p. 912. Hav.

[k] Ἁγνείαν,] Frigida ἁγνεία. Rel.

[l] Ἐπιτέτραπται παρελθεῖν.] *Adſpirare licet* pro *pervenire*, eleganter, uti apud Ciceronem. Rel.

[m] Εἰς ἅγιόν τι τέμενος] Voculam τι non agnoſcit. *Lugd. Bat.*

[n] Παρατίθησι.] Vocem παρατίθησι nec agnoſcunt *Porph.* & *Euſeb.* nec *Rufinus.* & commode ſatis abeſſe poteſt. Πάντων προσάγει apud *Cedrenum* in *Hiſt. Compendio*, pag. 199. Huds.

[o] Τῆς τροφῆς,] Τῆς τροφῆς ἁγνῆς οὔσης καὶ καθαρᾶς καὶ γεύσασθαι *Porph.* & *Euſeb.* immo & τινι pro τινα habet *Porph.*

[p] Πρὸ τῆς εὐχῆς ἀθέμιτον.] Ex *Lugd. Bat.* alii πρὶν τ. ε. α. Hav.

[q] Ἀριστοποιησάμενος] Ἀριστοποιησάμενος δὲ *Big.* (*Lugd. Bat.*) *Bod. Rhod.* & *Euſeb.* ἀριστοποιησαμένους γ'. *Porph.* ἀριστοποιεῖν *Cedren.*

[r] Ἐπεύχεται] Δὲ ἐπευχ. *Big. Bod. Euſeb.* ἀριστοποιησαμένους γ'. *Porph.* Ox. Spanh.

[s] Πάλιν.] Μᾶλλον *Euſeb.* Huds.

[t] Ὡς χορηγὸν τῆς τροφῆς.] Illa ὡς χ. τ. τροφῆς deſunt *Porph.* & *Euſeb.* Huds.

[v] Οὔτε θόρυβος] *Raſt.* ὁ θόρυβος.

[x] Μολύνει,] Μιαίνει *Porph.* & *Euſeb.*

[y] Τούτου δὲ αἴτιον] Ita *Big.* (*Lugd. Bat. Raſt.*) *Bocb. Porph.* & *Euſeb.* τοῦτο *Baſ.* & *Gen.* Huds.

[z] Ἡ διηνεκὴς νῆψις,] Si cum hoc loco committatur alius *Cedreni*, p. 190. *Editionis Regiæ*, ubi dicitur, [illegible] &c. forſan alicui mirari lubeat eorundem diverſitatem. Nam apud *Joſephum* de ſomno ne verbum quidem: rectius tamen ſobrietas dicitur eſſe cauſa *ſomni brevis leviſque* quam *ſilentii*. Videtis *Cotelerii* notas ad *PP. Apoſtol.* p. 261.

[a] Τῶν μὲν] Tota hæc paragraphe deſideratur apud *Porph.* & *Euſeb.* Huds.

[b] Καθ' αὑτοὺς ἀφίεται,] *Καθ' ἑαυτοὺς ἐφίεται* *Bocb.* (*Lugd. Bat.*) & *Bod.* καθ' αὐτοὺς ἀφ. *Rhod.*

[c] Τὸ δὲ ὀμνύειν] Nihilominus §. 9. jusjurandum dabant ſe religionem obſervaturos. Quare quod hic dicitur eodem ſenſu capiendum eſt quo apud Pythagoricos: qui quem prohibent jurare, non ab omni prorſus juramento, idque ſemper abſtinere volunt; ſed non jurare niſi poſtulet neceſſitas, & res inciderit juramento digna. *Hiero. Comment.* p. 34. 222. Aldr.

[d] Αὐτοῖς] Abeſt a *Lugd. Bat.*

[e] Τὰ—συγγράμματα,] Qualia erant quæ vulgo Solomonis eſſe ferebantur; de quibus vide *Ant.* lib. 8. cap. 2. §. 5. Aldr.

* *Sc.* quas menſæ accumbentes habebant. Vide *Poſſinum* in *Spicilegio Evang.* c. XLIX.

† Quodque cibum & potum juſtæ neceſſitatis lege metiantur, *Viger.* *Al.* juſtæ ſaturitatis lege metiantur. *Al.* quòd cibum & potum tantum adhibeant ad ſatianda naturæ deſideria.

‡ *Seu*, eorum qui ipſis à ſodalitio præficerentur.

* *Al.* Jusjurandum vitant, rati id eſſe deterius perjurio.

f Τῶν

πρὶν ἁλῶναι οἱ πολεμοῦντες αἱρῶνται. τί δὲ κωλύει ταῖς ἑαυτῶν χερσὶ διαχρήσασθαι τέκνα καὶ γυναῖκας, καὶ τὴν περικαλλεστάτην πατρίδα ταύτην καταφλέξαι; μανέντες γὰρ οὕτω τό γε τῆς ἥττης ὄνειδος κερδήσετε. καλὸν, ὦ φίλοι, καλὸν, ἕως [h] ἔτι ἐν ὅρμῳ τὸ σκάφος, προσκέπτεσθαι τὸν μέλλοντα χειμῶνα, μηδὲ εἰς μέσας τὰς θυέλλας [i] ἀπὸ λιμένος ἀναχθῆναι. τοῖς μὲν γὰρ ἐξ ἀδήλων ἐπιπεσοῦσι δεινοῖς τὸ γοῦν ἐλεεῖσθαι περίεστιν, ὁ δὲ εἰς πρόδηλον ἀπώλειαν ὁρμήσας καὶ προσονειδίζεται. πλὴν εἰ μή τις ὑπολαμβάνει κατὰ συνθήκας πολεμήσειν, καὶ Ῥωμαίους κρατήσαντας ὑμῶν μετριάσειν, ἀλλ' οὐκ εἰς ὑπόδειγμα τῶν ἄλλων ἐθνῶν καταφλέξειν μὲν τὴν ἱερὰν πόλιν, ἀναιρήσειν δὲ πᾶν ὑμῶν τὸ φῦλον. οὐδὲ γὰρ περιλειφθέντες φυγῆς εὑρήσετε τόπον, [k] ἁπάντων ἐχόντων Ῥωμαίους δεσπότας ἢ [l] δεδιότων σχεῖν. ὁ δὲ κίνδυνος οὐ τῶν ἐνθάδε μόνον, ἀλλὰ καὶ τῶν κατὰ τὰς ἄλλας πόλεις κατοικούντων. οὐ γάρ ἐστιν ἐπὶ τῆς οἰκουμένης δῆμος, ὁ μὴ μοῖραν [m] ὑμετέραν ἔχων. οὓς ἅπαντας πολεμησάντων ὑμῶν [n] ἕνεκα κατασφάξουσιν [o] οἱ διάφοροι, καὶ δι' ὀλίγων ἀνδρῶν κακοβουλίαν πᾶσα πληρωθήσεται πόλις Ἰουδαϊκοῦ φόνου. καὶ συγγνώμη μὲν τοῖς τοῦτο [p] πράξασιν. ἂν δὲ μὴ πραχθῇ, λογίσασθε πῶς πρὸς οὕτω φιλανθρώπους ὅπλα κινεῖν ἀνόσιον. εἰσελθέτω δὲ οἶκτος ὑμᾶς, εἰ μὴ τέκνων καὶ γυναικῶν, ἀλλὰ τῆς μητροπόλεως ταύτης, [q] καὶ τῶν ἱερῶν περιβόλων. φείσασθε τοῦ ἱεροῦ, καὶ τὸν [r] ναὸν ἑαυτοῖς μετὰ τῶν ἁγίων τηρήσατε. ἀφέξονται γὰρ οὐκ ἔτι Ῥωμαῖοι τούτων κρατήσαντες, ὧν φεισάμενοι πρότερον ἠχαρίστηνται. μαρτύρομαι δὲ ἐγὼ μὲν ὑμῶν τὰ ἅγια, καὶ τοὺς ἱεροὺς ἀγγέλους τοῦ Θεοῦ, καὶ πατρίδα τὴν κοινὴν, ὡς οὐδὲν τῶν σωτηρίων ὑμῖν [s] καθυφηκάμην. ὑμεῖς δὲ, βουλευσάμενοι μὲν τὰ δέοντα, κοινὴν σὺν ἐμοὶ τὴν εἰρήνην ἕξετε, προαχθέντες δὲ τοῖς θυμοῖς, χωρὶς ἐμοῦ κινδυνεύσετε.

ε΄. Τοσαῦτα εἰπὼν, ἐπεδάκρυσέ τε μετὰ τῆς ἀδελφῆς, καὶ τὸ πολὺ τῆς ὁρμῆς αὐτῶν ἔπαυσε τοῖς δάκρυσιν. ἀνεβόων δὲ, „οὐ Ῥωμαίοις, ἀλλὰ Φλώρῳ, „δι' ἃ πεπόνθασι, πολεμεῖν." πρὸς ταῦτα ὁ βασιλεὺς Ἀγρίππας, „ἀλλὰ τὰ ἔργα, ἔφη, Ῥωμαίοις ἤδη πολεμούντων ἐστίν. [u] οὔτε γὰρ τῷ Καίσαρι δεδώκατε τὸν φόρον, καὶ [x] τὰς στοὰς ἀπεκόψατε τῆς Ἀντωνίας. ἀποσκευάσεσθε δ' ἂν τὴν αἰτίαν τῆς ἀποστάσεως, εἰ ταύτας τε [y] συνάψετε πάλιν, καὶ τελέσετε τὴν εἰσφοράν. οὐ γὰρ ἤδη γε Φλώρου τὸ φρούριόν ἐστιν, ἢ Φλώρῳ τὰ χρήματα δώσετε.

bium eſt quin vos in poteſtatem ſuam redigant hoſtes. Quid autem prohibet propriis manibus liberos jugulare & conjuges, & patriam hanc pulcherrimam igni vaſtare? Ita enim furentes lucrifacietis victorum opprobrium. Bonum eſt, ô amici, bonum eſt, dum adhuc in portu navis eſt, futuram prævidere tempeſtatem, neque in medias procellas è portu devehi: (nam illi quidem qui in improviſa mala incidunt, digni ſunt quibus miſericordia adhibeatur; qui vero in apertum diſcrimen ſe conjicit, opprobrio etiam afficitur) niſi quis exiſtimari velit ex pacto bellum gerendum eſſe, victoreſque Romanos moderate vobiſcum acturos, & non in documentum aliarum gentium ſacram urbem inflammaturos eſſe; genuſque veſtrum univerſum interfecturos. Neque enim ſi ſuperfueritis *armis*, locum fugæ uſquam invenietis, cunctis aut Romanos dominos jam habentibus, aut ne habituri ſint metuentibus. Periculum autem non ſolum vos manebit, ſed & quotquot in aliis domicilia habeant civitatibus: non enim in toto terrarum orbe populus eſt, ubi non veſtri portio ſit. quos certe omnes veſtram ob defectionem jugulabunt inimici, & ob pravâ paucorum hominum conſilia urbes univerſæ ſanguine Judaico redundabunt. Manet autem venia eos qui talia patraverint. Sin vero ea exſequi ſuperſederint; vobiſcum reputate quam impium ſit adverſus tam benignos arma movere. Subeat autem vos miſeratio, ſi non liberorum & conjugum, hujus ſaltem matris urbium, & ſacri ambitûs. Parcite ſano, ædemque vobiſmet cum ſanctis *veſtris* ſervate. Neque enim ulterius victores Romani illis manus abſtinebunt, quibus cum antea pepercîſſent nullam acceperunt gratiam. Ego vero teſtor ſancta veſtra, & ſacros Dei angelos, patriamque communem, quod nihil eorum, quæ veſtram ad ſalutem ſpectant, prætermiſerim. Atque vos, ſi quidem ſtatueritis quæ fieri oportet, mecum in pace degetis; ſin vero in iras concedatis, etiam ſine me periculum adibitis.

5. Cum iſta dixiſſet lachrymas effudit, itidemque ſoror ejus, atque ita *iratos animos* & impetus illorum magna ex parte repreſſit. Clamabant autem, „non ſe adverſus Romanos, ſed Florum, „ob ea quæ pertuliſſent, bellum gerere." Reſpondit rex Agrippa, „quid verba audiam, cum facta videam eorum qui jam contra Romanos pugnant. Neque enim Cæſari vectigal ſolviſtis, & ab Antonia porticus abſcidiſtis. Sopietis autem cauſam defectionis, ſi & porticus denuo conjunxeritis, & tributa penderitis. non enim jam Flori *hoc* præſidium eſt, nec Floro danda erit pecunia.

Judæorum impetum eloquentia ſedat Agrippa.

CAP.

h Ἕως—σκάφος.] Ita Big. & Ruf. ὅτε in cæteris.
i Ἀπὸ λιμένος ἀναχθῆναι.] Ἀπολλυμένοις Big.
k Ἁπάντων] Roſſ. Ἄλλα πάντα.
l Δεδιότων] Roſſ. Δεδιότας.
m Ὑμετέραν ἔχων.] Ita MSS. & Ruf. ὑμέτερον in Editis. Lugd. Bat. ἔχων ὑμετέραν.
n Ἕνεκα] Abeſt a Roſſ.
o Οἱ διάφοροι,] Conf. ſupr. lib. 1. c. 11. §. 2. SPANH.
p Πράξασιν.] Poſt πράξασιν aliquid amplius in ſuo codice habuiſſe videtur *Rufinus*, qui in verſione ſua iſta adjicit, *quod ſine numine vobis veſtro coacti*.

q Καὶ—περιβόλων.] Καὶ τῶν ἱερῶν περιβόλων φείσασθε τοῦ ἱεροῦ Ruf. qui vertit, *parcite mœnibus ſacris, parcite venerabilibus adytis, templumque vobis & ſancta ſanctorum ſervate.*
r Ναὸν—τηρήσατε.] Sic Big. & Ruf. νόμον in reliquis.
s Καθυφηκάμην.] Καθυφεικάμην, ἀφῆκα, εἶασα. Heſych. SPANH.
t Κινδυνεύσετε.] Ita Big. Voſſ. & Ruf. κινεῖ in cæteris.
u Οὔτε—φόρον,] Conf. Antt. lib. 14. c. 4. §. 4. SPANH.
x Τὰς—Ἀντωνίας.] Conf. ſupr. c. 15. §. 6. SPANH.
y Συνάψετε πάλιν,] Συνάψετε, & mox τελέσετε & δώσετε in Bod. & Voſſ.

CAP. XVII.

Quomodo Judæi bellum adverſus Romanos ſuſceperint. deque Manahemo.

Populus pari quoque ſtudere videtur.

ISTis populus acquievit, cumque in templum cum rege & Berenice aſcendiſſent porticus ædificare cœperunt: inſuper optimates & decuriones, diſtributi in vicos, tributo colligendo operam dabant. Brevi autem quadraginta talenta (totidem enim deerant) congeſta erant. atque ita quidem belli minas, quas intentarunt, compreſſit Agrippa. Deinde perſuadere populo tentabat, ut Floro obedientiam præſtarent, donec à Cæſare mitteretur qui ei ſuccederet. Illi vero iſtis exaſperati convicia regi faciebant, & ipſum ex urbe *quamprimum* egredi jubebant: auſique ſunt nonnulli ſeditioſorum etiam ſaxa in eum jacere. Rex autem, cum videret tumultuantium impetum cohiberi non poſſe, ægreque tuliſſet quod contumeliis affectus eſſet, principes quidem eorum una cum aliis potentibus Cæſaream miſit ad Florum, ut ipſe ex iis certos conſtitueret qui regionis tributa exigerent. Ille vero *ſuum* in regnum diſceſſit.

Poſtea conturbati Agrippam ſaxis petitum urbe ejiciunt.

XVII. *Maſadam caſtellum occupant. Judæi hoſtias pro pop. Rom. offerri ſolitas rejiciunt.*

2. Per idem tempus quidam eorum, qui bellum maxime concitabant, congregati impetum fecerunt in quoddam caſtellum, quod Maſada vocabatur. cumque illud fraude occupaſſent, Romanos quidem necarunt, alios vero de ſuis *cuſtodes* conſtituerunt. In templo quoque Eleazarus quidam, filius Ananiæ pontificis, juvenis audaciſſimus, tunc prætor templi, perſuaſit eis, quorum erat in cultu *divino* ſacris operari, ne cujus alienigenæ munus aut hoſtiam acciperent. Hoc autem belli adverſus Romanos initium erat. nam Cæſaris pro illis ſacrificium repudiarunt. Cumque multis eos obſecrarent pontifices & optimates, ne morem pro Imperatoribus ſupplicandi prætermitterent, haud eis hoc conceſſerunt; non parum quidem ſuæ etiam multitudini confiſi (nam robuſtiſſimi quique res novas molientium ab illis ſtabant) præcipue vero quod ad Eleazarum templi prætorem ſpectarent.

Primoribus hac de re congregatis, concio habetur ad ſeditioſos.

3. Itaque cum congregati eſſent primates cum pontificibus ſermones conferebant, & Phariſæi nobiliores, quaſi in graviſſima calamitate, de rerum ſumma conſultabant: decretoque ut ſeditioſorum animos verbis explorarent, ante portam æream (quæ in templi parte interiore erat ſoli orienti obverſa) populum in concionem advocant. Atque primo *quidem* vehementer indignati ob temerariam eorum defectionem, quodque tam grave bellum patriæ commoverent, mox quam abſurdo id facerent prætextu oſtendebant, dicentes, „majores quidem „eorum ut plurimum muneribus alienigenarum „templum ornaſſe, ſemper accipientes quæ donata „erant ab exteris gentibus: & non ſolum non pro„hibuiſſe aliquorum hoſtias, (hoc enim maxime

ΚΕΦ. ιζ΄.

Ὡς Ἰουδαῖοι ἤρξαντο τοῦ πρὸς Ῥωμαίους πολέμου. περὶ τε Μαναήμου.

ΤΟύτοις ὁ δῆμος ἐπείθετο, καὶ μετὰ τοῦ βασιλέως τῆς τε Βερνίκης ἀναβάντες εἰς τὸ ἱερὸν, κατήρξαντο τῆς τῶν στοῶν δομήσεως. εἰς δὲ τὰς κώμας οἵ τε ἄρχοντες καὶ οἱ βουλευταὶ μερισθέντες τοὺς φόρους συνέλεγον. ταχέως δὲ τὰ τεσσαράκοντα τάλαντα, τοσοῦτον γὰρ ἔλειπεν, ἠθροίσθη. καὶ τοῦ μὲν πολέμου τότε τὴν ἀπειλὴν οὕτως κατέστειλεν Ἀγρίππας. αὖθις δὲ ἐπειρᾶτο πείθειν τὸ πλῆθος ὑπακούειν Φλώρῳ, ἄχρις [z] ἂν ἀντ' αὐτοῦ πέμψῃ Καῖσαρ διάδοχον. προσπαροξυνθέντες δὲ ἐβλασφήμουν εἰς τὸν βασιλέα, καὶ τῆς πόλεως αὐτὸν ἐξεκήρυσσον. ἐτόλμων δέ τινες τῶν στασιαστῶν καὶ λίθους ἐπ' αὐτὸν βάλλειν. ὁ δὲ βασιλεὺς τὴν ὁρμὴν τῶν νεωτεριζόντων ἀκατάσχετον ὁρῶν, καὶ χαλεπήνας ἐφ' οἷς προπεπηλάκιστο, τοὺς μὲν ἄρχοντας ἅμα τοῖς δυνατοῖς αὐτῶν [a] ἔπεμπε πρὸς Φλῶρον εἰς Καισάρειαν, ἵνα ἐκεῖνος [b] ἐξ αὐτῶν ἀποδείξῃ τοὺς τὴν χώραν φορολογήσοντας. αὐτὸς δὲ ἀνεχώρησεν εἰς τὴν βασιλείαν [c] αὐτοῦ.

β΄. Κἀν τούτῳ τινὲς τῶν μάλιστα κινούντων τὸν πόλεμον συνελθόντες, ὥρμησαν ἐπὶ φρούριόν τι καλούμενον Μασάδαν. καὶ καταλαβόντες αὐτὸ λάθρα, [d] τοὺς μὲν Ῥωμαίους ἀπέσφαξαν, ἑτέρους δὲ κατέστησαν ἰδίους. ἅμα δὲ καὶ κατὰ τὸ ἱερὸν Ἐλεάζαρος υἱὸς [e] Ἀνανία τοῦ ἀρχιερέως, νεανίας θρασύτατος, [f] στρατηγῶν τότε, τοὺς κατὰ τὴν λατρείαν λειτουργοῦντας ἀναπείθει, μηδενὸς [g] ἀλλοφύλου δῶρον ἢ θυσίαν προσδέχεσθαι. τοῦτο δ' ἦν τοῦ πρὸς Ῥωμαίους πολέμου καταβολή. τὴν γὰρ [h] ὑπὲρ τούτων [i] θυσίαν Καίσαρος ἀπέῤῥιψαν. καὶ πολλὰ τῶν τε ἀρχιερέων καὶ τῶν γνωρίμων παρακαλούντων, μὴ παραλιπεῖν τὸ ὑπὲρ τῶν ἡγεμόνων ἔθος, οὐκ ἐνέδοσαν. [k] πολὺ μὲν καὶ τῷ σφετέρῳ πλήθει πεποιθότες, καὶ γὰρ τὸ ἀκμαιότατον τῶν νεωτεριζόντων συνήργει, μάλιστα δ' ἀφορῶντες εἰς τὸν Ἐλεάζαρον στρατηγοῦντα.

γ΄. Συνελθόντες οὖν οἱ δυνατοὶ τοῖς ἀρχιερεῦσιν [l] συνίσταντο, καὶ τῶν Φαρισαίων οἱ γνώριμοι, ὡς ἐπ' ἀνηκέστοις ἤδη συμφοραῖς, ἐβουλεύοντο περὶ τῶν ὅλων. καὶ δόξαν ἀποπειραθῆναι τῶν στασιαστῶν λόγοις, πρὸ τῆς [m] χαλκῆς πύλης ἀθροίζουσι τὸν δῆμον, ἥτις ἦν [n] τοῦ ἔνδον ἱεροῦ τετραμμένη [o] πρὸς ἀνατολὴν ἡλίου. καὶ πρῶτον αὐτῶν πολλὰ πρὸς τὴν τόλμαν τῆς ἀποστάσεως χαλεπήναντες, καὶ τὸ τηλικοῦτον [p] ἐπισείειν τῇ πατρίδι πόλεμον, ἔπειτα τῆς προφάσεως τὸ ἄλογον διήλεγχον, φάμενοι, „τοὺς μὲν προγό„νους αὐτῶν κεκοσμηκέναι τὸν ναὸν ἐκ [q] τῶν ἀναθη„μάτων [r] τῶν ἀλλοφύλων τὸ πλέον, ἀεὶ προσδε„χομένους τὰς ἀπὸ τῶν ἔξωθεν ἐθνῶν δωρεάς. καὶ οὐ „μόνον

z Ἂν ἀντ' αὐτοῦ] Illud ἂν è MSS.

a Ἔπεμπε—ἐκεῖνος] Julius Cæſar decrevit, ut ſingulis annis tributa penderent Judæi Hieroſolymitani, excepta Joppe & anno Sabbatico Ἀρχ. lib. 14. c. 10. §. 6. Spanh.

b Ἐξ αὐτῶν] Abeſt a *Lugd. Bat.*

c Αὐτοῦ] Additum a nobis ex unico *MS. Lugd. Bat.* Hav.

d Τοὺς μὲν Ῥωμαίους] Τοὺς μὲν Ῥωμαίων φρουρὸς *MS. Lipſ.* Spanh. Ita & *Lugd. Bat.*

e Ἀνανία] *Lugd. Bat.* Ἀνανίου.

f Στρατηγῶν τότε,] Στρατηγὸς Filius Pont. M. in Templo. Rel.

g Ἀλλοφύλου δῶρον ἢ θυσίαν] Δῶρα & θυσίας gentium. Rel.

h Ὑπὲρ τούτων] Conf. ſupr. c. 10. §. 4. Spanh.

i Θυσίαν Καίσαρος] Θυσία Καίσαρος ὑπὲρ Ῥωμαίων erat. Rel.

k Πολὺ] *Roſſ.* Πολλοί.

l Συνίσταντο,] Συνίσταντο non agnoſcit *Big.* & mox legit, καὶ τοῖς τῶν Φαρισαίων γνωρίμοις. quod ſane mallem. Huds. Εἰς τὸ αὐτὸ. *MS. Lipſ.* Spanh.

m Χαλκῆς πύλης] Χαλκῆ eſt Nicanoris porta. Forte Ὡραία ex *Aurea*, vel vide an non ... ex *Nicanor*, vel, quod ad lucem ſolis. Rel.

n Τοῦ ἔνδον ἱεροῦ] Illud τοῦ deeſt *Bod.*

o Πρὸς ἀνατολὴν ἡλίου.] Ἀνατολὰς *Big.*

p Ἐπισείειν] Ἐπισείσειν *MS. Lipſ.* Spanh.

q Τῶν ἀναθημάτων] Abeſt a *Lugd. Bat.*

r Τῶν ἀλλοφύλων] Ἐκ τῶν ἀλλοφύλων. *MS. Lipſ.* Spanh.

Ἀπο-

μόνον εἰ [s] διακεκωλυκέναι θυσίας τινῶν, τοῦτο γὰρ ἀσεβέστατον, ἀλλὰ καὶ τὰ βλεπόμενα καὶ τὰ παραμένοντα τοσούτου χρόνου ἀναθήματα περὶ τῷ ἱερῷ καθιδρυκέναι. αὐτοὺς δὲ νῦν ἐρεθίζοντας τὰ Ῥωμαίων ὅπλα, καὶ μνηστευομένους τὸν ἀπ' ἐκείνων πόλεμον, [t] καινοτομεῖν θρησκείας ξένην, καὶ μετὰ τοῦ κινδύνου καταψηφίσασθαι τῆς πόλεως ἀσέβειαν, [v] εἰ παρὰ μόνοις Ἰουδαίοις οὔτε θύσει τις ἀλλότριος, οὔτε προσκυνήσει. κἂν μὲν ἐπὶ ἰδιώτου τις ἑνὸς τοῦτον εἰσφέρῃ τὸν νόμον, ἀγανακτεῖν, ὡς ὁριζομένης ἀπανθρωπίας· περιορᾶν δὲ ὅτε Ῥωμαῖοι καὶ ὁ Καῖσαρ [x] ἔκσπονδοι γίνονται. δεδοικέναι μέντοι μὴ τὰς ὑπὲρ ἐκείνων ἀπορρίψαντες θυσίας κωλυθῶσι θύειν [y] καὶ τὰς ὑπὲρ ἑαυτῶν, [z] γένηταί τε ἔκσπονδος τῆς ἡγεμονίας ἡ πόλις, εἰ μὴ ταχέως [a] σωφρονήσαντες ἀποδώσουσι τὰς θυσίας, καὶ πρὶν ἐξελθεῖν ἐφ' οὓς ὑβρίκασι τὴν φήμην, διορθώσονται τὴν ὕβριν.

δ'. Ἅμα ταῦτα λέγοντες, παρῆγον τοὺς ἐμπείρους τῶν πατρίων ἱερεῖς, ἀφηγουμένους, [b] ὅτι πάντες οἱ πρόγονοι τὰς ἀπὸ τῶν ἀλλογενῶν θυσίας ἀποδέχοιντο. προσεῖχε δὲ οὐδεὶς τῶν νεωτεριζόντων, ἀλλ' οὐδὲ προσῄεσαν οἱ λειτουργοί, τὴν τοῦ πολέμου [c] καταβολὴν ἐνσκευαζόμενοι. [d] συνιδόντες οὖν οἱ δυνατοί, τήν τε στάσιν ἤδη δυσκαθαίρετον ὑπ' αὐτῶν οὖσαν, καὶ τὸν [e] ἀπὸ τῶν Ῥωμαίων κίνδυνον ἐπὶ πρώτους αὐτοὺς ἀφιξόμενον, ἀπεσκευάζοντο τὰς αἰτίας· καὶ πρέσβεις οὓς μὲν πρὸς Φλῶρον [f] ἔπεμψαν, ὧν [g] ἦρχεν υἱὸς Ἀνανίου Σίμων, οὓς δὲ πρὸς Ἀγρίππαν, ἐν οἷς καὶ ἦσαν ἐπίσημοι, [h] Σαῦλός τε καὶ Ἀντίπας καὶ [i] Κοστόβαρος, προσήκοντες τῷ βασιλεῖ κατὰ γένος. ἐδέοντο δὲ ἀμφοτέρων ἀναβῆναι μετὰ δυνάμεως εἰς τὴν πόλιν, καὶ, πρὶν γενέσθαι δυσκαθαίρετον, ἐπικόψαι τὴν στάσιν. Φλώρῳ μὲν οὖν [k] τοῦτο δεινὸν εὐαγγέλιον ἦν, καὶ προῃρημένος ἐξάψαι τὸν πόλεμον, οὐδὲν ἀπεκρίνατο τοῖς πρεσβευταῖς. Ἀγρίππας δὲ, κηδόμενος ἐπ' ἴσης τῶν τε ἀφισταμένων, καὶ πρὸς οὓς ὁ πόλεμος ἠγείρετο, βουλόμενός τε Ῥωμαίοις μὲν Ἰουδαίους σώζεσθαι, Ἰουδαίοις δὲ τὸ ἱερὸν καὶ τὴν μητρόπολιν, ἀλλ' οὐδὲ αὐτῷ λυσιτελήσειν τὴν ταραχὴν ἐπιστάμενος, ἔπεμψε τοὺς [l] ἐπαμυνοῦντας τῷ δήμῳ τρισχιλίους ἱππεῖς, Αὐρανίτας τε καὶ Βαταναίους καὶ Τραχωνίτας, ὑπὸ Δαρείῳ μὲν ἱππάρχῳ στρατηγῷ δὲ τῷ [m] Ἰακίμου Φιλίππῳ.

ε'. Τούτοις θαρσήσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσι, καὶ πᾶν ὅσον τοῦ πλήθους εἰρήνην ἠγάπα, τὴν ἄνω καταλαμβάνονται πόλιν· τὴν κάτω γὰρ τὸ στασιάζον ἐκράτει, καὶ τὸ ἱερόν. [n] χερμάσι μὲν οὖν καὶ τοῖς ἑκηβόλοις ἀδιαλείπτως [o] ἐκέχρηντο, καὶ συνεχεῖς ἦσαν βελῶν ἀφέσεις ἐξ ἑκατέρων τῶν κλιμάτων. ἔστι δ' ὅτε καὶ κατὰ λόχους ἐκτρέχοντες συστάδην ἐμάχοντο, τόλμαις μὲν οἱ στασιασταὶ προέχοντες, ἐμπειρίᾳ δὲ οἱ βασιλικοί. καὶ τούτοις μὲν ἦν ἀγὼν τοῦ ἱεροῦ κρατῆσαι μάλιστα, καὶ τοὺς μιαίνοντας τὸν ναὸν ἐξελάσαι. τοῖς δὲ περὶ τὸν Ἐλεάζαρον στασιασταῖς, πρὸς οἷς εἶχον καὶ τὴν ἄνω

impium *fuiſſet*) ſed & donaria, quæ cernuntur *adhuc* & per tantum temporis permanent, circa templum collocaſſe. Ipſos vero nunc, Romanorum arma irritantes bellumque ab ipſis in ſe attrahentes, circa exterorum religionem nova ſtatuere, ſuoque cum periculo civitatem impietatis ream facturos eſſe, ſi apud Judæos ſolos externo alicui nefas ſit hoſtias immolare, aut *Deum* adorare. & quidem ſi quis ejuſmodi legem de privato aliquo ferret, *ipſos* indignari * quaſi ſciſceretur inhumanitas; nihil vero curare, quòd Romanis & Cæſari ipſi hoc beneficio interdicatur. Attamen verendum eſſe, ne qui immolandas pro illis hoſtias repellunt, etiam ipſi pro ſe rem divinam facere prohibeantur, atque de imperii jure excidat civitas, niſi continuo ad ſanam mentem reducti victimas *offerri* permiſerint, atque injuriæ ſatisfactum ſit antequam ad injuria affectos fama pervenerit.

Nemo ſeditioſorum iſta curatione movetur.

4. Simul ac iſta dicerent, in medium producebant ſacerdotes conſuetudinum patriarum peritiſſimos, qui narrarent, quod majores ſui omnes victimas ab alienigenis acceperint. Nemo autem res novas molientium animum advertebat: immo ne *ad munia* quidem *ſua obeunda* acceſſerunt altaris miniſtri, id *ſcilicet* agentes ut bellum excitarent. Cum igitur optimates ſecum reputaſſent ſeditionem jam ab ipſis tolli non poſſe, primumque ſe in periculum ac diſcrimen vocatum iri à Romanis, † ſeſe culpa liberare ſtudebant: & legatos quidem alios ad Florum miſerunt, quorum princeps erat Simon Ananiæ filius; alios vero ad Agrippam, inter quos eminebant Saulus & Antipas & Coſtobarus, regi affinitate juncti. Obſecrabant autem utrumque ut cum exercitu in civitatem aſcenderent, & ſeditionem opprimerent, priuſquam fiat expugnatu difficilis. Et Floro quidem malum iſtud lætum afferebat nuncium, volenſque bellum accendere nihil reſpondit legatis. Verum Agrippas ex æquo utriſque proſpiciens, tam iis qui defecerant, quam bello laceſſitis, cupienſque & Romanis Judæos conſervare, & Judæis templum atque metropolin, ad hæc nec ſibi è re fore *ejuſmodi* tumultus ſciens, miſit in auxilium populo tria equitum millia, Auranitas *ſcilicet* ac Batanæos & Trachonitas, ſub Dario equitum præfecto, duce vero Philippo Jacimi filio.

Legati contra ſeditioſos ad Florum & Agrippam miſſi.

5. Optimates & pontifices & quotquot è plebe pacem amabant, cum iſtis freti eſſent *copiis*, urbem ſuperiorem occupant; nam inferiorem, & templum in poteſtate ſua habebant ſeditioſi. Et miſſilibus quidem & fundis indeſinenter utebantur, & ex utraque regione crebro telorum jactu rem gerebant. quandoque etiam turmatim excurrentes cominus pugnabant; ſeditioſi quidem audacia ſuperiores, belli vero ſcientia regii. Et hi quidem certabant ut ante omnia templum occuparent, & ædem prophanantes inde abigerent: ſeditioſi vero qui ab Elezaro ſtabant, ut iis quæ in ipſo-

Bellum Hieroſolymis inter pacificos & ſeditioſos.

s Διακεκωλυκέναι θυσίας τινῶν,] Ita *Big. Voſſ.* & *Ruf.* Διακεκωλυκέναι in *Editis Aliiſque.*

t Καινοτομεῖν θρησκείας ξένην,] Καινοτομεῖν θρησκείαν ſic ὀρθορῶς. Rel.

v Εἰ παρὰ] *Ruf.* Καὶ παρὰ.

x Ἔκσπονδοι γίνονται.] Ἔκσπονδοι *Dicæarch.* παραπρεσβ. p. 206. A. Spanh. *Lugd. Bat.* ἔκσπονδος γίνηται. *Ruf.* ἔκσπονδος γίνονται.

y Καὶ τὰς] *Ruf.* Εἰς τὰς.

z Γένηταί τε ἔκσπονδος] Ἔκσπονδος γίνεται *Big.* & *Bod.*

a Σωφρονήσαντες — θυσίας,] Σωφρονήσαντες *Big.*

b Ὅτι] Ita ex *Lugd. Bat.* Reliqui ὅτι. Hav.

c Καταβολὴν ἐνσκευαζόμενοι.] Sic *Big. Voſſ. Lugd. Bat.* & *Rufinus*, qui vertit, *ut belli materiam præparantes.* μεταβολὴν in cæteris.

d Συνιδόντες] *Coccejus* emendat συνιδόντες, non male, ita enim legiſſe quoque videtur *Epiphan.* vertens *videntes.* Hav.

e Ἀπὸ τῶν Ῥωμαίων] Ex *Lugd. Bat.* acceſſit illud τῶν. Hav.

f Ἔπεμψαν,] Ἔπεμπον & mox infr. hac ipſâ §. ἔπεμπε *Big.*

g Ἦρχεν] *Gen.* Ἦρξε.

h Σαῦλος—Ἀντίπας] Ita *Big. Bod. Raff. Rhed.* & *Ruf. Lugd. Bat.* Κόλλος. Σαῦλος in *Editis Aliiſque.* atque ita legiſſe videtur *Pſeudo-Hegeſippus.*

i Κοστόβαρος,] Conf. *Antt.* lib. 15. c. 7. §. 4. Spanh.

k Τοῦτο—ὸν,] Τὸ δεινὸν *Bod. Busb.* & *Rhed.*

l Ἐπαμυνοῦντας—ἱππεῖς,] Sic *Big.* ἐπαμυνοῦντας in *cæteris.*

m Ἰακίμου Φιλίππῳ.] Ita *Bod. Big. Busb.* & *Ruf.* Ἰακίμου *Voſſ.* Ἰωακίμου in *Editis.*

n Χερμάσι μὲν οὖν] Præcedit amplius in *Raff.* λίθοις τοῖς ἀπὸ μαγγανῶν. Sed puto Scolion eſſe vocis Χερμάσι. Hav.

o Ἐκέχρηντο,] Ἐχρῶντο *Big.*

* Cauſas amoliri, *Ruf.*

† *Vel*, tanquam inhumana lege ſancita.

ipſorum poteſtate erant ſuperiorem etiam urbem adjicerent. Et per ſeptem quidem dies magna utrinque facta erat cædes: neutri vero de loco quem tenuerant cedebant.

Xylophoria feſtivitas.

6. Die autem ſequenti, cum ageretur Ligniferii feſtum, (in quo mos eſt omnibus *magnam* lignorum vim ad *templi* aram comportare, ne quo tempore ad alendos *ſacros* ignes materia deeſſet, nunquam enim exſtinguuntur) adverſarios quidem ab iſtius obſervantia excluſerunt: cum autem multos è Sicariis ſibi adjunxiſſent (ita enim latrones vocabant ſicas ſub ſinubus geſtantes) una cum infirmiori plebe irruentes, aliquanto audacius ad rem adoriendam ſe accinxerunt. Regii vero numero & audacia ſuperabantur, & ſuperiori urbe cedebant graſſatoribus. Illi vero, cum impreſſionem *in eam* feciſſent, & Ananiæ pontificis domum, & Agrippæ Berenicesque regias incenderunt: ac deinde ignem tabulariis intulerunt, creditorum inſtrumenta abolere feſtinantes, & æs alienum diſſolvere, & ut ipſi debitores magna multitudine ſibi adjungerent, & egenos inſolentius in locupletes inſurgere facerent. Quippe cum fugerent tabularum cuſtodes, ignem *ædibus* injecerunt. Poſtquam vero nervos civitatis combuſſiſſent, in adverſarios irruebant. Tunc itaque ex optimatibus quidem & pontificibus nonnulli in cloacas ſeſe abdiderunt; alii vero cum regiis in ſuperiorem regiam ſeſe recipientes continuo portas occluſerunt, in quibus Ananias pontifex & frater ejus Ezechias, & qui legationem obierant ad Agrippam. Et tunc quidem, victoria & igne abſumptis contenti, quieverunt.

Regios adoriuntur ſeditioſi, eoſque ſuperant.

Seditioſi capiunt atque incendunt Antoniam.

7. Poſtridie vero, menſis ſcilicet Loi die decima quinta, impetum in Antoniam fecerunt, & omnes in [illegible] præſidiarios, per biduum obſeſſos, ceperunt atque interfecerunt, & arcem incenderunt. Poſtea vero tranſierunt in palatium, quò regii confugerant: cumque ſemet in quatuor agmina diviſiſſent, muros evertere moliebantur. At eorum qui intus erant nemo quidem auſus eſt excurſionem facere, propter oppugnantium multitudinem: ſed diſtributi per propugnacula & turres ſubeuntes feriebant, crebroque latrones ſub muris cadebant. interdiu autem noctuque confligere & *dimicare* non ceſſabant: ſeditioſis quidem fore exiſtimantibus, ut præ victus inopia fatiſcerent qui in præſidio erant; regiis vero credentibus, oppugnatores labori ceſſuros.

Manahemus, Judæ Galilæi filius, ex Herodis armamentario ſuos armis inſtruit.

8. Interea Manahemus quidam, Judæ Galilæi, ut vocabatur, filius (qui ſophiſta erat acerrimus, & quondam tempore Quirinii Judæis exprobraverat, quod poſt Deum ſubjicerentur Romanis) aſſumptis quibuſdam è nobilioribus perrexit in Maſadam: ubi cum Herodis regis armamentarium perrupiſſet, & populares *ſuos* alioſque latrones armis inſtruxiſſet, adeoque illis ſatellitibus uteretur, ve-

πόλιν προσλαβεῖν. ἐπτὰ μὲν οὖν ἡμέραις συχνὸς ἀμφοτέρων φόνος [p] ἐγίνετο. [q] οὐδέτεροι δὲ τοῦ καταληφθέντος μέρους εἶκον.

ϛ΄. Τῇ δὲ [r] ἑξῆς τῆς ξυλοφορίου ἑορτῆς οὔσης, ἐν ᾗ πᾶσιν ἔθος ὕλην τῷ βωμῷ προσφέρειν, ὅπως μήποτε τροφὴ τῷ πυρὶ λείποιτο, διαμένει γὰρ ἄσβεστον ἀεὶ, τοὺς μὲν διαφόρους τῆς θρησκείας ἐξέκλεισαν· τῷ δὲ ἀσθενεῖ λαῷ συνεισρυέντας πολλοὺς [s] τῶν Σικαρίων, οὕτω γὰρ ἐκάλουν τοὺς λῃστὰς ἔχοντας ὑπὸ τοῖς κόλποις [t] ξίφη, [v] προσλαβόντες θαρραλεώτερον ἥπτοντο τῆς [x] ἐπιθέσεως. ἡττῶντο δὲ οἱ βασιλικοὶ, πλήθει τε καὶ τόλμῃ, καὶ βιασαμένοις εἶκον ἐκ τῆς ἄνω πόλεως. οἱ δὲ ἐπιπεσόντες, [y] τήν τε Ανανίου τοῦ ἀρχιερέως οἰκίαν, καὶ τὰ Αγρίππα [z] καὶ τὰ Βερνίκης [a] βασίλεια κατακαίουσιν μεθ᾽ ἃ τὸ πῦρ ἐπὶ τὰ [b] ἀρχεῖα ἔφερον, ἀφανίσαι σπεύδοντες τὰ συμβόλαια τῶν δεδανεικότων, καὶ τὰς εἰσπράξεις ἀποκόψαι τῶν χρεῶν, ὅπως αὐτοί τε πλῆθος προσλάβωσι τῶν ὠφεληθέντων, καὶ μετ᾽ ἀδείας τοῖς εὐπόροις ἐπαναστήσωσι τοὺς ἀπόρους· φυγόντων δὲ τῶν πρὸς τῷ γραμματοφυλακείῳ, τὸ πῦρ ἐνέβαλον. ἐπεὶ δὲ τὰ νεῦρα τῆς πόλεως κατέφλεξαν, ἐπὶ τοὺς ἐχθροὺς ἐχώρουν. ἔνθα δὴ τῶν δυνατῶν καὶ τῶν ἀρχιερέων οἱ μὲν εἰς τοὺς ὑπονόμους [c] καταδύντες διελάνθανον· οἱ δὲ σὺν τοῖς βασιλικοῖς εἰς τὴν ἀνωτέραν [d] φεύγοντες αὐλὴν ταχέως ἀπέκλεισαν τὰς [e] πύλας, σὺν οἷς [f] Ανανίας ὁ ἀρχιερεὺς, Εζεκίας τε ὁ ἀδελφὸς αὐτοῦ, καὶ οἱ πρεσβεύσαντες πρὸς Αγρίππαν ἦσαν. τότε μὲν οὖν, τῇ νίκῃ καὶ τοῖς ἐμπρησθεῖσιν ἀρκεσθέντες, ἀνεπαύσαντο.

ζ΄. Τῇ δὲ ἑξῆς, [g] πεντεκαιδεκάτη δὲ ἦν Λώου μηνὸς, ὁρμήσαντες ἐπὶ τὴν Αντωνίαν, καὶ τοὺς ἐν αὐτῇ φρουροὺς δυσὶν ἡμέραις πολιορκήσαντες, αὐτούς τε εἷλον καὶ κατέσφαξαν, καὶ τὸ φρούριον ἐνέπρησαν. ἔπειτα μετέβαινον εἰς τὴν αὐλὴν, εἰς ἣν οἱ βασιλικοὶ κατέφυγον· καὶ, διανείμαντες σφᾶς αὐτοὺς εἰς τέσσαρα μέρη, τῶν τειχῶν ἐπειρῶντο. τῶν δὲ ἔνδον πρὸς ἐκδρομὴν μὲν οὐδεὶς ἐθάρρει, διὰ τὸ πλῆθος τῶν ἐφεστώτων· διαστάμενοι δὲ [h] ἐπὶ τὰ [i] θωράκια καὶ τοὺς πύργους, ἔβαλλον τοὺς προσιόντας, καὶ συχνοὶ τῶν λῃστῶν [k] ὑπὸ τοῖς τείχεσιν ἔπιπτον. οὔτε δὲ νυκτὸς οὔτε ἡμέρας διέλειπεν ἡ συμβολή· τῶν μὲν στασιαστῶν ἀπαγορεύσειν τοὺς ἔνδον οἰομένων ἐνδείᾳ τροφῆς, τῶν δὲ [l] ἔνδον [m] καμάτῳ τοὺς πολιορκοῦντας.

η΄. Κἀν τούτῳ Μανάημός τις, υἱὸς [n] Ιούδα τοῦ καλουμένου [o] Γαλιλαίου, ὃς ἦν [p] σοφιστὴς [q] δεινότατος, καὶ ἐπὶ Κυρηνίου ποτὲ Ιουδαίους ὀνειδίσας, ὅτι Ρωμαίοις [r] ὑπετάσσοντο μετὰ τὸν Θεὸν, ἀναλαβὼν τοὺς γνωρίμους, ἀνεχώρησεν εἰς [s] Μασάδαν· ἔνθα τὴν Ηρώδου τοῦ βασιλέως ὁπλοθήκην ἀναρρήξας, καὶ πρὸς τοῖς δημόταις ἑτέρους λῃστὰς καθοπλίσας, [t] τούτοις δὴ χρώμενος

p Εγίνετο.] Εγίνοντο Bod.
q Οὐδέτεροι δὲ] Καὶ οὐδέτεροι τοῦ καταληφθέντος μέρους Big. & Bod.
r Εξῆς τῆς] *Lugd. Bat.* Εξῆς δὲ τῆς.
s Τῶν — κόλπους] De quibus ἀρχ. lib. 20. c. 7. §. 10. σικάριοι, ſicarii, λῃσταί, à σίκαις, quæ ξιφίδια inſtar Perſicorum acinacum vid. ſupr. c. 13. §. 3. μικρὰ ξιφίδια. SPANH.
t Ξίφη,] *Lugd. Bat.* Τὰ ξίφη.
v Προσλαβόντες] Συλλαβόντες *Bod.* & *Roſ.*
x Επιθέσεως.] Επιχειρήσεως *Big.*
y Τήν — Αγρίππα] In Sion itaque domus fuit Ananiæ Pontif. Agrippæ ac Berenices regia. REL.
z Καὶ τὰ Βερνίκης] Καὶ Βερνίκης ὑπεσκαμμένα βασίλεια. μετ᾽ ἃ τ. π. *Big.*
a Βασίλεια καίουσιν.] Tranſponit voces has. *Lugd. Bat.*
b Αρχεῖα] Αρχεῖα τῶν δανείων τὰ κεφάλαια. *Heſych.* SPANH.
c Καταδύντες] *Roſ.* Διαδύντες.
d Φεύγοντες — ταχέως] Καταφυγόντες *Big.* (*Lugd. Bat.* & forſan melius) & *Bod.*
e Πύλας,] Θύρας *Big.*
f Ανανίας ὁ ἀρχιερεὺς,] Ανανίας τε ὁ ἀρχ. *Bod.*

g Πεντεκαιδεκάτη δὲ ἦν] Sc. xv. *Auguſti*, ut dicit *Uſſerius* in *Ann. Vet. Teſt.* ad *A. M.* 4069. Verum δεκάτῃ pro πεντεκαιδεκάτῃ reſcribendum eſſe contendit *S. Petitus* in *Var. Lect.* lib. 4. p. 196.
h Επὶ τὰ] Επὶ τὰς προμαχῶνας, θωράκια, καὶ τοὺς π. *Bod.*
i Θωράκια] Θώραξ ὅπλον, πύργος, &c. *Heſych.* SPANH.
k Υπὸ τοῖς τείχεσιν ἔπιπτον.] Ita *Voſſ.* (*Lugd. Bat.*) *Rhod.* & *Bod.* ſed in *Editis aliiſque*.
l Ενδον] Ita ex *Lugd. Bat.* Reliqui ἔνδοθεν. HAV.
m Καμάτῳ] *Lugd. Bat.* Καματώσειν.
n Ιούδα] Vide *Antiquitatum* l. 17. c. 12. §. 5. HUDS. Confer. ſup. c. 8. §. 1. SPANH.
o Γαλιλαίου,] Γαλιλαίου, σοφιστὴς δεινότατος, ὃ καὶ ἐπὶ K. *Big.* & *Ruf.*
p Σοφιστὴς] Conf. ſup. c. 8. §. 1. SPANH.
q Δεινότατος,] *Roſ.* Δεινολόγος.
r Υπετάσσοντο] Sic *Big.* & *Ruf.* ὑπετάσσοντο in *cæteris*.
s Μασάδαν.] Μασσάδαν ubique in *MS. Bod.*
t Τούτοις — δορυφόροις,] Τούτοις τε χρώμενος *Big. Voſſ.* & *Bod.*

μενος δορυφόροις, οἷα δὴ βασιλεὺς ἐπάνεισιν εἰς Ἱεροσόλυμα, καὶ γενόμενος ἡγεμὼν τῆς στάσεως διέτασσε τὴν πολιορκίαν. ἀπορία δὲ ἦν ὀργάνων, καὶ φανερῶς ὑπορύσσειν τὸ τεῖχος οὐχ οἷόν τε ἦν ἄνωθεν βαλλομένους. ὑπόνομον [v] δὴ πόρρωθεν [x] ἐφ' ἕνα τῶν πύργων διορύξαντες [y] ἀνακρημνῶσιν αὐτόν, ἔπειτα τὴν [z] ἔχουσαν ὕλην ἐμπρήσαντες ἐξῆλθον. ὑποκαέντων δὲ τῶν στηριγμάτων, ὁ μὲν πύργος ἐξαίφνης καταπίπτει, τεῖχος δὲ ἕτερον ἔνδοθεν ἀντῳκοδομημένον διεφάνη. τὴν γὰρ ἐπιβουλὴν αὐτῶν προαισθόμενοι, τάχα καὶ τοῦ πύργου κινηθέντος ὡς ὑπωρύττετο, δεύτερον [a] ἑαυτοῖς ἔρυμα κατεσκεύασαν. πρὸς ὃ τῶν μὲν ἀδοκήτως ἰδόντων, καὶ κρατεῖν ἤδη πεπεισμένων, κατάπληξις ἦν. οἱ δὲ ἔνδοθεν πρός τε τὸν Μανάημον καὶ τοὺς ἐξάρχοντας τῆς στάσεως ἔπεμπον, ἀξιοῦντες ἐξελθεῖν [b] ὑπόσπονδοι. καὶ δοθὲν μόνοις τοῖς βασιλικοῖς καὶ τοῖς ἐπιχωρίοις, οἱ μὲν ἐξῄεσαν. [c] ἀθυμία δὲ τοὺς Ῥωμαίους καταλειφθέντας μόνους ὑπέλαβεν. οὔτε γὰρ βιάσασθαι τοσοῦτον πλῆθος ἐδύναντο, καὶ τὸ [d] δεξιὰς αἰτεῖν ὄνειδος ὑπελάμβανον, [e] πρὸς τὸ μηδὲ πιστεύειν εἰ [f] διδοῖτο. καταλιπόντες δὴ τὸ στρατόπεδον, ὡς εὐάλωτον, ἐπὶ τοὺς βασιλικοὺς [g] ἀνέφυγον πύργους, [h] τόν τε Ἱππικὸν καλούμενον, καὶ τὸν Φασάηλον, καὶ [i] τὴν Μαριάμμην. οἱ δὲ περὶ τὸν Μανάημον, εἰσπεσόντες ὅθεν οἱ στρατιῶται διέφυγον, ὅσους τε αὐτῶν κατέλαβον μὴ φθάσαντας ἀνελθεῖν διέφθειραν, καὶ τὰς ἀποσκευὰς διαρπάσαντες [k] ἐνέπρησαν τὸ στρατόπεδον. ταῦτα μὲν οὖν [l] ἕκτῃ Γορπιαίου μηνὸς ἐπράχθη.

9. Κατὰ δὲ τὴν ἐπιοῦσαν, ὅ, τε ἀρχιερεὺς Ἀνανίας περὶ τὸν τῆς βασιλικῆς αὐλῆς εὔριπον διαλανθάνων ἁλίσκεται, καὶ πρὸς τῶν λῃστῶν ἀναιρεῖται σὺν Ἐζεκίᾳ τῷ ἀδελφῷ. καὶ τοὺς πύργους ἐπισχόντες οἱ στασιασταὶ παρεφύλαττον, μή τις τῶν στρατιωτῶν διαφύγῃ. τὸν δὲ Μανάημον ἥ τε τῶν ὀχυρῶν καταστροφὴ χωρίων, καὶ ὁ τοῦ ἀρχιερέως Ἀνανίου θάνατος ἐτύφωσεν εἰς ὠμότητα. καὶ μηδένα νομίζων ἔχειν ἐπὶ τοῖς πράγμασιν ἀντίπαλον, ἀφόρητος ἦν τύραννος. ἐπανίστανται δὲ οἱ περὶ τὸν Ἐλεάζαρον αὐτῷ, καὶ λόγον ἀλλήλοις δόντες, ὡς οὐ χρὴ Ῥωμαίων ἀποστάντας δι' ἐλευθερίας πόθον καταπροέσθαι ταύτην οἰκείῳ δήμῳ, καὶ δεσπότην φέρειν, εἰ καὶ μηδὲν πράττοι βίαιον, ἀλλ' οὖν ἑαυτῶν ταπεινότερον. εἰ γὰρ καὶ δέοι τινὰ τῶν ὅλων ἀφηγεῖσθαι, παντὶ μᾶλλον ἢ ἐκείνῳ προσήκειν συνίστατο), καὶ κατὰ τὸ ἱερὸν ἐπιχειροῦσιν αὐτῷ. σοβαρὸς γὰρ ἀναβεβήκει προσκυνήσων, ἐσθῆτί τε βασιλικῇ κεκοσμημένος, καὶ τοὺς ζηλωτὰς ἐνόπλους ἐφελκόμενος. ὡς δὲ οἱ περὶ τὸν Ἐλεάζαρον ἐπ' αὐτὸν ὥρμησαν, ὅ, τε λοιπὸς δῆμος, [m] ἐπὶ τὰς ὁρμὰς λίθους ἁρπάσαντες, [n] τὸν σοφιστὴν ἔβαλλον, οἰόμενοι, τούτου καταλυθέντος, [o] διαρρίψειν ὅλην τὴν [p] στάσιν. πρὸς ὀλίγον δὲ οἱ περὶ τὸν Μανάημον ἀντισχόντες, ὡς εἶδον πᾶν ἐπ' αὐτοὺς τὸ πλῆθος ὁρμῆσαν, ἔφυγον

luti rex Hierosolyma revertitur; factuſque ſeditioſorum dux, ſtatuit de omnibus ad obſidionem ſpectantibus. *Hierosolyma obſidet.* Machinarum autem inopia laborabant, nec poterant palam ſuffodere muros, telis ab hoſtibus deſuper petiti. Cuniculum igitur è longinquo ad unam è turribus agentes, eum fornicatum & ſuſpenſum relinquunt, deinde in ſuſtinentia ligna igne immiſſo egrediuntur. Cum autem exuſti eſſent ſubices, turris quidem illico concutitur, alter autem murus intus & ex adverſo ædificatus conſpiciebatur. nam *regii* molitiones eorum præſentientes, turri forſan cum ſuffoſſa eſſet motu agitata, aliud ſibi munimentum exſtruxerunt. Quod ubi *oppugnatores* præter opinionem aſpexerant, etiam cum ſe victores eſſe crediderint, animis quidem conſternati erant: obſeſſi vero *quoſdam* ad Manahemum & ſeditionis auctores mittebant, qui obſecrarent ut ſibi liceret fide data exire. quo regiis ſolis & indigenis conceſſo, illi quidem egreſſi ſunt: Romani autem, qui ſoli relicti, animis anxii erant & dejecti. *Regiis exeundi venia conceditur.* tam ingentem quippe multitudinem perrumpere non poterant, petereque ut dextra fides ſibi porrigeretur ignominioſum eſſe exiſtimabant; præſertim quod nec illis credendum eſſet, etiamſi fides daretur. Caſtris itaque deſertis, ut quæ facile capi poſſent, ad turres regias confugerunt, quarum una Hippicos appellabatur, altera Phaſaëlus, tertia Mariamne. Qui vero cum Manahemo erant, protinus irruentes in locum è quo milites fugerant, quotquot eorum comprehenderent ante aſcenſum trucidarunt, direptiſque impedimentis caſtra incenderunt. *Romani relicti in turres regias confugiunt.* Et quidem iſta acta ſunt die ſexto menſis Gorpiæi.

9. Sequenti autem die Ananias pontifex in regiæ domus aquæ-ductu latitans captus eſt, & à latronibus cum fratre Ezechia interfectus: atque ſeditioſi, cum turres obſediſſent, ſedulo cavebant, ne quis militum fuga dilaberetur. *XVIII. Ananiæ pontificis & Ezechiæ fratris mors.* Manahemum autem & locorum munitorum everſio, & Ananiæ pontificis mors crudelitate implevit; credenſque ſe in rebus gerendis habere parem neminem, tyrannus non ferendus evaſit. Qui vero cum Eleazaro erant in eum inſurrexerunt, poſtquam ultro citroque ſermones habuiſſent, quod non deceret à Romanis deſiderio libertatis deficientes eandem cuidam è popularibus ſuis prodere, dominumque ferre, etſi vim nullam adhibentem, ſeipſis tamen humiliorem. nam ſi oporteat & aliquem rerum ſummæ præeſſe, ad quemvis magis alium quam ad ipſum pertinere *hoc quidquid* eſt *muneris*, uno ore fatentur; atque ita eum in templo adoriuntur. Magno enim faſtu ad Deum colendum aſcenderat, veſte regia indutus, ſuique ſtudioſos armatos ſecum trahens. Cum autem ſocii amicique Eleazari in eum irruiſſent, reliqui etiam è populo ubi illi impetum fecerant, lapides corripuerunt & in ſophiſtam jaciebant, exiſtimantes omnes illo interempto disjectum iri ſeditionem. *Eleazari factores Manahemum in templo adoriuntur.* Exiguum ad tempus Manahemo ſuiſque reſiſtentibus, ubi univerſos in ipſos irruentes viderunt, quò quiſque valebat fuga ſe recipiunt:

&

v Δὴ πόρρωθεν] Ita *Big.* & *Raf.* δὲ in *cæteris.*

x Ἐφ'—πύργων] Ita *Big.* & *Bod.* ὑφ' ἕνα in *Editis.*

y Ἀνακρημνῶσιν αὐτόν,] *Ἀνεκρήμνισαν Big.* ἀνακρημνῶσιν *Basil. Hens.* Forte ἀνακρημνώσαντο inquit *Coccejus*, non male, ſi *MSS.* auctoritas accederet; nunc dicere videtur Auctor, ita penſilem fuiſſe factam iſtam turrim, ut tanquam præcipitium proeminerer, caſura mox ſubductis lignis vel (ut factum fuit) exuſtis. Hav.

z Ἔχουσαν ὕλην] *Ἀνέχουσαν Big.* ὑπέχουσαν *Bod.* & *Lugd. Bat.* Verum ἔχω apud melioris notæ Scriptores ſæpe pro ἀνέχω.

a Ἑαυτοῖς] *Lugd. Bat.* Αὐτοῖς.

b Ὑπόσπονδοι.] Ita *Big.* & *Coccejus* ὑπόσπονδοι in *Editis aliiſque.*

c Ἀθυμία δ'] Ἀτιμία *Voſſ.*

d Δεξιὰς αἰτεῖν] Δεξιὸς *Big.*

e Πρὸς—πιστεύειν] Πρὸς τὸ *Big.* πρὸ τοῦ *Voſſ.*

f Διδοῖτο.] Διδοῖτο *Voſſ.*

g Ἀνέφυγον] *Lugd. Bat.* Ἀνέφυγεν.

h Τόν—Φασάηλον,] De tribus his turribus vid. infr. lib. 6. c. 4. §. 3. & c. 8. §. 4. Spanh.

i Τὴν Μαριάμμην.] Τὸν in pleriſque *MSS.*

k Ἐνέπρησαν] *Lugd. Bat.* Ἀνέπρησαν.

l Ἕκτῃ—ἐπράχθη.] Vide *Scaligerum* in lib. V. de *Emendatione Temporum*, ubi agit de *Initio Neronis.*

m Ἐπὶ τὰς ὁρμὰς] Ita lego pro ἐπὶ τὰς ὀργὰς, quod præ ſe ferunt *libri omnes* præter *Big.* qui cum *Rufino* voces iſtas non agnoſcit.

n Τὸν σοφιστὴν] *Raf.* Ἐπὶ τὸν σοφιστήν.

o Διαρρίψειν] *Lugd. Bat.* Διαρρίψαι. *Raf.* Διαρρίψαι.

p Στάσιν.] Στάσεως *Rhod.*

& cædes facta eſt eorum qui comprehenſi ſunt, & inquiſitio de iis qui ſeſe in latebras abdiderant. Pauci etiam ex eis clam in Maſadam perfugerunt, in quibus Eleazarus Jairi filius, Manahemo affinitate junctus, qui poſtea in Maſada tyrannidem exercuit: ipſumque Manahemum, cum in locum Ophlan vocatum fugiſſet, atque illic abjecte admodum diliteſceret, captum in medium produxerunt, multiſque cruciatibus vexatum interfecerunt. Similiter & quotquot ſub ipſo duces erant, maximeque inſignem tyrannidis miniſtrum Apſalomum.

10. Et populus quidem ad iſta, uti dicebam, operam ſuam contulit, fore ſperans ut medela quædam toti ſeditioni adhiberetur. Illi vero, ut qui non ſtuderent bellum comprimere, ſed majori cum inſolentia in eo verſari, Manahemum de medio ſuſtulerant. Denique cum populus multis verbis obſecraret, ut milites oppugnare deſinerent; illi acrius inſiſtebant, donec Metilius (is enim Romanorum erat præfectus) cum ſuis, diutius non valentes reſiſtere, mitterent ad Eleazarum ſocioſque, ſuppliciter orantes, ut fide data egredi liceret ſalvis tantum capitibus, dicenteſque ſe arma & impedimenta ſua eis craditurus. Illi autem cum petitioni ſtatim conceſſiſſent, mittunt ad eos Gorionem Nicodemi, & Ananiam Sadduci, & Judam Jonathæ filium, qui jurejurando interpoſito fidem darent. Qua re peracta, milites ſuos deducebat Metilius. Et quamdiu illis quidem arma ſupererant, è ſeditioſis nemo aut *aperte* illos aggrediebatur, aut inſidiis attentabat: quam primum vero ex pacto omnes ſcuta & gladios deponerent, & nihil *mali* ſuſpicantes diſcedere pararent, impetum in eos fecerunt Eleazari comites, & comprehenſos trucidabant, neque reſiſtentes neque ſupplicantes, ſolas autem pactiones & fidem jurejurando datam inclamantes. Et hi quidem tanta cum crudelitate interfecti ſunt omnes, præter Metilium: (hunc enim, cum eis ſupplicaſſet pollicituſque eſſet uſque ad circumciſionem quoque ſe Judæum futurum, ſolum ſervarunt) damnum tamen Romanis quidem erat leviuſculum, ut qui ex ingenti exercitu non multos amiſerint, Judæis vero ad excidium proludere viſum eſt. Cum autem vidiſſent dimoveri non poſſe belli cauſas, tantoque flagitio pollutam eſſe civitatem, ex quo fas erat ominari Deum *in eos* ira exarſurum, etiamſi in illos non vindicatum eſſet à Romanis, publice lugebant, & urbs quidem tota in mœſtitia erat: moderati vero quique, quaſi ipſi pro ſeditioſis pœnas daturi eſſent, metu percellebantur. quippe ſabbato cædem iſtam perpetrari contigerat, quo die propter ſacri cultus ſolennitatem ab operibus ceſſant.

Romani ſeſe dedunt Eleazaro.

Romani contra pacta omnes præter Metilium ducem occiſi.

Cædes ſabbato facta.

ὄντη τις ἴσχυεν. καὶ φόνος μὲν ἦν τῶν καταληφθέντων, ἔρευνα δὲ τῶν ἀποκρυπτομένων. καὶ διεσώθησαν ὀλίγοι, λάθρα διαδράντες εἰς Μασάδαν, σὺν οἷς Ἐλεάζαρος [q] ὁ υἱὸς Ἰαείρου, προσήκων τῷ Μαναήμῳ κατὰ γένος, ὃς ὕστερον ἐτυράννησε τῆς Μασάδας. αὐτόν τε τὸν Μανάημον, εἰς τὸν καλούμενον [r] Ὀφλᾶν συμφυγόντα, κἀκεῖ ταπεινῶς [s] ὑπολανθάνοντα ζωγρήσαντες, εἰς τὸ φανερὸν ἐξείλκυσαν, καὶ πολλαῖς αἰκισάμενοι βασάνοις ἀνεῖλον. ὁμοίως δὲ καὶ τοὺς ὑπ' αὐτὸν ἡγεμόνας, τόν τε ἐπισημότατον τῆς τυραννίδος ὑπηρέτην Ἀψάλωμον.

ι. Ὁ μὲν οὖν δῆμος, ὡς ἔφην, εἰς ταῦτα συνήργησεν, ἐλπίζων τινὰ τῆς ὅλης στάσεως λαμβάνειν διόρθωσιν. οἱ δὲ οὐ καταλῦσαι τὸν πόλεμον σπεύδοντες, ἀλλ' ἀδεέστερον πολεμεῖν, Μανάημον ἀνῃρήκεσαν. ἀμέλει τοῦ δήμου πολλὰ τοῖς στρατιώταις ἀνεῖναι τὴν πολιορκίαν παρακαλοῦντος, οἱ δὲ προσέκειντο χαλεπώτερον, μέχρι μηκέτι ἀντέχοντες οἱ περὶ τὸν [t] Μετίλιον, οὗτος γὰρ ἦν τῶν Ῥωμαίων ἔπαρχος, διαπέμπονται πρὸς τοὺς περὶ τὸν Ἐλεάζαρον, ἐξαιτούμενοι μόνας τὰς ψυχὰς ὑποσπόνδους, τὰ δὲ ὅπλα καὶ τὴν λοιπὴν κτῆσιν παραδώσειν λέγοντες. οἱ δὲ, καὶ τὴν ἱκεσίαν ἁρπάσαντες, ἀπέπεμψαν πρὸς αὐτοὺς Γωριονά τε Νικομήδους υἱὸν, καὶ Ἀνανίαν [v] Σαδδουκί, καὶ Ἰούδαν Ἰωνάθου, δεξιάς τε καὶ ὅρκους δώσοντας. ὧν γενομένων κατῆγε τοὺς στρατιώτας ὁ Μετίλιος. οἱ δὲ μέχρι μὲν ἦσαν ἐν τοῖς ὅπλοις, οὔτε ἐπεχείρει τις τῶν στασιαστῶν αὐτοῖς, οὔτε ἐνέφαινεν ἐπιβουλήν. ὡς δὲ κατὰ τὰς συνθήκας ἅπαντες ἀπέθεντο τοὺς θυρεοὺς καὶ τὰ ξίφη, καὶ μηδὲν ἔτι ὑποπτεύοντες ἀνεχώρουν, ὥρμησαν ἐπ' αὐτοὺς οἱ περὶ τὸν Ἐλεάζαρον, καὶ περισχόντες ἀνῄρουν, οὔτε ἀμυνομένους, οὔτε ἱκετεύοντας, μόνας δὲ τὰς συνθήκας καὶ τοὺς ὅρκους ἀναβοῶντας. καὶ οἱ μὲν οὕτως ὠμῶς [x] ἀπεσφάγησαν ἅπαντες πλὴν Μετιλίου. τοῦτον γὰρ ἱκετεύσαντα, καὶ μέχρι περιτομῆς [y] Ἰουδαΐσειν ὑποσχόμενον, διέσωσαν μόνον. τὸ δὲ πάθος Ῥωμαίοις μὲν ἦν κοῦφον, ἐκ γὰρ ἀπλέτου δυνάμεως ἀπανηλώθησαν ὀλίγοι, Ἰουδαίοις δὲ προοίμιον ἁλώσεως ἔδοξε. καὶ καθιδόντες ἀνηκέστους μὲν ἤδη τὰς αἰτίας τοῦ πολέμου, τὴν δὲ πόλιν τηλικούτῳ μιάσματι πεφυρμένην, ἐξ οὗ δαιμόνιόν τι μήνιμα προσδοκᾶν εἰκὸς ἦν, [z] εἰ καὶ μὴ τὴν ἐκ Ῥωμαίων ἄμυναν, [a] ἐπένθουν δημοσίᾳ, καὶ πλήρης μὲν κατηφείας ἦν ἡ πόλις. ἕκαστος δὲ τῶν μετρίων, ὡς αὐτὸς ὑπὲρ τῶν στασιαστῶν δίκας δώσων, ἐτετάρακτο. καὶ γὰρ δὴ σαββάτῳ συνέβη πραχθῆναι τὸν φόνον, ἐν ᾧ διὰ τὴν θρησκείαν [b] τῶν ὁσίων ἔργων ἔχουσιν ἐκεχειρίαν.

XIX.

CAP. XVIII.

Judæorum ubique gentium calamitates & cædes.

Judæorum magna ſtrages Cæſareæ.

EOdem autem die, horaque *eadem*, quaſi divina providentia ita acciderat, Cæſarenſes Judæos qui apud ipſos erant *fere omnes* interimebant; ita ut una hora ſuper viginti hominum millia cæ-

ΚΕΦ. ιη'.

Ἰουδαίων συμφοραὶ καὶ φόνοι ἑκάστοτε.

ΤΗΣ δὲ αὐτῆς ἡμέρας καὶ ὥρας, ὥσπερ ἐκ δαιμονίου προνοίας, ἀναιροῦσι [c] οἱ Καισαρεῖς τοὺς παρ' αὐτοῖς Ἰουδαίους. ὡς ὑπὸ μίαν ὥραν ἀποσφαγῆναι μὲν ὑπὲρ

q Ὁ υἱὸς Ἰαείρου,] Articulus abeſt Big. & Voſſ.

r Ὀφλᾶν] Conf. infr. lib. 5. c. 4. §. 2. De cæde hujus Manahemi in Vita §. 5. μετὰ δὲ τὸν ἀναιρεθέντα Μανάημον, &c. Spanh.

s Ὑπολανθάνοντα ζωγρήσαντες,] Sic MSS. Διαλανθάνοντα in Editis.

t Μετίλιον,] Μετίλιον [illegible] infra Μετίλιος Big. Μετίλλιον & Μετίλλιος Bod. in Rufini verſione Matilium & Matilius.

v Σαδδουκί.] Σαδδουκαίου Big. Σαδδουκαίου Voſſ. (& Coiſlin) forſan pro Σαδδούκου.

x Ἀπεσφάγησαν] Roſ. Ἐπεσφάγησαν.

y Ἰουδαΐσειν ὑποσχόμενον,] Ἰουδαΐζειν Big.

z Εἰ ἄμυναν,] Εἰ μὴ τὴν Ῥωμαίων ἄμυναν in MS.

a Ἐπένθουν δημοσίᾳ,] Roſ. Ἐπένθουν δημοσίας.

b Τῶν — ἐκεχειρίαν.] Interpres Gelenius male: *a ſanctis quoque operibus agunt quietem*. Sanctis operibus enim non abſtinent, ſed διὰ τὴν θρησκείαν τῶν ὁσίων abſtinent ab aliis operibus. Rel.

c Οἱ Καισαρεῖς] Illud οἱ è MS. Voſſ.

d Σεβα-

ὑπὲρ δισμυρίους, κενωθῆναι δὲ πᾶσαν Ἰουδαίων τὴν Καισάρειαν. καὶ γὰρ τοὺς διαφυγόντας ὁ Φλῶρος συλλαβὼν, κατήγαγε δεσμώτας εἰς τὰ νεώρια. πρὸς δὲ τὴν ἐκ τῆς Καισαρείας πληγὴν ὅλον τὸ ἔθνος ἐξαγριοῦται. καὶ διαμερισθέντες τάς τε κώμας τῶν Σύρων καὶ τὰς προσεχεῖς ἐπόρθουν πόλεις, Φιλαδέλφειάν τε καὶ [d] Σεβωνῖτιν, καὶ [e] Γέρασαν, καὶ Πέλλαν, καὶ Σκυθόπολιν. ἔπειτα Γαδάροις καὶ Ἵππῳ καὶ τῇ Γαυλανίτιδι προσπεσόντες, [f] τὰς μὲν καταστρεψάμενοι, τὰς δὲ [g] ὑποπρήσαντες, ἐχώρουν ἐπὶ [h] Κέδασαν τὴν [i] Τυρίων, καὶ Πτολεμαΐδα, [k] Γάβαν τε καὶ Καισάρειαν. ἀντέσχε δὲ οὐδὲ Σεβαστὴ ταῖς ὁρμαῖς αὐτῶν, οὐδὲ Ἀσκάλων. ἀλλ' ἐπὶ ταύταις [l] πυρποληθείσαις, Ἀνθηδόνα καὶ Γάζαν κατέσκαπτον. πολλαὶ δὲ περὶ ἑκάστην [m] τούτων τῶν πόλεων ἀνηρπάζοντο κῶμαι, καὶ τῶν ἁλισκομένων ἀνδρῶν φόνος ἦν ἄπειρος.

Judæi efferati Syrorum vicos & civitates vaſtant & incendunt.

β'. Οὐ μὴν οἱ Σύροι τῶν Ἰουδαίων ἔλαττον πλῆθος ἀνῄρουν, ἀλλὰ καὶ αὐτοὶ τοὺς ἐν ταῖς πόλεσι λαμβανομένους ἀπέσφαττον, οὐ μόνον κατὰ μῖσος ὡς πρότερον, ἀλλ' ἤδη καὶ τὸν ἐφ' ἑαυτοῖς κίνδυνον φθάνοντες. [n] δεινὴ δὲ ὅλην τὴν Συρίαν ἐπέσχε ταραχὴ, καὶ πᾶσα πόλις εἰς δύο διῄρητο στρατόπεδα. σωτηρία δὲ τοῖς ἑτέροις ἦν τὸ τοὺς ἑτέρους φθάσαι. καὶ τὰς μὲν ἡμέρας ἐν αἵματι διῆγον, τὰς δὲ νύκτας δέει χαλεπωτέρας. [o] ἀποσκευάσασθαι γὰρ τοὺς Ἰουδαίους δοκοῦντες ἕκαστοι, τοὺς Ἰουδαΐζοντας εἶχον ἐν ὑποψίᾳ, καὶ τὸ παρ' ἑκάστοις ἀμφίβολον οὔτε ἀνελεῖν τις προχείρως ὑπέμενε, καὶ μεμιγμένον ὡς βεβαίως ἀλλόφυλον ἐφοβεῖτο. προεκαλεῖτο δὲ ἐπὶ τὰς σφαγὰς τῶν διαφόρων καὶ τοὺς πάλαι πρᾳοτάτους εἶναι δοκοῦντας, ἡ πλεονεξία. τὰς γὰρ οὐσίας τῶν ἀναιρεθέντων ἀδεῶς διήρπαζον, καὶ καθάπερ [p] ἐκ παρατάξεως τὰ σκῦλα τῶν ἀνῃρημένων [q] εἰς τοὺς σφετέρους οἴκους μετέφερον. ἔνδοξός τε ἦν ὁ πλεῖστα κερδάνας, ὡς κατισχύσας πλειόνων. [r] ἦν δὲ ἰδεῖν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμμένους, γύναιά τε [s] μήτε τῆς ἐπ' [t] αἰδῶ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν [u] τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν [x] ἑκάστοτε τολμωμένων τὴν ἐπὶ τοῖς ἀπειλημμένοις [y] μετάστασιν.

γ'. Μέχρι μὲν δὴ τούτων Ἰουδαίοις πρὸς τὸ ἀλλόφυλον ἦσαν [z] συμβολαί. καταtρέχοντες δὲ εἰς Σκυθόπολιν τοὺς παρ' [a] ἐκείνη Ἰουδαίους [b] ἐπειράσαντο πολεμίους. [c] ταξάμενοι γὰρ μετὰ τῶν Σκυθοπολιτῶν, καὶ τῆς

derentur, & Cæſarea omnis vacua facta eſt Judæis. nam fuga dilapſos comprehendit Florus, & vinctos ad navalia deducebat. Nunciata autem hac è Cæſarea clade, tota Judæorum gens efferata eſt: diviſique & Syrorum vicos & finitimas civitates vaſtabant, Philadelphiam ſcilicet & Sebonitin, & Geraſam, & Pellam, & Scythopolin. Deinde cum in Gadara & Hippon Gaulanitidem impetum feciſſent, & loca quædam everitiſſent, aliaque incendiſſent, recta ibant ad Cedaſam Tyriorum, & Ptolemaïdem, Gabamque & Cæſaream. Eorumque incurſibus neque Sebaſte reſiſtebat, neque Aſcalon: ſed cum eas flammis vaſtaſſent, Anthedona & Gazam funditus everterunt. Multi etiam iſtis civitatibus finitimi vici diripiebantur, virorumque quos ceperant ingens facta eſt cædes.

2. Veruntamen Syri non minorem Judæorum multitudinem occidebant: ſed & ipſi in civitatibus comprehenſos trucidabant, non ſolum ex odio uti prius, ſed ut periculum quod illis imminebat mature prævenirent. Magna autem *rerum* perturbatio Syriam omnem occupabat, & unaquæque civitas in duos diviſa erat exercitus. illis autem invicem ſaluti erat, ſi alteri alteros prævertiſſent, vitamque interdiu quidem in cæde agebant, noctu vero in formidine graviori. Nam cum ſinguli Judæos de medio ſublatos eſſe exiſtimarent, Judaïzantes ſuſpectos habebant: atque dubios utrinque & ambiguos haud temere quiſquam interficere volebat, permiſtos tamen cum aliis ut plane alienigenas metuebat. Ad cædes autem adverſæ partis illos etiam provocabat avaritia, qui prius ſumme manſueti eſſe viderentur. nam cæſorum facultates intrepide diripiebant, & quaſi ex acie occiſorum ſpolia in domos ſuas deportabant: quique plurima lucratus eſt *maxime* habebatur illuſtris, ac ſi plures *virtute* ſuperaſſet. Cernere autem erat civitates cadaveribus inſepultis refertas, & mortuos projectos cum infantibus ſenes, & * mulieres ipſo pudoris velamento nudatas; & totam quidem provinciam calamitatibus infandis plenam, iis vero quæ perpetrabantur majorem intentatam *rerum in pejus* mutationem.

Syri pœnas repetunt à Judæis.

Magna per Syriam perturbatio, metus, & cædes.

3. Et hactenus quidem Judæi conflictati ſunt cum alienigenis: excurſionem autem facientes in Scythopoleos fines, etiam Judæos illic habitantes experti ſunt hoſtes. Nam cum ad aciem præſto eſſent Scythopolitis, & affinitatem poſthaberent pro-

Judæi etiam Judæos ſibi hoſtes experiuntur.

d Σεβωνῖτιν] Ita reſcripſi ex *Big.* & *Voſſ.* Γεβωνῖτιν in *Editis.* Γεβωνῖτιν *Bod.* in *Ruffini* verſione *Gebdemonem* & *Gebonitin.* Verum rectius forſan Ἐσσεβωνῖτιν, prout in *Antt.* lib. 12. c. 4. §. 10.

e Γέρασαν,] Sic *Big. Voſſ. Bod.* & *Rhed.* Γέρασαν in *Editis.* Huds. Conf. ſup. lib. 1. c. 4. §. 8. Spanh.

f Τὰς] Καὶ τὰς *Lugd. Bat.*

g Ὑποπρήσαντες,] *Roſt.* Ὑποπρήσαντες.

h Κέδασαν] Κέδασα *Big.* Huds. Conf. *Antt.* lib. 13. cap. 5. §. 6. Spanh.

i Τυρίων,] Καὶ Τύρον *Bod.* & *Roſt.* τῶν Τυρίων *Lugd. Bat.* Rectius ſane τῶν Τυρίων, quippe in Tyriorum poteſtate aliquando fuit: *Antt.* lib. 13. c. 5. §. 6. μεταξὺ δὲ ἐστὶ Κέδασα τῆς τε Τυρίων γῆς καὶ τῆς Γαλιλαίας.

k Γάβαν] Γαβαλά τε in margine *Cod. Big.* Γάβαν *Lugd. Bat.* Huds. Pro Γάβα male Γάμαλα *Gen.* intr. lib. 3. cap. 3. §. 1. Γάβαλα *MS. Lipſ.* Spanh.

l Πυρποληθείσαις,] Ita ex *Lugd. Bat.* & *Roſt.* Reliqui πυρποληθείσας. Hav.

m Τούτων τῶν πόλεων] Ita *Big.* & *Ruf.* τούτων τῶν πολέμων in *Editis* Aliiſque.

n Δεινὴ—ταραχὴ,] Inde Euſeb. H. Ec. l. 2. c. 26. p. 68. Spanh.

o Ἀποσκευάσασθαι γὰρ τοὺς Ἰουδαίους] Ἀποσκευάσασθαι *Bod.*

p Ἐκ παρατάξεως] Ἐκ παραδιεξεως *Voſſ.*

q Εἰς τοὺς σφετέρους οἴκους] Εἰς τοὺς ἑτέρους οἴκους *in domos alias.* Ruf.

r Ἦν δὲ—γύναιά τε] Ὅτι ὁρᾶν *Euſeb.* in *Hiſt. Eccl.* lib. 2. c. 26. & *Niceph. Call.* in *H. E.* lib. 3. c. 3. Huds. Inde Euſeb. H. Eccleſ. loco indicato. p. 68. Spanh.

s Μήτε τῆς ἐπ'] Μηδὲ τῆς ἐπ' αἰδοῖ *Big.*

t Αἰδῶ] Forte αἰδοῖ. Cocc.

u Τὴν ἐπαρχίαν] Τὴν ἑπαρχίαν in *Euſebii Codd.* contra quam apud *Joſephum* & *Nicephorum.* Per provinciam hoc loco (inquit *Valeſius*) intelligimus Judæam, quæ poſt obitum majoris Agrippæ in provinciæ formam redacta fuerat, & à procuratoribus Cæſaris regebatur.

x Ἑκάστοτε τολμωμένων] Ita cum *MSS.* & *Euſeb.* ἑκάστου τετολμημένων in *Editis,* ἑκάστῳ τετολμημένων *Niceph.* Huds. Imo & *Lugd. Bat.* atque *Roſt.* neque deterius. Hav.

y Μετάστασιν.] Ἀνάτασιν *Big.* in cæteris *Joſephi* libris μετάστασιν. quod (inquit *Valeſius*) ſenſu caret. quo factum ut *Gelenius* divinaret, quum *Ruffini* verba iſta, *major his autem metus audendorum malorum, ipſis quæ alia erant facinoribus imminebant,* mutarit in ſequentia, *majorum autem metus quam quæ peracta erant facinorum imminebat.* Ἀνάστασιν *Niceph.* tam in *Editis* quam *MSS.* & *Langus* vertit, *ea vero quæ fuerant ab unoquoque perpetrata ſcelera ſuperabat ea quæ per minas denunciata fuerat everſio.* Verum in *Euſebio* ἀνάταξιν habet *Stephani* editio. meliores codices ἀνάτασιν, quam ſcripturam præfert *Valeſius,* & ad hunc modum interpretatur. *Sed tamen iis quæ ubique perpetrabantur malis, longe gravior erat formido eorum, quæ intentabantur,* utpote quod *Joſephus* alibi dicat, καὶ τῶν συμφορῶν τὸν φόβον εἶναι χαλεπώτερον, ſimili plane ſenſu; pro φόβον ſcilicet poſito ἀνάτασιν, eadem gaudente ſignificatione. Huds. Quid μετάστασις eſt? commotio Hebræis *** Cocc. Ἀνάτασιν *Euſeb.* è *MSS.* Medic. & Marc. Valeſ. Not. p. 43. Spanh.

z Συμβολαί.] Προσβολαὶ *Big.* & *Voſſ.*

a Ἐκείνῃ Ἰουδαίους] Ἐκείνους *Big.* ἐκεῖσε *Bod.*

b Ἐπειράσαντο πολεμίους.] Ita *Big. Voſſ.* & *Ruf.* ἐπείρασαν πολεμίους *Bod. Roſt.* & *Lipſ.* ἐπειρῶντο πολεμίῳ in *Editis.* Huds. Ἐπειράζοντο πολ. *MS. Lipſ.* Spanh.

c Ταξάμενοι γὰρ] Παραταξάμενοι *Bod.* & *Roſt.* qui pro γὰρ habet δέ.

* Et feminas ſine munimentis quibus pudenda tegerentur, *Pſeudo-Hegeſipp.*

propriæ incolumitati, cum ſuis popularibus manus conſerebant. ſuſpecta tamen erat hæc illorum promptitudo & alacritas. Itaque Scythopolitæ veriti ne noctu civitatem adorirentur, & magna ipſorum calamitate fratribus excuſarent defectionem, illis præcipiebant, ſi concordiam vellent confirmari ſuamque alienigenis fidem demonſtrari, ut cum familiis ſuis in lucum *proximum* tranſirent. Cum autem illi ſine *fraudis* ſuſpicione imperata feciſſent, duos quidem dies quieverunt Scythopolitæ, diſſimulantes ipſorum fidem: tertia vero nocte, captata *temporis* opportunitate, alios quidem incautos, alios vero ſopitos omnes trucidarunt, numero ad tredecim millia, & facultates omnium diripuerunt.

Scythopolitæ magnam Judæorum ſtragem edunt.

4. Convenit autem *hic loci* enarrare quod Simoni accidit, qui filius quidem erat Sauli cujuſdam viri non ignobilis, robore vero corporis & *animi* audacia præſtans, quibus utriſque in popularium ſuorum damnum abuſus eſt. Quapropter, cum quotidie immineret, multos quidem Judæorum Scythopoli propinquos occidebat, & frequenter integros eorum cuneos fundens fugansque * ſolus erat inſtar aciei. Illi autem contigit pœna quam commeruit gentilium cædes. Nam poſtquam Scythopolitæ circundatis Judæis in luco eos jaculis configerent, gladio educto, neminem quidem hoſtium adoritur, (etenim videbat in tanta multitudine ſe nihil poſſe efficere) vehementi autem facta exclamatione, „ digna, inquit, Scythopolitæ, his quæ geſſi „ jam patior à vobis, quippe qui tam multa civium „ cæde benevolentiæ erga *vos* ipſos noſtræ fidem „ fecerim. quare juſtum eſt ut aliena quidem gens „ nobis infida comperiatur, qui extrema in noſtrum genus impietate deliquerimus. Morior „ quidem ut exſecrabilis propriis manibus: (haud „ enim honeſtum cadere manu hoſtili) hoc autem „ ipſum mihi erit & in pœnam ſcelere dignam, & „ cedet in fortitudinis laudem; ut nemo ſcilicet „ hoſtium de meo interitu glorietur, neque in cadentem inſultet." Cum iſta dixiſſet, miſerantibus ſimul & furentibus oculis familiam ſuam circumſpicit. erant autem ei & uxor & liberi & provecta ætate parentes. Ille vero primum *quidem* patrem, canis *capillis* prehenſum, enſe transfigit, poſt quem & matrem, non invitam, ac deinde uxorem & liberos, ſingulis ſane horum tantum non occurrentibus gladio & hoſtes prævenire cupientibus. Ille vero, cum omnem ſuam neceſſitudinem trucidaſſet, & ſuper cadaveribus conſpicuus ſtetiſſet, & dextram ſuſtuliſſet, ut ab omnibus videretur, totum in ſui cædem *viſceribus* immerſit enſem. Dignus quidem miſeratione juvenis propter corporis ſtrenuitatem & animi præſentiam: cæterum quantum ad fidem quam alienigenis præſtitit, meritas pœnas luit.

Simon quidam Judæus ſuos trucidat.

Poſtea pœnam de ſe exigit Simon, ſuorum ſuique cæde.

XX. *Aliis in locis Judæorum internecio facta.*

5. Poſt cædem autem in Scythopoli factam, reliquæ etiam civitates in Judæos ſingulæ apud ſe habitantes inſurgebant, atque bis mille *homines* & quingentos interfecerunt Aſcalonitæ, duoque millia Ptolemaitæ, & non paucos in vincula conjece-

ἑαυτῶν ἀσφαλείας ἐν δευτέρῳ θέμενοι τῆς συγγενείας, ὁμόσε τοῖς ὁμοφύλοις ἐχώρουν. ὑπωπτεύθη δ᾽ αὐτῶν καὶ τὸ λίαν πρόθυμον. [d] οἱ γοῦν Σκυθοπολῖται δείσαντες μὴ νύκτωρ ἐπιχειρήσωσι τῇ πόλει, καὶ μετὰ μεγάλης αὐτῶν συμφορᾶς τοῖς οἰκείοις ἀπολογήσωνται περὶ τῆς ἀποστάσεως, ἐκέλευον [e] αὐτοὺς, εἰ βούλονται τὴν ὁμόνοιαν βεβαιῶσαι καὶ τὸ πρὸς τοὺς [f] ἀλλοεθνεῖς [g] πιστὸν ἐπιδείξασθαι, μεταβαίνειν ἅμα ταῖς γενεαῖς εἰς τὸ ἄλσος. τῶν δὲ ποιησάντων τὸ προσταχθὲν χωρὶς ὑποψίας, δύο μὲν ἡμέρας ἠρέμησαν οἱ Σκυθοπολῖται, τὴν πίστιν αὐτῶν [h] δελεάζοντες. [i] τῇ δὲ τρίτῃ νυκτὶ παρατηρήσαντες, τοὺς μὲν ἀφυλάκτους, τοὺς δὲ κοιμωμένους, πάντας ἀπέσφαξαν, ὄντας τὸν ἀριθμὸν ὑπὲρ μυρίους καὶ τρισχιλίους, τάς τε κτήσεις διήρπασαν ἁπάντων.

δ΄. Ἄξιον καὶ ἀφηγήσασθαι καὶ τὸ [k] τοῦ Σίμωνος πάθος, ὃς υἱὸς μὲν ἦν Σαούλου τινὸς τῶν οὐκ ἀσήμων, ῥώμῃ δὲ σώματος καὶ τόλμῃ διαφέρων, ἐπὶ κακῷ τῶν ὁμοφύλων ἀμφοτέροις κατεχρήσατο. [l] προσιὼν γοῦν ὁσημέραι πολλοὺς μὲν [m] ἀνῄρει τῶν πρὸς τῇ Σκυθοπόλει Ἰουδαίων, τρεπόμενος δὲ πολλάκις αὐτοὺς πάντας μόνος ἦν ῥοπὴ τῆς παρατάξεως. περιέρχεται δὲ αὐτὸν ἀξία ποινὴ τοῦ συγγενικοῦ φόνου. ἐπεὶ γὰρ περισχόντες οἱ Σκυθοπολῖται κατηκόντιζον [n] αὐτοὺς ἀνὰ τὸ ἄλσος, σπασάμενος τὸ ξίφος ἐπ᾽ οὐδένα μὲν [o] τρέπεται τῶν πολεμίων. καὶ γὰρ ἑώρα τὸ πλῆθος ἀνήνυτον. ἀναβοήσας δὲ μάλα ἐκπαθῶς, „ ἄξιά γε ὧν ἔδρασα πάσχω Σκυθοπολῖται [p] καθ᾽ „ ὑμῶν, ὅτι [q] τοσούτῳ φόνῳ συγγενῶν τὴν πρὸς „ [r] αὐτοὺς εὔνοιαν [s] ἐπιστωσάμην. τοιγαροῦν οἷς ἄπι„ στον μὲν εὐλόγως [t] εὕρηται τὸ ἀλλόφυλον, ἠσέβη„ ται δὲ [u] εἰς ἔσχατα τὸ οἰκεῖον. θνήσκω μὲν ὡς „ ἐναγὴς χερσὶν ἰδίαις. οὐ γὰρ πρέπον [x] ἐν ταῖς τῶν „ πολεμίων. τὸ δ᾽ αὐτὸ ἂν εἴη μοι καὶ ποινὴ τοῦ „ μιάσματος ἀξία, καὶ πρὸς ἀνδρείαν ἔπαινος, ἵνα „ μηδεὶς τῶν ἐχθρῶν τὴν ἐμὴν αὐχήσῃ σφαγὴν, μηδὲ „ ἐπαλαζονεύσηται πεσόντι." ταῦτα εἰπὼν, ἐλεοῦσιν ἅμα καὶ τεθυμωμένοις ὄμμασι περισκέπτεται τὴν ἑαυτοῦ γενεάν. ἦν δ᾽ αὐτῷ καὶ γυνὴ καὶ τέκνα καὶ γηραιοὶ γονεῖς. ὁ δὲ πρῶτον τὸν πατέρα τῆς πολιᾶς ἐπισπασάμενος διελαύνει τῷ ξίφει, μεθ᾽ ὃν οὐκ ἄκουσαν τὴν μητέρα, καὶ ἐπὶ τούτοις τήν τε γυναῖκα καὶ τὰ τέκνα, μονονουχὶ ὑπαντῶντος ἑκάστου τῷ ξίφει, σπεύδοντος φθάσαι τοὺς πολεμίους. ὁ δὲ διελθὼν πᾶσαν τὴν γενεὰν, καὶ περίοπτος ἐπιστὰς τοῖς σώμασι, τήν τε δεξιὰν ἀνατείνας, ὡς μηδένα λαθεῖν, ὅλον εἰς τὴν ἑαυτοῦ σφαγὴν ἐβάπτισε τὸ ξίφος. ἄξιος μὲν ἐλέους ὁ νεανίας δι᾽ ἀλκὴν σώματος, καὶ ψυχῆς [y] παράστημα. τῆς δὲ πρὸς ἀλλοφύλους πίστεως ἕνεκεν, ἀκολούθοις πάθεσι χρησάμενος.

ε΄. Πρὸς δὲ τὴν ἐν Σκυθοπόλει φθορὰν, αἱ λοιπαὶ πόλεις ἐπανίσταντο τοῖς καθ᾽ ἑαυτὴν Ἰουδαίοις ἑκάστη, καὶ πεντακοσίους μὲν ἐπὶ [z] δισχιλίους Ἀσκαλωνῖται, Πτολεμαεῖς δὲ δισχιλίους ἀνεῖλον, ἔδησάν τε οὐκ ὀλίγους.

d Οἱ γοῦν Σκυθοπολῖται] De hac clade Judæorum à Scythopolitis. Vid. de Vita. §. 6. [illegible], &c. Spanh.

e Αὐτοὺς,] Αὐτοῖς Bod.

f Ἀλλοεθνεῖς] Ἀλλογενεῖς Big.

g Πιστὸν] Abeſt a Raf.

h Δελεάζοντες.] Δελεάζοντες *Suidas* interpretatur [illegible], hunc *Joſephi* locum afferens, ſed mutilatum.

i Τῇ — παρατηρήσαντες,] Ita *Big.* & *Suid.* in voce Δελεάζοντες, alio autem ordine, ſc. τῇ τρίτῃ δὲ, in *cæteris*.

k Τοῦ Σίμωνος πάθος,] Illud τοῦ additum eſſe volui è *Cod. Voſſ.*

l Προσιὼν γοῦν] Eſt (quomodo extat & in *Lugd. Bat.*) qui malit πρῶτον.

m Ἀνῄρει — Ἰουδαίων,] Ita *Big. Voſſ.* & *Raf.* ἀναιρεῖ in *cæteris*.

n Αὐτοὺς] Abeſt a *Raf.*

o Τρέπεται τῶν πολεμίων.] Ὥρμησεν *Big.* & *Raf.* qui vertit, *impetum fecit*.

p Καθ᾽ ὑμῶν,] Forſan παρ᾽ ὑμῶν. aut ἄξιά γε ὧν ἔδρασα μεθ᾽ ὑμῶν πάσχω Σκυθοπολῖται, ὅτι.

q Τοσούτῳ φόνῳ συγγενῶν] Τοιούτῳ *Big.*

r Αὐτοὺς] Illud αὐτοὺς pro ὑμᾶς. Veruntamen ſi quis αὐτοὺς deleri malit & ὑμᾶς in locum ejus reponi, per me licet.

s Ἐπιστωσάμην.] Ἐπιστωσάμενος *Big.* & mox θνήσκω μὲν ὡς ἐναγής.

t Εὕρηται τὸ ἀλλόφυλον,] Εἴρηται *Big.*

u Εἰς ἔσχατα τὸ οἰκεῖον.] Εἰς ἔσχατον *Bod.* & *Voſſ.*

x Ἐν ταῖς] Abeſt a *Raf.*

y Παράστημα.] Conf. ſupr. lib. 1. c. 2. §. 4. & lib. 2. c. 10. §. 4. ut & infr. c. 20. § 7. & c. 21. §. 1.

z Δισχιλίους Ἀσκαλωνῖται,] Δισχιλίοις *Big.*

* Totius aciei momentum ſolus erat, *Raf.*

a Τὰ

ὀλίγους. καὶ Τύριοι μὲν συχνοὺς διεχρήσαντο. [a] τὸ πλεῖον δὲ αὐτῶν δεσμώτας ἐφρούρουν. [b] Ἱππηνοί τε καὶ Γαδαρεῖς ὁμοίως, τοὺς μὲν θρασυτέρους ἀπεσκευάσαντο, τοὺς δὲ φοβεροὺς διὰ [c] φυλακῶν εἶχον. αἵ τε λοιπαὶ πόλεις τῆς Συρίας, ὅπως ἑκάστη πρὸς τὸ Ἰουδαϊκὸν ἢ μίσους ἢ δέους εἶχον. μόνοι δὲ Ἀντιοχεῖς καὶ Σιδώνιοι καὶ Ἀπαμεῖς ἐφείσαντο τῶν μετοικούντων, καὶ οὔτε ἀνελεῖν [d] τινα Ἰουδαίων ὑπέμειναν, οὔτε δῆσαι. τάχα μὲν καὶ διὰ τὸ σφέτερον πλῆθος ὑπερορῶντες αὐτῶν πρὸς τὰ κινήματα, τὸ πλεῖον δὲ ἔμοιγε δοκεῖ οἴκτῳ πρὸς οὓς οὐδὲν ἑώρων νεωτερίζοντας. Γερασηνοί τε οὔτε εἰς τοὺς ἐμμείναντας [e] ἐπλημμέλησαν, καὶ τοὺς ἐξελθεῖν ἐθελήσαντας προέπεμψαν μέχρι τῶν ὅρων.

ϛʹ. Συνέστη δὲ [f] καὶ κατὰ τὴν Ἀγρίππα βασιλείαν ἐπιβουλὴ κατὰ Ἰουδαίων. αὐτὸς γὰρ ἐπεπόρευτο πρὸς Κέστιον Γάλλον εἰς Ἀντιόχειαν, [g] καταλελοίπει δὲ διοικεῖν [h] τὰ πράγματα [i] τινὰ τῶν ἑταίρων [k] τοὔνομα [l] Νόαρον, [m] Σοαίμῳ τῷ βασιλεῖ [n] προσήκοντα κατὰ γένος. ἧκον δὲ ἐκ τῆς [o] Βαταναίας ἑβδομήκοντα τὸν ἀριθμὸν ἄνδρες, οἱ κατὰ γένος καὶ σύνεσιν τῶν πολιτῶν δοκιμώτατοι, στρατιὰν αἰτοῦντες, ἵνα εἴ τι γίνοιτο κίνημα καὶ περὶ σφᾶς ἔχοιεν ἀξιόχρεων φυλακήν, κωλύειν τοὺς ἐπανισταμένους. τούτους ὁ [p] Νόαρος, ἐκπέμψας νύκτωρ τῶν βασιλικῶν ὁπλιτῶν τινας, ἅπαντας ἀναιρεῖ, τολμήσας μὲν τοὔργον δίχα τῆς Ἀγρίππα γνώμης, διὰ δὲ φιλαργυρίαν ἄμετρον εἰς τοὺς ὁμοφύλους ἑλόμενος ἀσεβεῖν, τὴν βασιλείαν διέφθειρεν. διετέλει τε ὠμῶς εἰς τὸ ἔθνος παρανομῶν, μέχρι πυθόμενος Ἀγρίππας, ἀνελεῖν μὲν αὐτὸν ᾐδέσθη διὰ Σόαιμον, ἔπαυσε δὲ τῆς ἐπιτροπῆς. οἱ δὲ στασιασταὶ [q] καταλαβόμενοι φρούριον, ὃ καλεῖται μὲν [r] Κύπρος, καθύπερθε δὲ ἦν Ἱεριχοῦντος, τοὺς μὲν φρουροὺς ἀπέσφαξαν, τὰ δὲ ἐρύματα κατέρριψαν εἰς γῆν. κατὰ δὲ τὰς αὐτὰς ἡμέρας, καὶ τῶν ἐν Μαχαιροῦντι Ἰουδαίων τὸ πλῆθος ἔπειθον τοὺς φρουροῦντας Ῥωμαίους [s] ἐκλείπειν τὸ χωρίον, καὶ παραδιδόναι σφίσιν. οἱ δέ, τὴν ἐκ βίας ἀφαίρεσιν εὐλαβηθέντες, συντίθενται πρὸς αὐτοὺς ἐκχωρήσειν ὑπόσπονδοι. καὶ λαβόντες τὰ πιστὰ παραδιδόασι τὸ φρούριον, ὅπερ φυλακῇ [t] κρατυνόμενον κατεῖχον οἱ Μαχαιρῖται.

ζʹ. Κατὰ δὲ τὴν Ἀλεξάνδρειαν ἀεὶ μὲν ἦν στάσις πρὸς τὸ Ἰουδαϊκὸν τοῖς ἐπιχωρίοις, ἀφ᾽ οὗ χρησάμενος προθυμοτάτοις κατὰ τῶν Αἰγυπτίων Ἰουδαίοις Ἀλέξανδρος, γέρας τῆς συμμαχίας ἔδωκε τὸ μετοικεῖν κατὰ τὴν πόλιν [v] ἐξ ἰσομοιρίας [x] πρὸς Ἕλληνας. διέμεινε δὲ αὐτοῖς ἡ τιμὴ καὶ παρὰ τῶν διαδόχων, οἳ καὶ τόπον ἴδιον αὐτοῖς ἀφώρισαν, ὅπως καθαρωτέραν [y] ἔχοιεν τὴν δίαιταν, ἧττον ἐπιμισγομένων τῶν ἀλλοφύλων, καὶ χρηματίζειν ἐπέτρεψαν Μακεδόνας. [z] ἐπεὶ δὲ Ῥωμαῖοι κατεκτήσαντο τὴν Αἴγυπτον, οὔτε Καῖσαρ ὁ πρῶτος οὔτε τῶν μετ᾽ αὐτὸν τὶς ὑπέμεινε τὰς ἀπὸ Ἀλεξάνδρου τιμὰς Ἰουδαίων ἐλαττῶσαι. συμβολαὶ δὲ

runt. Et quidem Tyrii multos trucidarunt, ex illis vero plures cuſtodiis vinctos tradiderunt: ſimiliterque Hippeni & Gadarenſes audaciſſimos quidem de medio ſuſtulerunt, quos vero formidarent ſolicite adſervabant; itidemque reliquæ Syriæ urbes, prout quæque Judæos metuerent odiove haberent. Soli autem Antiocheni & Sidonii & Apamenſes iis qui ſecum habitarent pepercerunt, & neque Judæum quenquam occidere aut vincire ſuſtinuerunt. forſan quidem quod, ſuorum civium multitudine freti, Judæorum motus, ſi quos concitarent, deſpectui haberent; potius vero, ut mihi videtur, quod illorum miſererentur quos nihil novi moliri videbant. Geraſeni etiam eos qui apud ipſos manerent nulla injuria affecerunt, & egredi volentes uſque ad fines ſuos deduxerunt.

Iis tamen parcitur à nonnullis civitatibus.

6. Quin & contra Judæos in Agrippæ regno compoſitæ erant inſidiæ. Nam ille Antiochiam profectus ad Ceſtium Gallum, rerum adminiſtrationem cuidam ex amicis reliquerat, nomine Noaro, Sohemo regi genere propinquo. Venerunt quippe de Batanæa viri numero ſeptuaginta, nobilitate & prudentia civium ſuorum præſtantiſſimi, poſcendi præſidii gratia; ut ſi qui apud ipſos quoque motus fierent, cuſtodiam idoneam haberent, per quam poſſent inſurgentes quoſque comprimere. Hos Noarus, noctu emiſſis quibuſdam è regiis militibus, omnes interimit; auſus quidem hoc facinus præter conſilium Agrippæ, propter nimiam vero pecuniæ cupiditatem in populares ſuos impius eſſe non recuſans, regnum perditum ibat: neque ceſſabat crudelitatem ſuam in gentem exercere, donec Agrippa rem reſciſceret, qui licet in eum animadvertere propter Soëmum veritus eſſet, munus tamen procuratorium ei ademit. Seditioſi autem, capto caſtello, quod Cypros appellabatur & Hierichunti imminebat, omnes qui in præſidio erant interfecerunt, & munimenta ſolo æquarunt. Ac per eoſdem dies Judæi, qui magno numero in Machærunte erant, Romanorum præſidio perſuadebant caſtellum relinquere eiſque tradere. Illi vero, metu ne ab ipſis vi eriperetur, cum iis tranſigunt certis conditionibus inde diſcedere, fideque accepta eis in manus tradunt caſtellum, quod præſidiis munitum in poteſtate ſua tenebant Machæruntii.

Noarus absente Agrippa ſævit in Judæos.

Noaro irascitur Agrippa.

Romani Judæis Machæruntem tradunt.

7. Alexandriæ vero perpetua quidem inter primos ejus incolas & Judæos contentio erat, ex quo Alexander, Judæorum opera promptiſſima adverſus Ægyptios uſus, in auxilii remunerationem conceſſit eis æquo jure cum Græcis urbem habitare. Idemque illis honor conſtabat etiam apud Alexandri ſucceſſores, qui & locum illis proprium aſſignarunt, ut puriorem haberent vivendi rationem, magis ab alienigenarum admiſtione liberatam, permiſeruntque ut Macedones appellarentur. poſtquam etiam Romani in poteſtatem ſuam redegiſſent Ægyptum, neque Cæſar primus, neque ſucceſſorum ejus quiſquam honores quibus Alexander Judæos impertiit mi-

XXI. *Seditio Alexandriæ inter Judæos & Græcos.*

a Τὸ πλεῖον δὲ αὐτῶν] Πλείους Big.
b Ἱππηνοί—Γαδαρεῖς] Conf. infr. lib. 3. c. 3. §. 1. Ἱππηνῶν τε καὶ Γαδαρέων. & de Vita §... ἐμπιπρῶσι τάς τε Γαδαρηνῶν καὶ Ἱππηνῶν κώμας. SPANH.
c Φυλακῶν εἶχον.] Φυλακαῖς Big.
d Τινα Ἰουδαίων] Τινα τῶν Ἰουδαίων Voſſ.
e Ἐπλημμέλησαν,] Ἐμπολιτευσάντων τι πλημμελήσαντες Bod. & Roff.
f Καὶ κατὰ] Ita MSS. κατὰ a Gen. abeſt.
g Καταλελοίπει] Καταλελοίπει δὲ διοικεῖν τὰ πράγματα τούτου, τῶν ἑταίρων τις τοὔνομα Νόαρος Lipſ. qui & infra habet προσήκων. HUDS. Καταλέλοιπε MS. Lipſ. SPANH.
h Τὰ πράγματα] Τὰ πράγμ. τούτου. MS. Lipſ. SPANH.
i Τινα τῶν ἑταίρων] Lugd. Bat. Τούτου τῶν ἑταίρων τινά.
k Τοὔνομα] Τις τοὔνομ. MS. Lipſ. SPANH.
l Νόαρον,] Juxta Ruffinum legendum Οὔαρον, & mox Οὔαρος. Verum ab eo diſſentiunt Codices Græci. HUDS. Lugd. Bat. Νόαρον. Conjicit Cocceius αὐτοῦ, Varus Ruffinus. SPANH.

m Σοαίμῳ] De Sohemo mox §. 9. Tacit. Annal. XIV. c. 7. ejus Pater Ithuræorum Arabum Rex Dio lib. LIX. vid. infr. lib. 3. c. 4. §. 2.
n Προσήκοντα] Pro προσήκοντα MS. Lipſ. προσήκων. SPANH.
o Βαταναίας] Batanæa diſtincta a Gadaride, Geraſis, Hippo, Gaulanitis, &c. REL.
p Νόαρος,] Lugd. Bat. Iterum Νόαρος.
q Καταλαβόμενοι φρούριον,] Προκαταλαβόμενοί τε φρ. Big. τὸ φρ. Voſſ.
r Κύπρος,] Conf. ſupr. lib. 1. c. 21. §. 4. & Antt. lib. 16. c. 5. §. 2.
s Ἐκλείπειν τὸ χωρίον,] Ἐκλιπεῖν τὸ φρούριον Big.
t Κρατυνόμενον] Κρατυνόμενοι Voſſ.
v Ἐξ ἰσομοιρίας] Conf. Antt. lib. 14. c. 7. §. 2. SPANH.
x Πρὸς Ἕλληνας.] Πρὸς τοὺς Ἕλληνας Big.
y Ἔχοιεν τὴν δίαιταν,] Ἔχοιεν αὐτοὶ τὴν δ. Bod. & Roff.
z Ἐπεὶ δὲ] Lugd. Bat. Ἐπεί τε. Roff. Ἐπεὶ.

a Δε]

minuere ſuſtinuit. Conflictus autem eorum cum Græcis *fere* ſine intermiſſione facti erant, & præfectis in multos quotidie partis utriuſque animadvertentibus, ſeditio plus pluſque accendebatur. Tunc vero, cum apud alios res turbatæ eſſent, inter illos iræ magis exardeſcebant. Nam cum Alexandrini concionem haberent de legatione quam miſſuri erant ad Neronem, accidit ut multi quidem Judæorum permixti Græcis in amphitheatrum confluerent: cum autem eos vidiſſent * inimici, illico clamare cœperunt, hoſtes eos & exploratores vocantes, ac deinde facto inſultu manus illis inferebant. Et reliqui quidem dum fugerent perierunt; tres vero ex illis comprehenſos *per urbem* trahebant, quaſi vivos uſtulaturi. Qua re fiebat ut univerſi moverentur Judæi † ad facinus vindicandum. Et primum quidem in Græcos lapides jaciebant: poſtea vero facibus raptis in amphitheatrum properarunt, minantes ſe populum, ad unum omnes, in eo concrematuros. id quod ſane facere occupaſſent, niſi iras eorum compreſſiſſet Tiberius Alexander urbis præfectus. Non tamen ille coërcendi principium ab armis ſumpſit: ſed, miſſis ad eos certis ex optimatibus, hortabatur ut quieſcerent, neque adverſum ſe milites Romanos irritarent. Seditioſi autem, riſu excipientes hortationem, contumeliis appetebant Tiberium.

Qua de cauſa accenderetur.

Tiberius Alexander conatur eam ſedare.

Tiberius Alexander à ſeditioſis irridetur.

8. Atque ille, poſtquam vidit abſque ingenti clade tumultuoſos non poſſe compeſci, immiſit in eos duas Romanorum legiones, quæ in civitate erant, & cum his alios ad quinque millia milites, qui forte aderant ex Libya venientes ad Judæorum interitum. Permiſit autem *eis*, ut non ſolum interficerent *Judæos*, ſed ut bona etiam eorum diriperent, & domos incendio delerent. Illi vero, facta irruptione in locum qui Delta vocatur, (illic quippe frequentes habitabant Judæi) imperata faciebant, non tamen ſine ſuorum cæde. Nam Judæi, cum ſeſe conglobaſſent & armis melius inſtructos in fronte poſuiſſent, diu quidem reſiſtebant: cum vero ſemel loco cederent magno numero perempti erant; & omne genus exitio dati ſunt, aliis quidem ſub dio comprehenſis, aliis vero in ædes contruſis. Quin & iſtas ſuccenderunt Romani, quæ intus erant prius diripientes. Et neque infantum illos miſerebat, neque adverſus ſenes reverentiam adhibebant, ſed in omnes ætates pari cæde graſſabantur: adeò ut totus quidem locus iſte ſanguine inundaretur, quinquaginta vero in cumulos congeſta eſſent hominum millia. Neque autem reliquæ factæ fuiſſent reliquiæ, niſi ad preces ſe convertiſſent. Alexander autem, illorum miſertus, juſſit Romanos receptui canere. Et illi quidem, ſoliti dicto audientes eſſe, primum ad nutum cæde abſtinebant; at vulgus Alexandrinorum ex nimio *& inveterato* odio revocatu difficile erat, & vix à cadaveribus avelli poterat.

Multa Judæorum à ejus permiſſu occiſa.

XXII.

9. Hujuſmodi quidem clades apud Alexandriam contigit: Ceſtio vero jam quieſcendum eſſe non videbatur, cum *ſcilicet* Judæi ubique armis peterentur. Itaque cum aſſumpſiſſet ex Antiochia duodecimam legionem, eamque juſto numero, & ex reliquis bina millia hominum electorum, peditumque

Ceſtius cum magno exercitu contra Judæos proficiſcitur.

ἦσαν αὐτῶν ἀδιάλειπτοι πρὸς τοὺς Ἕλληνας, καὶ τῶν ἡγεμόνων πολλοὺς ὁσημέραι παρ' ἀμφοῖν κολαζόντων, ἡ στάσις μᾶλλον παρωξύνετο. τότε δὲ [a] ὡς καὶ παρὰ τοῖς ἄλλοις ἐτετάρακτο, μᾶλλον ἐξήφθη τὰ παρ' ἐκείνοις. καὶ δὴ τῶν Ἀλεξανδρέων ἐκκλησιαζόντων περὶ ἧς ἔμελλον ἐκπέμπειν πρεσβείας ἐπὶ Νέρωνα, συνερρύησαν μὲν εἰς τὸ ἀμφιθέατρον ἅμα τοῖς Ἕλλησι συχνοὶ Ἰουδαίων. κατιδόντες δὲ αὐτοὺς οἱ διάφοροι, παραχρῆμα ἀνεβόων, πολεμίους καὶ κατασκόπους λέγοντες, ἔπειτα ἀναπηδήσαντες ἐπέβαλλον τὰς χεῖρας αὐτοῖς. οἱ μὲν οὖν λοιποὶ φεύγοντες [b] διεφθάρησαν. τρεῖς δὲ ἄνδρας συλλαβόντες ἔσυρον ὡς ζῶντας καταφλέξοντες. ἤρθη δὲ πᾶν τὸ Ἰουδαϊκὸν ἐπὶ τὴν ἄμυναν. καὶ τὸ μὲν πρῶτον λίθοις τοὺς Ἕλληνας ἔβαλλον. αὖθις δὲ λαμπάδας ἁρπασάμενοι πρὸς τὸ ἀμφιθέατρον ὥρμησαν, ἀπειλοῦντες καταφλέξειν ἐν αὐτῷ τὸν δῆμον [c] αὔτανδρον. κἂν ἔφθησαν τοῦτο δράσαντες, εἰ μὴ τοὺς θυμοὺς αὐτῶν ἀνέκοψε [d] Τιβέριος Ἀλέξανδρος ὁ τῆς πόλεως ἡγεμών. οὐ μὴν οὗτός τε ἀπὸ τῶν ὅπλων ἤρξατο σωφρονίζειν, ἀλλ' ὑποπέμψας τοὺς γνωρίμους αὐτοῖς, παύσασθαι παρεκάλει, καὶ μὴ καθ' ἑαυτῶν ἐρεθίζειν [e] τὸ Ῥωμαίων στράτευμα. καταχλευάζοντες δὲ τῆς παρακλήσεως οἱ στασιώδεις, ἐβλασφήμουν τὸν Τιβέριον.

η'. Κἀκεῖνος, συνιδὼν ὡς χωρὶς μεγάλης συμφορᾶς οὐκ ἂν παύσαιντο νεωτερίζοντες, ἐπαφίησιν αὐτοῖς τὰ κατὰ τὴν πόλιν Ῥωμαίων δύο τάγματα, καὶ σὺν αὐτοῖς πεντακισχιλίους στρατιώτας, κατὰ τύχην παρόντας εἰς τὸν Ἰουδαίων ὄλεθρον ἐκ Λιβύης· ἐπέτρεψε δὲ οὐ μόνον ἀναιρεῖν, ἀλλὰ καὶ τὰς κτήσεις αὐτῶν διαρπάζειν, καὶ τὰς οἰκίας καταφλέγειν. οἱ δὲ ὁρμήσαντες εἰς τὸ καλούμενον Δέλτα, συνῴκιστο γὰρ ἐκεῖ τὸ Ἰουδαϊκὸν, ἐτέλουν τὰς ἐντολὰς, οὐ μὴν [f] ἀναιμωτί. συστραφέντες γὰρ οἱ Ἰουδαῖοι, καὶ τοὺς ἄμεινον ὡπλισμένους [g] αὐτῶν προτάξαντες, μέχρι πλείστου μὲν ἀντέσχον. ἅπαξ δὲ [h] κλίναντες ἀνέδην διεφθείροντο. καὶ παντοῖος ἦν αὐτῶν ὄλεθρος, τῶν μὲν ἐν τῷ πεδίῳ καταλαμβανομένων, τῶν δὲ εἰς τὰς οἰκίας συνωθουμένων. [i] ὑπεπίμπρασαν δὲ καὶ ταύτας οἱ Ῥωμαῖοι, προδιαρπάζοντες τὰ ἔνδον. καὶ οὔτε νηπίων ἔλεος [k] αὐτοῖς, οὔτε αἰδὼς εἰσῄει γερόντων, ἀλλὰ διὰ πάσης ἡλικίας ἐχώρουν κτείνοντες, ὡς ἐπικλυσθῆναι μὲν αἵματι πάντα τὸν χῶρον, πέντε δὲ μυριάδας σωρευθῆναι νεκρῶν. περιελείφθη δ' ἂν οὐδὲ τὸ λοιπὸν, εἰ μὴ πρὸς [l] ἱκετείας [m] ἐτράποντο. [n] κατοικτείρας δὲ αὐτοὺς [o] Ἀλέξανδρος, ἀναχωρεῖν τοὺς Ῥωμαίους ἐκέλευσεν. [p] καὶ οἱ μὲν, ἐξ ἔθους ἔχοντες τὸ [q] πειθήνιον, ἅμα νεύματι τοῦ φονεύειν ἐπαύσαντο· τὸ δημοτικὸν δὲ τῶν Ἀλεξανδρέων δι' ὑπερβολὴν μίσους δυσανάκλητον ἦν, καὶ μόλις ἀπεσπᾶτο τῶν σωμάτων.

θ'. Τοῦτο μὲν τὸ κατὰ τὴν Ἀλεξάνδρειαν πάθος [r] συνηνέχθη. Κεστίῳ δὲ οὐκ ἔτι ἠρεμεῖν ἐδόκει, πανταχῆ τῶν Ἰουδαίων ἐκπεπολεμωμένων. ἀναλαβὼν δὲ ἀπὸ τῆς Ἀντιοχείας τὸ μὲν δωδέκατον τάγμα πλῆρες, ἀπὸ δὲ τῶν λοιπῶν ἀνὰ δισχιλίους ἐπιλέκτους, πεζῶν

δὲ

a Ὡς] Abeſt a *Ruf.*

b Διεφθάρησαν.] Διεσκεδάσθησαν aut ſimile verbum in ſuo codice habuiſſe videtur *Rufinus*, qui reddit, *ut reliqui quidem fugientes diſſipati ſunt.*

c Αὔτανδρον.] Αὔτανδρος lib. 3. c. 6. §. 31. Αὔτανδρον, σὺν αὐτοῖς τοῖς ἀνδράσιν. *Heſychius.* Spanh.

d Τιβέριος—ἡγεμών.] Conf. ſupr. c. 15. §. 1. Spanh.

e Τὸ Ῥωμαίων στράτευμα.] Τὸ τῶν Ῥωμ. *Voſſ.*

f Ἀναιμωτί.] Ἀναιμωτί. Supr. *Ant.* lib. 19. cap. 1. §. 15. Spanh. *Ruf.* Ἐναιμωτί.

g Αὐτῶν προτάξαντες,] Ἑαυτῶν προταξάμενοι *Big.* & *Lugd. Bat.*

h Κλίναντες ἀνέδην διεφθείροντο.] Ἐκλίναντες *Big.*

i Ὑπεπίμπρασαν] Κατεπίμπρασαν *Gall.*

k Αὐτοῖς.] Αὐτοὺς *Big.*

l Ἱκετείας] Ἱκετηρίας *Big.* & *Bod.*

m Ἐτράποντο.] Ἐτράπεντο *Gall. Ruſ.* & *Bod.* & mox ἀπεσπάσατο cum *Big.* Huds. Ἐτρέποντο. *MS. Lipſ.* Spanh.

n Κατοικτείρας] Κατοικτειρήσας *Gall.* & *Voſſ.* Huds. Καταικτειρήσας *MS. Lipſ.* Spanh.

o Ἀλέξανδρος.] Conf. ſup. c. 15. §. 1. Spanh.

p Καὶ οἱ μὲν,] Οἱ μὲν οὖν ἐξ ἔθους τὸ πειθήνιον ἔχοντες. *Big.*

q Πειθήνιον,] Conf. ſup. lib. 1. c. 1. §. 4. Spanh.

r Συνηνέχθη.] Συνέβη *Voſſ.*

* Æmuli *Ruf.*

† Ad opem ferendam, *Ruf.*

[a] δὲ ἓξ σπείρας, καὶ τέσσαρας ἴλας ἱππέων, πρὸς αἷς τὰς παρὰ τῶν βασιλέων συμμαχίας, [β] Ἀντιόχου μὲν δισχιλίους [v] ἱππεῖς, καὶ πεζοὺς τρισχιλίους, τοξότας πάντας, Ἀγρίππα δὲ πεζοὺς μὲν τοὺς ἴσους, ἱππεῖς δὲ [x] δισχιλίων ἐλάττους· εἵπετο δὲ καὶ ὁ [y] Σόαιμος μετὰ [z] τετρακισχιλίων, ὧν ἦσαν ἱππεῖς ἡ τρίτη μοῖρα, καὶ τὸ πλέον τοξόται. προῆλθεν εἰς Πτολεμαΐδα. πλεῖστοι δὲ καὶ ἐκ τῶν πόλεων ἐπίκουροι συνελέγησαν, ἐμπειρίᾳ μὲν ἡττώμενοι τῶν στρατιωτῶν, ταῖς δὲ προθυμίαις καὶ τῷ κατὰ Ἰουδαίων μίσει τὸ λεῖπον ἐν ταῖς ἐπιστήμαις [a] ἀντιπληροῦντες. συμπαρῆν δὲ καὶ αὐτὸς Ἀγρίππας Κεστίῳ, τῆς τε ὁδοῦ καὶ τῶν συμφερόντων ἐξηγούμενος. ἀναλαβὼν δὲ μέρος τῆς δυνάμεως Κέστιος, ὥρμησεν ἐπὶ πόλιν καρτερὰν τῆς [b] Γαλιλαίας [c] Ζαβουλὼν, ἣ καλεῖται [d] ἀνδρῶν, διορίζει δὲ ἀπὸ τοῦ ἔθνους τὴν Πτολεμαΐδα. [e] καταλαβὼν δὲ αὐτὴν ἔρημον μὲν ἀνδρῶν, [f] καταπεφεύγει γὰρ τὸ πλῆθος εἰς τὰ ὄρη, πλήρη δὲ παντοίων χρημάτων, τὰ μὲν [g] ἐφῆκε τοῖς στρατιώταις διαρπάζειν, τὸ δὲ ἄστυ, καίτοι [h] θαυμαστοῦ κάλλους ἔχον τὰς οἰκίας, ὁμοίως ταῖς ἐν Τύρῳ καὶ Σιδῶνι καὶ Βηρυτῷ δεδομημένας, ἐνέπρησεν. ἔπειτα τὴν χώραν καταδραμὼν, καὶ διαρπάσας μὲν πᾶν τὸ προσπίπτον, καταφλέξας δὲ τὰς πέριξ κώμας, ὑπέστρεφεν εἰς τὴν Πτολεμαΐδα. πρὸς δὲ ταῖς ἁρπαγαῖς ἔτι τῶν Σύρων ὄντων, καὶ τὸ πλεῖον Βηρυτίων, ἀναθαρσήσαντες οἱ Ἰουδαῖοι, καὶ γὰρ ἀποκεχωρηκότα συνίεσαν Κέστιον, τοῖς ἀπολειφθεῖσιν ἀδοκήτως ἐπέπεσον, καὶ περὶ δισχιλίους αὐτῶν διέφθειραν.

ι. Ὁ δὲ Κέστιος, ἀναζεύξας ἀπὸ τῆς Πτολεμαΐδος, αὐτὸς μὲν εἰς Καισάρειαν ἀφικνεῖται, μοῖραν δὲ τῆς στρατιᾶς [i] προέπεμψεν εἰς Ἰόππην, προστάξας, εἰ μὲν [k] ἐγκαταλαβέσθαι δυνηθεῖεν τὴν πόλιν, φρουρεῖν· εἰ δὲ προαίσθοιντο τὴν ἔφοδον, περιμένειν αὐτόν τε καὶ τὴν ἄλλην δύναμιν. τῶν δὲ οἱ μὲν κατὰ θάλασσαν, οἱ δὲ κατὰ γῆν ἐπειχθέντες, ἀμφοτέρωθεν [l] αἱροῦσι [m] τὴν πόλιν ῥᾳδίως. καὶ μηδὲ φυγεῖν φθασάντων τῶν οἰκητόρων, [n] οὐχ ὅπως παρασκευάσασθαι πρὸς μάχην, ἐμπεσόντες ἅπαντας ἀνεῖλον σὺν ταῖς γενεαῖς, καὶ [o] τὴν πόλιν διαρπάσαντες ἐνέπρησαν. ὁ δὲ ἀριθμὸς τῶν [p] φονευθέντων τετρακόσιοι πρὸς [q] ὀκτακισχιλίοις. ὁμοίως δὲ καὶ εἰς τὴν ὅμορον τῆς [r] Καισαρείας [s] Ναρβατηνὴν τοπαρχίαν ἔπεμψε συχνοὺς τῶν ἱππέων, οἳ τήν τε γῆν ἔτεμον, καὶ πολὺ πλῆθος διέφθειραν τῶν ἐπιχωρίων, τάς τε κτήσεις διήρπασαν, καὶ τὰς κώμας κατέφλεξαν.

ια. Εἰς δὲ τὴν Γαλιλαίαν [t] ἔστειλε Κέστιος Γάλλον ἡγεμόνα τοῦ δωδεκάτου τάγματος, παραδοὺς δύναμιν ὅσην ἀρκέσειν πρὸς τὸ ἔθνος ὑπελάμβανε. τοῦτον ἡ καρτερωτάτη τῆς Γαλιλαίας πόλις

ſex cohortes & quatuor equitum alas, ac præterea regum auxilia, ab Antiocho quidem duo equitum millia, peditumque tria millia, ſagittarios omnes, ab Agrippa vero totidem equites & * pedites duobus millibus pauciores, (nam & Sohemus ſequebatur cum quatuor millibus, quorum tertia pars equites, & reliqui ſagittarii) Ptolemaïdem progreſſus eſt. Plurimi autem etiam ex civitatibus auxiliarii collecti erant, peritia quidem militibus *veteranis* inferiores, alacritate vero & ſuo in Judæos odio ſupplentes quod deerat ſcientiæ. Quinetiam ipſe Agrippa præſens aderat Ceſtio, itineris dux & qui commeatum adminiſtraret. Cum autem Ceſtius partem de exercitu aſſumpſiſſet, contendit ad validam Galilææ civitatem Zabulonem, quæ Virorum cognomen habet, & à *noſtræ* gentis finibus Ptolemaïdem diſcernit. Cumque offendiſſet eam à viris quidem deſertam (nam in montes multitudo ſe receperat) omnigentûm autem rerum plenam, illas quidem militibus diripiendas conceſſit, urbem vero ipſam, quamvis admirandæ pulchritudinis domos haberet, ſimiliter ac apud Tyrum & Sidona & Berytum ædificatas, igne vaſtavit: ac deinde factis in regionem excurſionibus, cum omnia in quæ inciderit depopulatus eſſet, vicoſque circumjectos incendiſſet, reverſus eſt Ptolemaïdem. Cum autem Syri diutius prædæ inhærerent, magiſque Berytii, Judæi recepta fiducia (nam & Ceſtium receſſiſſe cognoverant) in relictos, cum nihil tale exſpectarent, irruebant, & circiter duo ipſorum millia occiderunt.

Zabulon direpta & incenſa.

Judæi Syrorum ad duo millia cædunt.

10. Ceſtius autem, facto à Ptolemaïde diſceſſu, ipſe quidem Cæſaream pervenit; in Joppen vero partem præmiſit exercitus, cum mandatis, ut urbem, ſi eam occupare potuiſſent, cuſtodirent: ſin vero *cives* incurſum illorum præſentirent, tam ſuum quam cæterorum militum præſtolarentur adventum. Cæterum illi, alii quidem mari, alii vero terra celeriter profecti, utrinque urbem facillime capiunt. Et, cum habitatores nec fugam maturare potuerint, nec ad pugnam ſeſe parare, illos adorti omnes interfecerunt ſuis cum familiis, direptamque civitatem incenderunt. Cæſorum autem numerus erat ad octo millia & quadringentos. Similiter & in Narbatenem toparchiam Cæſareæ finitimam non paucos miſit equites, qui & terram vaſtarunt, & magnam indigenarum multitudinem peremerunt, & facultates *eorum* diripuerunt, vicoſque incendio conſumpſerunt.

Romani capiunt Joppen, eamque cum aliis locis incendunt.

11. In Galilæam autem miſit Ceſtius Gallum, legionis duodecimæ ductorem: eique tantam militum manum attribuit, quantam † genti *coercendæ* ſatis fore exiſtimabat. Hunc validiſſima Galilææ civitas

XXIII. *Quænam Gallus, à Ceſtio miſſus in Galilæam, patrarit.*

a Δὲ ἓξ σπείρας,] *Roſſ.* Τε ἓξ ἴλας & ſic utrobique.
β Ἀντιόχου μὲν δισχιλίους] De quo Antiocho Epiphane ſupr. *Ant.* lib. 19. c. 8. §. 1. & infr. lib. 5. c. 11. §. 3. ut & *Dio Caſſ.* lib. LIX. p. 645. C. SPANH.
v Ἱππεῖς,] Addit *Lugd. Bat.* ἑκατέρων. Sed quoniam neque *Epiphan.* nec *Alii* agnoſcunt, influxiſſe exiſtimo ex verſu ſecundo ſuperiore, ubi quoque invenitur. HAV.
x Δισχιλίων] Sic *Big.* χιλίων *Aliis.*
y Σόαιμος] Conf. ſupr. §. 6. SPANH.
z Τετρακισχιλίων,] Ita in *MSS.* (ut & *Lugd. Bat.*) nec aliter legebat *Ruf.* τρισχιλίων in *Editis.* HUDS. *Μετὰ τετρακισχιλίων. MS. Lipſ. & Rufin.* SPANH.
a Ἀντιπληροῦντες.] Ἀναπληροῦντες *Bod.* & *Roſſ.*
b Γαλιλαίας] Ἰουδαίας *Bod.* & *Roſſ.*
c Ζαβουλὼν,] Ζαβουλῶνα *Big.* HUDS. Ζαβουλὼν Hiramo Tyriorum Regi à Salomone data. *Adverſ. Apion.* lib. 1. §. 17. SPANH.
d Ἀνδρῶν] Ἀνδρῶν *Vaſſ.* ἀνδρείων *Bod.* Ἀνδρῶν *Roſſ.*
e Καταλαβὼν δὲ αὐτὴν] Καὶ καταλαβὼν αὐτὴν. *Big.*
f Καταπεφεύγει] *Lugd. Bat.* Ἀναπεφεύγει.
g Ἐφῆκε] *Roſſ.* Ἀφῆκε.
h Θαυμαστοῦ κάλλους] Θαυμάσιος τοῦ κάλλους *Bod.* & *Goll.* atque ita *Ruf.* qui vertit, *quamvis admiratus eſſet ejus pulchritudinem.* quippe *domus habebat ſimiliter*, &c.
i Προέπεμψεν εἰς Ἰόππην,] Ita in *MSS.* προέπεμψεν in *Editis.*
k Ἐγκαταλαβέσθαι δυνηθεῖεν] Καταλαβέσθαι *Bod.*
l Αἱροῦσι] *Gen.* Αἱροῦσι τὴν Ἰόππην ταχέως. *MS. Lipſ.* & *Rufin.* αἱροῦσι τ. Ἰοπ. ῥᾳδίως. SPANH.
m Τὴν πόλιν ῥᾳδίως.] Ita cum *Cod. Big.* τὴν Ἰόππην ταχέως (ῥᾳδίως *Roſſ.* & *Lugd. Bat.*) in *Editis Aliiſque.* niſi quod *duo codices* ῥᾳδίως habeant pro ταχέως.
n Οὐχ ὅπως] Οὐχ ὅτι *Bod.* & *Roſſ.*
o Τὴν—ἐνέπρησαν.] Joppe reſtaurata à Judæis vid. infr. lib. 3. c. 8. §. 2. SPANH.
p Φονευθέντων] Ἀναιρεθέντων *Bod.* & *Roſſ.*
q Ὀκτακισχιλίοις.] Ὀκτακισχιλίους *Big.* & *Bod.*
r Καισαρείας] *Rufinus*, alus forſan *codicibus* uſus, reddit *finitimam Caſareæ Nabatenam toparchiam.*
s Ναρβατηνὴν τοπαρχίαν] Ita cum *Cod. Big.* Ναρβατηνὴν ἐπαρχίαν in *Editis Aliiſque.* Ναβατηνὴν ἐπαρχίαν *Bod.* Ἀκραβατηνὴν in. *Voſſ.* HUDS. *Gen.* Ναρβ. ἐπαρχίαν Conf. Ναρβάθα ſupr. l. 2. c. 14. §. 5. SPANH.
t Ἔστειλε Κέστιος Γάλλον] *Ceſtius* eſt in Græco, is miſit Gallum & poſtea quoque Γάλλος nuncupatur nullo adjecto nomine. RAL.

* Peditum mille, & cum Sohemus, *Ruf.*

† Genti expugnandæ, *Ruf.*

civitas Sepphoris cum lætis acclamationibus excipit; aliæque civitates, hujus prudens conſilium ſequutæ, quieſcebant. Qui vero ſeditionibus & latrociniis operam dabant, omnes ſe receperunt in montem ipſiſſimo in Galilææ meditullio *ſitum*, qui eſt contra Sepphorin & vocatur Aſamon. Adverſus eos Gallus ductabat exercitum. Illi autem, quamdiu erant in locis ſuperioribus, facile Romanos ad ſe accedentes feriebant, & illorum fere ducentos occiderunt. Verum cum Romani facto circuitu ad celſiora perveniſſent, illi protinus victi ceſſerunt; & neque velites gravioris armaturæ militum congreſſum ſuſtinebant, neque cum equites terga verterent effugiebant: adeo ut pauci quidem inter locorum aſperitates deliteſcerent; duo vero millia & amplius occiderentur.

[w] Σεπφώρις μετ' εὐφημίας δέχεται, καὶ πρὸς τὴν ταύτης εὐβουλίαν αἱ λοιπαὶ πόλεις ἠρέμουν. τὸ δὲ στασιῶδες καὶ λῃστρικὸν πᾶν ἔφυγεν εἰς τὸ μεσαίτατον τῆς Γαλιλαίας ὄρος, ὃ κεῖται μὲν ἄντικρυς τῆς [x] Σεπφώρεως, καλεῖται δὲ [y] Ασαμών. τούτοις ὁ Γάλλος ἐπῆγε τὴν δύναμιν. οἱ δὲ, ἕως μὲν ἦσαν [z] ὑπερδέξιοι, ῥᾳδίως τοὺς Ρωμαίους [a] ἔβαλλον προσιόντας, καὶ πρὸς διακοσίους αὐτῶν ἀνεῖλον. περιελθόντων δὲ καὶ γενομένων [b] ἐν τοῖς ὑψηλοτέροις [c] ἡττῶντο ταχέως, καὶ οὔτε [d] γυμνῆται τοὺς ὁπλίτας συστάδην ἔφερον, οὔτε ἐν τῇ τροπῇ τοὺς ἱππεῖς ἐξέφυγον· ὥστε ὀλίγους μὲν ἐν ταῖς δυσχωρίαις διαλαθεῖν, ἀναιρεθῆναι δὲ [e] ὑπὲρ δισχιλίους.

CAP. XIX.

Quas res Ceſtius adverſus Judæos geſſit. utque, cum Hieroſolyma obſediſſet, præter omnium exſpectationem ab urbe diſceſſit: & quænam dum revertitur à Judæis paſſus eſt.

ΚΕΦ. ιθ'.

Ὅσα Κέστιος κατὰ τῶν Ἰουδαίων ἔπραξε. καὶ ὡς Ἱεροσόλυμα πολιορκήσας παραλογώτατα ἀπὸ τῆς πόλεως ἀνεχώρησεν· οἷά τε κατὰ τὴν ὑποστροφὴν παρὰ τῶν Ἰουδαίων ἔπαθεν.

Quænam geſſerit Ceſtius Hieroſolyma aſcendens.

ET quidem Gallus, cum neminem quidquam novi apud Galilæam jam moliri videret, Cæſaream cum exercitu regreſſus eſt. Ceſtius vero, cum copias omnes inde moviſſet, Antipatridem perrexit: auditoque Judæorum manum non exiguam in turrim quæ Apheci vocabatur confluxiſſe, *de ſuis* præmiſit qui cum eis congrederentur. Sed priuſquam ad manus ventum eſſet, *ſui* terrore Judæos diſſiparunt: cumque eò veniſſent, caſtra deſerta cum vicis finitimis incenderunt. Ex Antipatride autem Ceſtius in Lyddam progreſſus, vacuam viris civitatem offendit: nam propter feſtum tabernaculorum omnis fere multitudo Hieroſolyma aſcenderat. quinquaginta vero, qui in *ejus* conſpectum venerunt, occiſis, exuſtaque urbe, ulterius pergebat; &, facto per Bethoron aſcenſu ad locum quendam, cui nomen eſt Gabao, caſtra metatur, ſtadiis quinquaginta ab Hieroſolymis diſtantem.

Ceſtius ſtadiis L. ab Hieroſolymis caſtra metatur.

2. At Judæi, cum jam ad metropolin appropinquare viderent bellum, feſto relicto ad arma properabant; numeroque valde fidentes, incompoliti ad pugnam & cum clamore proſiliebant, ne * ſeptimæ quidem diei, qua feriari ſolebant, ratione habita. erat quippe ſabbatum apud eos maxime honoratum. Furor autem, qui animis illorum religionem excuſſit, fecit ut in prælio etiam ſuperiores eſſent. Tanto namque impetu Romanos adorti ſunt, ut eorum & aciem perrumperent, & per media agmina incederent, magnam

Judæorum in Romanos impetus, magna cum victoria.

ΓΑλλος μὲν οὖν, ὡς οὐδὲν [f] ἔτι ἑώρα κατὰ τὴν Γαλιλαίαν νεωτεριζόμενον, ὑπέστρεψε μετὰ τῆς στρατιᾶς εἰς Καισάρειαν. Κέστιος δὲ, μετὰ πάσης τῆς δυνάμεως ἀναζεύξας, ἐνέβαλεν εἰς Ἀντιπατρίδα· καὶ πυθόμενος [g] ἔν τινι πύργῳ [h] Ἀφεκοῦ καλουμένῳ συνηθροῖσθαι Ἰουδαίων δύναμιν οὐκ ὀλίγην, προέπεμψε τοὺς συμβαλοῦντας. οἱ δὲ, πρὶν εἰς χεῖρας ἐλθεῖν, δέει τοὺς Ἰουδαίους διεσκέδασαν· ἐπελθόντες δὲ ἔρημον τὸ στρατόπεδον καὶ τὰς πέριξ κώμας ἐνέπρησαν. ἀπὸ δὲ τῆς Ἀντιπατρίδος Κέστιος [i] εἰς Λύδδα προελθὼν, κενὴν ἀνδρῶν τὴν πόλιν καταλαμβάνει. διὰ γὰρ τὴν τῆς σκηνοπηγίας ἑορτὴν, ἀναβεβήκει πᾶν τὸ πλῆθος εἰς Ἱεροσόλυμα. πεντήκοντα δὲ τῶν [k] προφανέντων διαφθείρας, καὶ τὸ ἄστυ κατακαύσας, ἐχώρει [l] πρόσω, καὶ [m] διὰ [n] Βαιθωρῶν ἀναβὰς στρατοπεδεύεται κατά τινα χῶρον [o] Γαβαὼ καλούμενον, ἀπέχοντα τῶν Ἱεροσολύμων πεντήκοντα σταδίους.

β'. Οἱ δὲ Ἰουδαῖοι, κατιδόντες ἤδη πλησιάζοντα τῇ μητροπόλει τὸν πόλεμον, ἀφέμενοι [p] τῆς ἑορτῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, καὶ μέγα τῷ πλήθει θαῤῥοῦντες, ἄτακτοι καὶ μετὰ κραυγῆς ἐξεπήδων ἐπὶ τὴν μάχην, [q] μηδὲ τῆς ἀργῆς ἑβδομάδος ἔννοιαν λαβόντες. ἦν γὰρ δὴ τὸ μάλιστα παρ' αὐτοῖς [r] θρησκευόμενον σάββατον. ὁ δὲ ἐκσείσας αὐτοὺς τῆς εὐσεβείας θυμὸς, ἐποίησε πλεονεκτῆσαι καὶ κατὰ τὴν μάχην. μετὰ τοσαύτης γοῦν ὁρμῆς τοῖς Ῥωμαίοις προσέπεσον, ὡς διαῤῥῆξαι τὰς τάξεις αὐτῶν, καὶ [s] διὰ μέσων χωρεῖν ἀναιροῦντας. εἰ δὲ [t] δὴ τῷ μὴ

w Σεπφώρις] *Al.* Σίπφωρις & Σίπφωρις.
x Σεπφώρεως] *Ruf.* Σιπφώρεως. & ſic ubique.
y Ασαμών.] Inde manaſſe nomen *Aſamonæorum*, qui vulgo *Maccabæi* audiunt, opinatur *Noldius* in *Hiſt. Idumæa*. Malim tamen (inquit Cl. *Reland.* in P. S. p. 343.) id nomen à חשמנים ducere, crediderimque nomen Hebræum montis Ασαμων fuiſſe חשמון *Chaſmon*.
z Ὑπερδέξιοι,] In margine quorundam *Codd.* ἐξηγήσεως ἕνεκα habemus ἐφ' ὕψους, ὑψηλότεροι.
a Ἔβαλλον προσιόντας,] Ημύνοντο *Big.*
b Ἐν τοῖς ὑψηλοτέροις] Ita *Big.* & *Ruf.* ἐν τοῖς ὑψηλοῖς in *Editis Aliiſque*.
c Ἡττῶντο ταχέως,] Ἡττῶνται *Voſſ.*
d Γυμνῆται τοὺς ὁπλίτας] *Al.* γυμνῆτες. in *Editis* γυμνῆται. Huds. Emendatio illa *Hudſoni* eſt, ex ingenio; atque ita in codice meo quoque *Cocceius* emendaverat. Hav.
e Δισχιλίους] Ita in *MSS.* (*Coiſliniano* quoque, teſte Montefalconio, & *Lipſ.* teſte *Spanhemio*; imo & *Lugd. Bat.* atque *Ruf.*) quibus aſſentitur verſio *Rufini*. χιλίους perperam in *Editis*.
f Ἔτι ἑώρα] Illud ἔτι è *Cod. Big.* quod & legiſſe videtur, *Ruf.*
g Ἐν τινι πύργῳ] Ἐν πύργῳ *Big.*
h Ἀφεκοῦ] Ita cum *Cod. Big.* & melioribus *Rufini* exemplaribus. Αφακοῦ in *Editis Aliiſque*. Huds. Conf. *Ant.* lib. 8. c. 14. §. 4. Spanh.
i Εἰς Λύδδα προελθὼν,] *Al.* Λύδδα.
k Προφανέντων διαφθείρας,] Προφανέντων *Bod.* & *Ruf.*
l Πρόσω,] *Ruf.* Πρόσω.
m Διὰ] Conf. ſupr. c. 12. §. 2. Spanh.
n Βαιθωρῶν] Βαιθωρὼν *Big.*
o Γαβαὼ] Confer locum in *Antiqq.* lib. 6. c. 14. §. 6. & *Cellarium* in *Geogr. Ant.* lib. 3. c. 13. p. 339. & *Relandum* in *Palæſtina* S. p. 446. Huds. Conf. infr. §. 7. Spanh.
p Τῆς ἑορτῆς ἐχώρουν] Τὴν ἑορτὴν *Big.* & *Voſſ.*
q Μηδὲ—αὐτοῖς] Conf. ſupr. lib. 1. c. 7. §. 3. Spanh.
r Θρησκευόμενον σάββατον.] Vide *Grotium* ad *Lucam*, c. 6. v. 1.
s Διὰ μέσων χωρεῖν ἀναιροῦντας.] Διὰ μέσων *Big.* διὰ μέσου *Bod.*
t Δὴ τῷ μὴ χαλασθέντι] Illud δὴ (pro quo etiam μὴ mavult *Cocceius*) abeſt à quibuſdam.
* Ita vox ἑβδομὰς ſupr. (ſc. lib. 2. c. 8. §. 9.) & alibi etiam accipitur, ut & in *Maccab.* lib. 2. c. 15. v. 4. & hunc ſenſum confirmat vox [illegible], v. 24. Vide *Grotium* in *Maccab.* lib. 2. c. 12. v. 38.

υ Εἰς.

μὴ χαλασθέντι τῆς φάλαγγος εἴτε ἱππεῖς ἐκπεριελθόντες [v] ἐπήμυναν, καὶ [x] τῶν πεζῶν τὸ μὴ σφόδρα [y] καμὸν, κἂν ἐκινδύνευσεν ὅλῃ τῇ δυνάμει Κέστιος. ἀπέθανον δὲ [z] Ῥωμαίων [a] πεντακόσιοι δεκαπέντε, τούτων ἦσαν οἱ [b] τετρακόσιοι πεζοὶ, τὸ δὲ λοιπὸν ἱππεῖς· τῶν δὲ Ἰουδαίων, δύο πρὸς τοῖς εἴκοσι. γενναιότατοι δὲ αὐτῶν ἔδοξαν οἱ Μονοβάζου τοῦ τῆς [c] Ἀδιαβηνῆς βασιλέως [d] συγγενεῖς, Μονόβαζός τε καὶ [e] Κενεδαῖος, μεθ' οὓς ὁ Περαΐτης Νίγερ, καὶ Σίλας ὁ Βαβυλώνιος, αὐτομολήσας εἰς τοὺς Ἰουδαίους [f] ἀπὸ Ἀγρίππα τοῦ βασιλέως. ἐστρατεύετο γὰρ παρ' αὐτῷ. [g] κατὰ πρόσωπον μὲν οὖν ἀνακοπέντες οἱ Ἰουδαῖοι πρὸς τὴν πόλιν ὑπέστρεφον· κατόπιν δὲ τοῖς Ῥωμαίοις, ἐπὶ τὴν [h] Βαιθωρῶν ἀνιοῦσι, προσπεσὼν ὁ τοῦ [i] Γιώρα Σίμων, πολὺ τῆς [k] οὐραγίας ἐσπάραξε, καὶ συχνὰ τῶν σκευοφόρων [l] ἐξαρπάσας, ἤγαγεν εἰς τὴν πόλιν. μένοντος δὲ τοῦ Κεστίου κατὰ χώραν τρισὶν ἡμέραις, οἱ Ἰουδαῖοι, τὰ μετέωρα κατειληφότες, ἐπετήρουν τὰς παρόδους· δῆλοί τε ἦσαν οὐκ ἠρεμήσοντες, ἀρξαμένων τῶν Ῥωμαίων ὁδεύειν.

γʹ. Ἔνθα δὴ κατιδὼν Ἀγρίππας οὐδὲ τὰ Ῥωμαίων ἀκίνδυνα, [m] πλῆθος ἀπείρου πολεμίων τὰ ὄρη [n] περιεχόμενον, ἔκρινεν ἀποπειραθῆναι τῶν Ἰουδαίων λόγοις. ἢ γὰρ πάντας [o] πείσειν καταθέσθαι τὸν πόλεμον, ἢ τῶν [p] ἐναντίων ἀποστήσαι τὸ μὴ συμφρονοῦν. ἔπεμψεν οὖν τῶν [q] παρ' ἑαυτοῦ τοὺς μάλιστα γνωρίμους [r] ἐκείνοις, Βορκαῖόν τε καὶ Φοῖβον, δεξιάς τε παρὰ Κεστίου καὶ συγγνώμην παρὰ Ῥωμαίων ἀσφαλῆ περὶ τῶν ἡμαρτημένων ὑπισχνούμενος, εἰ τὰ ὅπλα ῥίψαντες πρὸς αὐτοὺς μεταβάλοιντο. δείσαντες δὲ οἱ στασιασταὶ, [s] μὴ πᾶν τὸ πλῆθος ἀδείας ἐλπίδι πρὸς τὸν Ἀγρίππαν μεταβάληται, τοὺς ἀπ' αὐτοῦ πρεσβεύοντας ὥρμησαν ἀνελεῖν. καὶ πρὶν ἢ φθέγξασθαι, τὸν μὲν Φοῖβον διέφθειραν· ὁ δὲ Βορκαῖος τρωθεὶς ἔφθη διαφυγεῖν· τοῦ δήμου δὲ τοὺς [t] ἐπαγανακτήσαντας λίθοις καὶ ξύλοις παίοντες, εἰς τὸ ἄστυ συνήλασαν.

δʹ. Κέστιος δὲ, τὴν πρὸς ἀλλήλους αὐτῶν ταραχὴν εὔκαιρον ἰδὼν εἰς ἐπίθεσιν, ἅπασαν ἐπῆγε τὴν δύναμιν, καὶ τραπέντας μέχρι Ἱεροσολύμων κατεδίωξεν. στρατοπεδευσάμενος δὲ ἐπὶ τοῦ καλουμένου [v] Σκοποῦ, διεῖχε δὲ οὗτος ἑπτὰ τῆς πόλεως σταδίους, τρισὶ μὲν ἡμέραις οὐκ ἐπεχείρει τῇ πόλει, τάχα τι παρὰ τῶν ἔνδον ἐνδοθήσεσθαι προσδοκῶν, εἰς δὲ τὰς πέριξ κώμας ἐφ' ἁρπαγὴν σίτου πολλοὺς διαφῆκε τῶν στρατιωτῶν. τῇ τετάρτῃ δὲ, ἥτις ἦν τριακὰς Ὑπερβερεταίου μηνὸς, διατάξας τὴν στρατιὰν, εἰσήγαγεν εἰς τὴν πόλιν. ὁ μὲν οὖν δῆμος ὑπὸ τοῖς στασιασταῖς ἐφρουρεῖτο ἦν· οἱ δὲ στασιασταὶ, τὴν εὐταξίαν τῶν Ῥωμαίων καταπλαγέντες, τῶν μὲν ἔξω τῆς πόλεως μερῶν εἶκον, εἰς δὲ τὴν [x] ἐνδοτέραν καὶ τὸ ἱερὸν ἀνεχώρουν. Κέστιος δὲ παρελθὼν [y] ὑπερπίμπρησι τήν τε [z] Βεζεθὰν προσαγορευομένην,

edentes ſtragem. adeo ut, niſi ei militum parti, quæ necdum locum amiſerat, equites facto circuitu ſubveniſſent, quique non admodum defatigati erant pedites, Ceſtius cum toto exercitu diſcrimen adiiſſet. Interfecti ſunt autem quingenti & quindecim Romani milites; ex quibus quadringenti pedites, reliqui equites erat: ex Judæis vero duo & viginti. Illorum autem fortiſſimi viſi ſunt Monobazi regis Adiabenes propinqui, Monobazus & Cenedæus, & poſt hos Niger Peraïta, & Silas Babylonius, qui ad Judæos ab Agrippa rege transfugerat. nam *antea* ſub eo militabat. Et Judæi quidem, cum fronte cladem accepiſſent, in urbem ſe recipiebant: Romanos autem, cum Bethoron aſcenderent, à tergo adortus Simon Gioræ filius, plurimos extremi agminis coactores vellicavit; multiſque jumentis quæ ſarcinas ferebant ereptis, *ea* in urbem ducebat. Ceſtio vero in regione per triduum morante, Judæi, locis editioribus occupatis, vias quibus iretur obſervabant; certumque erat fore ut non quieſcerent, ſi Romani iter facere cœpiſſent. *Romanos fugientes lacessunt.*

3. Itaque ubi Agrippa Romanos à periculo haud tutos eſſe animadverteret, cum tanta hoſtium multitudo montibus paſſim inſideret, verbis Judæos experiri decrevit. aut enim omnibus ſe perſuaſurum eſſe *credebat* ut à bello deſiſterent; vel ab adverſariis eos abducturum eſſe qui eadem cum illis non ſentirent. Miſit igitur è ſuis Borcæum & Phœbum, illis notiſſimos, qui & à Ceſtio fœdus amicitiæ, certamque pro delictis veniam à Romanis datum iri pollicerentur, ſi projectis armis ad eos tranſire vellent. Verum ſeditioſi, metu ne cuncta multitudo ſpe ſecuritatis ad Agrippam ſeſe conferret, legatos ab ipſo *miſſos* interficiendi impetum ceperunt. Et, priuſquam verbum facerent, Phœbum quidem peremerunt, (Borcæus autem *licet* vulneratus fuga dilapſus eſt) quotquot vero è plebe de ea re indignati ſunt, fuſtibus atque lapidibus eos feriendo, in urbem compulerunt.

XXIV. Agrippa legatos ad Judæos de pace cum Romanis mittit.

Male mulctantur legati.

4. Jam Ceſtius, animadverſo hanc inter ipſos diſcordiam opportune cecidiſſe ut eos adoriretur, totum exercitum ſecum adducebat, inque fugam verſos uſque ad Hieroſolyma perſequutus eſt. Caſtra autem metatus in loco qui Scopus dicebatur, iſte autem ſeptem ſtadiis ab urbe diſtat, per triduum nihil quidem adverſus urbem tentabat, forſan ſperans fore ut qui in ea erant certis conditionibus ſeſe dederent; in vicos vero finitimos non parvam militum manum ad rapienda frumenta dimiſit. Quarto autem die, qui triceſimus erat menſis Hyperberetæi, cum exercitum ordinaſſet, in urbem *eum* introduxit. Et populus quidem à ſeditioſis cuſtodiebatur: ſeditioſi vero, Romanorum * acie inſtructa perterriti, exterioribus quidem cedebant civitatis partibus, in interiorem vero & templum ſe recipiebant. At Ceſtius ingreſſus, & Bezetham ut appel-

Ceſtius totum exercitum adverſus Judæos ducit, ut urbem capiat.

---

[v] Ἐπήμυναν,] Lugd. Bat. Ἐπήμυνον.
[x] Τῶν πεζῶν] Lugd. Bat. Τὸ πεζὸν.
[y] Καμὸν,] Lugd. Bat. Κάμνον.
[z] Ῥωμαίων] Ῥωμαίοι Voſſ. & Bod.
[a] Πεντακόσιοι δεκαπέντε,] Ita Ruf. Pſeudo-Hegeſipp. & aliquot MSS. (πεντακόσιοι πέντε Raf.) πεντακόσιοι Rhod. Voſſ. & Bod.
[b] Τετρακόσιοι] Gen. Πεντακόσιοι.
[c] Ἀδιαβηνῆς βασιλέως] Γράφε συγγενεῖς leiure Regis Adiabenorum. infr. lib. 4. c. 9. §. 11. ubi Gen. & Edit. Baſil. ἰσᾶ. Vid. infr. lib. 6. c. 6. §. 4. αὐτοῦ βασιλέως υἱοὶ ἐξ ἀδελφοί. Spanh.
[d] Συγγενεῖς,] Lugd. Bat. Υἱοί.
[e] Κενεδαῖος,] Κενδαῖος Big. Κενδαῖος Rhod.
[f] Ἀπὸ Ἀγρίππα] Illud ἀπὸ additum è Cod. Bod. & Raf.
[g] Κατὰ πρόσωπον] Κατὰ πρόσω Lipſ. & Rhod. Huds.
[h] Βαιθωρῶν ἀνιοῦσι,] Al. Βαιθωρῶ. hic loci Βαιθωρὰν Bod. Βαιθωρῶν Big. Βαιθωρῶν Rhod. Videtis Relandum in Palæſtina 8. p. 633.
[i] Γιώρα Σίμων,] Γιώρου Big.
[k] Οὐραγίας] Οὐραγοὶ infr. lib. 5. c. 2. §. 1. Spanh.
[l] Ἐξαρπάσας,] Ἀποσπάσας Big.

[m] Πλῆθος —— περιεχόμενον] Ita Big. Bod. & Voſſ. πλῆθος τε ὄν. in Editis Aliiſque.
[n] Περιεχόμενος,] Περιεχόμενον Bod. & Raf.
[o] Πείσειν] Lugd. Bat. Πεῖθειν.
[p] Ἐναντίων ἀποστῆσαι] Ἐναντιωθέντων ἀποστῆσαι Big.
[q] Παρ' ἑαυτοῦ] Ita Big. Voſſ. & Bod. παρ' αὐτοῦ in Editis Aliiſque.
[r] Ἐκείνοις,] Lugd. Bat. Ἐκείνων.
[s] Μὴ πᾶν τὸ πλῆθος] Sic Big. & Voſſ. μὴ τι ἂν in ceteris.
[t] Ἐπαγανακτήσαντας] Ἀγανακτήσαντας Bod.
[v] Σκοποῦ, —σταδίους,] Conf. infr. lib. 5. c. 2. §. 3. Spanh.
[x] Ἐνδοτέραν] Ἐνδοτέρω Big. Voſſ. & Rhod. Huds. Τὴν ἐνδοτέραν MS. Lipſ. Spanh.
[y] Ὑπερπίμπρησι] Ὑποπίμπρησι Big. & Raf.
[z] Βεζεθὰν] Conf. ſupr. lib. 2. c. 15. §. 5. Spanh. Alibi dicit Βεζεθὰν eſſe καινόπολιν. Rel.

* Diſciplina, Ruf.

appellabatur, & Cænopolin, & quod dicebatur Materiæ forum incendit: deinde cum ad urbem ſuperiorem veniſſet ex adverſo aulæ regiæ caſtra ponebat. Et ſi eadem illa hora voluiſſet vi muros perrumpere è veſtigio urbem cepiſſet, bellumque ab ipſo confectum fuiſſe contigiſſet. Verum & * exercitûs præfectus Tyrannius Priſcus, & plurimi equitum magiſtri, pecunia à Floro ineſcati ipſum ab incœpto averterunt: atque propter hanc cauſam & bellum adeo in longum productum eſt, acciditque Judæis ut graviſſimis redundarint calamitatibus.

Civium nonnulli portas Ceſtio patefacturi erant, ſed irrito conatu.

5. Interea autem multi è melioris notæ civibus, ab Anano Jonathæ filio inducti, Ceſtium, quaſi portas ei patefacturi, vocabant. Ille vero, præ ira faſtidioſus eiſque nonnihil diffiſus, eouſque cunctatus eſt, donec ſeditioſi, intellecta proditione, Ananum cum ſuis de muro dejecerunt, eoſque lapidibus feriendo in domos *ſuas* compulerunt. Cæterum ipſi, per turres diſpoſiti, mœnia demolientes *telis* impetebant. Et per dies quidem quinque irrito conatu in muros undique impreſſionem facere tentabant Romani; die autem ſequenti Ceſtius, cum electiſſimis quibuſque *militum* itemque ſagittariis, à ſeptentrionali tractu templum aggreditur. Verum Judæi à porticibus eos repellebant, & crebro quidem quotquot ad muros accederent propulſarunt: adeo ut tandem telorum multitudine ab impetu inhibiti receſſerint. At *poſtea* Romanorum qui in fronte prima erant cum clypeos muris firmiter applicuiſſent, illique qui à tergo erant alios adjunxiſſent, ac deinde alii ſimiliter, teſtudinem ab illis appellatam fabricarunt: unde tela in eam acta circumquaque irrita delabebantur, & milites plane illæſi mœnia ſuffodiebant; adeo ut templi portæ ignem ſubjicere parati eſſent.

Romani templum aggrediuntur, factaque teſtudine portas incendere moliuntur.

6. Tum vehemens ſeditioſos occupabat timor; jamque multi ex civitate diffugiebant, ac ſi continuo eſſet expugnanda. Qua re fiebat ut populus fiduciam ſumeret, & cum ſcelerati homines cederent, illi aderant portas aperturi, & Ceſtium tanquam benefactorem *ſuum* in urbem recepturi. qui ſi paulum in oppugnatione fortiter perſeveraſſet, celeriter civitatem in poteſtatem ſuam redegiſſet. † Sed Deus, ut arbitror, propter ſceleratos *iſtos* etiam ſacra *ſua* averſatus, in cauſa erat quod iſte dies finem bello non attulerit.

Ceſtius male ſe geſſit, quod in oppugnatione non perſeveravit.

7. Ceſtius itaque, ut qui neque obſeſſorum deſperationem neque populi in ſe animos reſciverit, ſubito milites revocavit; & ſine ulla ſpei ob plagam acceptam repulſa præter omnium opinionem ex urbe diſceſſit. Latrones autem, animis ex ejus fuga inexſpectata reſumptis, in poſtremos excurſionem fecerunt, & multos tam equitum quam peditum peremerunt. Et tunc quidem Ceſtius in caſtris, *quæ* apud Scopum *munierat*, noctem agit; ſequenti vero die longius progrediens magis hoſtes excivit & animavit: qui extremos agminum inſectantes occidebant, atque ex altera viæ parte incurſantes in tranſverſos tela conjiciebant. & neque noviſſimi in eos ſe convertere audebant, qui à tergo illos ſauciarent, ingentem quippe multitudinem eos inſequi exiſtimantes, neque à la-

Ceſtius ſine juſta cauſa ob. domum fabuit.

[a] καὶ τὴν Καινόπολιν, καὶ τὸ καλούμενον Δοκῶν ἀγοράν· ἔπειτα πρὸς τὴν ἄνω πόλιν ἐλθὼν, ἀντικρὺ τῆς βασιλικῆς αὐλῆς ἐστρατοπεδεύετο. κἂν εἴπερ ἠθέλησε κατ' αὐτὴν ἐκείνην τὴν ὥραν ἐντὸς τῶν τειχῶν βιάσασθαι, παραυτίκα τὴν πόλιν εἶχε, καὶ τὸν πόλεμον συνέβη [b] καταλελῦσθαι. ἀλλὰ γὰρ ὅ, τε στρατοπεδάρχης Τυράννιος Πρίσκος, καὶ τῶν ἱππάρχων οἱ πλεῖστοι, χρήμασιν ὑπὸ Φλώρου [c] δελεασθέντες ἀπέστρεψαν αὐτὸν τῆς ἐπιχειρήσεως. καὶ παρὰ τὴν αἰτίαν ταύτην ὅ, τε πόλεμος ἐπὶ τοσοῦτον μῆκος προέβη, καὶ Ἰουδαίους ἀνηκέστων συμφορῶν ἀναπλησθῆναι συνέπεσεν.

ε. Ἐν δὲ τούτῳ πολλοὶ τῶν γνωρίμων δημοτῶν, Ἀνάνῳ τῷ Ἰωνάθου παιδὶ πεισθέντες, ἐκάλουν τὸν Κέστιον ὡς ἀνοίξοντες αὐτῷ τὰς πύλας. ὁ δὲ, καὶ πρὸς ὀργὴν ὑπεριδὼν, καὶ μὴ πάνυ πιστεύσας, [d] διεμέλλησεν, ἕως οἱ στασιασταὶ, τὴν προδοσίαν αἰσθόμενοι, τοὺς μὲν περὶ τὸν Ἄνανον ἀπὸ τοῦ τείχους κατέβαλον, καὶ λίθοις παίοντες συνήλασαν εἰς τὰς οἰκίας. αὐτοὶ δὲ, διαστάντες [e] ἐπὶ τῶν πύργων, τοὺς ἀποπειρωμένους τοῦ τείχους ἔβαλλον. πέντε μὲν οὖν ἡμέραις πάντοθεν ἐπιχειροῦσι τοῖς Ῥωμαίοις [f] ἀμήχανος ἦν ἡ προσβολή. [g] τῇ δ' ἐπιούσῃ ἀναλαβὼν ὁ Κέστιος τῶν τε ἐπιλέκτων συχνοὺς καὶ τοὺς τοξότας, κατὰ τὸ προσάρκτιον ἐπιχειρεῖ κλίμα τοῦ ἱεροῦ. Ἰουδαῖοι δὲ ἀπὸ τῆς στοᾶς εἶργον, καὶ πολλάκις μὲν ἀπεκρούσαντο τοὺς τῷ τείχει προσελθόντας. τέλος δὲ τῷ πλήθει τῶν βελῶν ἀνακοπέντες ὑπεχώρησαν. τῶν δὲ Ῥωμαίων οἱ πρῶτοι τοὺς θυρεοὺς εἰς τὸ τεῖχος ἐξερείσαντες, καὶ κατὰ τούτων οἱ κατόπιν ἄλλους, οἵ τε ἑξῆς ὁμοίως, τὴν καλουμένην παρ' αὐτοῖς χελώνην ἐφράξαντο. καθ' ἧς τὰ βέλη φερόμενα περιωλίσθαινεν ἄπρακτα, μηδὲν δὲ οἱ στρατιῶται κακούμενοι τὸ τεῖχος ὑπώρυσσον, καὶ τοῦ ἱεροῦ τὴν πύλην ὑποπιμπράναι παρεσκευάζοντο.

ϛ. Δεινὴ δὲ τοὺς στασιαστὰς ἔκπληξις κατέλαβεν. ἤδη δὲ πολλοὶ διεδίδρασκον ἀπὸ τῆς πόλεως, ὡς ἁλωσομένης αὐτίκα. τὸν δὲ δῆμον συνέβαινεν ἐπὶ τούτοις θαῤῥεῖν, καὶ καθὸ παρείκοιεν οἱ πονηροὶ, προσῄεσαν αὐτοὶ τὰς πύλας [h] ἀνοίξαντες, καὶ δεξόμενοι τὸν Κέστιον ὡς εὐεργέτην. ὃς εἰ βραχὺ τῇ πολιορκίᾳ προσελιπάρησεν, κἂν εὐθέως τὴν πόλιν παρέλαβεν. ἀλλ' οἶμαι διὰ τοὺς πονηροὺς ἀπεστραμμένος ὁ Θεὸς ἤδη καὶ τὰ ἅγια, τέλος λαβεῖν ἐπ' ἐκείνης τῆς ἡμέρας ἐκώλυσε τὸν πόλεμον.

ζ. Ὁ γοῦν Κέστιος, οὔτε τὴν τῶν πολιορκουμένων ἀπόγνωσιν, οὔτε τὸ φρόνημα τοῦ δήμου συνιδὼν, ἐξαίφνης, ἀνεκάλεσε τοὺς στρατιώτας. καὶ, καταγνοὺς ἐπ' οὐδεμιᾷ πληγῇ τῶν ἐλπίδων, παραλογώτατα ἀπὸ τῆς πόλεως ἀνέζευξεν. πρὸς δὲ τὴν ἀδόκητον αὐτοῦ τροπὴν ἀναθαῤῥήσαντες οἱ λῃσταὶ κατὰ τῶν ὑστάτων ἐξέδραμον, καὶ συχνοὺς τῶν ἱππέων καὶ πεζῶν διέφθειραν. τότε μὲν οὖν ἐν τῷ κατὰ τὸν Σκοπὸν στρατοπέδῳ αὐλίζεται Κέστιος, τῇ δ' ἐπιούσῃ προσωτέρω χωριζόμενος, μᾶλλον ἐξεκαλέσατο τοὺς πολεμίους. καὶ τοὺς ὑστάτους αὐτῶν προσκείμενοι διέφθειρον, [i] καθ' ἕτερον δὲ τῆς ὁδοῦ προσιόντες ἠκόντιζον εἰς πλαγίους. οὔτε δὲ ἐπιστραφῆναι πρὸς τοὺς κατόπιν [k] τιτρώσκοντας ἐθάῤῥουν οἱ τελευταῖοι, ἄπειρόν τι πλῆθος οἰόμενοι διώκειν, καὶ τοὺς κατὰ [l] πλευ-

ρὰν

a Καὶ τὴν Καινόπολιν,] Alibi de Bezetha agens, dicit, καινὴ λέγοιτ' ἂν πόλις. Verum hic loci diſtinguere videtur inter Bezetham & Novam Civitatem. niſi forte (cum Cl. Relando in Palæſtina S. p. 855.) legendum ſit, τὴν καὶ Καινόπολιν pro καὶ τὴν Καινόπολιν. Villalpandus (in Tom. 3. Apparatus Urbis ac Templi, part. 1. c. 16.) unam eſſe exiſtimat Cænopolin ſuperiorem, quæ eadem erat cum Bezetha, aliam vero inferiorem torrenti Cedroni vicinam & à Bezetha diverſam.

b Καταλελῦσθαι.] Καταλυθῆναι Big.

c Δελεασθέντες ἀπέστρεψαν] Δελεασθέντες Big. Vide ad l. 2. c. 19. §. 4.

d Διεμέλλησεν,] Διημέλλησεν Big. & Bod. διεμέλλησε. Voſſ.

e Ἐπὶ τῶν πύργων,] Ἀπὸ τῶν πύργων Big. & Voſſ.

f Ἀμήχανος] Ἀμήχανον Bod.

g Τῇ δὲ ἐπιούσῃ] Ita cum Big. & Bod. τῇ ἐπιούσῃ δὲ ἀναλ. in Editis Alii quæ.

h Ἀνοίξαντες,] Ἀνοίξοντες Big. ἀνοίξοντες Lugd. Bat.

i Καθ' ἕτερον δὲ τῆς ὁδοῦ] Καὶ καθ' ἕτερον τῆς ὁδοῦ Big. & Voſſ.

k Τιτρώσκοντας] Διώκοντας Roſſ.

l Πλευρὰν] Lugd. Bat. Πλευρῶν.

* Al. præfectus prætorio.

† Sed credo jam tunc infeſtus Deus peſſimis, ejuſque ſancta illo die finem bello dare prohibuerunt, Ruf.

Τὸ

μὴν ἐπικειμένους ἀνασέλλειν οὐχ ὑπέμενον, αὐτοὶ μὲν ὄντες βαρεῖς, καὶ δεδοικότες [m] τὴν τάξιν διασπᾶν, τοὺς δὲ Ἰουδαίους ὁρῶντες κούφους, καὶ πρὸς τὰς ἐπιδρομὰς εὐκόλους, ὥστε συνέβαινεν αὐτοῖς πολλὰ κακοῦσθαι μηδὲν ἀντιβλάπτουσι τοὺς ἐχθρούς. παρ' ὅλην δὲ τὴν ὁδὸν παιόμενοι, καὶ τῆς φάλαγγος [n] ἐκσειόμενοι κατέπιπτον, μέχρι πολλῶν διαφθαρέντων, ἐν οἷς ὅ τε Πρίσκος μὲν στρατάρχης τάγματος ἕκτου, Λογγῖνος δὲ χιλίαρχος, ἔπαρχος δὲ ἴλης Αἰμίλιος Ἰουκοῦνδος ὄνομα, μόγις εἰς [o] Γαβαὼ κατήντησαν ἐπὶ τὸ πρότερον στρατόπεδον, τὰ πολλὰ καὶ τῶν σκευῶν ἀποβαλόντες. ἔνθα δύο μὲν ἡμέρας ἐπέμεινεν ὁ Κέστιος, ἀμηχανῶν ὅ, τι χρὴ ποιεῖν. τῇ τρίτῃ δὲ [p] πολλῷ πλείους τοὺς πολεμίους θεασάμενος, καὶ πάντα τὰ κύκλῳ μεστὰ Ἰουδαίων, ἔγνω καθ' ἑαυτοῦ τε [q] βραδύνας, καὶ ἐὰν ἔτι μένοι πλείοσι χρησόμενος ἐχθροῖς.

omnia dicebant: Tiberienſes vero cum aliis eum vituperabant, minaſque intentabant. utrique autem relicto Joſepho inter ſe diſſidebant. Atque ille, iſtis jam fretus qui eadem ac ipſe ſentirent, erant autem Tarichæatæ ad XL millia, cum omni multitudine liberius colloquebatur. multumque in eorum temeritatem invectus, „ ex præſenti quidem pe„cunia Tarichæas ſe munitum ire, dicebat, pa„ratumque eſſe aliis etiam civitatibus ſecuritatem „ præſtare. non enim pecuniam deſideraturos eſ„ſe, ſi ſecum adverſus eos conſentiant à quibus „ ſuppeditanda eſt, & non in ipſum exacerben„tur qui eam ſuppeditari facit.

Joſephi ſtrategema quo ſe inimicorum è manibus eripuit.

5. Itaque tum quidem alia multitudo, quæ decepta fuerat, recedebat, quamvis irata & offenſa: duo vero armatorum millia adverſus eum properabant; &, cum ille ſemet in tectum jam ante recepiſſet, cum minis foribus adſtabant. Iterum autem Joſephus in hos quoque altera fraude utitur. Cum enim in tectum ſuperius aſcendiſſet, & dextra tumultum eorum ſedaſſet, „ ſe neſcire, ajebat, „ quid ſit quod ab ipſo conſequi velint; nihil „ enim ſe ob diſſonum *eorum* clamorem exaudire „ poſſe. omnia vero quæ imperaverint facturum „ eſſe, ſi quos placide ſecum acturos ad ipſum in„tromitti velint". His auditis, *illico* nobiliores cum magiſtratibus ad eum ingreſſi ſunt. Ille vero, cum eos in abditiſſima domus traxiſſet, & aulæ oſtia operuiſſet, *tamdiu eos* verberavit donec viſcera omnium nudaret. Interim autem circumſtabat multitudo, exiſtimans ſuos longiore diſceptatione teneri. At ille, foribus ſubito patefactis, cruentos eos dimiſit. id quod malum minitantibus tantum incuſſit terrorem, ut projectis armis aufugerent.

Confer de Vita §. 30.

6. Ex iſtis Joannis aucta eſt invidia, aliaſque Joſepho parabat inſidias: morboque ſimulato per literas Joſephum obſecravit, ut ei permitteret calidis aquis in Tiberiade ad valetudinem ejus curandam uti. Atque ille, ut qui nondum inſidiatorem ſuſpicaretur, ad præfectos civitatis ſcribit, ut & hoſpitium & neceſſaria Joanni præberent. Quibus *ille* potitus, biduo poſt id cujus cauſa venerat peragebat: & aliis quidem fraude circumventis, aliis vero pecunia corruptis, Joſephum deſerere perſuaſit. atque Silas, cui mandata erat à Joſepho urbis cuſtodia, ubi iſta cognovit, ſtatim ad eum literas mittit de inſidiis. Joſephus autem, quam primum literas acceperat, nocte iter maturavit & mane admodum Tiberiadem pervenit. Et cætera quidem multitudo ei obviam veniebat. Joannes autem, quamvis eum contra ſe venturum eſſe ſuſpicaretur, tamen, per quendam è familiaribus ad eum miſſum, languorem ex morbo ſimulavit, & quod lecto affixus eſſet, *ideo* obſequio *ſe* defuiſſe dicebat. Tiberienſibus autem à Joſepho in ſtadium congregatis, ubi aggrediebatur ad eos alloquendum de literis, miſſis armatis *Joannes* juſſit eum interſici.

Joannes alias Joſepho parat inſidias. Confer de Vita §. 16. 17.

Joannes Tiberienſibus, ut Joſephum deſerant, perſuadet.

Joannes miſſis arma-

μεν. οἱ δὲ ἀπὸ τῆς Τιβεριάδος σὺν τοῖς ἄλλοις ἐκάκιζον, καὶ διηπείλουν. καταλιπόντες δὲ ἑκάτεροι τὸν Ἰώσηπον, ἀλλήλοις διεφέροντο. κἀκεῖνος θαῤῥῶν ἤδη τοῖς ᾠκειωμένοις, [r] ἦσαν δὲ εἰς τετρακισμυρίους Ταριχαιᾶται, παντὶ τῷ πλήθει παῤῥησιαστικώτερον ὡμίλει. καὶ πολλὰ τὴν προπέτειαν αὐτῶν καθονειδίσας, „ ἐκ μὲν τῶν παρόντων Ταριχαίας, ἔφη, [s] τειχί„σειν, ἀσφαλίσασθαι δὲ ὅμως καὶ τὰς ἄλλας πόλεις. „ οὐ γὰρ ἀπορήσειν χρημάτων, ἐὰν [t] ὁμονοῶσιν ἐφ' οὓς „ δεῖ πορίζειν, καὶ μὴ παροξύνωνται κατὰ τοῦ πο„ρίζοντος.

ε'. Ἔνθα δὴ τὸ μὲν ἄλλο πλῆθος τῶν ἠπατημένων [v] ἀπανεχώρει [x] καί τοι διωργισμένον. δισχίλιοι δὲ ἐπ' αὐτὸν [y] ὥρμησαν ἔνοπλοι, καὶ [z] φθάσαντος εἰς τὸ [a] δωμάτιον παρελθεῖν ἀπειλοῦντες ἐφεστήκεσαν. ἐπὶ τούτοις πάλιν Ἰώσηπος ἀπάτῃ δευτέρᾳ χρῆται. ἀναβὰς γὰρ ἐπὶ τὸ τέγος, καὶ τῇ δεξιᾷ κατασείσας τὸν θόρυβον αὐτῶν, „ ἀγνοεῖν, ἔφη, τίνων ἀξιοῦσι τυ„χεῖν. οὐ γὰρ κατακούειν διὰ τὴν τῆς βοῆς σύγχυσιν. ὅσα „ δ' ἂν κελεύσωσι πάντα ποιήσειν, εἰ τοὺς διαλεξο„μένους ἡσυχῇ πέμψειαν εἴσω πρὸς αὐτόν." [b] ταῦτα ἀκούσαντες οἱ γνώριμοι σὺν τοῖς ἄρχουσιν εἰσῄεσαν. ὁ δὲ, σύρας αὐτοὺς εἰς τὸ μυχαίτατον τῆς οἰκίας, καὶ [c] τὴν αὔλειον [d] ἐπικλείσας, ἐμαστίγωσεν, μέχρι πάντων τὰ σπλάγχνα γυμνῶσαι. περιειστήκει δὲ τέως τὸ πλῆθος, δικαιολογεῖσθαι μακρότερα τοὺς εἰσελθόντας οἰόμενον. ὁ δὲ, τὰς θύρας ἐξαπίνης ἀνοίξας, ᾑμαγμένους ἐξαφῆκε τοὺς ἄνδρας, καὶ τοσαύτην τοῖς ἀπειλοῦσιν [e] ἐνειργάσατο κατάπληξιν, ὥστε ῥίψαντας τὰ ὅπλα φεύγειν.

ϛ'. Πρὸς ταῦτα Ἰωάννης [f] ἐπετείνετο [g] τὸν φθόνον, καὶ δευτέραν ἤρτυεν ἐπιβουλὴν κατὰ τοῦ Ἰωσήπου. σκηψάμενος δὲ νόσον, ἱκέτευε δι' ἐπιστολῆς τὸν Ἰώσηπον, ἐπιτρέψαι πρὸς θεραπείαν αὐτῷ [h] χρήσασθαι τοῖς ἐν Τιβεριάδι θερμοῖς ὕδασιν. ὁ δὲ, οὔπω γὰρ [i] ὑπώπτευε, τὸν ἐπίβουλον, γράφει τοῖς κατὰ τὴν πόλιν [k] ἐπάρχοις, ξενίαν τε καὶ τἀπιτήδεια Ἰωάννῃ παρασχεῖν. ὧν ἀπολαύσας, μετὰ δύο ἡμέρας [l] ἐφ' ᾧ παρῆν διεπράττετο. καὶ τοὺς μὲν ἀπάταις, τοὺς δὲ χρήμασι διαφθείρων, [m] ἀνέπειθεν ἀποστῆναι Ἰωσήπου. [n] καὶ γνοὺς ταῦτα Σίλας, ὁ φυλάσσειν τὴν πόλιν ὑπὸ Ἰωσήπου [o] καθεστάμενος, γράφει τὰ [p] κατὰ τὴν ἐπιβουλὴν αὐτῷ κατὰ τάχος. ὁ δὲ Ἰώσηπος, ὡς ἔλαβε τὴν ἐπιστολὴν, νυκτὸς ὁδεύσας συντόνως, ἕωθεν παρῆν [q] ἐπὶ τὴν Τιβεριάδα. καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτῷ ὑπήντα. [r] Ἰωάννης δὲ, καίτοι τὴν παρουσίαν [s] ὑποπτεύων ἐπ' αὐτὸν, ὅμως πέμψας [t] τινὰ τῶν γνωρίμων, ὑπεκρίνατο τὴν ἀσθένειαν, καὶ κλινήρης ὢν ὑστερῆσαι τῆς θεραπείας ἔλεγεν. ὡς δὲ εἰς τὸ στάδιον τοὺς Τιβεριεῖς ἀθροίσας [v] Ἰώσηπος ἐπειρᾶτο διαλέγεσθαι περὶ τῶν ἐπεσταλμένων, ὑποπέμψας ὁπλίτας προσέταξεν αὐτὸν

r Ἦσαν—τετρακισμυρίους] Ita *Big.* ἦσαν δὲ οἱ Ταριχαιᾶται ὡς τετρακισμύριοι in *Editis*. ὡς τετρακισμύριοι οἱ Ταριχαιᾶται *Gall.*

s Τειχίσειν,] Ita cum tribus *MSS.* τειχίζειν in *cæteris*, *Editiſque*.

t Ὁμονοῶσιν—πορίζειν,] Ὁμονοήσωσιν *Busb.*

v Ἀπανεχώρει] Ἀνεχώρει *Big.*

x Καί τοι διωργισμένον.] Ita *Big.* & *Raf.* καὶ τὸ in *cæteris*.

y Ὥρμησαν] *Raf.* Ὁρμήσαντες.

z Φθάσαντος] Sic *Big. Coccejus* & *Gall.* φθάσαντες in *aliis*.

a Δωμάτιον] Ita *Lugd. Bat.* & *Coccejus*, pro *Vulg.* δωμάτων. Hav.

b Ταῦτα ἀκούσαντες] Aliter rem geſtam narrat in *Vita ſua* §. 30.

c Τὴν αὔλειον] Sc. θύραν. τὴν αὐλὴν *Gall.*

d Ἐπικλείσας,] Ἀποκλείσας *Big.*

e Ἐνειργάσατο κατάπληξιν,] Εἰργάσατο *Big.*

f Ἐπετείνετο] Ἐτείνετο *Big.*

g Τὸν φθόνον,] *Raf.* Τὸν φόνον.

h Χρήσασθαι—ὕδασιν] Confer vitam Joſephi §. 16. Spanh.

i Ὑπώπτευε] *Raf.* Ὑπώπτευσε.

k Ἐπάρχοις,] Ita *Busb.* ὑπάρχοις in *aliis*.

l Ἐφ'—διεπράττετο,] Ἐφ' ὃ *Big.*

m Ἀνέπειθεν—Ἰωσήπου,] Ἀνέπειθε *Big.*

n Καὶ—Σίλας,] Gratiam Silæ huic conſervationis ſuæ habet quoque in Vita ſua § 17. Spanh.

o Καθεστάμενος,] Ita *Big.* & *Voſſ.* καθιστάμενος in *cæteris*.

p Κατὰ τὴν ἐπιβουλὴν] Περὶ τῆς ἐπιβουλῆς *Big.*

q Ἐπὶ] Πρὸς *Big. Raf.* & *Voſſ.*

r Ἰωάννης δὲ,] Confer *vitam* Joſephi §. 17. ubi tamen dicit Joannem quoque obviam ſibi proceſſiſſe. Spanh. Vide quæ ibidem notavimus. Hav.

s Ὑποπτεύων] Ὑποπτεύσας *Big.*

t Τινὰ τῶν γνωρίμων,] Ita *Big.* & *Raf.* τινὰς in *Editis Aliiſque*.

v Ἰώσηπος ἐπειρᾶτο] Voci Ἰώσηπος plerumque articulus ὁ præponitur in *MSS.*

x Ἐπὶ

τὸν ἁπλοῦν. τούτους τὰ ξίφη γυμνοῦντας ὁ δῆμος προϊδὼν ἀνεβόησεν. πρὸς δὲ τὴν κραυγὴν Ἰώσηπος ἐπιστραφεὶς, καὶ θεασάμενος ἐπὶ τῆς σφαγῆς ἤδη τὸν σίδηρον, ἀπεπήδησεν εἰς τὸν αἰγιαλόν. εἱστήκει δὲ δημηγορῶν [x] ἐπὶ βουνοῦ τινος ἑξαπήχους τὸ ὕψος· καὶ [y] παρορμοῦντος ἐπιπηδήσας σκάφους, [z] σὺν δυσὶ σωματοφύλαξιν [a] εἰς μέσον τὴν λίμνην [b] ἀνέφυγεν.

ζ. Οἱ στρατιῶται δὲ αὐτοῦ, ταχέως ἁρπάσαντες [c] ὅπλα, κατὰ τῶν ἐπιβούλων ἐχώρουν. ἔνθα δείσας Ἰώσηπος, μὴ πολέμου κινηθέντος ἐμφυλίου δι' ὀλίγων [d] φθόνον ἐξαναλώσῃ τὴν πόλιν, πέμπει τοῖς σφετέροις [e] ἀγγέλλων, μόνης προνοεῖν τῆς [f] αὐτῶν ἀσφαλείας, μήτε δὲ κτείνειν τινὰ, μήτε ἀπελέγχειν τὸν αἴτιον. καὶ οἱ μὲν, τῷ παραγγέλματι πεισθέντες, ἠρέμησαν. οἱ δὲ ἀνὰ τὴν πέριξ χώραν, πυθόμενοι τήν τε ἐπιβουλὴν καὶ τὸν συσκευάσαντα, συνηθροίζοντο κατὰ τοῦ Ἰωάννου. φθάνει δὲ ἐκεῖνος εἰς Γίσχαλα [g] φυγὼν τὴν πατρίδα. συνέρρεον δὲ πρὸς τὸν Ἰώσηπον οἱ Γαλιλαῖοι κατὰ πόλεις, καὶ πολλαὶ μυριάδες ὁπλιτῶν γενόμεναι, παρεῖναι σφᾶς ἐπὶ Ἰωάννην τὸν κοινὸν ἐπίβουλον ἐβόων. συγκαταφλέξειν γὰρ αὐτῷ καὶ τὴν ὑποδεξαμένην [h] πόλιν. ὁ δὲ ἀποδέχεσθαι μὲν αὐτῶν ἔφασκε τὴν εὔνοιαν. [i] εἶργε δὲ τὴν ὁρμὴν, χειρώσασθαι συνέσει τοὺς ἐχθροὺς μᾶλλον ἢ κτεῖναι προαιρούμενος. ἐκλαβὼν δὲ τοὺς ἀφ' ἑκάστης πόλεως Ἰωάννῃ [k] συναφεστῶτας Ἰώσηπος κατ' ὄνομα. προθύμως δὲ [l] ἐνεδείκνυντο τοὺς σφετέρους οἱ δημόται. καὶ διὰ κηρύκων [m] ἀπειλήσας, τῶν ἐντὸς ἡμέρας πέμπτης [n] μὴ καταλιπόντων τὸν Ἰωάννην τάς τε οὐσίας διαρπάσειν, καὶ τὰς οἰκίας ἅμα ταῖς γενεαῖς καταφλέξειν, τρισχιλίους μὲν ἀπέστησεν εὐθέως, οἳ παραγενόμενοι τὰ ὅπλα παρὰ τοῖς ποσὶν ἔρριψαν αὐτοῦ. σὺν δὲ τοῖς καταλειφθεῖσιν, ἦσαν δὲ ὅσον εἰς δισχιλίους Σύρων φυγάδες, ἀνέστελλεν Ἰωάννης πάλιν εἰς τὰς λαθραίους ἐπιβουλὰς ἐκ τῶν φανερωτέρων. κρύφα γοῦν ἔπεμψεν ἀγγέλους εἰς Ἱεροσόλυμα, διαβάλλων τὸν Ἰώσηπον ἐπὶ τῷ μεγέθει τῆς δυνάμεως, φάσκων ὅσον οὐδέπω τύραννον ἐλεύσεσθαι τῆς μητροπόλεως, εἰ μὴ προκαταληφθείη. [o] ταῦθ' ὁ μὲν δῆμος [p] ἦν προειδὼς, οὐ [q] προσεῖχον δέ. οἱ δυνατοὶ δὲ κατὰ φθόνον, καὶ τῶν ἀρχόντων τινὲς λάθρα τῷ Ἰωάννῃ χρήματα πρὸς συλλογὴν μισθοφόρων ἔπεμψαν, ὅπως [r] πολεμῇ πρὸς Ἰώσηπον. ἐψηφίσαντο δὲ [s] καθ' ἑαυτοὺς, καὶ μετακαλεῖν αὐτὸν ἀπὸ τῆς στρατηγίας. οὐ μὴν ἤξιουν ἀποχρήσειν τὸ δόγμα. δισχιλίους δὲ καὶ πεντακοσίους ὁπλίτας, καὶ τέσσαρας τῶν ἐπιφανῶν ἄνδρας ἔστειλαν, τόν τε τοῦ [t] Νομικοῦ [v] Ἰωάζαρον, καὶ Ἀνανίαν [x] Σαδδουκὶ, καὶ Σίμωνα καὶ [y] Ἰούδην Ἰωνάθου, πάντας εἰπεῖν δυνατωτάτους, ἵνα οὗτοι τὴν πρὸς τὸν Ἰώσηπον εὔνοιαν ἀποστρέψωσι. κἂν μὲν ἑκὼν

Quos cum populus proſpexiſſet ſtricturos eſſe gladios, ſtatim exclamavit. Joſephus autem, ad clamorem converſus, cum prope jugulo ſuo imminere vidiſſet ferrum, inde in littus deſiluit, (nam verba faciens ad populum ſteterat in tumulo ſex pedes alto) & navicula, quæ forſan appulerat, propere aſcenſa, cum duobus ſatellitibus medium in lacum refugiebat. *...tis, Joſephum interfici jubet.*

7. Milites autem ejus, armis illico correptis, contra inſidiatores ibant. Unde veritus Joſephus, ne moto bello inteſtino propter paucorum invidiam civitas conſumeretur, ad ſuos mittit qui eos monerent, ut ſuæ tantum ſaluti conſulerent, & neque quenquam occiderent, neque culpæ affinem redarguerent. Et illi quidem, dicto audientes, quieverunt. qui vero in vicinia degebant, cum de inſidiis inaudiviſſent & de illo qui eas ſtruxerat, contra Joannem coibant. Sed *ille* prius in Giſcala patriam *ſuam* fuga ſe recipiebat. At Galilæi, ſuis quiſque è civitatibus, ad Joſephum confluebant; & cum multa armatorum millia congregata eſſent, ipſos adverſus Joannem, communem inſidiatorem, præſto adeſſe clamabant, una cum eo civitatem quæ illum ſuſceperat igne crematuros. Ille vero ajebat, ſibi quidem gratam acceptamque eſſe illorum erga ſe benevolentiam: impetum vero cohibebat, ut qui maluit inimicos prudentia vincere quam *ferro* occidere. Cum autem Joſephus è ſingulis civitatibus nominatim eos excepiſſet, qui una cum Joanne defecerant, (quippe plebeii prompte admodum ſuos * indicabant) & præconum voce denunciaſſet, ſe patrimonia eorum, qui intra quinque dies Joannem non reliquiſſent, direptum ire, domoſque cum familiis combuſturum, brevi fecit ut tria quidem ab eo millia deficerent, qui cum ad eum acceſſiſſent ad illius pedes arma projecerunt: Joannes autem cum reliquis, ad duo circiter millia Syrorum fugitivorum, ex inſidiis apertioribus ad occultas ſe recipiebat. Itaque clam nuncios Hieroſolyma miſit, calumnians Joſephum, quod ingentem copiarum multitudinem coëgiſſet; dicenſque fere in eo eſſe ut metropolin tyrannide occupet, niſi mature præveniatur. Iſta quidem populus jam prævideret, animum vero illis non advertebat: ex invidia autem primores nonnullique magiſtratuum clam pecunias Joanni miſerunt, ad milites mercenarios comparandos, ut adverſus Joſephum bellum gererent atque inter ſe decreverunt eum ab exercitu ducendo revocare. Veruntamen decretum haud ſatis valiturum exiſtimabant. ſed duo millia & quingentos armatos, & quatuor viros ex illuſtrioribus miſerunt, Joazarum Nomici filium, & Ananiam Sadduci, & Simonem & Judam Jonathæ *filios*, omnes dicendi peritiſſimos, ut iſti populum à ſua in Joſephum benevolentia averterent. & ſiquidem is ſponte ſua veniat, ſinerent

Joannes Giſcala petit. & Galilæi ad Joſephum confluunt. Confer de Vita §. 19. & §. 20.21.

Joannes iterum Joſepho parat inſidias. Confer de Vita §. 38.

Confer de Vita §. 39.

x Ἐπὶ βουνοῦ] In *Vita ſua* §. 17. amat dicere ἐπὶ τριχοῦ τινος ὑψηλοῦ. SPANH.

y Παρορμοῦντος] *Lugd. Bat.* Παρορμοῦντος.

z Σὺν δυσὶ] *Ruff.* Ἐν δυσὶ.

a Εἰς μέσον τὴν λίμνην] Simpliciter in *Vita ſua* ἐπὶ τὴν λίμνην. SPANH.

b Ἀνέφυγεν.] Ἀνέφυγε *Big.*

c Ὅπλα,] Τὰ ὅπλα *Big.* & *Bod.*

d Φθόνον ... πόλιν,] Ita *Big. Voſſ.* & *Ruf.* φόνον in *Editis Aliiſque.*

e Ἀγγέλλων,] *Lugd. Bat.* Ἀγγέλων, quod & in ſuo codice *Rufinus* videtur habuiſſe, vertens *nuncios ſuos miſit, qui,* &c. HAV.

f Αὐτῶν ἀσφαλείας,] Ἑαυτῶν *Big.*

g Φυγὼν τὴν πατρίδα.] Φυγὼν *Gall.*

h Πόλιν,] Πατρίδα *Big.* εἶργε *Lugd. Bat.*

i Εἶργε δὲ τὴν ὁρμὴν,] Ἀνεῖργε *Big.*

k Συναφεστῶτας] Ita *Big. Voſſ.* & *Ruf.* συναφεστῶτας abſque Ἰωάννῃ *ceteri.*

l Ἐνεδείκνυντο] Iterum cum *Big.* & *Voſſ.* ἀνεδείκνυντο in *Editis Aliiſque.*

m Ἀπειλήσας,] Ita *Voſſ.* & *Rhod.* ἀπειλήσαντος αὐτοῦ ἡμέρας πέμπτης οἱ μὴ καταλείποντα τὸν Ἰωάννην in *Editis.* ἀπειλήσαντος ... ἐντὸς ἡ. π. τῶν μὴ καταλειπόντων *Big.*

n Μὴ καταλιπόντων] Ita *Lugd. Bat.* & *Hudſ.* nam *alii*, οἱ μὴ καταλίποιεν. HAV.

o Ταῦθ' ὁ μὲν δῆμος] Ita *Big.* & *Gall. Rufinus* vertit, *Verum ea quidem populus præſciens negligebat.* τούτοις in *Editis Aliiſque.*

p Ἦν προειδὼς,] *Lugd. Bat.* Ἦν τῶν π. οὐ προσεῖχεν.

q Προσεῖχον δέ.] Προσεῖχεν *Big.* & *Gall.* abſque δέ.

r Πολεμῇ] Ita *Big.* πολεμήσῃ *Voſſ.* πολεμοῖ in *Editis Aliiſque.*

s Καθ' ἑαυτοὺς,] Καθ' αὐτοὺς *Big. Voſſ. Bod.* & *Gall.*

t Νομικοῦ] Νομικοῦ pro appellativo accipiunt *alii*, ut & *Ruf.* qui vertit, *& quatuor miſerunt nobiles viros juriſperitos.*

v Ἰωάζαρον,] Ita *Golen.* quo fere modo & *de Vita* §. 39. Ἰώασδρον in *Editis.* Ἰωάνασδρον juxta *Ruf.*

x Σαδδουκὶ,] Σαδδουκαῖον *Voſſ.* (uti & ſuperius c. 17. §. 10.) Σαδδοὺκ *Gall.*

y Ἰούδην Ἰωνάθου,] Ita *Ruf.* Ἰούδαν in *pleriſque libris.* Ἰούδαν *Big.* & in margine Ἰούδα Ἰωνάθου. HUDS. Ἰούδαν pro Juda, uti Θευδᾶν pro Ἰούδας quidam lectum volunt ex N. T. REL.

* *Al*, accuſabant.

ſinerent ipſum ſui rationem reddere: ſin autem urgeat ut *in præfectura* maneat, pro hoſte *eum* haberent. Joſepho autem literis ſignificarunt amici, in eum quidem venturos eſſe milites; minime vero ei indicarunt, quid cauſæ fuerit cur venirent, utpote quod clauſa haberentur inimicorum conſilia. Unde factum, ut, cum nihil præcautum eſſet *& proviſum*, quatuor civitates adverſariis ſtatim ac venerint ſe adjungerent, Sepphoris, & Gamala, & Giſcala, & Tiberias. Verum & iſtas continuo ſine armis recepit, quatuorque duces ſtratagemate captos, & ex armatis potentiſſimos quoſque Hieroſolyma mittendos curavit. contra quos populus haud mediocri indignatione commotus eſt; atque ipſos, & quotquot eos comitati ſunt ocyus interfecerat, niſi paulo ante auſugiſſent.

Quatuor Galilææ civitates ad inimicos Joſephi tranſeunt.

XXVII. *Tiberias à Joſepho deficit.*

8. Poſthac vero Joannes intra muros Giſcalorum ſe continebat præ metu Joſephi. Et paucis poſt diebus ſe *Joſephi imperio* ſubduxit Tiberias, poſtquam Agrippæ regis opem imploraſſent incolæ. Et cum ille præſtituto die ad eas non veniſſet, paucique Romani equites eo ipſo die comparuiſſent, Joſephum urbe expulſum declarabant. Horum defectionis quidem rumor ſtatim Tarichæas perlatus erat: militibus vero omnibus frumentatum miſſis, nec ſolus contra deſertores ſubito proficiſci, neque illic manere ſuſtinuit, veritus, ne, dum ipſe cunctaretur, regii civitatem præoccuparent. nec enim poſtero die, obſtante ſabbato, quicquam facere poterat. Itaque dolo eos, qui ab ipſo deſciverant, circumvenire cogitabat. cumque Tarichæarum portas claudi juſſiſſet, ne quis conſilium *ſuum* iis contra quos ſuſceptum erat proderet, & navigia quæ in lacu erant omnia congregaſſet (ducenta autem & triginta deprehendit, quatuorque & non amplius in ſingulis nautas) qua potuit celeritate proficiſcitur Tiberiadem: cumque tanto ab urbe abeſſet ſpatio, ut ægre cerni poſſet, vacuis naviculis in ſalo fluctuare juſſis, ipſe, ſeptem ſolum ex ſatellitibus *eoſque* inermes ſecum habens, propius ut conſpiceretur acceſſit. Ipſum autem cum inimici, adhuc ei maledicentes, ex muro aſpexiſſent, etiam præ conſternatione, quod ſcaphas armatorum plenas eſſe exiſtimarint, arma projiciunt: manuſque ſupplices agitantes, ut parceret civitati orabant atque obſecrabant.

Confer de Vita §. 32.

Joſephus Tiberiadem ſe confert.

9. Joſephus autem, cum multa illis minatus eſſet, *eiſque* exprobraſſet, quod primi omnium bello Romanos adorti inteſtinis diſcordiis vires ſuas ante conſumerent, eaque facerent quibus nihil optatius hoſtibus accidere potuit, ac deinde ſecuritatis ſuæ curatorem de medio tollere feſtinarent, urbemque non erubeſcerent ipſi claudere qui eam muniverat, dicebat, ſe eos non rejicere qui urbem de ante delictis expurgaturi venirent, quorumque interventu ſecuritatem ei præſtaret. Itaque ſtatim ad eum decem Tiberienſium potentiſſimi deſcenderunt. Et hos quidem cum in unam è naviculis recepiſſet, quam longiſſime eos avexit: alios vero è ſenatoribus L, & maxime nobiles,

Stratagemate urbem recipit ſervatque.

[z] παραγένηται, λόγον ὑποσχεῖν ἐφ' αὐτόν. εἰ δὲ βιάζοιτο μένειν, ὡς πολεμίῳ χρῆσθαι. Ἰωσήπῳ δὲ παραγενέσθαι μὲν στρατιὰν ἐπεστάλκεισαν οἱ φίλοι. τὴν δὲ αἰτίαν οὐ [a] προεδήλουν, [b] ἅτε δὴ τῶν ἐχθρῶν λάθρα βεβουλευμένων. διὸ καὶ μὴ προφυλαξαμένου, τέσσαρες πόλεις εὐθέως πρὸς τοὺς διαφόρους ἀπέστησαν ἐλθόντας, Σεπφώρις τε καὶ [c] Γάμαλα, καὶ Γίσχαλα, καὶ Τιβεριάς. ταχέως δὲ καὶ ταύτας προσηγάγετο δίχα τῶν ὅπλων, καὶ χειρωσάμενος [d] στρατηγήματι τοὺς τέσσαρας ἡγεμόνας, τῶν τε ὁπλιτῶν τοὺς δυνατωτάτους, ἀνέπεμψεν εἰς Ἱεροσόλυμα. πρὸς οὓς ὁ δῆμος ἠγανάκτησεν οὐ μετρίως, καὶ σὺν αὐτοῖς ὥρμησε τοὺς προπέμψαντας ἀνελεῖν, εἰ μὴ φθάσαντες ἀπέδρασαν.

η'. Ἰωάννης δὲ τὸ λοιπὸν ἐντὸς τῶν Γισχάλων τειχῶν ὁ παρὰ Ἰωσήπου φόβος ἐφρούρει. καὶ μετ' ὀλίγας ἡμέρας πάλιν ἀπέστη Τιβεριάς, ἐπικαλεσαμένων τῶν ἔνδον Ἀγρίππαν τὸν βασιλέα. καὶ τοῦ μὲν μὴ [e] καταντήσαντος ἐφ' ἣν συνετέτακτο προθεσμίαν, Ῥωμαϊκῶν δὲ ἱππέων ὀλίγων κατ' ἐκείνην τὴν ἡμέραν παραφανέντων, τὸν Ἰώσηπον ἐξεκήρυσσον. [f] τῶν δὲ [g] ἠγγέλη μὲν εἰς Ταριχαίας ἡ ἀπόστασις εὐθέως. ἐκπεπομφὼς δὲ τοὺς στρατιώτας πάντας ἐπὶ σίτου συλλογὴν, οὔτε μόνος ἐξορμᾶν ἐπὶ τοὺς ἀποστάντας, οὔτε μένειν ὑπέμενε, δεδοικὼς μὴ [h] βραδύνοντος αὐτοῦ, φθάσωσιν οἱ βασιλικοὶ παρελθεῖν εἰς τὴν πόλιν. [i] οὐδὲ γὰρ τὴν [k] ἐπιοῦσαν ἐνεργὸν ἕξειν [l] ἔμελλεν, ἐπεχόμενος σαββάτῳ. [m] δόλῳ δὴ περιελθεῖν ἐπενόει τοὺς ἀποστάντας. καὶ τὰς μὲν πύλας τῶν [n] Ταριχαιῶν ἀποκλεῖσαι κελεύσας, ὡς μὴ [o] προεξαγγείλοι τις [p] τὸ σκέμμα τοῖς ἐπιχειρουμένοις, τὰ δὲ ἐπὶ τῆς λίμνης σκάφη πάντα συναθροίσας. [q] διακόσια δὲ καὶ τριάκοντα εὑρέθη, καὶ ναῦται [r] τεσσάρων οὐ πλείους ἦσαν ἐν ἑκάστῳ. διὰ τάχους ἐλαύνει πρὸς τὴν Τιβεριάδα, καὶ τοσοῦτον ἀποσχὼν τῆς πόλεως, ἐξ ὅσου συνιδεῖν οὐ ῥᾴδιον ἦν, κενὰς τὰς ἁλιάδας μετεώρους σαλεύειν ἐκέλευσεν, αὐτὸς δὲ, μόνους ἑπτὰ τῶν σωματοφυλάκων ἀνόπλους ἔχων, ἔγγιον ὀφθῆναι προσῄει. θεασάμενοι δὲ αὐτὸν ἀπὸ τῶν τειχῶν ἔτι βλασφημοῦντες οἱ διάφοροι, καὶ διὰ τὴν ἔκπληξιν πάντα τὰ σκάφη γέμειν ὁπλιτῶν νομίσαντες, ἔρριψαν τὰ ὅπλα, καὶ κατασείοντες ἱκετηρίας ἐδέοντο φείσασθαι τῆς πόλεως.

θ'. Ὁ δὲ Ἰώσηπος πολλὰ διαπειλησάμενος αὐτοῖς, καὶ κατονειδίσας, εἰ [s] πρῶτα μὲν ἀράμενοι τὸν πρὸς Ῥωμαίους πόλεμον, εἰς στάσεις ἐμφυλίους [t] προαναλίσκουσι τὴν ἰσχὺν, καὶ τὰ εὐκταιότατα [v] πράσσοι τοῖς ἐχθροῖς, ἔπειτα τὸν κηδεμόνα τῆς ἀσφαλείας αὐτῶν ἀναρπάσαι σπεύδουσι, καὶ κλείειν οὐκ αἰδοῦνται τὴν πόλιν αὐτῶν τῷ τειχίσαντι, προσδέχεσθαι τοὺς ἀπολογησομένους ἔφασκε, καὶ δι' ὧν [x] βεβαιώσαιτο τὴν πόλιν. κατέβαινον δὲ εὐθέως δέκα τῶν [y] Τιβεριέων οἱ δυνατώτατοι. καὶ τοὺς μὲν ἀναλαβὼν μιᾷ τῶν ἁλιάδων [z] ἀνήγαγε πορρωτάτω. πεντήκοντα δὲ ἑτέρους τῆς βουλῆς τοὺς μάλιστα γνωρίμους κελεύει [a] προσελθεῖν, ὡς καὶ παρ' ἐκεί-

νων

z Παραγένηται,] Sic Big. & Bod. & mox παραγένεσθαι pro παραγένηται & παραγενέσθαι.

a Προεδήλουν.] Ita Big. Προεδήλουν in cæteris.

b Ατε] Roſſ. Οὔτε.

c Γάμαλα, καὶ Γίσχαλα,] Γάδαρα Big. Γάδαρα Voſſ. in Ruffini codicibus Gadara aut Gabra.

d Στρατηγήματι] Στρατηγήμασι Big. & forſan Ruf. qui vertit, *conſiliis*

e Καταντήσαντος] Roſſ. Καταντήσαντος.

f Τῶν δὲ] Τούτων δ' ἠγγελμένων Big. τοῦ δὲ ἠγγέλθη μὲν. Voſſ.

g Ηγγέλη—εὐθέως.] Conf. ſupr. c. 5. §. 3. Spanh.

h Βραδύνοντος αὐτοῦ,] Βραδύνοντος Big.

i Οὐδὲ γὰρ τὴν] Conf. ſup. lib. 1. c. 7. §. 3. Spanh.

k Επιοῦσαν—ἕξειν] Επιοῦσαν ἡμέραν Big. Huds. Coiſlin. & Lugd. Bat. ἡμέραν quoque addunt, verum perinde eſt. In Goo. peſſime τὴν πόλιν ἐπιοῦσαν. Hav.

l Εμελλεν] Ita Big. & Ruf. ἤμελλεν in cæteris.

m Δόλῳ δὴ περιελθεῖν] Ita Big. & Ruf. δόλῳ δὲ in cæteris.

n Ταριχαιῶν—κελεύσας,] Ταριχαιατῶν Bas. ἀποστατῶν Big.

o Προεξαγγείλοι] Προεξαγγείλαι Voſſ. παραγγείλοι Big.

p Τὸ—συναθροίσας,] Conf. de Vita §. 33. Spanh.

q Διακόσια—εὑρέθη,] Τριάκοντα δ' ηὑρέθησαν καὶ διακόσια Big.

r Τεσσάρων—ἑκάστῳ.] Τεσσάρων ἦσαν οὐ πλείους Big.

s Πρῶτα] Πρῶτοι Big. Bod. & Rhed.

t Προαναλίσκουσι] Παραναλίσκουσι Bod. & Roſſ.

v Πράσσοι τοῖς ἐχθροῖς,] Δρῷεν Big.

x Βεβαιώσαιτο τὴν πόλιν.] Βεβαιώσαιτο τὴν π. Bod.

y Τιβεριέων] Ruf. Τιβεριαίων.

z Ανήγαγε πορρωτάτω.] Ανήγαγε Voſſ.

a Προσελθεῖν,] Προελθεῖν Big.

b Πρo-

ἰων πίστιν τινὰ βουλόμενος λαβεῖν. ἔπειτα καινοτέρας σκήψεις ἐπινοῶν, ἄλλους ἐπ' ἄλλοις [b] ἐπὶ συνθήκαις [c] προσεκαλεῖτο. τοῖς δὲ κυβερνήταις ἐκέλευσε τῶν πληρωθέντων διὰ τάχους εἰς Ταριχαίας ἀναπλεῖν, καὶ συγκλείειν τοὺς ἄνδρας εἰς τὸ δεσμωτήριον, μέχρι πᾶσαν μὲν τὴν βουλὴν οὖσαν εἰς ἑξακοσίους, περὶ δὲ δισχιλίους τῶν ἀπὸ τοῦ δήμου συλλαβὼν, ἀνήγαγε σκαφίοις εἰς Ταριχαίας.

ι. Βοώντων δὲ τῶν λοιπῶν, αἴτιον εἶναι μάλιστα τῆς ἀποστάσεως [d] Κλεῖτόν τινα, καὶ παρακαλούντων εἰς ἐκεῖνον [e] ἀπερείδεσθαι τὴν ὀργὴν, ὁ Ἰώσηπος ἀνελεῖν μὲν οὐδένα προῄρητο, [f] Λευίαν δέ τινα τῶν [g] αὐτοῦ φυλάκων ἐκέλευσεν ἐξελθεῖν, ἵνα ἀποκόψῃ τὰς χεῖρας τοῦ Κλείτου. δείσας δὲ ἐκεῖνος εἰς ἐχθρῶν στῖφος ἀποβήσεσθαι μόνος, οὐκ ἔφη. χαλεπαίνοντα δὲ τὸν Ἰώσηπον ἐπὶ τοῦ σκάφους ὁ Κλεῖτος ὁρῶν, καὶ προθυμούμενον [h] ἀποπηδᾷν αὐτὸν ἐπὶ τὴν τιμωρίαν, ἱκέτευεν ἀπὸ τῆς ἀκτῆς τὴν ἑτέραν τῶν χειρῶν καταλιπεῖν. κἀκείνου κατανεύσαντος, ἐφ' ᾧ [i] τὴν ἑτέραν αὐτὸς ἀποκόψειεν [k] ἑαυτοῦ, σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος ἀπέκοψε τὴν λαιάν. εἰς τοσοῦτον δέους [l] ὑπ' αὐτοῦ Ἰωσήπου προήχθη. τότε μὲν δὴ κενοῖς σκαφίσι, καὶ δορυφόροις ἑπτὰ τὸν δῆμον αἰχμαλωτισάμενος, πάλιν [m] τὴν Τιβεριάδα προσηγάγετο. [n] μετὰ δ' ἡμέρας ὀλίγας [o] Γίσχαλα Σεπφωρίταις συναφεστᾶσαν ἑλὼν, ἐπέτρεψε διαρπάσαι τοῖς στρατιώταις. συναγαγὼν μέντοι πάντα, τοῖς δημόταις [p] δέδωκε, τοῖς τε κατὰ Σέπφωριν ὁμοίως καὶ Τιβεριάδα. καὶ γὰρ κἀκείνους χειρωσάμενος, νουθετῆσαι διὰ τῆς ἁρπαγῆς ἠθέλησε, καὶ τῇ ἀποδόσει τῶν χρημάτων πάλιν εἰς εὔνοιαν προσηγάγετο.

ad ſe venire juſſit, quaſi ab ipſis quoque ſibi fidem quandam dari voluerit. Deinde novas cauſationes excogitans, alios adhuc atque alios fœderis obtentu accerſitabat; adeoque navium repletarum gubernatoribus imperavit, ut celeriter Tarichæas navigarent, viroſque in carcerem includerent, donec univerſum quidem ſenatum ad DC, & duo circiter millia plebeiorum comprehenſa ſcaphis Tarichæas abduxit.

10. Cum autem reliqui vociferarent, Clitum quendam eſſe præcipuum defectionis auctorem, atque obſecrarent ut in illum iram *ſuam* conferret, Joſephus, qui id ſibi propoſuerat ut neminem *è popularibus ſuis* interficeret, Leviam quendam è ſatellitibus ſuis egredi juſſit, ut Clito manus amputaret. Ille vero veritus ut ſolus in globum inimicorum deſcenderet, id facere recuſabat. Clitus autem, cum Joſephum in ſcapha indignabundum ſtare videret, atque in eo fere eſſe ut ipſe deſiliret ad ſupplicium de eo ſumendum, à litore ſupplicabat, ut unam ſibi manum reliquam faceret. Cumque hoc conceſſiſſet Joſephus ea lege ut alteram ſibimet Clitus præcideret, educto ille dextera gladio lævam ſibi abſcidit. adeo eum timor ipſius Joſephi invaſerat. Tunc quidem Joſephus, cum vacuis ſcaphis & ſeptem ſatellitibus quoſdam de populo in ſervitutem abſtraxiſſet, rurſum Tiberiadem ſibi adjunxit. Paucis autem diebus, cum Giſcalorum urbem cepiſſet, quæ una cum Sepphoritis à ſe defecerat, eam militibus diripiendam conceſſit. Omnia tamen, quæ colligere potuit, civibus reddenda curavit, ſimiliter etiam Sepphoritis & Tibarienſibus. nam & hos in poteſtatem ſuam redactos defectionis ſuæ ex rapinis admonitos eſſe voluit; atque rerum ſuarum reſtitutione eos iterum ad benevolentiam alliciebat.

Clitus defectionis auctor, educta dextra gladio, levam ſibi amputat.

Giſcala, Sepphoris, & Tiberias capiuntur & diripiuntur.

ΚΕΦ. κβʹ.

Ἰουδαῖοι παρασκευάζονται τὰ πρὸς πόλεμον. ὁ Γιώρα Σίμων ἐφ' ἁρπαγὰς ἐτράπετο.

ΤΑ μὲν οὖν [q] κατὰ Γαλιλαίαν ἐπέπαυτο κινήματα. καὶ τῶν ἐμφυλίων παυσάμενοι θορύβων, ἐπὶ τὰς πρὸς Ῥωμαίους ἐτράποντο παρασκευάς. ἐν δὲ τοῖς Ἱεροσολύμοις, Ἀνανός τε ὁ ἀρχιερεὺς, καὶ τῶν δυνατῶν ὅσοι [r] μὴ τὰ Ῥωμαίων ἐφρόνουν, τό, τε [s] τεῖχος ἐπεσκεύαζον, καὶ πολλὰ τῶν πολεμιστηρίων ὀργάνων. καὶ διὰ πάσης μὲν τῆς πόλεως ἐχαλκεύετο βέλη, καὶ πανοπλία. πρὸς ἀτάκτοις δὲ γυμνασίαις τὸ τῶν νέων πλῆθος ἦν, [t] καὶ μεστὰ ἦν πάντα [v] θορύβου. δεινὴ δὲ κατήφεια τῶν μετρίων, καὶ πολλοὶ, τὰς μελλούσας προορώμενοι συμφορὰς, ἀπωλοφύροντο. θειασμοὶ δὲ τοῖς εἰρήνην ἀγαπῶσι δύσφημοι. τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν [x] ἐσχεδιάζοντο πρὸς ἡδονὴν, καὶ τὸ κατάστημα τῆς πόλεως [y] πρὶν ἐπελ-

CAP. XXII.

XXVIII.

Judæi intenti bellicis inſtrumentis conficiendis. Simon Gioræ filius ad rapinas ſe convertit.

ET Galilææ quidem motus *ita* compoſiti erant. Cum autem à turbis civilibus requieſcerent, id agebant ut ſe adverſus Romanos compararent. Hieroſolymis autem Ananus pontifex, & primorum quotquot cum Romanis non ſentiebant, muros inſtaurare properabant, & multa bellica inſtrumenta. Et paſſim quidem per urbem jacula & omne genus arma fabricata erant: exercitiis vero * tumultuoſis operam dabat ingens juvenum multitudo, & omnia perturbationis plena conſpiciebantur. Magna autem triſtitia moderatos occupabat; multique, futuras clades animo proſpicientes, in fletus & lamenta erumpebant. & auguria erant in malum omen ab iis accepta qui pacem amabant; ii vero qui bellum accenderant ea pro lubitu ſtatim interpretabantur, atque tum civitas

Hieroſolymorum ſtatus perturbatus.

b Ὡς ἐπὶ συνθήκαις] Illud ὡς non agnoſcit *Big.*
c Προσεκαλεῖτο] Ita *Voſſ.* προσκαλεῖτο ut *Editis Aliiſque.* προὐκαλεῖτο *Big.* & *Bod.*
d Κλεῖτον — ὀργὴν] Conf. *de Vita.* §. 34. SPANH.
e Ἀπερείδεσθαι τὴν ὀργὴν,] Videtis *Suidam* in voce hac ἀπερείδεσθαι *Voſſ.*
f Λευίαν] Λευὶν *Big.* quo modo & in quibuſdam *Ruſini* exemplaribus. HUDS. Conf. *de Vita* §. 34. SPANH.
g Αὐτοῦ — ἐξελθεῖν,] Τῷ' ἑαυτοῦ *Big.*
h Ἀποπηδᾷν — τιμωρίαν,] Αὐτοῦ ἀποπηδᾷν *Big.* & *Bod.*
i Τὴν — ἀποκόψειεν] Conf. *de Vita.* §. 34. SPANH.
k Ἑαυτοῦ,] Αὐτοῦ *Big.*
l Ὑπ' — προήχθη.] Ὑπὸ τοῦ Ἰωσήπου *Big.*
m Τὴν — προσηγάγετο.] Illud τὴν deeſt *Big.*
n Μετὰ — ὀλίγας] Ita *Big. Voſſ.* & *Bod.* δὲ non agnoſcit *Baſ.* mox μὲ poſt ἐπέτρεψε deleri auctoritate *Cod. Big.* & *Ruſini.*
o Γίσχαλα Σεπφωρίταις] *Coiſlin.* Σεπφωρ. ut & *Lugd. Bat.*
p Δέδωκε,] Ἔδωκε *Big. Voſſ.* & *Bod.*
q Κατὰ Γαλιλαίαν] Κατὰ τὴν Γαλ. *Voſſ.*
r Μὴ — ἐφρόνουν,] Ita *Big.* τὰ μὲ in *cæteris.*
s Τεῖχος] Abeſt a *Raſ.*
t Καὶ — πάντα] Μεστὰ δὲ ἦν πάντα *Big.*
v Θορύβου.] Θορύβων *Bod.*
x Ἐσχεδιάζοντο — ἡδονὴν,] Ita *Big.* & *Suidas* in voce. ἐσχετλιάζοντο in *Editis Aliiſque.*
y Πρὶν ἐπελθεῖν] *Raf.* Πλὴν ἐπελθόν.

* Injuſtis, *Ruf.*

civitas in eo erat ſtatu ac ſi jam peritura eſſet, etiam antequam in eam venirent Romani. Anano autem in animo erat paululum deſiſtere à bellicis inſtrumentis conficiendis, ut ſeditioſorum & Zelotarum, ut vocabantur, amentiam in melius mutaret: verum ab illorum vi ſuperatus eſt. & quis ejus *vitæ* finis fuerit in ſequentibus declarabimus.

Simon Gioræ filius rapinis & cædibus in Idumæam graſſatur.

2. At in Acrabatene toparchia Simon Gioræ filius, cum multos novis rebus ſtudentes congregaſſet, ad rapinas ſe convertit; & non ſolum locupletium domos dilacerabat, verum etiam corpora verberibus conficiebat: & jam ante palam in eo erat ut tyrannidem *quidem* ſibimet arriperet. Ab Anano autem & magiſtratibus miſſo adverſus eum exercitu, ad latrones qui Maſſadam occupabant cum ſuis effugiebat: ibique manens, donec Ananus aliique ejus inimici perempti erant, Idumæam una cum latronibus populabatur: adeoque ut ejus gentis magiſtratus, propter cæſorum multitudinem & frequentes rapinas, collecto exercitu, vicos præſidiis tenerent. At Judæorum quidem res *eo tempore* ita ſe habebant.

θεῖν Ῥωμαίους ἦν ὡς ἀπολουμένης. Ἀνάνῳ γε μὴν φροντὶς ἦν, κατὰ μικρὸν ἀφισταμένῳ τῆς εἰς τὸν πόλεμον παρασκευῆς, κάμψαι πρὸς τὸ συμφέρον [z] τούς τε στασιαστὰς, καὶ τὴν τῶν κληθέντων ζηλωτῶν ἀφροσύνην. [a] ἡττᾶτο δὲ τῆς βίας. κἀν τοῖς ἑξῆς [b] οἷυ τέλους ἔτυχε δηλώσομεν.

β. Κατὰ δὲ τὴν [c] Ἀκραβατηνὴν τοπαρχίαν [d] ὁ Γιώρα Σίμων, πολλοὺς τῶν νεωτεριζόντων συστησάμενος, ἐφ' ἁρπαγὰς ἐτράπετο, καὶ οὐ μόνον τὰς [e] οἰκίας [f] ἐσπάραττε τῶν πλουσίων, ἀλλὰ καὶ τὰ σώματα κατῃκίζετο, δῆλός τε ἦν πόρρωθεν ἀρχόμενος τυραννεῖν. πεμφθείσης δὲ ἐπ' αὐτὸν ὑπ' Ἀνάνου [g] καὶ τῶν ἀρχόντων στρατιᾶς, πρὸς τοὺς ἐν Μασάδᾳ λῃστὰς μεθ' ὧν εἶχε κατέφυγε, κἀκεῖ μέχρι τῆς Ἀνάνου καὶ τῶν ἄλλων [h] ἐχθρῶν ἀναιρέσεως μένων συνελῄζετο τὴν Ἰδουμαίαν. ὥστε τοὺς ἄρχοντας τοῦ ἔθνους διὰ τὸ πλῆθος τῶν φονευομένων, καὶ τὰς συνεχεῖς ἁρπαγὰς, στρατιὰν ἀθροίσαντας ἐμφρούρους τὰς κώμας ἔχειν. [i] καὶ τὰ μὲν κατὰ [k] τὴν [l] Ἰουδαίαν ἐν τούτοις ἦν.

z Τὴν—ἀφροσύνην.] Conf. infr. lib. 4. cap. 4. §. 6. & 7. Spanh.
a Ἡττᾶτο—βίας.] Ἡττᾶτο Big.
b Οἷυ τέλους ἔτυχε] Roſſ. Οἷυ ἔτυχε τοῦ τέλους.
c Ἀκραβατηνὴν τοπαρχίαν] Conf. ſupr. *Antt.* lib. 12. cap. 8. §. 1. Spanh. *Roſſ.* Ἀκραβατηνὴν. & delet τοπαρχίαν.
d Ὁ Γιώρα Σίμων.] De quo Simone infr. lib. 4. cap. 9. §. 3. Spanh.
e Οἰκίας] Roſſ. Οὐσίας.
f Ἐσπάραττε—πλουσίων.] Ἐσπάραξε Big.
g Καὶ—στρατιᾶς.] Καὶ τῶν ἀρχ. Big. & Ruf.
h Ἐχθρῶν ἀναιρέσεως] Illud ἐχθρῶν è *Cod. Big. Lugd. Bat.* & *Rufini* verſione.
i Καὶ τὰ μὲν κατὰ] Ἀλλὰ non agnoſcit *Big.* Huds. Neque etiam *Lugd. Bat.* ex quo locum reſtituimus, quum antea legeretur Ἀλλὰ τὰ μὲν, &c. Ita enim libros ſuos claudere ſolet Joſephus, uti patebit conferenti eoſdem. Hav.
k Τὴν] addidi è *Codd. Bod.*
l Ἰουδαίαν] Ἰουδαίων *MS. Lipſ.* & *Rufin.* Spanh.

TAAB

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΤΡΙΤΩ ΛΟΓΩ

ΤΩΝ ΙΩΣΗΠΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΗΣ ΙΟΥΔΑΙΚΗΣ ΑΛΩΣΕΩΣ.

JOSEPHI LIBRO TERTIO

HISTORIARUM EXCIDII JUDAICI

HÆC CONTINENTUR.

α'. Ὅπως Νέρων, πυθόμενος τὰ κατὰ τὴν Ἰουδαίαν, διετέθη.

β'. Ὅπως Ἰουδαῖοι, μετὰ τὴν Κεστίου πληγὴν ἐπελθόντες Ἀσκάλωνι, δὶς ἡττήθησαν, δισμυρίους σχεδὸν ἀπολέσαντες.

γ'. Ὅπως Οὐεσπασιανὸς, τὰς δυνάμεις ἀπὸ Ἀντιοχείας ἀναλαβὼν, ἐπὶ Πτολεμαΐδα ἦλθεν· ἔνθα ὑπαντήσαντες Σεπφωρῖται, Γαλιλαῖοι ὄντες, ἑαυτοὺς παρέδωκαν.

δ'. Ἔκφρασις Γαλιλαίας, καὶ πάσης τῆς Ἰουδαίας· καὶ ὅπως ὁρμήσας Ἰώσηπος ἑλεῖν Σέπφωριν ἀπεκρούσθη, Πλακίδου χιλιάρχου προσβοηθήσαντος.

ε'. Ὅπως Τίτος, ἀπὸ Ἀχαΐας εἰς Ἀλεξάνδρειαν περαιωθεὶς, κἀκεῖθεν ἀπάρας ἑνοῦται τῷ πατρὶ αὐτοῦ, πλείστην ὅσην συναγαγόντι δύναμιν.

ς'. Διαγραφὴ τῶν Ῥωμαϊκῶν στρατευμάτων τε καὶ στρατοπέδων, καὶ τῶν ἄλλων, ἐφ' οἷς ἐπαινοῦνται Ῥωμαῖοι.

ζ'. Ὅπως Πλάκιδος, ὁρμήσας αἱρῆσαι Ἰωτάπατα, ἀπεκρούσθη· καὶ Οὐεσπασιανοῦ εἰσβολὴ εἰς τὴν Γαλιλαίαν ἀπὸ Πτολεμαΐδος.

η'. Ἔκφρασις τῆς τῶν Ῥωμαίων ὁδευούσης στρατιᾶς.

θ'. Ὅπως διετέθησαν Ἰουδαῖοι, τὴν εὐταξίαν Ῥωμαίων ἰδόντες· καὶ ὅπως Ῥωμαῖοι, τὴν Γαδαρέων ἑλόντες, ἡβηδὸν πάντας ἀνεῖλον.

ι'. Ὡς Ἰώσηπος εἰς Τιβεριάδα φυγὼν, δέους τοὺς ἐν αὐτῇ ἐνέπλησεν. καὶ ὡς, γράψας τοῖς ἐν Ἱεροσολύμοις περὶ τῶν πραγμάτων, αὖθις εἰς Ἰωτάπατα εἰσέρχεται.

ια'. Ὅπως μαθὼν Οὐεσπασιανὸς τὸν Ἰώσηπον εἰς Ἰωτάπατα πεφευγέναι ἐκπολιορκεῖ τοῦτον.

ιβ'. Ἔκφρασις τῆς πόλεως Ἰωταπάτων, καὶ ὅπως Οὐεσπασιανὸς χώμασι τὰ πρὸ τοῦ τείχους ἐξομαλίσας, τὰς ἀφετηρίους μηχανὰς ἐπέστησεν.

ιγ'. Ὅπως Ἰώσηπος καταστρατηγεῖ Ῥωμαίους, τό, τε τεῖχος ὑψῶν, καὶ τὸ ποτὸν [a] τοῖς ἰδίοις μέτρῳ παρέχων, τὴν πολιορκίαν ἐπὶ μακρὸν γενέσθαι [b] προμηθούμενος.

ιδ'. Ὅπως διὰ τὸ ἀπογνῶναι τὴν σωτηρίαν τῆς πόλεως βουλόμενος ἐξελθεῖν, ἐκωλύθη παρὰ τῶν πολιτῶν.

ιε'. Περὶ τῆς κατασκευῆς τοῦ μηχανήματος τοῦ λεγομένου κριοῦ, καὶ ὡς Ἰουδαῖοι τὰ πολεμικὰ Ῥωμαίων ὄργανα πυρὶ διέφθειραν.

1. *Quomodo Nero affectus erat, cum res Judæ perturbatas accepiſſet.*

2. *Quomodo Judæi, poſt Ceſtii cladem Aſcalonem adorti, bis ſuperati erant, amiſſis viginti fere hominum millibus.*

3. *Quomodo Veſpaſianus, copiis quæ Antiochiæ erant ſecum aſſumtis, Ptolemaidem profectus eſt: ubi Sepphoritæ, populus Galilææ, obviam facti, ſeſe dediderunt.*

4. *Galilææ & univerſæ Judææ deſcriptio: & quomodo Joſephus, ad Sepphorin capiendam ire contendit, & repulſus eſt à Placido tribuno, qui ſubſidio venerat.*

5. *Quomodo Titus Alexandriam tranſmiſit ex Achaja, cumque inde moviſſet patri ſe junxit, id agenti ut copias quas poterat maximas colligeret.*

6. *Deſcriptio Romanorum exercituum, & caſtrorum, aliorumque, propter quæ laudantur Romani.*

7. *Quomodo Placidus repulſus eſt; tentatis oppugnatione Iotapatis: & Veſpaſianus Ptolemaide profectus impreſſionem facit in Galilæam.*

8. *Deſcriptio Romani exercitus in itineribus.*

9. *Quomodo affecti erant Judæi, cum Romanorum diſciplinam conſpexiſſent: atque Romani, captis Gadaris, omnes cujuſcunque ætatis peremerunt.*

10. *Qualiter Joſephus, cum Tiberiadem fuga ſe recepiſſet, metum incolis omnibus injecit: atque literis de rerum ſtatu ad Hieroſolymitas miſſis, iterum Jotapata revertitur.*

11. *Quomodo Veſpaſianus, ubi intellexit Joſephum profugiſſe Iotapata, ipſum obſidet.*

12. *Deſcriptio urbis Iotapatenæ. & quomodo Veſpaſianus, cum ſpatium omne ante muros aggeribus compleſſet, machinas ad tela emittenda erexit.*

13. *Quomodo Joſephus ſtratagematis utitur adverſus Romanos, & muros attollens, & potum menſura ſuis miniſtrans, aliaque excogitans quibus protraheretur obſidio.*

14. *Quomodo, cum egredi voluiſſet ſalute civitatis deſperata, prohibitus eſt à civibus.*

15. *De conſtructione machinæ, quæ aries dicitur; atque Judæi bellica Romanorum inſtrumenta igne labefactarunt.*

15. *De*

[a] Τοῖς ἰδίοις] Τοῖς Ἰουδαίοις Gall.
[b] Προμηθούμενος.] Προθυμούμενος in Cod. Urbinate.

16. *De Eleazaro Samea filio; utque Veſpaſiano pes vulneratur jaculo.*

17. *De vi baliſtarum & catapultarum, & quam longe corporum partes avulſa ejaculata erant.*

18. *Quomodo Veſpaſianus trifariam urbem circumdedit, & quanam Joſephus adverſus eum machinatus eſt.*

19. *Quomodo Joſephus oleum fervens & fœnum Græcum decoctum ſuper Romanos urbem obſidentes effudit.*

20. *Quomodo Veſpaſianus, majori cum ſecuritate machinas urbi admovens, aggeres erexit.*

21. *Quomodo Japha, urbs vicina Iotapatis, iiſdem diebus à Romanis capta eſt, primo quidem à Trajano illuc miſſo, deinde à Tito.*

22. *Quomodo etiam Samaritæ à Cerealio ad internecionem caſi ſunt.*

23. *Quomodo expugnata ſunt Iotapata, à transfuga prodita: ubi & Antonius centurio occiſus eſt.*

24. *Quomodo Joſephus, cum in latebras abditus una cum aliis occultari videretur, proditus à muliere, ſeſe Romanis tradere voluit.*

25. *Quomodo qui ſimul erant cum Joſepho ei obſtiterunt, quo minus ſemet dederet Romanis; & quanam ad ipſos diſſeruit.*

26. *Illis non valens perſuadere quod voluit, per certos numeros artificioſe diſpoſitos omnes eo deduxit, ut alter ab altero perimi vellent: ipſe duntaxat cum altero relictus eſt, & ad Romanos abductus.*

27. *Ad Veſpaſianum ductus quænam verba faciebat: & quomodo ab ipſo tractatus eſt.*

28. *Quomodo Veſpaſianus rediit Cæſaream urbem maritimam, illic cum exercitu hyematurus.*

29. *Quomodo ex urbibus vaſtatis qui effugerant, in unum collecti, Ioppen inſtaurarunt: & qualiter ipſi necati ſunt à Romanis, & urbs funditus everſa.*

30. *Quomodo affecti erant Hieroſolymitæ, auditis quæ Iotapatis acciderunt. utque primum quidem, cum accepiſſent Joſephum mortem oppetiiſſe, lamenta ediderunt: deinde cum ex Romanis intellexiſſent ipſum magno in honore eſſe, ira exardebant, & majori impetu ad bellum ferebantur, quaſi & ipſum pariter ac Romanos ulturi eſſent.*

31. *Quomodo Veſpaſianus Cæſareâ maritimâ Cæſaream Philippi tranſiit, ab Agrippa invitatus; ubi & de Tiberiadis & Tarichearum defectione audivit.*

32. *Quomodo capta eſt Tiberias, cum populum defectionis pœnituiſſet & ſibi ignoſci petiiſſet.*

33. *Quomodo Titus, à patre Tarichæas miſſus, cum ſuos adverſariorum multitudine perterritos videret, allocutione eos confirmat.*

34. *Quomodo Romani, Titi orationis vi alacres facti & animati, Tarichæas expugnarunt, & multos in urbe hoſtes jugularunt.*

35. *Deſcriptio Jordanis & regionis Genneſar.*

36. *Quomodo Veſpaſianus imperator tractavit Tarichæatas quos ceperat.*

ιϛʹ. Περὶ Ἐλεαζάρου τοῦ υἱοῦ Σαμέου. καὶ ὡς Οὐεσπασιανὸς βέλει κατὰ τὸν πόδα τιτρώσκεται.

ιζʹ. Περὶ τῆς βίας τῶν πετροβόλων ὀργάνων, ὁπόσον διέστημα τὰ ἀπορρηγνύμενα τῶν σωμάτων ἀπεσφενδόνα μέρη.

ιηʹ. Ὡς Οὐεσπασιανὸς τειχῆ τὴν πόλιν περιέβαλε, καὶ οἷα Ἰώσηππος ἀντεμηχανήσατο.

ιθʹ. Ὅπως Ἰώσηππος ζέον ἔλαιον, καὶ τῆλιν ἑφθὴν τοῖς πολιορκοῦσι τῶν Ῥωμαίων ὑπεξέχεεν.

κʹ. Ὅπως Οὐεσπασιανὸς, ἀσφαλέστερον προσάγων τῇ πόλει τὰς μηχανὰς, ὕψωσε τὰ χώματα.

καʹ. Ὅπως Ἰαφὰ πόλις, ἀστυγείτων Ἰωταπάτοις, κατὰ τὰς αὐτὰς ἡμέρας ὑπὸ Ῥωμαίων ἥλω, πρῶτον μὲν ὑπὸ Τραϊανοῦ πεμφθέντος, ἔπειθ᾽ ὑπὸ Τίτου.

κβʹ. Ὅπως καὶ οἱ Σαμαρεῖς ὑπὸ Κερεαλίου πανδημεὶ ἀπεσφάγησαν.

κγʹ. Ὅπως ἑάλω Ἰωτάπατα ὑπὸ αὐτομόλου προδοθέντα, ἔνθα καὶ ὁ ἑκατόνταρχος Ἀντώνιος ἐσφάγη.

κδʹ. Ὅπως Ἰώσηππος, δόξας λαθεῖν [a] σὺν ἑτέροις, ὑπὸ γυναικὸς μηνυθεὶς, ἑαυτὸν Ῥωμαίοις ἐβουλήθη παραδοῦναι.

κεʹ. Ὅπως ἐκώλυον Ἰώσηππον οἱ συνόντες αὐτῷ δεξιὰς δοῦναι Ῥωμαίοις, καὶ ὁποῖα πρὸς αὐτοὺς διεξῆλθε.

κϛʹ. Ὅτι μὴ δυνάμενος αὐτοὺς πεῖσαι, διά τινος ἀριθμοῦ τεχνικῶς αὐτοὺς μεθοδεύσας, πάντας ὑπ᾽ ἀλλήλων ἀναιρεθῆναι παρεσκεύασεν· αὐτὸς μόνος σὺν ἑτέρῳ καταλειφθεὶς, καὶ πρὸς Ῥωμαίους ἀπαχθείς.

κζʹ. Ὁποῖα πρὸς Οὐεσπασιανὸν ἀχθεὶς εἶπε, καὶ ὅπως ἐκεῖνος αὐτῷ ἐχρήσατο.

κηʹ. Ὅπως Οὐεσπασιανὸς εἰς τὴν παραλίαν Καισάρειαν ἐπανέστρεψε, τὸν χειμῶνα ποιήσων μετὰ τῆς στρατιᾶς.

κθʹ. Ὅπως οἱ ἐκπεσόντες τῶν πεπορθημένων πόλεων συνελθόντες τὴν Ἰόππην ἔκτισαν, καὶ οἵῳ τρόπῳ αὐτότε ὑπὸ Ῥωμαίων ἀπώλοντο, καὶ ἡ πόλις κατεσκάφη.

λʹ. Ὅπως διετέθησαν οἱ ἐν Ἱεροσολύμοις, πυθόμενοι τὰ κατὰ τὰ Ἰωτάπατα. καὶ ὡς πρῶτον μὲν, ἀκούσαντες Ἰώσηππον τεθνάναι, ὠλοφύραντο· ἔπειτα μαθόντες παρὰ Ῥωμαίοις ἐν μεγίστῃ τιμῇ αὐτὸν εἶναι, σφόδρα ὀργίσθησαν, καὶ μᾶλλον πρὸς τὸν πόλεμον ὥρμησαν, ὡς καὶ αὐτὸν μετὰ τῶν Ῥωμαίων ἀμυνούμενοι.

λαʹ Ὡς Οὐεσπασιανὸς ἀπὸ τῆς παραλίου Καισαρείας εἰς τὴν Φιλίππου μετέβη, ὑπ᾽ Ἀγρίππα κληθεὶς, ἔνθα καὶ τὴν ἀπόστασιν Τιβεριάδος καὶ Ταριχαιῶν ἤκουσεν.

λβʹ. Ὅπως ἑάλω Τιβεριὰς μετανοίᾳ τοῦ δήμου καὶ συγγνώμῃ.

λγʹ. Ὅπως Τίτος, ἀποσταλεὶς ὑπὸ τοῦ πατρὸς εἰς Ταριχαίας, καὶ τοὺς οἰκείους διὰ τὸ πλῆθος τῶν ἐναντίων καταπεπληχότας ὁρῶν, δημηγορίᾳ τούτους [b] παρεκράτει.

λδʹ. Ὡς προθυμίας ἐμπλησθέντες Ῥωμαῖοι, τῇ τῶν λόγων ἰσχύϊ Τίτου, τὰς Ταριχαίας ἐκράτησαν, καὶ πολλοὺς τῶν ἐν αὐτῇ πολεμίους κατέσφαξαν.

λεʹ. Ἔκφρασις Ἰορδάνου καὶ τῆς Γεννησὰρ χώρας.

λϛʹ. Ὅπως τοῖς ἁλοῦσι τῶν Ταριχαιατῶν Οὐεσπασιανὸς ὁ στρατηγὸς ἐχρήσατο.

a Σὺν ἑτέροις,] Σὺν ἑταίροις Vat.

b Παρεκράτει] Παρεκρότει Vat. & Buſb.

[a] ΦΛ. ΙΩΣΗΠΟΥ
ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ,
Η
ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ
ΛΟΓΟΣ Γ.

FLAVII JOSEPHI
DE BELLO JUDAICO,
SIVE
JUDAICÆ HISTORIÆ DE EXCIDIO,
LIBER III.

ΚΕΦ. α΄.

Οὐεσπασιανὸς ὑπὸ Νέρωνος πέμπεται εἰς τὴν Συρίαν, ἐπὶ τοὺς Ἰουδαίους ἐπιστρατευσόμενος.

NΕΡΩΝΙ δ᾽ ὡς ἠγγέλη τὰ κατὰ τὴν Ἰουδαίαν πταίσματα, λεληθυῖα μὲν ὡς εἰκὸς ἔκπληξις ἐμπίπτει καὶ δέος. Φανερῶς δ᾽ ὑπερηφάνει καὶ προσωργίζετο, [b] στρατηγῶν [c] μὲν ῥᾳθυμίᾳ μᾶλλον ἢ ταῖς τῶν πολεμίων ἀρεταῖς γεγονέναι τὰ συμβάντα, λέγων· πρέπειν δὲ ἡγούμενος [d] αὐτὸς διὰ τὸν ὄγκον τῆς ἡγεμονίας κατασοβαρεύεσθαι τῶν σκυθρωπῶν, καὶ δοκεῖν δεινοῦ παντὸς ἐπάνω τὴν ψυχὴν ἔχειν. διηλέγχετο γε μὴν ὁ τῆς ψυχῆς θόρυβος [e] ὑπὸ τῶν φροντίδων.

β. [f] Σκεπτόμενος δὲ, τίνι πιστεύσει κινουμένην τὴν ἀνατολὴν, ὃς τιμωρήσεται μὲν τὴν Ἰουδαίων ἐπανάστασιν, προκαταλήψεται δὲ αὐτοῖς ἤδη καὶ τὰ πέριξ ἔθνη συννοσοῦντα, μόνον εὑρίσκει Οὐεσπασιανὸν ταῖς χρείαις ἀναλογοῦντα, καὶ τηλικούτου πολέμου [g] μέγεθος ἀναδέξασθαι δυνάμενον, ἄνδρα ταῖς ἀπὸ νεότητος [h] στρατείαις [i] ἐγγεγηρακότα, καὶ προειρηνεύσαντα μὲν πάλαι Ῥωμαίοις τὴν ἑσπέραν ὑπὸ Γερμανῶν ταρασσομένην, προσκτησάμενον δὲ τοῖς ὅπλοις [k] Βρεττανίαν τέως λαν-

CAP. I.

Vespasianus à Nerone mittitur in Syriam, ut Judæos bello aggrediatur.

CUM Neroni narratum eſſet, res apud Judæam male ceciſſe, clam quidem, ut veriſimile erat, animo conſternatus eſt & metu *vehementer* ictus. At palam arrogantia efferebatur, & ira intumeſcebat, ducis exercitûs negligentia potius quam virtute hoſtium facta eſſe quæ acciderant, dicens; ipſumque decere exiſtimans propter imperii majeſtatem triſtia ſpernere & nihili habere, viderique malis omnibus ſuperiorem animum gerere. Cæterum mentis trepidationem arguebant curæ & ſollicitudo. *Nero ex rebus in Judæa male geſtis animo perturbatus.*

2. Cum autem deliberaret, cuinam committeret Orientem motibus agitatum, ut Judæorum rebellium pœnas perſequeretur, genteſque vicinas ſimili inſania correptas, *ne idem facerent*, prævertere, ſolum Veſpaſianum invenit rerum neceſſitatibus parem, & qui in ſe tanti belli molem poſſet ſuſcipere; virum, à prima adoleſcentia uſque ad ſenectutem, bellis exercitatum; & qui pop. Rom. jampridem pacaſſet Orientem, à Germanis perturbatum; armiſque vendicaſſet Britanniam antea parum *De duce, quem ad motus comprimendos mitteret, deliberat.*

[a] ΦΛ. ΙΩΣΗΠΟΥ ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ,] Φλαβίου Ἰωσήπου περὶ ἁλώσεως λόγος γ΄. *Voſſ.* & *Bod.*

[b] Στρατηγῶν] L. B. Στρατηγῶν.

[c] Μὲν ῥᾳθυμίᾳ] Illud μὲν è MSS.

[d] Αὐτὸς διὰ τὸν ὄγκον] Ἑαυτῷ *Big.*

[e] Ὑπὸ τῶν φροντίδων.] Ita *Baib. Vat. Roſt.* & *Rhod.* ὑπὲρ in *Editis Aliiſque.*

[f] Σκεπτόμενος δὲ,] Σκεπτόμενον *Big. Vat.* & *Voſſ.*

[g] Μέγεθος ἀναδέξασθαι] Βάρος *Bod.* & *Roſt.*

[h] Στρατείαις] Ita cum *Cod. Big.* στρατιαῖς in *cæteris.*

[i] Ἐγγεγηρακότα,] Γεγηρακότα *Bod.* & *Gall.*

[k] Βρεττανίαν τέως λανθάνουσαν.] Claudio principe, Veſpaſianus Narciſſi gratia legatus legionis in Germaniam miſſus eſt: inde in Britanniam tranſlatus, tricies cum hoſte conflixit. *Sueton.* in *Veſpaſiano.*

rum cognitam: unde patri quoque ipſius Claudio præſtitit, ut ſudore non ſuo triumpharet.

Veſpaſianum, ut maxime idoneum, in Syriam & Judæam mittit.

3. Adeoque hinc bono omine deſumpto, cum & ſtabilem ætatem peritiâ rerum conjunctam videret, & fidei ſuæ obſides liberos, eorumque ætatem integram manus ſuppeditantem paternæ prudentiæ, forſan & Deo aliquid de univerſis præordinante, virum mittit qui cum imperio præeſſet Syriæ exercitibus, multis blanditiis, quales poſtulat neceſſitas, ad eum incitandum adhibitis & officioſis delinimentis. Ille autem ex Achaia, ubi tum cum Nerone erat, Titum quidem filium ſuum miſit Alexandriam, ut inde quintam & decimam legiones moveret. ipſe vero, trajecto Helleſponto, pedibus in Syriam pervenit: ibique Romanas copias & multa regum vicinorum auxilia congregabat.

Titus in Alexandriam miſſus: Veſpaſianus in Syriam pervenit.

θάνυσαν· [l] ὅθεν αὐτῷ καὶ τῷ πατρὶ Κλαυδίῳ παρέσχε, χωρὶς ἱδρῶτος ἰδίου θρίαμβον καταγαγεῖν.

γ'. [m] Ταῦτά τε δὴ [n] προκληδονιζόμενος, καὶ σταθερὰν μετ᾽ ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν, μέγα δὲ πίστεως αὐτοῦ τοὺς υἱοὺς ὅμηρον, καὶ τὰς τούτων ἀκμὰς χεῖρα τῆς πατρῴας συνέσεως, τάχα τι καὶ περὶ τῶν ὅλων ἤδη τοῦ Θεοῦ προοικονομουμένου, πέμπει τὸν ἄνδρα [o] διαληψόμενον τὴν ἡγεμονίαν τῶν ἐπὶ Συρίας στρατευμάτων, πολλὰ πρὸς τὸ ἐπεῖγον, οἷα κελεύουσιν αἱ ἀνάγκαι, μειλιξάμενός τε καὶ προθεραπεύσας. ὁ δὲ ἀπὸ τῆς Ἀχαΐας, ἔνθα συνῆν τῷ Νέρωνι, τὸν μὲν υἱὸν Τίτον ἔστειλεν [p] ἐπ᾽ Ἀλεξανδρείας, [q] τό τε πέμπτον καὶ τὸ δέκατον ἐκεῖθεν ἀναστήσοντα τάγμα. περάσας δὲ αὐτὸς τὸν Ἑλλήσποντον, πεζὸς εἰς Συρίαν ἀφικνεῖται, κἀκεῖ τάς τε Ῥωμαϊκὰς δυνάμεις [r] συνῆγε, καὶ συχνοὺς παρὰ τῶν γειτνιώντων βασιλέων συμμάχους.

CAP. II.

Magna Judæorum cædes circa Aſcalonem. Veſpaſianus Ptolemaidem venit.

Judæi bellum moventes, & cum copiis Aſcalonem contendunt.

JUdæi autem, poſt Ceſtii cladem inexſpectato rerum ſucceſſu elati, animorum impetus cohibere non poterant, & quaſi * fortunæ flabellis excitati bellum ulterius producere ſatagebant. Itaque ſtatim univerſi, quotquot pugnaciſſimi, congregati Aſcalonem *recta* contenderunt. Urbs *hæc* antiqua eſt, quingentis & viginti ſtadiis diſtans ab Hieroſolymis, ſemper odio habita à Judæis, ac propterea tunc primis illorum incurſibus propior fore viſa eſt. Excurſibus autem duces præerant tres viri & *corporis* robore & prudentia *omnium* eminentiſſimi, Niger *quidem* Peraïta, & Silas Babylonius, prætereaque Joannes Eſſæus. Et Aſcalon valide quidem munita fuerat: præſidiis vero fere deſtituta erat. eam quippe una *tantum* peditum cohors, & una equitum ala tuebatur, duce Antonio.

Romani, duce Antonio, cum Judæis congrediuntur.

2. Et illi quidem, ut qui ira incitati longe majori cum celeritate iter fecerant, ac ſi ex propinquo venirent, protinus aderant. Antonius vero (non enim neſciebat, jam futurum eſſe ut impetum in *urbem* facerent) equites prius eduxit, & nihil veritus aut hoſtium multitudinem aut audaciam, primum aggreſſionem fortiter ſuſtinuit, & ad mœnia irruentes propulſavit. Illi vero, belli imperiti cum peritis commiſſi, & pedites cum equitibus, incompoſiti cum denſis & confertis, & leviter armati cum militibus gravi armatura inſtructis, & majori animo quam conſilio militantes, cum dicto audientibus & uno nutu omnia facientibus dimicantes, facile profligantur. nam ut ſemel eorum primæ turbatæ erant acies, ab equitibus ſtatim in fugam vertuntur; & iis qui à tergo erant murum

ΚΕΦ. β'.

Μεγάλη Ιουδαίων σφαγὴ περὶ Ασκάλωνα. Οὐεσπασιανὸς εἰς Πτολεμαΐδα ἀφικνεῖται.

ΙΟυδαῖοι δὲ, μετὰ τὴν Κεστίου πληγὴν ἐπηρμένοι ταῖς ἀδοκήτοις εὐπραγίαις, ἀκρατεῖς ἦσαν ὁρμῆς, καὶ ὥσπερ [s] ἐκριπιζόμενοι τῇ τύχῃ προσωτέρω τὸν πόλεμον ἐξῆγον. πάντες γοῦν εὐθέως ὅσον ἦν μαχιμώτατον αὐτῶν ἀθροισθέντες, ὥρμησαν ἐπ᾽ Ασκάλωνα. πόλις ἐστὶν ἀρχαία, τῶν Ιεροσολύμων εἴκοσι πρὸς τοῖς πεντακοσίοις ἀπέχουσα σταδίους, αἰεὶ διὰ μίσους Ιουδαίοις γεγενημένη, διὸ καὶ τότε ταῖς πρώταις ὁρμαῖς [t] ἐγγίων ἔδοξεν. ἐξηγοῦντο δὲ τῆς καταδρομῆς τρεῖς ἄνδρες, ἀλκήν τε κορυφαῖοι καὶ σύνεσιν, [v] Νίγερ τε ὁ Περαΐτης, καὶ ὁ Βαβυλώνιος Σίλας, πρὸς οἷς Ιωάννης ὁ Εσσαῖος. ἡ δὲ Ασκάλων ἐτετείχιστο μὲν καρτερῶς, βοηθείας δὲ ἦν σχεδὸν ἔρημος. ἐφρουρεῖτο γὰρ ὑπό τε [x] σπείρας πεζῶν, καὶ ὑπὸ μιᾶς ἴλης ἱππέων, [y] ἧς ἐπῆρχεν Ἀντώνιος.

β'. Οἱ μὲν οὖν πολὺ ταῖς [z] ὀργαῖς συντονώτερον ὁδεύσαντες, ὡς ἐγγύθεν ὡρμημένοι, καὶ δὴ παρῆσαν. ὁ δὲ Ἀντώνιος, οὐ γὰρ ἠγνόει μέλλουσαν ἔτι τὴν ἔφοδον αὐτῶν, [a] προεξήγαγε τοὺς ἱππεῖς, καὶ μηδὲν οὔτε πρὸς τὸ πλῆθος, οὔτε [b] πρὸς τὴν τόλμαν ὑποδείσας τῶν πολεμίων, καρτερῶς τὰς πρώτας ὁρμὰς [c] ἀνεδέξατο, καὶ τοὺς ἐπὶ τὸ τεῖχος [d] ὠθουμένους ἀνέστειλεν. οἱ δὲ πρὸς ἐμπείρους [e] γε [f] πολέμων ἄπειροι, καὶ πεζοὶ πρὸς ἱππεῖς, ἀσύντακτοί τε πρὸς [g] ἡνωμένους, καὶ πρὸς ὁπλίτας ἐξηρτυμένους [h] εἰκαιότερον ὡπλισμένοι, θυμῷ τε πλέον ἢ βουλῇ στρατηγούμενοι, πρὸς εὐπειθεῖς καὶ νεύματι πάντα πράττοντας ἀντιτασσόμενοι, πονοῦσι ῥᾳδίως. ὡς γὰρ αὐτῶν [i] ἅπαξ ἤδη συνεταράχθησαν αἱ πρῶται φάλαγγες, ὑπὸ τῆς ἵππου τρέπονται, καὶ τοῖς κατό-

πιν

l Ὅθεν αὐτῷ] Ὅθεν καὶ τῷ πατρὶ αὐτοῦ Bod. ὅθεν αὐτῷ καὶ τῷ πατρὶ Big. contra quam Ruf. qui vertit, *unde patri quoque ipſius Claudio* &c.

m Ταῦτά τε] Ita Big. Voſſ. Buſb. Rhed. Gall. Vat. & Suidas in v. προκληδονιζόμενος. antea erat ταῦτά γε δή.

n Προκληδονιζόμενος,] Προσκληδονιζόμενος Suid.

o Διαληψόμενον] Ἀναληψόμενον Big.

p Επ᾽ Ἀλεξανδρείας,] Επ᾽ Ἀλεξανδρείαν Big. εἰς Ἀλεξανδρείαν. Bod. & Kaſ.

q Τό τε πέμπτον] Τὸ πέμπτον Big. & mox τάγματα Vat.

r Συνῆγε,] Συνήγαγε Big.

s Εκριπιζόμενοι] Conf. ſupr. lib. 2. c. 14. §. 6. Spanh.

t Εγγίων ἔδοξεν.] Εγγίων. Big.

v Νίγερ τε ὁ Περαΐτης,] Conf. ſupr. lib. 2. c. 20. §. 4. Spanh.

x Σπείρας πεζῶν,] Σπείρης Big. Bod. Vat. & Voſſ.

y Ἧς ἐπῆρχεν Ἀντώνιος.] Ἧς ἦρχεν Voſſ.

z Ὀργαῖς συντονώτερον ὁδεύσαντες,] Ὁρμαῖς συντονώτερον Big.

a Προεξήγαγε τοὺς ἱππεῖς,] Προεξήγαγέ τε Big.

b Πρὸς τὴν τόλμαν] Πρὸς non agnoſcit Big.

c Ανεδέξατο,] Υπεδέξατο Big. & Raſt.

d Ὠθουμένους ἀνέστειλεν.] Ὠθουμένους Big.

e Γε] Τε L. B.

f Πολέμων ἄπειροι,] Πολεμίων Big.

g Ηνωμένους,] Ηνωμένοις τῷ θελήματι Athena. lib. 7. p. 311. E. Spanh.

h Εἰκαιότερον ὡπλισμένοι,] Οἱ κουφότεροι Bod.

i Ἅπαξ ἤδη συνεταράχθησαν] Illud ἅπαξ deeſt Big. Vat. & Voſſ.

* Fortuna eos exagitante perciti, Ruf. Vide Suidam in voce ἐκριπιζόμενοι.

σιν αὐτῶν ἐπὶ τὸ τεῖχος βιαζομένοις περιπίπτοντες, ἀλλήλοις ἦσαν πολέμιοι, μέχρι πάντες, ταῖς τῶν ἱππέων [k] εἰσβολαῖς εἴξαντες, ἐσκεδάσθησαν ἀνὰ πᾶν τὸ πεδίον. τὸ δὲ ἦν [l] πλατὺ, καὶ πᾶν ἱππάσιμον. ὃ δὴ, καὶ τοῖς Ῥωμαίοις συνεργῆσαν, πλεῖστον εἰργάσατο τῶν Ἰουδαίων φόνον. τούς τε γὰρ φεύγοντας αὐτῶν φθάνοντες ἐπέστρεφον, καὶ τῶν ὑπὸ τοῦ δρόμου συνειλεγμένων διεκπαίοντες, [m] ἀπείρους ἀνῄρουν. ἄλλοι δὲ ἄλλους, [n] ὅπῃ τρέποιντο, κυκλούμενοι καὶ περιελαύνοντες κατηκόντιζον ῥᾳδίως. καὶ τοῖς μὲν Ἰουδαίοις τὸ ἴδιον πλῆθος ἐρημία πρὸς τὰς ἀμηχανίας κατεφαίνετο· Ῥωμαῖοι δ᾽ ἐν ταῖς εὐπραγίαις, καίτοι ὄντες ὀλίγοι τοῦ πολέμου, καὶ περιττεύειν σφᾶς αὐτοὺς ὑπελάμβανον. καὶ τῶν μὲν προσφιλονεικούντων τοῖς πταίσμασιν, αἰδοῖ τε φυγῆς ταχείας καὶ μεταβολῆς ἐλπίδι, τῶν δὲ μὴ κοπιώντων ἐν οἷς εὐτύχουν, παρέτεινεν ἡ μάχη μέχρι δείλης, ἕως ἀνῃρέθησαν μὲν [o] μύριοι τῶν Ἰουδαίων ἀριθμὸν ἄνδρες, καὶ δύο τῶν ἡγεμόνων, Ἰωάννης τε καὶ Σίλας· οἱ λοιποὶ δὲ τραυματίαι τὸ πλέον, σὺν τῷ περιλειπομένῳ τῶν ἡγεμόνων Νίγερι, τῆς Ἰδουμαίας εἰς πολίχνιόν τινα, [p] Σάλλις καλεῖται, συνέφυγον. ὀλίγοι δέ τινες καὶ τῶν Ῥωμαίων ἐπὶ ταύτης τῆς παρατάξεως ἐτρώθησαν.

ϛ. Τοιαῦται [h] μὲν οὖν αἱ Ῥωμαίων πορεῖαί τε καὶ καταλύσεις, πρὸς δὲ ὅπλων διαφοραί. οὐδὲν δὲ ἀπροβούλευτον ἐν ταῖς μάχαις, οὐδὲ αὐτοσχέδιον· ἀλλὰ γνώμη μὲν ἀεὶ παντὸς ἔργου προάγει, τοῖς δοχθεῖσι δὲ ἕπεται τὰ ἔργα. παρ' ὃ καὶ σφάλλονται μὲν ἥκιστα, κἂν πταίσωσι δὲ ῥᾳδίως ἀναλαμβάνουσι τὰ σφάλματα. ἡγοῦνταί τε τῶν ἀπὸ τύχης ἐπιτευγμάτων ἀμείνους τὰς ἐπὶ τοῖς προβουλευθεῖσι διαμαρτίας, ὡς τοῦ μὲν αὐτομάτου καλοῦ δελεάζοντος εἰς ἀπρομήθειαν, τῆς σκέψεως δὲ, κἂν ἀτυχήσῃ ποτὲ, πρὸς τὸ μὴ αὖθις καλὴν ἐχούσης μελέτην· καὶ τῶν μὲν [i] αὐτομάτων ἀγαθῶν οὐ τὸν [k] λαβόντα αἴτιον εἶναι, τῶν δὲ παρὰ γνώμην προσπεσόντων σκυθρωπῶν παραμυθίαν τό γε προσηκόντως βεβουλεῦσθαι.

ζ. Παρασκευάζουσι μὲν οὖν ἐν ταῖς μελέταις τῶν ὅπλων οὐ τὰ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχὰς ἀλκίμους. προσασκοῦνται δὲ καὶ τῷ φόβῳ. οἵ τε γὰρ νόμοι παρ' αὐτοῖς οὐ λιποταξίου μόνον ἀλλὰ καὶ ῥᾳστώνης [l] ὀλίγης θανατικοί, οἵ τε στρατηγοὶ τῶν νόμων φοβερώτεροι· ταῖς γὰρ πρὸς τοὺς ἀγαθοὺς τιμαῖς [m] ῥύονται τὸ δοκεῖν ὠμοὶ πρὸς τοὺς κολαζομένους. τοσοῦτον δὲ αὐτῶν τὸ πρὸς τοὺς ἡγεμόνας πειθήνιον, ὡς ἔν τε εἰρήνῃ κόσμον εἶναι, καὶ ἐπὶ παρατάξεως ἓν σῶμα τὴν ὅλην στρατιάν. οὕτως αὐτῶν [n] συναφεῖς [o] μὲν αἱ τάξεις, εὔστροφοι δέ εἰσιν αἱ περιαγωγαί, ὀξεῖαι δὲ ἀκοαὶ μὲν παραγγέλμασιν, ὄψεις δὲ σημείοις, ἔργοις δὲ χεῖρες. ὅθεν δρᾶσαι μὲν ἀεὶ ταχεῖς, βραδύτατοι δὲ παθεῖν εἰσιν. οὐδὲ ἔστιν ὅπου [p] συστάντες ἢ πλήθους [q] ἡττήθησαν, ἢ στρατηγημάτων, ἢ [r] δυσχωρίας, ἀλλ' οὐδὲ τύχης. καὶ γὰρ ταύτης αὐτοῖς [s] τὸ κρατεῖν βεβαιότερον. οἷς οὖν βουλὴ μὲν ἄρχει πράξεως, ἕπεται δὲ τοῖς βεβουλευμένοις στρατὸς οὕτω δραστήριος, τί θαυμαστὸν εἰ [t] πρὸς ἕω μὲν Εὐφράτης, ὠκεανὸς δὲ πρὸς ἑσπέραν, μεσημβρινὸν δὲ Λιβύης τὸ πιότατον, καὶ πρὸς ἄρκτον Ἴστρος τε καὶ Ῥῆνος τῆς ἡγεμονίας ὅροι; [v] δεόντως γὰρ ἄν τις εἴποι τὸ κτῆμα τῶν κτησαμένων [x] ἔλασσον.

η. Ταῦτα μὲν οὖν διεξῆλθον, οὐ Ῥωμαίους ἐπαινέσαι προαιρούμενος τοσοῦτον, ὅσον εἴς τε παραμυθίαν τῶν χει-

z Ἡμερῶν τε τριῶν ἐφόδιον.] Trium dierum viaticum quod etiam Nautarum ait Taxiıne conſcendentium apud Athenienſes. Ariſtoph. Eqυ. p. 643. ἔχοντας ἥκειν σιτί᾽ ἡμερῶν τριῶν, & Equit. p. 350. ἔχω παρ᾽ ἐμοῦ καὶ τοῦτο ἡμερῶν τριῶν. SPANH.

a Τε πεζοὶ] τὸ πεζῶν Roſſ.

b Κοντὸς ἐπιμήκης] Sic Julian. Orat. II. p. 60. A. τὰ τῶν ἱππέων δόρατα σφᾶς ἐχειν, &c. Conf. infr. c. 7. §. 24. SPANH.

c Γωρυτοῦ] Γωρυτοθηκης Bod. Βέλοθήκης in margine Cod. Gall.

d Παρήρτηνται] διαφέρονται Roſſ.

e Ὅπλων διαλλάττουσιν] Ὅπλων Big.

f Ἐπίλεκτοι] Εκλεκτοὶ Big.

g Κλήρῳ] καὶ κλήρῳ L. B.

h Μὲν οὖν αἱ Ῥωμαίων] Ita Big. Ῥωμαίων μὲν πορεῖαι τε in Editis Aliiſque.

i Αὐτομάτων] αὐτομάτως Roſſ.

k Λαβόντα] λαμβάνοντα Roſſ.

l Ὀλίγης] Abeſt Roſſ.

m Ῥύονται τὸ δοκεῖν] Forſan ῥύονται τοῦ δοκεῖν.

n Συναφεῖς] ἀσφαλεῖς MS. Lipſ. SPANH. Ἀσφαλεῖς Bod. Gall. 1. Roſſ. & Voſſ. ἀσφαλῶς Vat. εὐσταλεῖς Gall. 2.

o Μὲν] μὲν αὐτῶν Roſſ.

p Συστάντες] Συνελθόντες Vat. & Big.

q Ἡττήθησαν] Ἡσσήθησαν Big.

r Δυσχωρίας.] Julian. Orat. II. p. 57. B. καὶ εἰς τὰς δυσχωρίας εἰς τὰς παγίδας SPANH.

s Τὸ κρατεῖν βεβαιότερον] Βεβαιότερον τὸ κρατεῖν. Big.

t Πρὸς ἕω μὲν Εὐφράτης, —ὅροι; Conf. ſupr. lib. 2. c. 16. §. 4. SPANH.

v Δεόντως γὰρ ἄν—κτησαμένων] Abſunt a L. B.

x Ἔλασσον.] Al. ἔλασσον, aut ut Roſſ. ἐλάττω.

* Id eſt, laborum patientiſſimi.

y Πρὸς

κεχωρισμένων, καὶ εἰς ἀποτροπὴν τῶν νεωτερίζειν. εἴη δ' ἂν τοῖς ἐκγνῶσι τῶν φιλοκαλούντων καὶ [y] πρὸς ἐμπειρίαν ἡ ἀγωγὴ τῆς Ῥωμαίων στρατιᾶς. ἐπάνειμι δὲ, ὅθεν ἐπὶ [z] ταῦτα ἐξέβην.

cupidos ab iſtis abſterrerem. Fortaſſe autem Romanæ militiæ via & ratio illis ad experientiam aliquid conferet, qui bonarum artium ſtudioſi rei hujuſce ignari ſint. Sed eo unde huc digreſſus ſum redeo.

ΚΕΦ. ϛʹ.

Πλάκιδος, ὁρμήσας αἱρῆσαι Ἰωτάπατα, ἀποκρούεται. Οὐεσπασιανὸς εἰσβάλλει εἰς Γαλιλαίαν.

CAP. VI. IV.

Placidus, tentatis oppugnatione Jotapatis, repellitur. Veſpaſianus impreſſionem facit in Galilæam.

ΟΥεσπασιανὸς μὲν, ἅμα τῷ παιδὶ Τίτῳ διατρίβων τέως [a] ἐν Πτολεμαΐδι, συνέτασσε τὰς δυνάμεις. ὁ δὲ τὴν Γαλιλαίαν [b] καταΐρέχων Πλάκιδος, ἐπεὶ πολὺ μὲν πλῆθος ἀνῃρήκει τῶν καταλαμβανομένων. τοῦτο δὲ ἦν τὸ ἀσθενέστερον Γαλιλαίων καὶ ταῖς ψυχαῖς ἐναποκάμνον. ὁρῶν δὲ τὸ μάχιμον ἀεὶ συμφεῦγον εἰς τὰς ὑπὸ Ἰωσήπου τειχισθείσας πόλεις, ὥρμησεν ἐπὶ τὴν ὀχυρωτάτην αὐτῶν [c] Ἰωτάπατα, [d] οἰόμενος ἐξ ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως, μέγα δὲ κλέος [e] ἑαυτῷ παρὰ τοῖς ἡγεμόσι, κἀκείνοις ὄφελος εἰς τὰ λοιπὰ παρέξειν· [f] προσχωρήσειν γὰρ δεῖν τὰς ἄλλας πόλεις, τῆς καρτερωτάτης ἐχομένης. πολὺ γε μὴν διήμαρτε τῆς ἐλπίδος. ἐπιόντα γὰρ αὐτὸν οἱ Ἰωταπατηνοὶ προαισθόμενοι, πρὸ τῆς πόλεως ἐκδέχονται· καὶ τοῖς Ῥωμαίοις συῤῥαγέντες [g] ἀδοκήτως, πολλοὶ καὶ πρὸς μάχην ἕτοιμοι πρόθυμοί τε, ὡς ἂν ὑπὲρ κινδυνευούσης πατρίδος καὶ γυναικῶν καὶ τέκνων, τρέπονται ταχέως· καὶ πολλοὺς μὲν τιτρώσκουσι τῶν Ῥωμαίων, ἑπτὰ δὲ ἀναιροῦσι, διὰ τὸ μήτε ἄτακτον αὐτῶν τὴν ὑποχώρησιν γενέσθαι, καὶ τὰς πληγὰς ἐπιπολαίους, πεφραγμένων πάντοθεν τῶν σωμάτων, τούς τε Ἰουδαίους πόῤῥωθεν βάλλειν πλέον [h] ἢ συμπλέκεσθαι θαῤῥεῖν, [i] γυμνῆτας ὁπλίταις. ἔπεσον δὲ καὶ τῶν Ἰουδαίων τρεῖς ἄνδρες, καὶ ἐτρώθησαν ὀλίγοι. ὁ Πλάκιδος μὲν οὖν, τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς [k] ἀτονώτερος εὑρεθεὶς, φεύγει.

β. Οὐεσπασιανὸς δὲ, [l] ὡρμημένος αὐτὸς [m] ἐμβαλεῖν εἰς τὴν Γαλιλαίαν, ἐξελαύνει τῆς Πτολεμαΐδος, διατάξας τὴν στρατιὰν ὁδεύειν καθὰ Ῥωμαίοις ἔθος. τοὺς μέν γε ψιλοὺς τῶν ἐπικούρων καὶ τοξότας προάγειν ἐκέλευσεν, ὡς [n] ἀνακόπτοιεν τὰς ἐξαπιναίους τῶν πολεμίων ἐπιδρομὰς, καὶ διερευνῷεν τὰς ὑπόπτους καὶ λοχᾶσθαι δυναμένας ὕλας· οἷς εἵπετο καὶ Ῥωμαίων ὁπλιτικὴ μοῖρα, πεζοί τε καὶ ἱππεῖς. τούτοις ἀφ' ἑκάστης ἑκατονταρχίας ἠκολούθουν δέκα, τήν τε [o] αὐτῶν σκευὴν καὶ τὰ [p] μέτρα τῆς παρεμβολῆς φέροντες. καὶ μετ' αὐτοὺς ὁδοποιοὶ, τά τε σκολιὰ τῆς λεωφόρου κατευθύνειν καὶ χθαμαλοῦν τὰ δύσβατα, καὶ τὰς ἐμποδίους ὕλας προανακόπτειν, ὡς μὴ ταλαιπωροῖτο δυσπορῶν τὸ στράτευμα. κατόπιν δὲ τούτων, τάς τε ἰδίας, καὶ τὰς τῶν [q] ὑπ' αὐτῷ ἡγεμόνων ἔταξεν ἀπο-

VEſpaſianus quidem, una cum Tito filio in Ptolemaïde interim moratus, exercitum ordinabat. At vero Galilæam incurſibus vaſtans Placidus, poſtquam magnam quidem eorum quos comprehenderat multitudinem intereniſſet, (hæc autem erat Galilæorum plebs imbecillior, & quibus animi ſatiſcebant) videretque pugnaciſſimos quoſque ſemper in civitates confugere, quas Joſephus communierat, ad munitiſſimam omnium, Iotapata, *oppugnandam* properavit, exiſtimans eam quidem primo impetu facile captum iri, magnam vero apud *alios* duces ſibimet gloriam, atque illis ad reliquas res gerendas emolumentum acquiſiturum eſſe. alias quippe civitates metu deditionem facturas eſſe, validiſſima *ſemel* occupata. Cæterum de ſpe *ſua* multum aberravit. nam cum ipſum adventantem præſenſiſſent Jotapateni, extra urbem *eum* excipiunt: prælioque ex improviſo Romanos adorti, multi & ad pugnam parati ſimul & acres, (ut qui pro ſalute patriæ & conjugum & liberorum *dimicaturi eſſent*) ſtatim eos in fugam vertunt, plurimoſque è Romanis ſauciant, ſeptem vero ſolum interficiunt, quod ſolutis nequaquam ordinibus pedem referrent, ſeptiſque undique corporibus ſumma tantum cute vulnerati eſſent, & Judæi magis eminus jaculari quam manus conſerere auderent, leviter armati cum gravis armaturæ militibus. Ex ipſis autem Judæis tres ceciderunt, paucis præterea ſauciatis. Et Placidus quidem, infirmior compertus quam ut urbem aggrederetur, in fugam ſe conjicit.

Placidus incurſiones facit in Galilæam

Iotapata oppugnat.

Ab Iotapatenis repulſus in fugam vertitur.

2. Veſpaſianus vero cum ipſe deſiderio flagraſſet invadendi Galilæam, egreditur Ptolemaïde, exercitus profectione ordinata more Romano. Auxilia enim levis armaturæ & ſagittarios præire juſſit, ut repentinos hoſtium incurſus inhiberent, utque ſuſpectas & opportunas inſidiis ſylvas ſcrutarentur. Quos ſequebatur Romanorum peditatus equitatuſque pars gravis armaturæ. Hos excipiebant è ſingulis centuriis deni, & arma ſua neceſſariaque portantes & caſtrorum menſuras. Et poſt illos ibant itineris patefactores, ut & obliqua viarum recta facerent, & aſpera complanarent, ſylvaſque obſtantes præciderent, ne tranſitu difficili & impedito fatigaretur exercitus. Illorum autem à tergo & ſua & legatorum impedimenta ordinavit, quibus in *majorem* ſecuritatem multos equites

Veſpaſianus in Galilæam venit.

Exercitus ejus in itinere ordo accurate admodum deſcribitur.

y Πρὸς ἐμπειρίαν] Ita cum Cod. Big. πρὸς ἐμπειρίαν in Editis Aliiſque.

z Ταῦτα] τοιαῦτα Roſſ.

a Ἐν Πτολεμαΐδι,] Ἐν τῇ Πτολ. Big. Bod. & Vat.

b Καταΐρέχων Πλάκιδος,] Conf. de Vita §. 44. ἐπὶ τὸν πρὸς Πλάκιδον πόλεμον Spanh.

c Ἰωτάπατα,] Conf. ſupr. lib. 2. c. (25. §. ...) Ἰωτάπατα καὶ Βηρσαβεὶ. Spanh.

d Οἰόμενος ἐξ ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως,] Conf. Antt. lib. 16. c. 11. §. 9. Spanh.

e Ἑαυτῷ παρὰ τοῖς ἡγεμόσι,] Αὐτῷ Big. & Gall.

f Προσχωρήσειν γὰρ δεῖν] Ita Big. Voſſ. & Ruf. qui vertit, *quaſi metu ceſſuris aliis civitatibus, ſi, quæ validiſſima eſſet, occupatam vidiſſent.* προσχωρήσειν γὰρ ᾤοντο [al. ἐνόμιζε] εἰς τὰς ἄλλας κ. τ. λ. προχωρήσειν in Editis Aliiſque.

g Ἀδοκήτως,] Sic Big. ἀδόκητοι in caeteris.

h Ἢ συμπλέκεσθαι θαῤῥεῖν,] Eo modo Big. ἐμπλέκεσθαι in Editis Aliiſque.

i Γυμνῆτας ὁπλίταις,] Ita Big. & Cocceius Γυμνῆτας in reliquis.

k Ἀτονώτερος] Conf. ſupr. l. 1. c. 10. §. 4. τῇ δυνάμει ἀτονώτερον. & infr. lib. 5. c. 12. §. 1. Spanh.

l Ὡρμημένος] ὥρμητο MS. Lipſ. hic infr. Gen. c. 7. §. 3. Ὥστε. ὡρμημένος ἐξαιφνῶ. Spanh.

m Ἐμβαλεῖν] Ἐμβαλὼν Big. ἐμβαλεῖν in caeteris.

n Ἀνακόπτοιεν] Ita Big. Voſſ. & Ruſin. προανακόπτοιεν in Editis Aliiſque.

o Αὐτῶν σκευὴν] Ἑαυτῶν Big.

p Μέτρα τῆς παρεμβολῆς] Forſan *vallos* indicat, quos portabant milites, *uſque ad ſeptenos* ſinguli, ut dicit *Livius*.

q Ὑπ' αὐτῷ ἡγεμόνων] Ὑπ' αὐτὸν Big. ὑπ' αὐτῶν Bod.

r Ὅθεν

tes adjunxit. Poſt quos ille incedebat, pedites delectos equiteſque & lancearios ſecum habens. ipſumque * ſequebatur proprius legioni equitatus, proprii enim erant unicuique legioni equites centum & viginti. Illis vero proximi ibant muli qui helepoles aliaſque machinas ferebant. Poſt illos *legati*, & cohortium præfecti cum tribunis, lectis militibus ſtipati. Deinde ſigna aquilæ circundata, quæ omni legioni apud Romanos præeſt, rex ipſa omnium avium, eademque valentiſſima. unde etiam imperii ſignum ipſis eſt, & velut omen victoriæ in quoſcunque eunt. Sacra autem *ſigna* ſequebantur tubicines: & poſt hos phalanx ſenûm virorum ordinibus dilatata; quibus adjunctus erat ex more centurio quidam, cujus munus erat inſpicere ordinem ſervandum. Servi autem cuncti uniuſcujuſque legionis pedites ſequebantur, militum impedimenta mulis & jumentis agentes. & poſt omnes legiones multitudo mercenariorum, quos ſecuritatis gratia agminum coactores excipiebant, pedites levis graviſque armaturæ cum multis equitibus.

Veſpaſianus in Galilæorum conſpectum venit.

3. In hunc modum profectus Veſpaſianus cum copiis ſuis, ad Galilææ fines pervenit: ubi caſtris poſitis milites ad bellum incitatos continebat, in hoſtium conſpectum adducens exercitum, ut & terrorem illis incuteret, & ſpatii aliquid daret ad reſipiſcendum, ſi vellent ante prælium conſilia mutare. Simul autem omnia ad munitiones oppugnandas parabat. Et conſpectus quidem exercitûs dux fecit ut multos defectionis pœniteret, utque animis conſternarentur omnes. Nam Joſephus & qui cum eo caſtra poſuiſſent non longe à Sepphori, ad urbem Garin appellatam, poſtquam hoſtes in propinquo eſſe accepiſſent, & Romanos fere in eo eſſe ut manus ſecum confererent, non ſolum ante pugnam, ſed etiam antequam hoſtes conſpicerent fuga disjecti erant. Cum paucis autem Joſephus relictus, ubi animadvertit quod ad excipiendos hoſtes non ſatis copiarum haberet, & Judæorum animi concidiſſent, quodque libenter ſi crederentur plerique ad fœdera irent, jam tum quidem ſibi metuebat de totius belli eventu, quam longiſſime vero à periculis ſe ſubducere ſtatuebat; aſſumptiſque qui ſecum remanſerant, Tiberiadem confugit.

Joſephus à ſuis deſertus Tiberiadem ſe confert.

σκευάς, καὶ συνεχεῖς ἐπὶ τούτοις πρὸς ἀσφάλειαν τῶν ἱππέων. μεθ' οὓς αὐτὸς ἐξήλαυνε, τούς τε ἐπιλέκτους τῶν πεζῶν καὶ ἱππέων καὶ τοὺς λογχοφόρους ἔχων. εἵπετο δὲ αὐτῷ τὸ [r] ἴδιον τοῦ τάγματος ἱππικόν, ἴδιοι γὰρ ἑκάστου τάγματος εἴκοσι πρὸς τοῖς ἑκατὸν ἱππεῖς. τούτοις δὲ ἠκολούθουν οἱ τὰς ἑλεπόλεις φέροντες ὀρεῖς, καὶ τὰ λοιπὰ μηχανήματα. [s] μετὰ τούτους, ἡγεμόνες τε καὶ σπειρῶν ἔπαρχοι σὺν χιλιάρχοις, ἐπιλέκτους περὶ σφᾶς στρατιώτας ἔχοντες. ἔπειτα αἱ σημαῖαι περιίσχουσαι τὸν ἀετόν, ὃς παντὸς ἄρχει Ῥωμαίοις τάγματος, βασιλεύς τε οἰωνῶν ἁπάντων, καὶ ἀλκιμώτατος ὤν. [t] ὃ δὴ καὶ τῆς ἡγεμονίας τεκμήριον αὐτοῖς, καὶ κληδὼν ἐφ' οὓς ἂν ἴωσι τοῦ κρατήσειν [v] δοκεῖ. [x] τοῖς ἱεροῖς δὲ ἠκολούθουν οἱ σαλπιγκταί, καὶ κατόπιν αὐτῶν ἡ φάλαγξ τὸ στῖφος [y] εἰς ἓξ [z] πλατύνασα τούτοις παρείπετό τις ἑκατοντάρχης ἐξ [a] ἔθους τὴν τάξιν ἐπισκοπούμενος. τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ἅπαν τοῖς πεζοῖς εἵπετο, τὰς ἀποσκευὰς τῶν στρατιωτῶν ἐπὶ τοῖς ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἄγοντες. κατόπιν δὲ πάντων τῶν ταγμάτων ὁ μίσθιος ὄχλος, οἷς οὐραγοὶ πρὸς ἀσφάλειαν ἠκολούθουν πεζοί τε καὶ ὁπλῖται καὶ τῶν ἱππέων [b] πολλοί.

γ΄. Οὕτως ὁδεύσας Οὐεσπασιανὸς μετὰ τῆς δυνάμεως πρὸς τοὺς ὅρους ἀφικνεῖται τῆς Γαλιλαίας, ἔνθα καταστρατοπεδευσάμενος [c] ὡρμημένους εἰς πόλεμον τοὺς στρατιώτας κατεῖχεν, ἐπιδεικνύμενός τε τὴν στρατιὰν εἰς κατάπληξιν [d] τοῖς πολεμίοις, καὶ μετανοίας διδοὺς καιρόν, εἰ πρὸ μάχης [e] μεταβάλλοιντο. ἅμα δὲ καὶ πρὸς πολιορκίαν τῶν ἐρυμάτων ἐξηρτύετο. μετάνοιαν μὲν οὖν τῆς ἀποστάσεως ὀφθεὶς ὁ στρατηγὸς [f] πολλοῖς ἐνειργάσατο, κατάπληξιν δὲ πᾶσιν. οἱ γὰρ περὶ τὸν Ἰώσηπον ἐστρατοπεδευκότες, οὐκ ἄπωθεν τῆς Σεπφώρεως [g] παρὰ πόλιν Γαριν καλουμένην, ἐπεὶ πλησιάζοντα τὸν πόλεμον ἤκουσαν, ὅσον τε οὔπω τοὺς Ῥωμαίους [h] συμμίξοντας σφίσιν, οὐ μόνον πρὸ μάχης, ἀλλὰ καὶ πρὶν ἰδεῖν τοὺς ἐχθρούς, διασκίδνανται φυγῇ. καταλείπεται δὲ ὁ Ἰώσηπος μετ' ὀλίγων, καὶ κατιδὼν ὡς οὔτε δέξασθαι τοὺς πολεμίους ἀρκετὴν ἔχει δύναμιν, καὶ πεπτωκότα τὰ φρονήματα τῶν Ἰουδαίων, ἄσμενοί τε ἂν εἰ πιστεύοιντο χωροῖεν [i] οἱ πλείους ἐπὶ σπονδάς, ἐδεδίει μὲν ἤδη περὶ παντὸς τοῦ πολέμου, τότε δὲ ὡς πορρωτάτω χωρίζεσθαι τοῦ κινδύνου ἔκρινεν. [k] ἀναλαβὼν δὲ τοὺς συμμείναντας εἰς Τιβεριάδα καταφεύγει.

VI.

CAP. VII.

ΚΕΦ. ζ΄.

Veſpaſianus, capta Gadarenſium civitate, Iotapata proficiſcitur: &, poſt longam obſidionem, urbem a transfuga proditam capit.

Οὐεσπασιανός, τὴν Γαδαρέων πόλιν ἑλών, εἰς Ἰωτάπατα ἐλαύνει· καί, μετὰ μακρὰν πολιορκίαν, ἄστυ ὑπὸ αὐτομόλου προδοθὲν αἱρεῖ.

Veſpaſianus Gadara expugnat, Gadarenſibus non parcit, & urbem

VEſpaſianus autem, Gadarenſium civitatem adortus, & primo impetu eam in poteſtatem ſuam redigit, quod civibus pleriſque ætatis militaris vacuam reperiſſet; & *deinde* in eam ingreſſus puberes omnes interfici juſſit, Romanis

ΟΥεσπασιανὸς δὲ τῇ πόλει τῶν [l] Γαδαρέων ἐπελθών, αἱρεῖ τε [m] κατὰ πρώτην ἔφοδον αὐτήν, μαχίμου πλήθους ἔρημον καταλαβών. καὶ παρελθὼν εἴσω, [n] πάντας ἡβηδὸν ἀναιρεῖ, μηδεμιᾶς τῶν Ῥωμαίων ἡλικίας ἔλεον

r Ἴδιον τοῦ τάγματος ἱππικόν,] Vide *Schelium* ad *Hyginum* p. 90. & p. 297.
s Μετὰ τούτους,] Μετὰ δὲ τούτους *Voſſ.*
t Ὃ δὴ] καὶ δὴ *L. B.*
v Δοκεῖ.] Δοκοῦν *Voſſ.*
x Τοῖς ἱεροῖς δὲ] Τοῖς δ' ἱεροῖς *Big.*
y Εἰς ἓξ] Εἰς ἓν *Bod.* & *Roſſ.*
z Πλατύνασα.] Πλατύνουσα *Big. Roſſ.* & *Bod.*
a Ἔθους] ἔθνους *Roſſ.*
b Πολλοί] Συχνοὶ *Voſſ.* & *L. B.*
c Ὡρμημένους] Abeſt *Roſſ.*
d Τοῖς πολεμίοις,] τῶν πολεμίων *Roſſ.*
e Μεταβάλλοιντο.] Μεταβάλοιντο *Big.*
f Πολλοῖς] ὡ πολλῶν ſuperſcripſit manus rec. *Roſſ.*
g Παρὰ πόλιν Γαριν καλουμένην,] apud urbem Garin appellatam. SPANH. Illa παρὰ πόλιν Γαριν καλουμένην deſunt *Big.* & *Rufini Codd. Caſ.* legit Γάδαρα.
h Συμμίξοντας σφίσιν,] Συμμίξοντας *Vat.*
i Οἱ πλείους ἐπὶ — τότε δὲ ὡς] Abſunt a *Roſſ.*
k Ἀναλαβὼν δὲ τοὺς] καὶ ἀναλαβὼν *Roſſ.*
l Γαδαρέων ἐπελθών,] Γαδαρηνῶν *Big.*
m Κατὰ πρώτην ἔφοδον] Conf. Antt. lib. 16. c. 11. §. 7. SPANH.
n Πάντας] Abeſt *Roſſ.*

* Juxta *Savilium* vertendum, *ſequuti equites legioni adſcripti, ſingulis enim legionibus adjuncti erant equites centum viginti.* Longe quidem aliter quam *Rufinus*, qui vertit, *equitum præterea ſuorum agmine comitatus, de ſingulis enim turmis proprios centum & viginti equites deputatos habet.*

o Μετὰ

ἔλεον ποιουμένων, [o] μίσει τε πρὸς τὸ ἔθνος, καὶ μνήμῃ [p] τῶν κατὰ τὸν Κέστιον αὐτῶν παρανομιῶν. [pp] ἐμπίμπρησι δ' οὐ μόνον αὐτὴν τὴν πόλιν, ἀλλὰ καὶ τὰς πέριξ κώμας πάσας τε καὶ πολίχνας, ἃς μὲν παντελῶς ἐκλελειμμένας, ἔστι δ' ἃς [q] αὐτὸς ἐξανδραποδιζόμενος.

β. Ὁ δὲ Ἰώσηπος ἣν πρὸς ἀσφάλειαν [r] εἵλετο πόλιν, αὐτὸς ἐνέπλησε δέους καταφυγών. οἱ γὰρ ἀπὸ τῆς Τιβεριάδος, οὐκ ἄν εἰ μὴ πρὸς ἅπαν ἀπεγνώκει τὸν πόλεμον, τραπῆναί ποτε αὐτὸν ᾤοντο. καὶ κατὰ τοῦτό γε οὐ διημάρτανον αὐτοῦ τῆς γνώμης. ἑώρα μὲν γὰρ οἷ [s] ῥέψει τὰ Ἰουδαίων [t] τέλους, καὶ μίαν αὐτοῖς ᾔδει σωτηρίαν εἰ [v] μεταβάλλοιντο. αὐτὸς δὲ καίτοι συγγνωσθήσεσθαι παρὰ Ῥωμαίοις προσδοκῶν, [x] ὅμως τεθνάναι μᾶλλον εἵλετο πολλάκις, ἢ καταπροδοὺς τὴν πατρίδα, καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ στρατηγίαν ὑβρίσας, εὐτυχεῖν παρ' οἷς πολεμήσων ἐπέμφθη. γράφειν οὖν τοῖς ἐν τέλει τῶν Ἱεροσολύμων διέγνω μετ' ἀκριβείας τὰ πράγματα, ὡς μήτε [y] ἐπὶ μεῖζον ἐξάρας [z] τὴν πολεμίων ἰσχὺν αὖθις εἰς δειλίαν κακίζοιτο, μήτε ἐνδεέστερον ἀπαγγείλας, καὶ μετανοήσαντας ἴσως [a] θρασύνειεν, ἵνα τε ἢ σπονδὰς αἱρούμενοι ταχέως ἀντιγράψωσιν, ἢ πολεμεῖν ἐγνωκότες, ἀξιόμαχον πρὸς Ῥωμαίους πέμψωσιν αὐτῷ δύναμιν. ὁ μὲν οὖν ταῦτα ἐπιστείλας, πέμπει διὰ τάχους ἐπὶ Ἱεροσόλυμα τοὺς τὰ γράμματα κομιοῦντας.

γ. Οὐεσπασιανὸς δὲ [b] ὁρμώμενος ἐξαιρεῖν [c] τὴν Ἰωτάπατα, πέπυστο γὰρ εἰς αὐτὴν πλείστους τῶν πολεμίων συμπεφευγέναι, καὶ ἄλλως ὁρμητήριον ἰσχυρὸν οὖσαν αὐτῶν, πέμπει πεζούς τε καὶ ἱππεῖς [d] τοὺς προεξομαλιοῦντας τὴν ὁδόν, [e] ὀρεινὴν ὑπάρχουσαν, καὶ πετρώδη, δύσβατόν τε καὶ πεζοῖς, ἱππεῦσι δὲ ἀμήχανον. οἱ μὲν οὖν τέσσαρσιν ἡμέραις ἐξειργάσαντο, καὶ πλατεῖαν ἀνέῳξαν τῇ στρατιᾷ λεωφόρον. τῇ πέμπτῃ δὲ ὁ Ἰώσηπος, αὕτη δὲ ἦν [f] Ἀρτεμισίου μηνὸς εἰκοστὴ πρώτη, φθάνει [g] παρελθὼν εἰς τὴν Ἰωτάπατα ἐκ τῆς Τιβεριάδος, καὶ πεπτωκότα τοῖς Ἰουδαίοις [h] ἀνίστησι τὰ φρονήματα. Οὐεσπασιανῷ δέ τις εὐαγγελίζεται τὴν μετάβασιν τοῦ ἀνδρὸς αὐτόμολος, καὶ κατήπειγεν ἐπὶ τὴν πόλιν, ὡς μετ' ἐκείνης [i] αἱρήσοντα πᾶσαν Ἰουδαίαν, εἰ λάβοι τὸν Ἰώσηπον ὑποχείριον· ὁ δὲ, ἁρπάσας ὥσπερ μέγιστον εὐτύχημα τὴν ἀγγελίαν, καὶ προνοίᾳ Θεοῦ τὸν συνετώτατον εἶναι δοκοῦντα τῶν πολεμίων οἰόμενος εἰς [k] αὐθαίρετον εἱρκτὴν παρελθεῖν, εὐθέως [l] μὲν σὺν χιλίοις ἱππεῦσι πέμπει Πλάκιδον, καὶ [m] δεκαδάρχην [n] Εβούτιον, [o] ἄνδρα τῶν ἐπισήμων κατὰ χεῖρα καὶ σύνεσιν, περικαταλαβεῖν κελεύσας τὴν πόλιν, ὡς μὴ λάθοι διαδρὰς ὁ Ἰώσηπος.

δ. Αὐτὸς δὲ μετὰ μίαν ἡμέραν, ἀναλαβὼν πᾶσαν τὴν δύναμιν, εἵπετο καὶ, μέχρι δείλης ὁδεύσας, πρὸς τὴν Ἰωτάπατα ἀφικνεῖται. ἀναλαβὼν δὲ τὴν στρατιὰν

nulli ætati miſericordiam adhibentibus; tam ex odio in gentem, quam memoria iniquitatis illorum in Ceſtium. Incendit autem non ſolum civitatem iſtam, ſed etiam omnes circumcirca vicos & urbeculas, nonnullis quidem penitus deſolatis, ex aliis vero incolis in captivitatem ab ipſo abductis.

eorum incendit & omnes circumcirca vicos &c.

2. Joſephus autem civitatem, quam ſuæ incolumitatis ergo elegerat, ipſe, in eam fugiendo, metu opplevit. Nam Tiberienſes nunquam eum, niſi omnino de belli ſucceſſu deſperaſſet, in fugam verſum iri exiſtimabant. atque eatenus non aberrabant, de animi ejus ſententia conjectantes. Videbat enim quorſum evaderent res Judæorum; nullamque ad ſalutem illis apertum iri viam, niſi conſilia mutarent. Ille vero, quamvis à Romanis veniam conſequuturum eſſe ſperaret, ſæpenumero tamen optabat potius emori, quam patria prodita & belli ſibi commiſſi adminiſtratione dedecorata, apud illos feliciter agere, quibuſcum pugnatum miſſus erat. Decrevit igitur magiſtratibus Hieroſolymitanis accurate ſcribere, quemadmodum ſeſe res haberent, ut neque * in majus extollendo hoſtium vires, poſthac timiditatis argueretur, aut eas narratione ſua extenuando, fortaſſe cœpti etiam pœnitentes audaciores redderet; utque cito reſcriberent, ſi fœdus eis placeret, aut, ſi bellum gerere ſtatuerent, copias ad confligendum cum Romanis idoneas ipſi mitterent. Et ille quidem, ſimul ac iſta ſcripſerat, certos quoſdam mittit qui literas Hieroſolyma perferrent.

Joſephus, rebus ſuis diffiſus, literas ad Hieroſolymitanos mittit.

VII.

3. Veſpaſianus autem, incitatus ad Jotapata exſcindenda (audiverat enim quamplurimos hoſtium eò confugiſſe, & præterea hoc eorum receptaculum perquam validum eſſe) pedites equiteſque præmittit qui viam complanarent, montanam admodum & ſaxoſam, peditibus difficilem & impeditam, omnino vero equitibus inſuperabilem. Et illi quidem quatuor diebus opus confecerunt, & planam exercitui viam aperuere. Quinto autem die, qui menſis Artemiſii vigeſimus primus, Jotapata ingredi occupat Joſephus Tiberiade profectus, & Judæos animo dejectos erigit. Cum vero tranſitum ejus Veſpaſiano quidam transfuga nunciaret, cumque hoc uno maxime urgeret ut ad urbem ire contenderet, quòd cum ea totam Judæam occupaturus eſſet, modo Joſephum caperet: tum ille, nuncio pro maxima felicitate arrepto, Dei providentia factum ratus, ut qui hoſtium prudentiſſimus videretur ultro ſe in cuſtodiam traderet, ſtatim quidem cum mille equitibus eò mittit Placidum, unaque Ebutium decurionem, virum tam manus fortitudine quam rerum ſcientia inſignem, illiſque præcepit urbem è veſtigio circundare, ne clam inde Joſephus aufugeret.

Veſpaſianus ſtatuit Jotapata expugnare.

Joſephus Jotapata ſe confert.

Placidus & Ebutius obſidione premunt Jotapata.

4. Ille autem una poſt die cum copiis ſuis omnibus ſequutus eſt: factoque ad ſeram uſque veſperam itinere Jotapata pervenit. adducto vero ad ſepten-

Veſpaſianus ipſe Jotapata venit.

o Μίσει τε] Μίσει τῷ Big.

p Τῆς κατὰ τὸν Κέστιον] Conf. ſupr. lib. 2. c. 19. §. 3. & ſeq. Spanh.

pp Ita Big. & Raf. & mox infra αὐτὸς ἐξανδραποδιζόμενος.

q Αὐτὸς ἐξανδραποδιζόμενος.] Gen. αὐτοὶ ἐξανδραποδιζόμενοι. at παντελῶς interſerit Raf.

r Εἵλετο πόλιν.] Εἵλετο Vat. & infra v. 17.

s Ῥέψει τὰ Ἰουδαίων] Ita ex conjectura, ῥέψει in Editis & MSS.

t Τέλους.] Τέλος Bod. & in Raf. ſed a manu recent.

v Μεταβάλλοιντο.] Μεταβάλοιντο Big. Lugd. Bat. & Bod.

x Ὅμως] ὡς τε Raf.

y Ἐπὶ μεῖζον] Ἐπὶ τὸ μεῖζον Big. Bod. & Voſſ.

z Τὴν πολεμίων ἰσχὺν] Τὴν τῶν πολ. Big. Vat. & Gall.

a Θρασύνειεν.] Θρασύνειεν Vat. Raf. & Gall. ἀναθρασύνειεν in Editis Aliiſque.

b Ὁρμώμενος] Conf. ſupr. c. 6. §. 2. Spanh. Ita Big. Raf. & Bod. ὁρμώμενος Lugd. Bat. ὡρμημένος in Editis Aliiſque.

c Τὴν Ἰωτάπατα] Ita Big. ut mox infra in Editis & aliquibus MSS. ſcilicet ut vox πόλιν ſubaudiatur. τὰ Ἰωτάπατα hic loci in reliquis.

d Τοὺς προεξομαλιοῦντας] Illud τοὺς non agnoſcit Vat.

e Ὀρεινὴν ὑπάρχουσαν,] ὀρεινήν τε οὖσαν Raf.

f Ἀρτεμισίου] Conf. alias. lib. 2. c. 14. §. 4. Spanh.

g Παρελθὼν] Παρελθεῖν Bod. & Raf.

h Ἀνίστησι τὰ φρονήματα.] Ἐγείρει Big.

i Αἱρήσοντα πᾶσαν Ἰουδαίαν,] Ita Big. αἱρήσειν in Aliis. quâ ſcripturâ admiſsâ κατήπειγεν non ad nuncium ſed ad Veſpaſianum referri debet.

k Αὐθαίρετον] ἀδιάφυκτον Raf.

l Μὲν σὺν χιλίοις ἱππεῦσι] Illud μὲν additum ex Big. & Raf.

m Δεκαδάρχην] Vide Vitam Joſephi §. 24. Spanh. Δεκάρχην Big. & Bod.

n Εβούτιον,] Al. Αἰβούτιον.

o Ἄνδρα] Ἄνδρας Bod.

* In majus Gelen. ne vel minus extollendo &c. Magis Spanh.

p Πρὸς

ſeptentrionalem eius partem exercitu, in quodam tumulo caſtra metatur, diſtante ab urbe ſtadiis ſeptem; id agens de induſtria ut quam maxime ab hoſtibus conſpiceretur, ad terrorem *illis* incutiendum: qui tantus continuo Judæos invaſit, ut nemo muris egredi auderet. Romani autem ſtatim quidem impreſſionem facere ſuperſederunt, quod per totum diem in itineribus fuiſſent; aciem vero duplicem urbi circundant, ac tertiam præterea circumjiciunt, eamque equitum, omnes Judæis exitus obſtruentes. id quod Judæos, ut qui de ſalute deſperarent, ad animos ſumendos incitabat: nihil enim in bello homines pugnaciores facit quam neceſſitas.

Primum Judæorum cum Romanis conflictum nox dirimit.

5. Poſtridie vero aggreſſione facta, primo quidem Judæi, [*] qui in iſta regione manſerant, caſtris extra urbem ante muros poſitis, Romanis obviam ibant. Cum autem Veſpaſianus illis ſagittarios quidem admoviſſet & funditores & univerſos eminus jaculantes, miſſilibus eos uti permiſit; ipſe vero cum peditibus locum acclivem aſcendebat, ubi murus erat expugnabilis: *tunc* Joſephus civitati metuens proſiluit, & cum eo cuncta Judæorum multitudo. ſimulque Romanos omnes adorti, à muris quidem illos repulerunt; & multa tam manu forti quam animo virili ediderunt facinora: cæterum non minora quam patrabant viciſſim perpeſſi ſunt. nam quantum ipſos ſalutis deſperatio, tantum Romanos pudor incitabat: & hos quidem peritia cum fortitudine, illos vero armabat audacia animis iracundis militantes. Cum autem tota die pugnatum eſſet, prælium nox dirimit, Romanorum quidem plurimis ſauciatis, viriſque tredecim interfectis; illorum vero ſeptemdecim quidem ceciderunt, vulnerati autem erant ſexcenti.

Acriter poſtea ab utriſque pugnatum.

6. Veruntamen die ſequenti facta eruptione iterum aggrediuntur Romanos, multoque acrius aciem contra inſtruxerunt: inde quidem audaciores facti, quod eos pridie præter ſpem ſuſtinuerant, Romanos vero tum pugnaciores experti. quippe quos pudor in iram accenderat, ſe ſuperari exiſtimantes quod non cito vicerant. Et uſque ad quintum diem in urbem quidem impreſſionem facere non ceſſabant Romani, neque vero Jotapateni ab excurſionibus pugniſque è muro acrioribus: & neque Judæi vires hoſtium formidabant, neque Romani urbis capiendæ difficultate fatiſcebant.

Urbis Jotapatenorum ſitus & munitio.

7. Eſt autem Jotapata propemodum omnis prærupta, ex aliis quidem partibus profundis vallibus adeo præceps, ut in eas deſpicere cupientium adſpectus ante deficiat quam ad imum perveniat; à ſeptentrione vero tantummodo adiri poteſt, ubi montis deſinentis ad latus declive exædificata eſt. quod quidem ipſum muro complexus eſt Joſephus cum civitatem muniret, ut ſummitas ei imminens ab hoſtibus occupari non poſſit. Undique autem montibus circumſepta, priuſquam in eam quis perveniret, omnino conſpici nequibat. Ad hunc quidem modum communita erat Jotapata.

τὸ προσάρκτιον αὐτῆς μέρος [p] πρός τινι λόφῳ στρατοπεδεύεται, διέχοντι σταδίους ἑπτὰ τῆς πόλεως, πειρώμενος ὡς μάλιστα τοῖς πολεμίοις [q] εὐσύνοπτος εἶναι, πρὸς ἔκπληξιν. ἣ καὶ παραχρῆμα τοσαύτη τοὺς Ἰουδαίους κατέσχεν, ὡς μηδένα τοῦ τείχους τολμῆσαι προελθεῖν. Ῥωμαῖοι δ' εὐθὺς μὲν ἀπώκνησαν προσβαλεῖν, δι' ὅλης ὡδευκότες ἡμέρας· διπλῇ δὲ τῇ φάλαγγι κυκλοῦνται τὴν πόλιν, καὶ τρίτην ἔξωθεν περιϊστᾶσι [r] τὴν ἵππον, πάσας ἀποφράσσοντες αὐτοῖς τὰς ἐξόδους. τοῦτό γε, ἐν ἀπογνώσει σωτηρίας, παρώξυνε τοὺς Ἰουδαίους πρὸς [s] τόλμαν. [t] οὐδὲν γὰρ ἀνάγκης ἐν πολέμῳ μαχιμώτερον.

ε'. Γενομένης δὲ μεθ' ἡμέραν προσβολῆς, τὸ μὲν πρῶτον Ἰουδαῖοι κατὰ χώραν μένοντες ἀντεῖχον ἀντικρὺ τῶν Ῥωμαίων, [v] ἐξεστρατοπεδευκότες πρὸ τοῦ τείχους. ὡς δὲ Οὐεσπασιανὸς τούτοις μὲν [x] τοὺς τοξότας καὶ σφενδονήτας καὶ πᾶν τὸ τῶν ἑκηβόλων πλῆθος ἐπιστήσας [y] ἐπέτρεψε βάλλειν, αὐτὸς δὲ μετὰ τῶν πεζῶν εἰς τὸ πρόσαντες ἀνώθει [z] καθ' ὃ τὸ τεῖχος ἦν εὐάλωτον, δείσας Ἰώσηπος περὶ [a] τῇ πόλει προπηδᾷ, καὶ σὺν αὐτῷ πᾶν τὸ τῶν Ἰουδαίων πλῆθος. συμπεσόντες δὲ τοῖς Ῥωμαίοις ἀθρόοι, τοῦ μὲν τείχους ἀνέστειλαν αὐτοὺς, πολλὰ δὲ ἐπεδείκνυντο χειρῶν ἔργα καὶ τόλμης. [b] οὐκ ἐλάσσω γε μὴν ὧν ἔδρων ἀντέπασχον. ὅσον γὰρ αὐτοὺς ἡ τῆς σωτηρίας ἀπόγνωσις, [c] τοσοῦτον τοὺς Ῥωμαίους αἰδὼς παρεκρότει· καὶ τοὺς μὲν ἐμπειρία μετ' ἀλκῆς, τοὺς δὲ θράσος ὥπλιζε τῷ θυμῷ στρατηγούμενος. παραταξάμενοι δὲ δι' ὅλης ἡμέρας νυκτὶ διαλύονται, τρώσαντες μὲν πλείστους Ῥωμαίων, [d] τρισκαίδεκα δὲ ἀνελόντες ἄνδρας· αὐτῶν δὲ ἔπεσον μὲν [e] δέκα καὶ ἑπτὰ, τραυματίαι δὲ ἐγένοντο ἑξακόσιοι.

ς'. Τῇ δ' [f] ὑστεραίᾳ πάλιν προσβάλλουσι τοῖς Ῥωμαίοις [g] ἐπεξελθόντες, [h] καὶ πολὺ καρτερώτερον [i] ἀντιπαρετάξαντο. [k] θαρραλεώτεροι μὲν ἐκ τοῦ παρὰ λόγον ἀντισχεῖν τῇ προτέρᾳ γεγενημένοι, χρώμενοι δὲ καὶ τοῖς Ῥωμαίοις μαχιμωτέροις. ὑπὸ γὰρ αἰδοῦς εἰς ὀργὴν ἐξεκαίοντο, τὸ μὴ ταχέως νικᾶν ἧτταν ἡγούμενοι. καὶ μέχρι πέμπτης ἡμέρας προσβολαὶ μὲν ἐγίνοντο τῶν Ῥωμαίων ἀδιάλειπτοι, ἐκδρομαὶ δὲ τῶν Ἰωταπατηνῶν [l] καὶ [m] τειχομαχίαι [n] καρτερώτεραι· καὶ οὔτε Ἰουδαῖοι τὴν τῶν πολεμίων ἰσχὺν κατερρώδουν, οὔτε Ῥωμαῖοι πρὸς τὸ τῆς πόλεως δυσάλωτον ἀπέκαμνον.

ζ'. Ἔστι δὲ Ἰωταπάτη πλὴν [o] ὀλίγου πᾶσα κρημνὸς, ἐκ μὲν τῶν ἄλλων μερῶν πάντοθεν φάραγξιν ἀπείροις ἀπότομος, ὡς τῶν κατιδεῖν πειρωμένων τὰς ὄψεις [p] προεξασθενεῖν τοῦ βάθους· ἀπὸ βορέου δὲ προσιτὴ μόνον, καθ' ὃ λήγοντι τῷ ὄρει [q] πλαγίῳ προσέκτισται. καὶ τοῦτο δ' ὁ Ἰώσηπος ἐμπεριειλήφει τειχίζων τὴν πόλιν, ὡς ἀκατάληπτον εἶναι πολεμίοις τὴν ὑπὲρ αὐτῆς ἀκρώρειαν. κύκλωθεν δὲ ἄλλοις ὄρεσι καλυπτομένη, [r] πρὶν εἰσαφίκοιτό τις αὐτὴν, παντελῶς ἀόρατος ἦν. εἶχε [s] μὲν οὕτως [t] ὀχυρότητος Ἰωταπάτη.

η'. Οὐ-

p Πρός τινι λόφῳ] Ἔν τινι λόφῳ *Bod.*
q Εὐσύνοπτος] Conf. infr. §. 23. Spanh.
r Τὴν ἵππον.] Τὴν ἵππον πάντων, ἀποφράσσοντας *Voſſ.* & *Vat.*
s Τόλμαν] πόλεμον *Raf.*
t Οὐδὲν γὰρ ἀνάγκης ἐν πολέμῳ] Conf. infr. §. 17. & 18. ut & 28. Spanh.
v Ἐξεστρατοπεδευκότες] Ἐστρατοπεδευκότες *Big.*
x Τοὺς τοξότας] ἐπὶ τοξότας *Raf.*
y Ἐπέτρεψε βάλλειν.] Ita *Big.* & *Raf.* ἐπιβάλλειν in *cæteris.*
z Καθ' ὃ τὸ τεῖχος ἦν εὐάλωτον.] Eo modo *Big.* καθὸ τὸ τεῖχος ἦν εὐάλωτον in *Editis Aliiſque.*
a Τῇ πόλει προπηδᾷ.] Τὴν πόλιν *Bod.* & *Raf.*
b Οὐκ ἐλάσσω] Οὐκ ἔλασσον *Big.*
c Τοσοῦτον τοὺς Ῥωμαίους] Τοσούτῳ *Big.*
d Τρισκαίδεκα, ἀνελόντες ἄνδρας.] Δεκατρεῖς *Big.*
e Δέκα καὶ ἑπτὰ,] Δέκα ἑπτὰ *Big. Voſſ.* & *Bod.*
f Ὑστεραίᾳ πάλιν] Ὑστεραίᾳ ἡμέρᾳ *Big.*
g Ἐπεξελθόντες,] *Gen.* ἀπεξελθόντες.
h Καὶ πολὺ] καὶ Abeſt *L. B.*
i Ἀντιπαρετάξαντο] Ἀντιπαρετάξαντο *Big.* ἀντιπαρετάξαντο *Vat.*
k Θαρραλεώτεροι] Θαρραλεώτεροι *Raf.*
l Καὶ] Illud καὶ additum è *Codd. MSS.*
m Τειχομαχίαι] τειχομαχεῖν *Ariſtoph. Nub.* p. 174. Spanh.
n Καρτερώτεραι.] Ita *Big.* καρτεραὶ in *Editis Aliiſque.*
o Ὀλίγου] ὀλίγον *Raf.*
p Προεξασθενεῖν] προεξασθενοῦν *Gen.*
q Πλαγίῳ προσέκτισται.] Πλαγίως προσεκτίσθαι *Big.*
r Πρὶν εἰσαφίκοιτό τις αὐτὴν,] Πρὶν δ' εἰσαφ. *Big.*
s Μὲν οὕτως,] Μὲν ἦν *Big.*
t Ὀχυρότητος Ἰωταπάτη.] Ὀχυρώτατα *Big.*

[*] Locis ſuis manentes, Romanis, caſtra ante muros habentibus, reſiſtebant, *Ruf.* ac ſi legiſſet ἐξεστρατοπεδευκότων, aut *nominativum* pro *genitivo* adhibitum exiſtimaſſet.

v Καρ-

η'. Οὐεσπασιανὸς δὲ, τῇ τε φύσει τοῦ χωρίου καὶ ταῖς τόλμαις τῶν Ἰουδαίων ἀντιφιλονεικῶν, ἥπτετο [w] καρτερῶς τῆς πολιορκίας· καὶ, προσκαλεσάμενος τοὺς [x] ὑπ' αὐτῷ ἡγεμόνας, ἐβουλεύετο περὶ τῆς προσβολῆς. δόξαν δὲ [y] χῶσαι τὸ [z] πρόσιτον τοῦ τείχους, ἐπὶ συγκομιδὴν ὕλης ἐκπέμπει πᾶν τὸ στράτευμα, καὶ κοπέντων τῶν περὶ τὴν πόλιν ὀρῶν, [a] συναλισθείσης δὲ ἅμα τοῖς ξύλοις ἀπείρου χερμάδος, οἱ μὲν πρὸς ἀλεωρὰν τῶν ὑπερθεν ἀφιεμένων βελῶν, γέῤῥα [b] διατείναντες ὑπὲρ χαρακωμάτων [c] ἐχώννυον ὑπ' αὐτοῖς, οὐδὲν ἢ μικρὰ βλαπτόμενοι ταῖς ἀπὸ τοῦ τείχους βολαῖς· [d] οἱ δὲ, τοὺς πλησίον ὄχθους ἀνασπῶντες, γῆν αὐτοῖς ἀδιαλείπτως [e] προσέφερον. καὶ τριχῆ διῃρημένων, ἀργὸς ἦν οὐδείς. οἱ δὲ Ἰουδαῖοι πέτρας τε μεγάλας ἀπὸ τῶν τειχῶν τοῖς [f] σκεπάσμασιν αὐτῶν ἐπηφίεσαν, καὶ πᾶν εἶδος βελῶν. ἦν δὲ καὶ μὴ διικνουμένων πολὺς [g] ὢν ὁ ψόφος καὶ φοβερὸς, ἐμπόδιον τοῖς ἐργαζομένοις.

θ'. Οὐεσπασιανὸς δὲ, ἐν κύκλῳ τὰς ἀφετηρίους μηχανὰς ἐπιστήσας, τὰ πάντα δ' ἦν ἑκατὸν ἑξήκοντα ὄργανα, βάλλειν ἐκέλευσε [h] τοὺς [i] ἐπὶ τοῦ τείχους. ὁμοῦ δὲ οἵ τε καταπέλται τὰς λόγχας [k] ἀνεῤῥοίζουν, καὶ ταλαντιαῖοι λίθοι μέγεθος ἐκ τῶν πετροβόλων ἐβάλλοντο, πῦρ τε καὶ πλῆθος ἀθρόον οἰστῶν. [l] ἅπερ οὐ μόνον τὸ τεῖχος ἀνεπίβατον τοῖς Ἰουδαίοις ἐποίησεν, ἀλλὰ καὶ [m] τῆς ἐντὸς [n] ὅσης ἀφικνεῖτο χώρας. [o] καὶ γὰρ τὸ τῶν Ἀράβων τοξοτῶν πλῆθος, ἀκοντισταί τε, καὶ σφενδονῆται πάντες, ἅμα τοῖς μηχανήμασιν ἔβαλλον. οὐ μὴν, εἰργόμενοι τῆς καθύπερθεν ἀμύνης, ἠρέμουν· ἐκτρέχοντες γὰρ λῃστρικώτερον κατὰ λόχους, περιέσπων τε τῶν ἐργαζομένων [p] τὰς σκέπας, καὶ τοὺς γυμνουμένους ἔπαιον· καὶ, καθ' ὃ παραχωροῖεν ἐκεῖνοι, διεῤῥίπτουν τὸ χῶμα, καὶ τὰ χαρακώματα σὺν τοῖς γέῤῥοις [q] ἐνεπίμπρασαν. μέχρι συνεὶς Οὐεσπασιανὸς τὴν διαίρεσιν τῶν ἔργων αἰτίαν εἶναι τῆς βλάβης, τὰ γὰρ διαστήματα τοῖς Ἰουδαίοις προσβολῆς παρεῖχε τόπον, ἑνοῖ τὰς σκέπας· καὶ συναφθείσης [r] ἅμα αὐτοῖς τῆς δυνάμεως, [s] ἀνείρχθησαν αἱ τῶν Ἰουδαίων [t] παραδύσεις.

ι'. Ἐγειρομένου δὲ τοῦ χώματος ἤδη, καὶ ταῖς ἐπάλξεσιν ὅσον οὔπω πλησιάζοντος, [v] δεινὸν Ἰώσηπος νομίσας εἰ μηδὲν [x] ἀντιμηχανήσαιτο τῇ πόλει σωτήριον, συναθροίζει τέκτονας, καὶ τὸ τεῖχος ἐκέλευσεν ὑψοῦν. τῶν δὲ ἀδύνατον εἶναι φαμένων οἰκοδομεῖν τοσούτοις βέλεσι βαλλομένους, σκέπην αὐτοῖς ἐπινοεῖ τοιάνδε. δρυφάκτους πήξασθαι κελεύσας, ἐμπετάσαι τε [y] βύρσας νεοδόρους βοῶν, [z] ὡς ἂν δέχοιντο μὲν τοὺς ἀπὸ [a] τῶν πετροβόλων λίθους κολπούμεναι, [b] περιολισθαίνοι δὲ ἀπ' αὐτῶν τὰ λοιπὰ βέλη, καὶ τὸ πῦρ ὑπὸ τῆς ἰκμάδος εἴργοιτο,

8. Veſpaſianus autem, & contra loci naturam contendere volens & Judæorum audaciam, ſtatuit urbem acriter oppugnare, & advocatis *omnibus* ſub ſe ducibus, cum illis de impreſſione facienda conſultabat. Cum autem viſum eſſet aggerem excitare, qua parte murus acceſſu erat facilis, totum ad comportandam materiam mittit exercitum, urbique propinquis montibus exciſis, ſimulque cum lignis magna vi lapidum congeſta, alii quidem, cratibus, ad evitanda jacula deſuper miſſa, ſuper vallis expanſis, ſub illis aggerem conſtruebant, nihil aut parum admodum telis, quæ de muro jacerentur, læſi: alii vero, propinquos tumulos evellentes, terram illis ſine intermiſſione afferebant. cumque triſariam diviſi eſſent, nemo otioſus erat. At Judæi ſaxa ingentia & omne telorum genus in eorum tegumenta è muris immiſerunt. quæ licet minime penetrarent, magnum tamen ſonitum edentia & horribilem, impedimento erant operantibus.

Qualiter Jotapata obſidet Veſpaſianus.

9. At Veſpaſianus, cum miſſilium machinas circumpoſuiſſet (organa autem omnia erant centum & ſexaginta) eos qui ſuper murum aſtarent juſſit impetere. Simul etiam & catapultæ lanceas cum ſtridore jaciebant, & è balliſtis lapides talenti pondere mittebantur, ignisque & aſſidue magno numero ſagittæ. quæ omnia non ſolum murum ſed etiam totum quousque pertingerent ſpatium Judæis inacceſſum fecerunt. quin & magna Arabum ſagittariorum manus, itemque jaculatores & funditores omnes una cum machinis tela emittebant. Non tamen, *his Judæi* prohibiti ne deſuper propugnarent, quieſcebant. nam agminibus, prædonum magis ex more, excurrentes, & tegmina operantium undique detrahebant, nudatoſque feriebant: & ubicunque illi loco cederent aggerem disjiciebant, vallorumque munimenta una cum cratibus incendebant. donec Veſpaſianus, intellecto operum intervalla hujuſce damni cauſam eſſe, (nam ſpatia interjecta Judæis locum *ea* aggrediendi præbebant) tegumenta omnia in unum conferebat: & cum ipſis pariter conjunctis viribus, factum eſt ut coërcerentur hoſtium obreptiones.

Quo modo in obſidione res utrinque geritur.

10. Jam vero aggere erecto, & propemodum propugnaculis æquato, Joſephus grave fore ratus ſi nihil contra moliretur quod urbi ſalutare eſſet, opifices convocat, murumque altius attolli juſſit. Cumque illi dicerent, fieri non poſſe ut ædificarent dum tot jaculis peterentur, hujuſmodi tegmen illis excogitabat. Cum ſudes defigi, ſuperque eis cruda boum coria expandi præcepiſſet, ut lapides quidem è tormentis emiſſos depreſſa exciperent, reliqua vero tela inde dilaberentur, & humoris vi ignis arceretur, hoc machinamentum opificibus præ-

Aggere muris fere æquato, muros altius attollendos curat Joſephus.

w Καρτερῶς ἥπτετο τῆς πολιορκίας.] Καρτερώτερον *Big.* & *Voſſ.*
x Ὑπ' αὐτῷ ἡγεμόνας,] Ὑπ' αὐτὸν *Big.*
y Χῶσαι] *Roſſ.* ὑψῶσαι, ſed ὑ ſuperſcript. rec. manu, quum in textu exſtet ψῶσαι.
z Πρόσιτον τοῦ τείχους,] Ita *Big.* & *Ruf.* antea erat ἀπρόσιτον in *Græcis cæteris.*
a Συναλισθείσης δὲ ἅμα] Συναλισθείσης τε in aliquibus *MSS.*
b Διατείναντες] Διαλείναντες *Big.*
c Ἐχώννυον ὑπ' αὐτοῖς] Ita *Bod.* & *Lugd.* ediderat tamen *Hudſon.* ἔχον. Hav.
d Οἱ δὲ,] Οἱ δὲ τοὺς πλησίον *Vat.*
e Προσέφερον.] Ἔφερον *Big.*
f Σκεπάσμασιν αὐτῶν ἐπηφίεσαν,] Σκεπάσμασιν *Big.* σκέπασιν *Vat.*
g Ὢν ὁ ψόφος καὶ φοβερὸς,] Illud ὢν non agnoſcit *Voſſ.* Τῶν δὲ καὶ μὴ διικνουμένων πολὺς ὁ ψόφος, ὁ φοβερὸς ἦν ἐμπ. aut ſimile quid legiſſe videtur *Ruf.* qui vertit, *quæ licet minime penetrarent, magnos tamen crepitus dabant, & horribile impedimentum erant operantibus.*
h Τοὺς] Ita lege cum *Roſſ.* & *Lugd. Bat.* non (ut reliqui) τοῖς. Hav.
i Ἐπὶ τοῦ τείχους.] Ita *Big. Roſſ.* & *Bod.* τοὺς ἀπὸ τοῦ τείχους in *Editis Aliiſque.*

k Ἀνεῤῥοίζουν.] Ἀνεῤῥίζουν *Big.* ἀνεῤῥίζουν *Bod.* Legi etiam poteſt ἀνεῤῥίπτουν.
l Ἅπερ οὐ μόνον] Ita *Big. Gall.* & *Ruf.* ἀπεκαίρησαν in *Editis Aliiſque.*
m Τῆς ἐντὸς] Sic *Big.* τοὺς ἐντὸς *Bod.* τῆς ἄλλης in *cæteris.*
n Ὅσης ἀφικνεῖτο χώρας.] Οὔσης *Vat.* & *Lugd. Bat.*
o Καὶ γὰρ τὸ] Ita *Baſ. Big.* & *Bod.* καὶ γὰρ τῶν in *cæteris.*
p Τὰς σκέπας,] Τὰ σκεπάσματα *Big.*
q Ἐνεπίμπρασαν.] *Al.* ἐνέπρησαν.
r Ἅμα αὐτοῖς] Forſan ἅμα αὐταῖς.
s Ἀνείρχθησαν] εἴρχθησαν *Roſſ.*
t Παραδύσεις.] παράδυσιν infr. lib. 6. c. 1. §. 3. Spanh. παραδύσεις in *Roſſ.* manu recent. corr.
v Δεινὸν Ἰώσηπος] Δεινὸν ὁ Ἰώσηπος *Big.*
x Ἀντιμηχανήσαιτο] Ita ſuperſcribitur quoque in *Roſſ.* legitur alias ἀντιμηχανᾶσθαι.
y Βύρσας νεοδόρους] Ita *Big.* βύρσαις νεοδόροις in *Editis Aliiſque.*
z Ὡς ἂν δέχοιντο] Ὡς ἀναδέχοιντο *Big.*
a Τῶν πετροβόλων] Munimenta contra πετροβόλους in obſidione Bezabdes apud Ammian. Marcell. l. xx. c. vii. p. 198. Et licet defenſores obtentis ciliciis, ne conſpicerentur ab hoſtibus, latitarent intrinſecus. Spanh.
b Περιολισθαίνοι] Περιολισθάνοι *Big.*

 ἐφ'

prætendit, ſub quo tutò operantes die nocteque murum ad viginti cubitorum altitudinem evexerunt; & crebras quidem turres in eo ædificarunt, validaque *eis* adaptarunt propugnacula. id quod Romanis, jam intra civitatem ſe eſſe credentibus, magnam anxietatem injecit; fecitque ut tam ex iis quæ excogitaverat Joſephus, quam ex civium præſenti fortitudine animis conſternarentur.

VII. *Veſpaſianus irritatus ſtatuit urbem obſidere.*

11. At Veſpaſianus & commenti vaſritie & Jotapatenorum audacia magis irritabatur. nam, reſumpta ex munitione fiducia, in Romanos excurſiones faciebant, & quotidie *cum illis* turmatim confligebant, & omne genus latrocinia adhibebant, ut & eorum quæ caſus obtulerit rapinas, aliorumque operum igne vaſtationes, donec Veſpaſianus, contento à pugna milite, ſtatuit urbem obſidere, & neceſſariorum penuria laborantem capere. aut enim coactos neceſſariorum inopia ipſi ſupplicaturos, aut ſi ad extremum in eadem pertinacia duraverint, fame perituros: multoque languidiores in pugna eos habiturum eſſe putabat, ſi rurſus poſt intervallum inedia attritos adoriatur. itaque omnes exitus eorum obſervari juſſit.

Obſeſſorum conditio, & quo pacto illis providet Joſephus.

12. Illis autem intus frumenti ſatis erat, aliarumque rerum præter ſalem omnium: attamen aqua egebant, utpote quod ne quidem fons intra urbem, imbre autem contenti erant eam habitantes. verum raro ſi unquam in illo tractu per æſtatem pluit. Cumque illa ipſa tempeſtate obſiderentur, valde animos deſpondebant de ſiti vel minimum cogitantes; & indignabantur, ac ſi aqua prorſus eos defeciſſet. Joſephus enim, cum & civitatem videret aliis neceſſariis abundare, viroſque animo fortes eſſe, velletque obſidionem Romanis præter exſpectationem protrahere, *certa* menſura potum civibus diſtribuebat. Illi vero *aquam ipſis ita* diſpenſari penuria gravius eſſe exiſtimabant; & cupiditatem illorum magis accendebat, quod liberam *bibendi* poteſtatem non haberent: &, quaſi ad extremam jam perventum eſſet ſitim, fatiſcebant. Verum Romanos, quod ita ſe haberent, non latebat. nam ex adverſo trans murum animadvertebant eos unum in locum confluentes, & aquam dimenſam accipientes; eoque pertingentibus telis, quæ è machinis jacerentur, multos occidebant.

Ejus ſtratagema ad Veſpaſianum fallendum.

13. Et quidem Veſpaſianus, ciſternis non multo poſt exhauſtis, ex ipſa neceſſitate ſibi traditum iri civitatem ſperabat. Joſephus autem, hanc illius ſpem frangendi propoſitum habens, quamplurimos jubet veſtes in aquam immergere, eaſque de propugnaculis undique ſuſpendere, ita ut omnem derepente murum *humor* circumflueret. Ad hoc, animis concidunt Romani & conſternantur, cum vidiſſent eos tantum aquæ in ludibrium conſumere, quos ne potum quidem habere exiſtimabant. Adeoque imperator, cum inedia captum iri urbem deſperaſſet, iterum ſe ad arma & vim

προαινέστησι τῶν τεχνιτῶν, [c] ἐφ' οἷς ἀσφαλῶς ἐργαζόμενοι, δι' ἡμέρας τε καὶ νυκτὸς τὸ τεῖχος ἤγειραν, εἰς εἴκοσι πήχεις τὸ ὕψος· καὶ συχνοὺς μὲν πύργους [d] ἐνῳκοδόμησαν αὐτῷ, καρτεράν τε ἔπαλξιν ἐφηρμόσαντο. τοῦτο τοῖς Ῥωμαίοις, ἐντὸς ἤδη τῆς πόλεως οἰομένοις εἶναι, πολλὴν ἐποίησεν ἀθυμίαν· καὶ πρός τε τὴν ἐπίνοιαν τοῦ Ἰωσήπου καὶ τὸ παράστημα τῶν ἐπὶ τῆς πόλεως, κατεπλάγησαν.

ια'. Οὐεσπασιανὸς δὲ, καὶ πρὸς τὸ πανοῦργον τοῦ στρατηγήματος, καὶ πρὸς τὰς τόλμας παρωξύνετο τῶν Ἰωταπατηνῶν. [e] πάλιν γὰρ [f] ἀναθαρσήσαντες ἐπὶ τῷ τειχισμῷ, τοῖς Ῥωμαίοις ἐπεξῄεσαν, καὶ καθ' ἡμέραν ἐγίνοντο συμπλοκαὶ [g] κατὰ λόχους, ἐπίνοιά τε λῃστρικὴ πᾶσα, καὶ τῶν [h] προστυχόντων ἁρπαγαὶ, καὶ τῶν ἄλλων ἔργων πυρπολήσεις, ἕως Οὐεσπασιανὸς, [i] ἀναπαύσας τὴν στρατιὰν μάχης, διέγνω προσκαθεζόμενος σπάνει τῶν ἐπιτηδείων αἱρεῖν τὴν πόλιν. ἢ γὰρ ἀναγκαζομένους [k] ἀπορίᾳ τῶν ἀναγκαίων [l] ἱκετεύσειν αὐτὸν, ἢ μέχρι παντὸς [m] ἐπαυθαδισαμένους διαφθαρήσεσθαι λιμῷ. πολύ τε ῥᾴοσιν αὐτοῖς [n] χρήσεσθαι ἐξ ἴσου κατὰ τὴν μάχην, εἰ διαλιπὼν αὖθις [o] ἐκτετρυχωμένοις ἐπιπέσοι. φρουρεῖν δὲ πάσας αὐτῶν ἐκέλευσε τὰς [p] ἐξόδους.

ιβ'. Τοῖς δὲ σίτου μὲν ἦν πλῆθος ἔνδον, [q] καὶ τῶν ἄλλων πλὴν ἁλὸς ἁπάντων· ἔνδεια δὲ ὕδατος, ὡς ἂν πηγῆς μὲν οὐκ οὔσης κατὰ τὴν πόλιν, [r] τῷ ὀμβρίῳ διαρκουμένων τῶν ἐν αὐτῇ· σπάνιον δὲ εἴποτε τὸ κλίμα [s] τοῦτο θέρους ὕεται. καὶ [t] κατὰ ταύτην τὴν ὥραν πολιορκουμένων, ἀθυμία δεινὴ πρὸς τὴν τοῦ δίψους ἐπίνοιαν ἦν, ἤσχαλλόν τε ὡς ἤδη ἐπιλελοιπότος καθάπαν ὕδατος. ὁ γὰρ Ἰώσηπος τήν τε πόλιν ὁρῶν τῶν ἄλλων ἐπιτηδείων εὔπορον, καὶ τὰ φρονήματα γενναῖα τῶν ἀνδρῶν, βουλόμενός τε Ῥωμαίοις παρ' ἐλπίδα ἐκτεῖναι τὴν πολιορκίαν, μέτρῳ τὸ ποτὸν αὐτοῖς [u] διένεμεν. οἱ δὲ τὸ ταμιεύεσθαι χαλεπώτερον ἐνδείας ὑπελάμβανον, καὶ τὸ μὴ αὐτεξούσιον αὐτῶν πλείονα ἐκίνει τὴν ὄρεξιν, καὶ καθάπερ εἰς ἔσχατον ἤδη δίψους προήκοντες ἀπέκαμνον. διακείμενοι δὲ οὕτως οὐκ ἐλάνθανον τοὺς Ῥωμαίους. ἀπὸ γὰρ τοῦ κατάντους ἑώρων αὐτοὺς ὑπὲρ τὸ τεῖχος ἐφ' ἕνα συῤῥέοντας [x] τόπον, καὶ μετρουμένους τὸ ὕδωρ, ἐφ' ὃν καὶ τοῖς [y] ὀξυβελέσιν ἐξικνούμενοι πολλοὺς ἀνῄρουν.

ιγ'. Καὶ Οὐεσπασιανὸς μὲν, [z] οὐκ εἰς μακρὰν τῶν [a] ἐκδοχείων κενωθέντων, ἤλπιζεν ὑπὸ τῆς ἀνάγκης αὐτῷ παραδοθήσεσθαι τὴν πόλιν. ὁ δὲ Ἰώσηπος, κλάσαι [b] μὲν τὴν ἐλπίδα ταύτην αὐτῷ προαιρούμενος, ἐμβρέξαι κελεύει πλείστους τὰ ἱμάτια, καὶ καταρεμάσαι [d] περὶ τὰς ἐπάλξεις, ὥστε περιῤῥεῖσθαι πᾶν ἐξαπίνης τὸ τεῖχος. πρὸς τοῦτο ἀθυμία τῶν Ῥωμαίων καὶ κατάπληξις ἦν, θεασαμένων εἰς χλεύην τοσοῦτον παραναλίσκοντας ὕδατος, οὓς οὐδὲ ποτὸν ἔχειν ὑπελάμβανον. ὥστε καὶ τὸν στρατηγὸν, ἀπογνόντα τὴν δι' ἐνδείας ἅλωσιν, τρέπεσθαι πάλιν πρὸς ὅπλα καὶ βίαν. ὃ δὴ τοῖς Ἰου-

c Ἐφ' οἷς ἀσφαλῶς ἐργαζόμενοι.] Ὑφ' οἷς *Big.*
d Ἐνῳκοδόμησαν αὐτῷ] Ἀνῳκοδόμησαν *Big.*
e Πάλιν γάρ] Sic *Big. Bod. Raſ.* & *Voſſ.* πάλαι in *cæteris.*
f Ἀναθαρσήσαντες] *Raſ.* ἀναθαρρήσαντες.
g Κατὰ λόχους,] Ita *Voſſ.* & *Ruf.* καὶ κατὰ λ. in *cæteris.*
h Προστυχόντων ἁρπαγαὶ,] Ita *Big. Lugd. Bat. Pariſ. Bod.* & *Vat.* προτυχόντων in *Editis Aliiſque.*
i Ἀναπαύσας τὴν στρατιάν] Ἀναπαύσασθαι *Big.*
k Ἀπορίᾳ τῶν ἀναγκαίων] Ταῖς ἀπορίαις τῶν *Big.*
l Ἱκετεύσειν αὐτὸν,] Ita *Big.* ἱκετεύειν in *cæteris.*
m Ἐπαυθαδισαμένους] Ἀπαυθαδισάμενος *Big.* ἐπαυθαδισάμενος *Voſſ.* & *Raſ.* ἀπαυθαδισάμενος *Bod.* & *Raſ.*
n Χρήσεσθαι] Χρήσασθαι *Big.*
o Ἐκτετρυχωμένοις] ἐκτετρυχωμένους, καταπεπονημένους, ἐκπεπληγμένους. *Heſichius.* Spanh.
p Ἐξόδους.] *L. B.* ἐφόδους.

q Καὶ τῶν ἄλλων] Καὶ τῶν ἄλλων ἁλὸς ἁπάντων *Voſſ.* quod ſane in textum receperam, niſi cum *Editis* conſenſiſſent *Græci cæteri* & *Rufini* codices.
r Τῷ ὀμβρίῳ διαρκουμένων] Ita in pleriſque *MSS.* τῷ ὀμβρίῳ in *Editis.*
s Τοῦτο θέρους ὕεται.] Τοῦτο additum è *Cod. Voſſ.* ei conſentiente *Rufino.*
t Κατὰ ταύτην] L. B. καθ' αὐτήν.
u Διένεμεν.] Διένεμεν εἰδώς *Big.* & *Lugd. Bat.*
x Τόπον,] *Raſ.* πύργον.
y Ὀξυβελέσιν ἐξικνούμενοι] Ὀξυβελέσιν *Bod.*
z Οὐκ εἰς] Abeſt *Raſ.*
a Ἐκδοχείων] Conf. ſup. lib. 1. c. 15. §. 1. Spanh.
b Μὲν τὴν ἐλπίδα] Illud μὲν non agnoſcunt *Big.* & *Voſſ.*
c Καταρεμάσαι] Κατακρεμάσαι *Big.* κρεμάσαι *Raſ.*
d Περὶ τὰς] *Raſ.* κατὰ τάς.

e Τὸν

Ἰουδαίοις δ' ἐπιθυμίας ἦν. ἀπεγνωκότες γὰρ ἑαυτοὺς καὶ τὴν πόλιν, πρὸ λιμοῦ καὶ δίψης [e] τὸν ἐν πολέμῳ θάνατον ᾑροῦντο.

ιδ'. Ὁ μέντοιγε Ἰώσηπος πρὸς τῷδε τοῦ στρατηγήματος καὶ ἕτερον ἐπενόησεν εἰς περιουσίαν αὐτῶν. [f] διά τινος χαράδρας δυσβάτου, καὶ διὰ τοῦτο ὑπὸ τῶν [g] φυλάκων ἀμελουμένης, κατὰ τὰ πρὸς δύσιν μέρη τῆς φάραγγος ἐκπέμπων τινάς, [h] γράμματα πρὸς οὓς [i] ἐβούλετο τῶν ἔξω Ἰουδαίων [k] διεπέμπετο, καὶ παρ' αὐτῶν ἐλάμβανε, παντός τε ἐπιτηδείου τοῦ ἐπιλελοιπότος ἀνὰ τὴν πόλιν εὐπόρησεν, ἕρπειν τὰ πολλὰ παρὰ τὰς φυλακὰς κελεύσας τοῖς εἰσιοῦσι, καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς εἰ καὶ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν. μέχρι συναισθόμενοι τὴν ἐπίνοιαν οἱ φρουροί, περιέσχουσι τὴν χαράδραν.

ιε'. Καὶ τότε Ἰώσηπος μὲν τὴν πόλιν οὐκ εἰς μακρὰν ἀνθέξειν ὁρῶν, ἐν ἀπόρῳ δὲ τὴν ἑαυτοῦ σωτηρίαν [l] μένοι, δρασμὸν ἅμα τοῖς δυνατοῖς ἐβουλεύετο. [m] συναισθόμενον δὲ τὸ πλῆθος καὶ περιχυθὲν αὐτοῦ κατηντιβόλει, „ μὴ σφᾶς περιιδεῖν ἐπ' αὐτῷ μόνῳ κειμένους. εἶναι γὰρ τῇ πόλει καὶ σωτηρίας [n] μὲν ἐλπίς, [o] ὡς παραμένοντος αὐτοῦ, παντὸς ἀγωνισομένου δι' αὐτὸν προθύμως· κἂν ἁλῶσι δέ, παραμυθία. πρέπειν δὲ αὐτῷ μήτε [p] φυγεῖν τοὺς ἐχθρούς, μήτε ἐγκαταλείψειν τοὺς φίλους, μηδὲ ἀποπηδᾶν, ὥσπερ χειμαζομένης νεώς, εἰς ἣν ἐν γαλήνῃ παρῆλθεν. ἐπιβαπτίσειν γὰρ [q] αὐτὸν τὴν πόλιν, μηδενὸς [r] ἔτι τολμῶντος τοῖς πολεμίοις ἀνθίστασθαι, [s] δι' ὃν ἀναθαρροῖεν οἰχομένου.

ιϛ'. Ὁ δὲ Ἰώσηπος, τὸ καθ' αὐτὸν ἀσφαλὲς ὑποστελλόμενος, „ ὑπὲρ αὐτῶν, ἔφασκε, ποιεῖσθαι τὴν ἔξοδον. [t] μένων μὲν γὰρ οὔτ' ἂν ὠφελῆσαί τι μέγα σωζομένους, κἂν ἁλίσκωνται [u] συναπολέσθαι περισσός· ἐκδὺς δὲ τῆς πολιορκίας, ἔξωθεν ὠφελήσειν αὐτοὺς μέγιστα. τούς τε γὰρ ἐκ τῆς χώρας Γαλιλαίους συναθροίσειν ἢ τάχος, καὶ Ῥωμαίους ἑτέρῳ πολέμῳ τῆς πόλεως αὐτῶν ἀντιπερισπάσειν. οὐχ ὁρᾶν δὲ τί παρακαθεζόμενος αὐτοῖς χρήσιμος εἴη νῦν, [x] πλὴν ἢ Ῥωμαίους παροξύνων μᾶλλον ἐπὶ τὴν πολιορκίαν, ὡς περὶ πλείστου ποιουμένους λαβεῖν αὐτόν. εἰ δὲ [y] ἐκδράντα πύθοιντο, πολὺ τῆς [z] ἐπὶ τὴν πόλιν ὁρμῆς ἀνήσειν“. [a] οὐκ ἔπειθέν τε αὐτούς, ἀλλὰ μᾶλλον ἐξέκαυσε τὸ πλῆθος [b] αὐτοῦ περιέχεσθαι. παῖδες γοῦν καὶ γέροντες, καὶ γύναια μετὰ νηπίων ὀδυρόμενα προσέπιπτον αὐτῷ, καὶ τοῖς ποσὶν ἐμπλεκόμενοι πάντες εἴχοντο, καὶ μετὰ κωκυτῶν κοινωνὸν σφίσι τῆς τύχης [c] μένειν ἱκέτευον, οὐ φθόνῳ τῆς ἐκείνου σωτηρίας, ἔμοιγε [d] δοκεῖν, ἀλλ' ἐλπίδι [e] τῆς αὐτῶν. οὐδὲν γὰρ ἠξίουν πείσεσθαι δεινὸν Ἰωσήπου μένοντος.

convertit. id quod Judæi maxime deſiderabant. Nam cum & ſua & civitatis ſalus deſperata eſſet, per bellum quam per famem & ſitim emori malebant.

14. Veruntamen Joſephus, præter ſtratagema jam memoratum, & aliud excogitavit * in ſui incolumitatem. Via quadam ſalebroſa admodum & ardua, propter eaque à cuſtodibus negligenter habita, per vallis latera occidentalia certos quoſdam mittens, literas ad quoſcunque vellet Judæorum extra civitatem dedit, viciſſimque ab iis accepit, & neceſſariorum quæ in urbe defecerant abunde habuit; mandato commeantibus, ut reperent plerunque dum excubias præterirent, & terga velleribus tegerent, ut ſi quis eos noctu conſpiceret, canes eſſe viderentur. *quod factitatum*, donec vigiles detecto commento ſeſe locis confragoſis circundarent. *Aliud Joſephi ſtratagema.*

15. Et tunc quidem Joſephus, cum urbem non diu reſiſtere poſſe videret, ſuamque ſalutem in incerto eſſe ſi maneret, de fuga cum primoribus *civitatis* deliberabat. Id vero ubi populus intellexit, ſeque ei circumfudiſſet, „ ne ipſos negligeret, „ orabant, omnem in eo ſolo fiduciam reponentes. Civitati enim adhuc ſalutis quidem ſpem „ eſſe, quod ipſo manente omnes ejus cauſa alacriter dimicaturi eſſent; ſin vero capiantur, eundem ſolatio fore. Decere autem illum nec inimicos fugere, nec in eo eſſe ut amicos deſerat, neque veluti ex navi tempeſtate oppreſsâ deſilire, in quam cum mare eſſet tranquillum venerat. ipſum enim demerſurum eſſe civitatem, cum jam nemo audebit hoſtibus ſe opponere, ipſo diſcedente cui confiderent. *Joſephus de fuga cum ſuis agit, obnitente populo.*

16. Joſephus autem † cavens ne ipſum ſaluti ſuæ proſpicere cogitarent, „ illorum commodo ſe *urbe* egredi, dicebat. etenim manendo ſe parum admodum illis, dum ſalvi eſſent, profuturum, &, ſi caperentur, una cum illis fruſtra eſſe periturum; obſidione vero liberatum, extra urbem maximo eis emolumento fore: Galilæos enim è regione quam celerrime congregatum ire, & alio bello Romanos ab eorum civitate revocaturum. Nunc autem non videre cui bono foret ſi apud eos remaneret, niſi ut Romanos ad obſidionem magis incitaret, ut qui ipſum capere maximi facerent: quem ſi auſugiſſe reſciverint, multum eos de impetu in urbem *faciendo* remiſſuros eſſe. “ Non autem his quicquam eos movebat, ſed eo magis populum ad ſe circumſiſtendum accendit. pueri igitur & ſenes, itemque mulieres cum infantibus flentes ad pedes illius accidebant, eoſque complexi omnes tenebant, & cum ejulatu eum obſecrabant ut apud eos maneret ejuſdem fortunæ particeps; non quod illius ſaluti inviderent, ut mihi videbatur, ſed quod de ſua ſpem haberent. nihil enim mali dum maneret Joſephus ſe paſſuros eſſe exiſtimabant. *Fuga conſilium.*

17. Ille

[e] Τὸν ἐν πολέμῳ θάνατον] Τὸν ἐν τῷ πολέμῳ Bod.
[f] Διὰ] Pro διὰ etiã ſcribitur [illegible] in Raf.
[g] Φυλάκων ἀμελουμένης,] Ita *Big.* & *Lugd. Bat.* φυλακῶν in aliis.
[h] Γράμματα] Γράμματά τε *Big.* & *Vat.*
[i] Ἐβούλετο] Ἠθέλετο *Big.*
[k] Διεπέμπετο,] Διετέμπετο *Bod.*
[l] Ἐν μένοι.] Ita *Big.* & *Raf.* ἀποθέμενος in *Editis Aliiſque.*
[m] Συναισθόμενον] συνισθόμενον *Raf.*
[n] Μὲν ἐλπίς,] iterum cum *Cod. Big.* μόνον in *cæteris omnibus.*
[o] Ὡς παραμένοντος αὐτοῦ,] ita *Voſſ.* & *Raf.* καὶ marg. in reliquis.
[p] Φυγεῖν τοὺς ἐχθρούς,] Φυγεῖν & mox καταλιπεῖν *Big.*
[q] Αὐτὸν τὴν πόλιν.] Αὐτοὺς *Big.* αὐτὸν *Bod.*
[r] Ἔτι τολμῶντος] [illegible] *Raf.*
Οὐεσπασιανὸς ἀπιστεῖν ἐδόκει, καὶ τὸν Ἰώσηπον ὑπελάμβανε ταῦτα περὶ σωτηρίας πανουργεῖν. κατὰ μικρὸν δὲ εἰς πίστιν [y] ὑπήγετο, τοῦ Θεοῦ [z] διεγείροντος αὐτὸν εἰς τὴν ἡγεμονίαν ἤδη, καὶ τὰ σκῆπτρα δι' ἑτέρων σημείων [a] προδεικνύοντος. ἀτρεκῆ δὲ καὶ τὸν Ἰώσηπον ἐν [b] ἄλλοις κατελάμβανε. τῶν γὰρ τοῖς ἀπορρήτοις [c] παρατυχόντων φίλων [d] ὁ ἕτερος, „ θαυμάζειν, ἔφη, πῶς οὔτε τοῖς ἐπὶ „ τῆς Ἰωταπάτων περὶ ἁλώσεως, [e] οὔτε αὐτῷ προ„ μαντεύσαιτο περὶ αἰχμαλωσίας, εἰ μὴ ταῦτα „ [f] λῆρος εἴη [g] διακρουομένου τὰς ἐπ' αὐτὸν ὀρ„ γάς." Ἰώσηπος δὲ, „ καὶ τοῖς Ἰωταπατηνοῖς „ ὅτι μετὰ τεσσαρακοστὴν [h] ἑβδόμην ἡμέραν ἁλώσονται „ προειπεῖν, ἔφη, καὶ ὅτι πρὸς Ῥωμαίων αὐτὸς „ ζωγρηθήσεται." ταῦτα παρὰ τῶν αἰχμαλώτων κατ' ἰδίαν ὁ Οὐεσπασιανὸς ἐκπυθόμενος, εὕρισκεν ἀληθῆ, καὶ πιστεύειν περὶ τῶν κατ' αὐτὸν [i] ἤρξατο. φρουρᾶς μὲν οὖν καὶ δεσμῶν οὐκ [k] ἀνίει τὸν Ἰώσηπον, ἐδωρεῖτο δὲ [l] ἐσθῆτι καὶ τοῖς ἄλλοις κειμηλίοις, [m] φιλοφρονούμενός τε καὶ περιέπων διετέλει, τὰ πολλὰ Τίτου τῇ τιμῇ συνεργοῦντος.

CAP. IX.

Quomodo capta erat Joppe, & dedita Tiberias.

QUarto autem die Panemi menſis Veſpaſianus in Ptolemaïdem reverſus eſt, atque inde Cæſaream maritimam pervenit, & urbem Judææ maximam, & majori ex parte à Græcis inhabitatam. Unde exercitum pariter ac imperatorem cum magno plauſu & hilaritate excipiebant indigenæ, etiam ex ſua quidem in Romanos benevolentia, magis autem ex ſuo in everſos odio.

Joſephus ad ſupplicium petitur renitente Veſpaſiano.

Unde & multi ſimul contra Joſephum inclamantes, de eo ſupplicium ſumendum eſſe poſtulabant. Veſpaſianus autem ab iſta quidem petitione, ut quæ ab inconſulta facta eſſet multitudine, ſe liberavit, nihil reſpondendo. Legionum autem duas quidem Cæſareæ, *illic* hyematuras, conſtituit, quod civitatem huic rei opportunam eſſe videret: decimam vero & quintam in Scythopoli, ne totius onere exercitûs attereretur Cæſarea. Erat autem & illa hyeme aprica, quantum æſtate præ fervore æſtuoſa, utpote in planitie ſita & maritima.

XV. *Joppe ſeditioſorum refugium.*

2. Interea cum non exigua collecta eſſet multitudo, ex iis qui vel ſeditione ab hoſtibus defecerant, vel ex civitatibus everſis effugerant, Joppen, quam antea diruerat Ceſtius, inſtauratum eunt ſibimet in refugium: &, quia illis impedimento erat regio vaſtata, in mare migrare decreverunt. cumque naves piraticas quam plurimas fabricaſſent, qua

ΚΕΦ. θ'.

Ὡς ἑάλω Ἰόππη, καὶ ἐνεδόθη Τιβεριάς.

ΤΕτάρτῃ δὲ Πανέμου μηνὸς, ἀναζεύξας εἰς τὴν Πτολεμαΐδα, [n] κἀκεῖθεν εἰς [o] τὴν παράλιον ἀφικνεῖται Καισάρειαν, μεγίστην [o] τῆς τε Ἰουδαίας πόλιν, καὶ τὸ [p] πλεῖον ὑφ' Ἑλλήνων [q] ἐποικουμένην. ἐδέχοντο δὲ καὶ τὴν στρατιὰν καὶ τὸν στρατηγὸν μετὰ πάσης [r] εὐφημίας καὶ φιλοφροσύνης οἱ ἐπιχώριοι, καὶ κατ' εὔνοιαν μὲν τὴν πρὸς τοὺς Ῥωμαίους, τὸ δὲ πλέον ἔχθει τῶν [s] κατεστραμμένων. διὸ καὶ τὸν Ἰώσηπον ἀθρόοι καταβοῶντες ἠξίουν κολάζειν. Οὐεσπασιανὸς δὲ, τὴν μὲν περὶ τούτου δέησιν, ὡς ὑπ' ἀκρίτου γινομένην πλήθους, [t] ἐξέλυσεν ἡσυχίᾳ. τῶν δὲ ταγμάτων τὰ μὲν δύο χειμερίσοντα ἐκάθισεν ἐπὶ τῆς Καισαρείας, ἐπιτήδειον ὁρῶν τὴν πόλιν· [u] τὸ δέκατον δὲ καὶ πέμπτον [x] εἰς Σκυθόπολιν, ὡς μὴ θλίβοι παντὶ [y] τῷ στρατῷ τὴν Καισάρειαν. ἀλεεινὴ δὲ ἦν κἀκείνη χειμῶνος ὥρᾳ, καθόσον [z] ἦν πνιγώδης θέρους ὑπὸ [a] καύματος, [b] πεδιὰς οὖσα καὶ παράλιος.

β'. Ἐν δὲ τούτῳ συναθροισθέντες οἵ τε κατὰ στάσιν ἐκπίπτοντες τῶν πολεμίων, καὶ οἱ διαφυγόντες ἐκ τῶν κατεστραμμένων, πλῆθος οὐκ ὀλίγον, [c] ἀνακτίζουσιν Ἰόππην ὁρμητήριον σφίσιν, ἐρημωθεῖσαν ὑπὸ Κεστίου πρότερον· καὶ τῆς χώρας ἐκπεπολεμωμένης ἀνειργόμενοι, μεταβαίνειν ἔγνωσαν εἰς τὴν θάλασσαν. πηξάμενοί τε πει-

ρατικὰ

y Ὑπήγετο,] Ἐπήγετο Bod.
z Διεγείροντος αὐτὸν] Διεγείροντος Big. & Vat.
a Προδεικνύοντος.] Προδεικνύντος Big.
b Ἄλλοις] αὐτοῖς Gen.
c Παρατυχόντων] περιτυχόντων L. B.
d Ὁ ἕτερος,] Articulum ὁ non agnoſcunt Big. & Bod.
e Οὔτε αὐτῷ προμαντεύσαιτο] Οὐδὲ αὐτῷ προμαντεύσαιτο Big.
f Λῆρος] κλῆρος Roſt.
g Διακρουομένου] Διακρουόμενος Big. Lugd. Bat. & Bod.
h Ἑβδόμην ἡμέραν] Eſt qui πρώτην malit. τεσσαρακοστὴν ἡμέραν καὶ ἑβδόμην Roſt.
i Ἤρξατο.] Ita Big. Bod. Vat. Lugd. Bat. & Ruf. ἤρχετο in Editis Aliiſque.
k Ἀνίει τὸν Ἰώσηπον,] Ἀνῆκε Big.
l Ἐσθῆτι] Ita Big. Lugd. Bat. & Suid. ἐσθῆσι in cæteris.
m Φιλοφρονούμενός τε] Sic Big. Vat. Voſſ. & Ruf. φιλοφρονούμενος καὶ τε, in reliquis.

n Κἀκεῖθεν] Ἐκεῖθεν Bod.
o Τῆς] Abeſt à L. B.
p Πλεῖον ὑφ' Ἑλλήνων] Πλεῖστον Big.
q Ἐποικουμένην.] Οἰκουμένην Big.
r Εὐφημίας καὶ φιλοφροσύνης] Ita Big. Ruf. & Pſeudo-Hegeſipp. φιλοφημίας; in Editis Aliiſque.
s Κατεστραμμένων,] Κατεστρατευμένων Bod. & Roſt.
t Ἐξέλυσεν ἡσυχίᾳ] Ita Big. & Ruf. ἐξέλυεν in cæteris.
u Τὸ δέκατον δὲ καὶ πέμπτον] Conf. ſupr. c. 4. §. 2. Spanh.
x Εἰς Σκυθόπολιν,] εἰς τὴν Θεόπολιν Roſt.
y Τῷ στρατῷ] Delet Roſt.
z Ἦν πνιγώδης θέρους] Illud ἦν deeſt Big.
a Καύματος,] Καυμάτων Big.
b Πεδιὰς οὖσα καὶ παράλιος.] Conf. ſupr. lib. 1. c. §. 5. Spanh.
c Ἀνακτίζουσιν Ἰόππην — Κεστίου πρότερον] Conf. ſupr. lib. 2. c. 18. §. 10. Spanh.

Τὰ

πειρατικὰ σκάφη πλεῖστα, [d] τόν τε Συρίας καὶ Φοινίκης καὶ τὸν ἐπ' [e] Αἰγύπτῳ [f] πόρον ἐλῄστευον, ἄπλωτά τε πᾶσιν ἐποίουν τὰ τῇδε πελάγη. Οὐεσπασιανὸς δὲ ὡς ἔγνω τὴν [g] σύλαξιν αὐτῶν, πέμπει πεζούς τε καὶ ἱππεῖς ἐπὶ τὴν Ἰόππην, οἳ νύκτωρ [h] ὡς ἀφύλακτον εἰσέρχονται τὴν πόλιν. οἱ δ' ἐν αὐτῇ προῄσθοντο μὲν τὴν εἰσβολήν, καὶ καταδείσαντες, τοῦ μὲν εἴργειν τοὺς Ῥωμαίους ἀπετράποντο. συμφυγόντες δ' εἰς τὰς ναῦς, ἐξωτέρω βέλους [i] διενυκτέρευσαν.

γ'. Ἀλίμενος δὲ οὔσης φύσει τῆς Ἰόππης αἰγιαλῷ γὰρ ἐπιλήγει τραχεῖ, καὶ τὸ μὲν ἄλλο πᾶν ὀρθίῳ, βραχὺ δὲ συννεύοντι κατὰ τὰς κεραίας [k] ἑκατέρωθεν, αἱ δέ εἰσι κρημνοὶ βαθεῖς καὶ προέχουσαι σπιλάδες εἰς τὸ πέλαγος, ἔνθα καὶ τῶν Ἀνδρομέδας δεσμῶν ἔτι δεικνύμενοι τύποι πιστοῦνται τὴν ἀρχαιότητα τοῦ μύθου, τύπτων δὲ τὸν αἰγιαλὸν [l] ἀντίος βορέας, καὶ πρὸς ταῖς δεχομέναις πέτραις ὑψηλὸν [m] ἀνακόπτων τὸ κῦμα, σφαλερώτερον ἐρημίας τὸν ὅρμον ἀπεργάζεται. κατὰ τοῦτον σαλεύουσι τοῖς ἀπὸ τῆς Ἰόππης ὑπὸ τὴν ἕω πνεῦμα βίαιον ἐπιπίπτει μελαμβόρειον ὑπὸ τῶν ταύτῃ πλωϊζομένων καλεῖται. καὶ τὰς μὲν πρὸς ἀλλήλαις τῶν νεῶν αὐτόθι [n] συνήραξε· τὰς δὲ [o] πρὸς ταῖς πέτραις. πολλὰς δὲ πρὸς ἀντίον κῦμα [p] βιαζομένας εἰς τὸ πέλαγος· τόν τε γὰρ αἰγιαλὸν ὄντα πετρώδη, καὶ τοὺς [q] ἐπ' αὐτοῦ πολεμίους ἐδεδοίκεσαν. [r] μετέωρος ὑπεραρθεὶς ὁ κλύδων ἐβάπτιζεν. ἦν δὲ οὔτε φυγῆς που τόπος, οὔτε μένουσι σωτηρία, βίᾳ μὲν ἀνέμου τῆς θαλάσσης ἐξωθουμένοις, Ῥωμαίων δὲ [s] τῆς πόλεως. καὶ πολλὴ μὲν οἰμωγὴ συρρηγνυμένων ἐγίνετο τῶν σκαφῶν, πολὺς δὲ ἀγνυμένων ὁ ψόφος. καὶ τοῦ πλήθους οἱ μὲν ὑπὸ τῶν κυμάτων καλυπτόμενοι διεφθείροντο, πολλοὶ δὲ τοῖς ναυαγίοις ἐμπλεκόμενοι. τινὲς δὲ ὡς κουφοτέραν τὴν θάλασσαν ἔφθανον τῷ σιδήρῳ σφᾶς αὐτοὺς ἀναιρεῦντες. τὸ γεμὴν πλεῖστον ὑπὸ τῶν κυμάτων ἐκφερόμενον περιεξαίνετο ταῖς ἀπορρῶξιν, ὡς αἱμαχθῆναι μὲν ἐπὶ πλεῖστον τὸ πέλαγος, πληρωθῆναι δὲ νεκρῶν τὴν παραλίαν. καὶ γὰρ τοὺς ἐπὶ τὸν αἰγιαλὸν ἐκφερομένους ἐφεστῶτες οἱ Ῥωμαῖοι διέφθειρον. [t] ἦν δὲ ἀριθμὸς τῶν ἐκβρασθέντων σωμάτων [v] τετρακισχίλιοι πρὸς τοῖς [x] διακοσίοις. Ῥωμαῖοι δὲ λαβόντες ἀμαχητὶ τὴν πόλιν κατασκάπτουσιν.

δ'. Ἰόππη μὲν οὕτως ἐν ὀλίγῳ χρόνῳ δεύτερον ὑπὸ Ῥωμαίοις ἑάλω. Οὐεσπασιανὸς δὲ, ὡς μὴ πάλιν οἱ πειραταὶ [y] συναλισθῶσιν εἰς αὐτὴν, στρατόπεδόν τε ἐπὶ τῆς ἀκροπόλεως ἐγείρει, καὶ τὸ ἱππικὸν ἐν αὐτῷ καταλείπει μετὰ πεζῶν ὀλίγων, ἵνα οὗτοι μὲν κατὰ χώραν μένοντες φρουρῶσι τὸ στρατόπεδον, οἱ δὲ ἱππεῖς [z] προνομεύωσι τὴν πέριξ, καὶ τὰς περιοίκους κώμας τε καὶ πολίχνας [a] ἐξαίρωσι τῆς Ἰόππης. οἱ μὲν οὖν κατὰ τὰ προσταχθέντα τὴν χώραν καταtρέχοντες, καθ' ἡμέραν ἔτεμνόν τε καὶ ἠρήμουν ἅπασαν.

ε'. Ὡς δ' εἰς τὰ Ἱεροσόλυμα τὸ κατὰ τὴν Ἰωταπάτην πάθος [b] ἠγγέλη, τὸ μὲν πρῶτον ἠπίστουν

in Phœnicen & Syriam & Ægyptum tranſitur latrocinia exercebant, & omnibus ad oras iſtas invium faciebant pelagus. Veſpaſianus autem cognito quod conſtituerant, equites pariter ac pedites in Joppen mittit, qui noctu in urbem utpote non cuſtoditam ingrediuntur. Qui vero in ea erant impreſſionem quidem faciendam jam ante ſentiebant, & metu perculſi Romanos arcere detrectabant; in naves autem confugientes, cum extra teli jactum eſſent, *in illis* pernoctarunt. *Veſpaſianus exercitum Joppen mittit.*

3. Cum vero Joppe natura eſſet importuoſa (nam in littus aſperum cæteraque arduum deſinit, ac ſummis utrinque cornibus leviter inflexum, * in quibus profundæ rupes & ſaxa ingentia quæ mari prominent, ubi & adhuc oſtenſa Andromedæ vinculorum veſtigia fidem faciunt antiquitati fabulæ, † adverſus autem aquilo feriens littora, & cautibus objectis tumidos illidens fluctus, ſtationem mari aperto periculoſiorem efficit) eo in ſalo fluctuantibus Joppenis ſub diluculum vehemens flatus ingruit, quem illac navigantes Melamboream vocant. & alias quidem naves inter ſe, alias vero colliſit in ſcopulos; multas autem, cum adverſus æſtum omni vi tenderent in altum, (nam & littus ſaxoſum & hoſtes ei circumfuſos metuebant) ventus, in ſublime attollens fluctus, demerſit: & neque fugæ uſquam locus erat, neque manentibus ſpes ſalutis, cum ventorum vis eos mari pelleret, & Romani civitate *prohiberent*. Et multi quidem ejulatus erant cum colliderentur naves, multus vero fragor cum frangerentur: & Joppenorum alii fluctibus obruti perierunt, aliique quam plurimi naufragiis implicati. Nonnulli autem ferro ſe interficientes, quaſi id ſatius eſſet, mare præveniebant: cæterum plerique undis delati in petras abruptas diſcerpti erant, adeo ut mare *cæſorum* ſanguine redundaret, oraque maritima cadaveribus repleretur. Quin etiam ad littus appulſos ſtantes in eo Romani trucidabant. atque ejectorum corpora numero erant ad quatuor millia & ducenta. Romani vero ſine prælio urbem ceperunt & funditus diruerunt. *Joppes deſcriptio.* *Joppenſi naufragium patiuntur.* *Joppe iterum everſa.*

4. Atque ita quidem Joppe brevi tempore bis à Romanis exciſa eſt. Veſpaſianus autem, ne rurſus eò piratæ confluerent, & caſtra in arce excitat, & equitatum illic cum paucis peditibus relinquit; ita ut illi eo in loco manentes caſtra cuſtodirent, equiteſque finitimam regionem *depopularentur*, & villas Joppe vicinas cum urbeculis è medio tollerent. Et illi quidem imperata facientes regionem percurſarunt, eamque omnem quotidie diripiebant & vaſtabant. *Præſidium ibi collocat Veſpaſianus.*

5. Ubi autem ea quæ Jotapatis acciderant famâ perlata eſſent Hieroſolyma, primo quidem multi, *Fl. Joſephus peremptus dicitur*

d Τόν τε Συρίας καὶ Φοινίκης] Ita Big. & Ruf. τόντε Φ. καὶ Σ. in cæteris.
e Αἰγύπτῳ] Ἐπ' Αἰγύπτου Big. Αἰγύπτου Bod.
f Πόρον ἐλῄστευον,] Πόντον Voff.
g Σύλαξιν αὐτῶν,] Ita Big. Bod. Rofl. Voff. & Ruf. σύνταξιν in Editis Aliiſque.
h Ὡς ἀφύλακτον εἰσέρχονται] Illud ὡς non agnoſcit Big. & commode abeſſe poteſt.
i Διενυκτέρευσαν.] Διενυκτέρευον Bod.
k Ἑκάτερθεν,] Ἑκατέρωθεν Busb.
l Ἀντίος βορέας,] Ἐναντίος Big.
m Ἀνακόπτων τὸ κῦμα,] Ἀνακόπτοντος Big.
n Συνήραξε] Ita Vat. συνέρραξε Big. συνέρραξε in cæteris.
o Πρὸς ταῖς πέτραις] Πρὸς τὰς πέτρας Bod.
p Βιαζομένας εἰς τὸ πέλαγος] Βιαζομένους Busb.
q Ἐπ' αὐτῷ] ἐπ' αὐτοῦ L. B. ſed & ſuperius cap. 7. §. 20. ita dixit τῶν ἐπ' αὐτοῦ. Hav.
r Μετέωρος ὑπεραρθεὶς] Interſerit δὲ L. B. & Rofl.
s Τῆς πόλεως,] Ita cum Big. Rhed. Voſ. Bod. Rofl. Vat. & Rufini Codd. τῆς πόλεως εἰργόντων τῶν ἄλλων ἐκκλειόντων καὶ π. Bof. & Gen. quæ omnia, dempto ἐκκλειόντων, agnoſcit Busb.
t Ἦν δὲ] Abeſt a L. B.

v Τετρακισχίλιοι] Millia quingenta *Pſeudo-Hegeſippo*.
x Διακοσίοις.] Hic ἕ ſubjungit L. B.
y Συναλισθῶσιν εἰς αὐτὴν,] Συναλισθῶσιν Busb. & Voff. Huns. Ex correctione ita Voff. ſeu L. B. habet, habuit enim a principio aliter. Idem vero verbum hoc occurrit in Act. Apoſt. cap. 1. v. 4. καὶ συναλιζόμενος παρήγγειλεν. Hav.
z Προνομεύωσι.] Non ut Rufinus territorium peragrantes; vaſtantes προνομεύω, ἁρπάζω, κατατρέχω, αἰχμαλωτίζω. Heſychius. hic infra lib. 4. Cap. 9. §. 3. στρατηγοῦντος μὲν αὐτοῖς ἦν ductor erat prædatum exeuntibus. Spanh. προνομεύοντες Rofl. dein τὰ πέριξ.
a Ἐξαίρωσι] L. B. ἐξαιρῶσι.
b Ἠγγέλη,] L. B. ἠγγέλθη.

* Quæ vaſtæ ſuperſunt & ingentibus procellis pelagus turbant, Ruf.

† *Pſeudo-Hegeſippo*, cadentibus itaque littus adverſus Boreæ flatibus, immane quantum undæ attolluntur; quæ ſcopulis illiſæ fragorem ingentem excitant, atque in fluctus relapſæ inquietum iſtum maris ſinum reddunt, ut plus periculi in portu quam in deſerto ſit.

& à Judæis velut mortuus defletur.

multi, & propter magnitudinem calamitatis, & quia nemo aderat ſpectator eorum quæ ferebantur, non habebant *dicentibus* fidem (neque enim nuncius *cladis* ſupererat, ſed temere excidium nunciabat fama, natura apta ad triſtia ſpargenda) paulatim vero per finitimos verus ibat rumor, & apud omnes jam certior habebatur quam ut de eo ambigeretur; cæterum rebus geſtis affingebant quæ minime geſta erant. Nam & Joſephum in excidio occubuiſſe nunciatum eſt. id quod maximo luctu replevit Hieroſolyma: & per ſingulas quidem domos itemque cognationes amiſſorum quiſque lugebatur à ſuis; luctus vero ducis publicus erat. & hi quidem hoſpites, alii propinquos, amicos alii, nonnulli etiam fratres plorabant; Joſephum autem univerſi. adeo ut per triginta dies fletus & lamentatio in civitate non ceſſarint, plurimoſque conduxerint tibicines qui ſibi leſſu præirent.

Comperto Joſephum vivere, infremunt Judæi.

6. Cum autem tempore indicaretur veritas, & quemadmodum ſe haberent res Jotapatenæ, fictumque compertum eſſet quod de Joſephi morte acceperant, eumque vivere & cum Romanis eſſe reſciſcerent, ac ſupra captivi fortunam à ducibus honorari, tantum in viventem iracundiæ, quantum benevolentiæ prius habuerunt, cum mortuum eſſe crederent. Et ab aliis quidem ignavia, ab aliis vero proditio ei vitio vertebatur. civitas autem indignationis plena erat, & convicia ei faciebat. Plagis autem *acceptis* exaſperabantur, magiſque accendebantur rebus adverſis: porro * clades inopina, quæ ſapientes facit ſuæ ſecuritati proſpicere, & ne ſimilia paterentur ſibimet cavere, *illos* ad alias calamitates ſtimulabat *atque excitabat*: † & unius mali finis alterius ſemper principium erat. denique majore in Romanos impetu ferebantur, ac ſi Joſephi maleficia in illis vindicaturi eſſent. Atque Hieroſolymitanos quidem hujuſcemodi occupabat trepidatio.

XVI. *Veſpaſianus it Cæſaream Philippi.*

7. Veſpaſianus autem ſtudio viſendi regnum Agrippæ (nam & rex ipſe eum invitabat, partim deſiderio laute excipiendi imperatorem cum exercitu, partim ut per eos diſcordias regni ſui ſedaret) motis ex Cæſarea maritima caſtris, in eam quæ Philippi dicitur Cæſaream tranſit. ubi per viginti quidem dies exercitum recreans, ipſe etiam convivia agitabat, gratias Deo reddens pro rebus bene proſpereque geſtis.

Tiberias & Tarichæa infeſta Romanis.

Poſtquam vero Tiberiadem res novas moliri, & Tarichæas deficere nunciatum erat (ad regnum autem Agrippæ utraque pertinebat) decreto apud ſe Judæos ubique everſum ire, opportunum eſſe credebat contra eos exercitum ducere, ‡ urbes iſtas, etiam ut Agrippæ vicem rependeret

οἱ πολλοί, καὶ διὰ τὸ μέγεθος τῆς συμφορᾶς καὶ διὰ τὸ μηδένα τῶν λεγομένων αὐτόπτην παρεῖναι· διεσώθη γὰρ οὐδὲ ἄγγελος, ἀλλὰ αὐτομάτη διεκήρυσσε φήμη τὴν ἅλωσιν, [c] οἰκεία φύσει τῶν σκυθρωποτέρων. κατ' ὀλίγον δὲ διὰ τῶν προσχώρων ὥδευε τὸ ἀληθές, καὶ παρὰ πᾶσιν ἀμφιβολίας ἦν [d] ἤδη βεβαιότερον· προσεσχεδιάζετο γε μὴν τοῖς πεπραγμένοις καὶ τὰ μὴ γενόμενα. τεθνεὼς γὰρ ἐπὶ τῆς ἁλώσεως καὶ Ἰώσηπος ἠγγέλλετο. τοῦτο μεγίστου τὰ Ἱεροσόλυμα πένθους ἐπλήρωσεν· κατὰ μέν γε οἴκους, [e] καὶ κατὰ συγγενείας οἷς προσῆκον ἦν ἕκαστος τῶν ἀπολωλότων ἐθρηνεῖτο. τὸ δὲ ἐπὶ τῷ στρατηγῷ πένθος [f] ἐδημοσιεύθη. καὶ οἱ μὲν ξένους, οἱ δὲ συγγενεῖς, οἱ δὲ φίλους, [g] οἱ δὲ ἀδελφοὺς ἐθρήνουν· τὸν Ἰώσηπον δὲ πάντες. ὡς ἐπὶ τριακοστὴν μὲν ἡμέραν μὴ διαλιπεῖν τὰς ὀλοφύρσεις ἐν τῇ πόλει· πλείστους δὲ μισθοῦσθαι τοὺς αὐλητάς, οἳ [h] θρήνων ἐξῆρχον αὐτοῖς.

ϛ'. [i] Ὡς δὲ τὸ ἀληθὲς διεκαλύπτετο τῷ χρόνῳ, καὶ τὰ [k] μὲν κατὰ τὴν Ἰωταπάτην ὅπως εἶχεν, ἐσχεδιασμένον δὲ τὸ κατὰ τὸν Ἰώσηπον πάθος εὑρίσκετο, ζῆν δὲ αὐτὸν ἔγνωσαν, καὶ παρὰ Ῥωμαίοις ὄντα, καὶ πρὸς τῶν ἡγεμόνων [l] ἢ κατ' αἰχμαλώτου τύχην περιέπεσθαι, τοσοῦτον ὀργῆς ἐπὶ ζῶντος, ὅσον εὐνοίας ἐπὶ τεθνάναι δοκοῦντος πρότερον [m] ἀνελάμβανον. καὶ παρ' οἷς μὲν εἰς [n] ἀνανδρίαν, παρ' οἷς δὲ εἰς προδοσίαν ἐκακίζετο. πλήρης δὲ ἀγανακτήσεως ἦν καὶ τῶν κατ' αὐτοῦ βλασφημιῶν ἡ πόλις. παρωξύνοντο δὲ ταῖς πληγαῖς, καὶ προσεξεκαίοντο ταῖς κακοπραγίαις· τό γε μὴν πταίειν, ὃ γίνεται τοῖς εὖ φρονοῦσιν ἀσφαλείας καὶ τῶν ὁμοίων φυλακῆς αἴτιον, ἐκείνοις κέντρον [o] ἑτέρων ἐγίνετο συμφορῶν, καὶ τὸ τέλος ἀεὶ τῶν κακῶν αὖθις ἀρχή. μᾶλλον γοῦν [p] ὥρμων ἐπὶ τοὺς Ῥωμαίους, ὡς καὶ Ἰώσηπον ἐν αὐτοῖς ἀμυνούμενοι. τοὺς μὲν οὖν ἐπὶ [q] τῶν Ἱεροσολύμων τοιοῦτοι θόρυβοι κατεῖχον.

ζ'. Οὐεσπασιανὸς δέ, [r] καθ' ἱστορίαν τῆς Ἀγρίππα βασιλείας· ἐπῆγε γὰρ [s] καὶ βασιλεὺς αὐτός, [t] ἅμα καὶ δεξιώσασθαι τὸν ἡγεμόνα σὺν τῇ στρατιᾷ τῷ κατὰ τὸν οἶκον ὄλβῳ προαιρούμενος, καὶ καταστεῖλαι [v] δι' αὐτῶν τὰ νοσοῦντα τῆς ἀρχῆς, ἄρας ἀπὸ [x] τῆς παράλου Καισαρείας, εἰς τὴν Φιλίππου καλουμένην μεταβαίνει Καισάρειαν. ἔνθα [y] μέχρι [z] μὲν ἡμερῶν εἴκοσι τὴν στρατιὰν διανέπαυεν, καὶ αὐτὸς ἐν [a] εὐωχίαις ἦν, ἀποδιδοὺς τῷ Θεῷ χαριστήρια τῶν κατορθωμένων. ὡς δὲ αὐτῷ Τιβεριὰς μὲν [b] νεωτερίζειν, ἀφεστάναι δὲ ἠγγέλλοντο Ταριχαῖαι· μοῖρα δὲ τῆς Ἀγρίππα βασιλείας ἦσαν ἀμφότεραι· [c] πανταχόθεν τοὺς Ἰουδαίους καταστρέφεσθαι διεγνωκώς, τὴν ἐπὶ [d] τούτους [e] στρατείαν εὔκαιρον ἡγεῖτο, καὶ δι' Ἀγρίππαν, ὡς εἰς ξενίας ἀμει-

c Οἰκεία φύσει] Ita Big. & L. B. ὠκεία cæteris. In Rufini verſione, *velox nuncia triſtium.*

d Ἤδη] ἤδε Gen.

e Καὶ κατὰ] ὁ κατὰ L. B.

f Ἐδημοσιεύθη.] Ἐδημεύθη Big.

g Οἱ δὲ ἀδελφοὺς ἐθρήνουν] Οἱ δὲ ἀδελφοὺς deſiderat Bod. L. B. & Ruf.

h Θρήνων ἐξῆρχον αὐτοῖς.] Vide *Grotium* ad *Matth.* c. xi. v. 17. & *Bartholinum* de *Tibiis Veterum.* p. 275.

i Ὡς δὲ τὸ ἀληθὲς] Ὡς δὲ τἀληθῆ διεκαλύπτετο Big.

k Μὲν κατὰ] Illud μὲν è Codd. Big. Lugd. Bat. Bod. & Ruf. ut & mox καὶ ante πρὸς τῶν ἡγ. v. 21. mox infr. §. ead.

l Ἢ κατ' αἰχμαλώτου] Hic loci ſubintellige πλέον. at alibi apud Noſtrum ſubauditur μᾶλλον. Verum Big. Rhed. & Voſſ. diſertim legunt πλέον ἢ.

m Ἀνελάμβανον.] ἐλάμβανον L. B.

n Ἀνανδρίαν,] ἀνδρίαν Ruf.

o Ἑτέρων ἐγίνετο συμφορῶν] Ἑτέρων non agnoſcit Big. ἕτερον legit Bod.

p Ὥρμων] ὥρμαν L. B.

q Τῶν Ἱεροσολύμων] Τοὺς Ἱεροσολύμοις Big. ἐν Ἱεροσολύμοις Bod.

r Καθ' ἱστορίαν] ἱστορεῖν, τὸ διέρχεσθαι τόπους χάριν τοῦ κατιδεῖν. Sophocl. Electr. v. 319. vid. infr. lib. 4. c. 8. §. 4. Spanh.

s Καὶ βασιλεὺς αὐτός,] Ita Big. & Ruf. καὶ deeſt cæteris.

t Ἅμα καὶ δεξιώσασθαι] Ἅμα δὲ Big. ἅμα τε Bod.

v Δι' αὐτῶν] Ita Big. Voſſ. Vat. Gall. & Ruf. δι' αὐτοῦ in cæteris.

x Τῆς παράλου Καισαρείας,——καλουμένην] Cæſarea Maritima & Philippi; Nummi apud Goltzium: COL. CAESAREA PHILIPPI. Sic infr. lib. 7. c. 2. §. 1. & de Vita §. 13. Spanh.

y Μέχρι] Abeſt à Ruf.

z Μὲν ἡμερῶν εἴκοσι] Illud μὲν abeſt Voſſ.

a Εὐωχίαις ἦν,] Εὐωχίᾳ Big.

b Νεωτερίζειν,] Νεωτερίζει Big. & mox ἠγγέλλετο.

c Πανταχόθεν] Πάντοθεν Big.

d Τούτους] Τούτοις Voſſ.

e Στρατείαν εὔκαιρον ἡγεῖτο,] Ita lego, στρατιὰν in libris. Videſis H. Stephani Theſaurum, in voce στρατεία.

* Offenſio Ruf.

† Malorumque ſemper incipiebat ex fine principium, Ruf. Ubi finis eſſe debuerat, inde exordium malorum capeſſebatur, *Pſeudo-Hegeſipp.*

‡ Poteſtati ejus civitates creditas, Ruf.

ſ Su.

ἀμοιβὴν, [f] σωφρονίσων αὐτῷ τὰς πόλεις. πέμπει δὲ τὸν υἱὸν Τίτον εἰς Καισάρειαν, [g] μετάξοντα τὴν ἐκεῖθεν στρατιὰν [h] εἰς Σκυθόπολιν. ἡ δέ ἐστι μεγίστη τῆς Δεκαπόλεως, καὶ γείτων τῆς Τιβεριάδος. ἔνθα καὶ αὐτὸς παραγενόμενος ἐκδέχεται τὸν υἱόν. καὶ μετὰ τριῶν ταγμάτων [i] προελθὼν, στρατοπεδεύεται μὲν ἀπὸ τριάκοντα τῆς Τιβεριάδος σταδίων, κατά τινα σταθμὸν εὐσύνοπτον τοῖς [k] νεωτερίζουσι. Σενναβρὶς ὀνομάζεται. πέμπει δὲ [l] δεκαδάρχην Οὐαλεριανὸν σὺν ἱππεῦσι πεντήκοντα, διαλεχθησόμενον εἰρηνικὰ τοῖς κατὰ τὴν πόλιν, καὶ προτρεψόμενον ἐπὶ πίστεις. [m] ἠκηκόει γὰρ ὡς [n] ἐπιθυμοίη μὲν εἰρήνης ὁ δῆμος, καταστασιάζοιτο δὲ ὑπό τινων πολεμεῖν βιαζομένων. προσελάσας δὲ ὁ Οὐαλεριανὸς, ἐπεὶ πλησίον ἦν τοῦ τείχους, αὐτός τε καταβαίνει, καὶ τοὺς σὺν αὐτῷ τῶν ἵππων ἀπέβησεν, ὡς μὴ δοκοῖεν [o] ἀκροβολισόμενοι παρεῖναι. καὶ πρὶν εἰς λόγους ἐλθεῖν, ἐπεκθέουσιν αὐτῷ τῶν στασιαστῶν οἱ [p] δυνατώτεροι μεθ' ὅπλων. ἐξηγεῖτο δὲ αὐτῶν Ἰησοῦς τις ὀνομαζόμενος, [q] παῖς [r] Σαφάτου, [s] τοῦ λῃστρικοῦ στίφους ὁ κορυφαιότατος. Οὐαλεριανὸς δὲ, οὔτε παρὰ τὰς ἐντολὰς τοῦ στρατηγοῦ [t] συμβαλεῖν ἀσφαλὲς ἡγούμενος, εἰ καὶ τὸ [u] νικᾶν εἴη βέβαιον, καὶ σφαλερὸν τὸ μάχεσθαι πολλοῖς μετ' ὀλίγων, [x] ἀπαρασκεύων τε πρὸς ἑτοίμους, καὶ ἄλλως ἐκπλαγεὶς [y] πρὸς τὴν ἀδόκητον τῶν Ἰουδαίων τόλμαν, [z] φεύγει πεζὸς, ἕτεροί τε ὁμοίως [a] πέντε τοὺς ἵππους ἀπέλιπον· οὓς οἱ περὶ τὸν Ἰησοῦν ἀπήγαγον εἰς τὴν πόλιν, [b] γεγηθότες ὥσπερ μάχῃ ληφθέντας οὐκ ἐνέδρᾳ.

η'. Τοῦτο καταδείσαντες οἱ [c] γεραιοὶ τοῦ δήμου, καὶ προύχειν δοκοῦντες, φεύγουσι μὲν εἰς τὸ τῶν Ῥωμαίων στρατόπεδον· ἐπαγόμενοι δὲ τὸν βασιλέα προσπίπτουσιν ἱκέται Οὐεσπασιανῷ, μὴ σφᾶς περιιδεῖν δεόμενοι, μηδὲ τὴν ὀλίγων ἀπόνοιαν ἡγήσασθαι τῆς πόλεως ὅλης. φείσασθαι δὲ τοῦ δήμου Ῥωμαίοις φιλοφρονοῦντος ἀεὶ, καὶ τοὺς αἰτίους τιμωρήσασθαι τῆς ἀποστάσεως, ὑφ' ὧν αὐτοὶ φρουρηθῆναι μέχρι νῦν ἐπὶ δεξιὰς ἐπειγόμενοι πάλαι. ταύταις [d] ἐνεδίδου ταῖς ἱκεσίαις ὁ στρατηγὸς, καίτοι διὰ τὴν ἁρπαγὴν τῶν ἵππων ἐφ' ὅλῃ ὀργισμένος τῇ πόλει. καὶ γὰρ ἀγωνιῶντα περὶ αὐτῆς τὸν Ἀγρίππαν ἑώρα. [e] λαβόντων δὲ τούτων [f] τοῦ δήμου δεξιὰς, οἱ περὶ τὸν Ἰησοῦν, οὐκ ἔτι ἀσφαλὲς ἡγούμενοι μένειν ἐπὶ τῆς Τιβεριάδος, εἰς Ταριχαίας ἀποδιδράσκουσι. καὶ μεθ' ἡμέραν Οὐεσπασιανὸς σὺν ἱππεῦσι προπέμπει πρὸς τὴν ἀκρώρειαν [g] Τραϊανὸν, ἀποπειραθῆναι τοῦ πλήθους, εἰ πάντες εἰρηνικὰ φρονοῖεν. ὡς δὲ ἔγνω τὸν δῆμον [h] ὁμονοοῦντα τοῖς ἱκέταις, ἀναλαβὼν τὴν δύναμιν ᾔει πρὸς τὴν πόλιν. οἱ δὲ τάς τε πύλας ἀνοίγουσιν αὐτῷ, καὶ μετ' εὐφημιῶν ὑπήντων, σωτῆρα καὶ εὐεργέτην [i] ἀνακαλοῦντες. τῆς δὲ στρατιᾶς [k] τριβομένης περὶ τὴν τῶν εἰσόδων στενότητα, παραρρῆξαι τοῦ κατὰ τὴν μεσημβρίαν τείχους

ob hoſpitium, ejus in gratiam caſtigaturus. Titum igitur filium Cæſaream mittit, ut inde militem Scythopolim traduceret. illa autem urbs maxima Decapoleos, & vicina Tiberiadi. Quò cum ipſe veniſſet, ibi filium præſtolabatur. Deinde cum tribus legionibus, ad trigeſimum à Tiberiade ſtadium, manſione conſpicua novarum rerum ſtudioſis (cui nomen eſt Sennabris) caſtra metatur. atque *hinc* Valerianum decurionem cum equitibus quinquaginta mittit, * de iis quæ ad pacem ſpectarent cum civibus acturum, hortaturumque ut in fidem illorum ſe dederent. audierat enim quod pacem quidem populus deſiderarent, ſeditione autem agitarentur à nonnullis ad bellum eos urgentibus. Valerianus igitur, maturato itinere, ubi muris appropinquavit, & ipſe de equo deſcendit, & equites qui cum eo erant deſilire fecit, ne contra eos velitaturi adeſſe viderentur. Et antequam verbum faceret, armati in eum excurrunt ſeditioſi qui plurimum valebant. Ducebat autem eos Jeſus quidam nomine, Saphati filius, latrocinalis agminis princeps. Atqui Valerianus, præter mandata imperatoris prælio congredi haud tutum eſſe ratus, etiamſi de victoria certus eſſet; & periculoſum eſſe, ſi cum multis pauci, & inſtructis imparati confligerent; ac præterea ad inopinatam Judæorum perculſus audaciam, & *ipſe* pedibus fugit, & quinque alii ſimiliter equis relictis: quos Jeſus ejuſque comites, quaſi pugna non inſidiis captos, cum lætitia in urbem abduxerunt.

Titus miſſus cum [illegible] Tiberiadem.

Jeſus quidam latronum princeps.

8. Hac de re ſollicit ſeniores populi, quique dignitate præſtare videbantur, in Romanorum caſtra ſe fuga recipiunt; adſcitoque ſibi rege, ſupplices accidunt ad Veſpaſiani genua, ne ſe deſpiceret obſecrantes; neve quæ paucorum eſſet pro totius civitatis inſania haberet: ſed populo parceret, Romanos ſemper benevolentia proſequenti, ultumque iret defectionis auctores, à quibus ipſi, olim ad fœdus venire properantes, huc uſque ne id facerent præſidiis tenebantur. Iſtis precibus annuebat imperator, quanquam toti civitati ob equos raptos infenſus eſſet. nam & Agrippam videbat de ea anxium eſſe. Cum autem iſti de populo fidem datam accepiſſent, Jeſus & qui cum eo erant, haud ſatis tutum eſſe arbitrantes apud Tiberiadem manere, inde ad Tarichæas fugiunt. Poſteroque die Veſpaſianus in † montis ſummitatem cum equitibus præmittit Trajanum, qui multitudinem, an omnes pacem cuperent, exploraret. Ubi autem populum eadem ſentire ac ſupplices comperiſſet, ad civitatem ducebat exercitum. Illi vero & portas ei patefaciunt, & cum fauſtis acclamationibus obviam ibant, ſervatorem & benefactorem appellantes. Cum autem milites circa aditus anguſtias premerentur angerenturque,

Tiberienſes pacem & amicitiam petunt à Romanis.

Urbem ing-

f Σωφρονίσων αὐτῷ τὰς πόλεις.] Σωφρονίζων πόλιν urbibus caſtigationem rependere SPANH. αὐτῷ pro αὐτῷ L. B.
g Μετάξοντα τὴν ἐκεῖθεν] Sic Big. Cocceius & Gall. μεταλάξοντα in Editis Aliiſque.
h Εἰς Σκυθόπολιν.—τῆς Τιβεριάδος.] Conf. de Vit. §. 65. SPANH.
i Προελθὼν.] προελθὼ L. B. παρελθὼν Raf.
k Νεωτερίζουσι.] Νεωτερίζουσιν. Σενναβρὶς Big. νεωτερίζουσιν. Σενναβρὶς Gall. Vide Lightfootum in Centuria Chorogr. c. 70.
l Δεκαδάρχην Οὐαλεριανὸν] Al. δεκάρχην.
m Ἠκηκόει γὰρ] Ita Big. ἠκηκόει in Editis Aliiſque.
n Ἐπιθυμοίη μὲν εἰρήνης] Ἐπιθυμοῖεν Big. ἐπιθυμοίη Voſſ. Baſil. & Rhed.
o Ἀκροβολισόμενοι παρεῖναι.] Ἀκροβολιζόμενοι Big. Baſil. Rhed. & Gall.
p Δυνατώτεροι] Δυνατώτεροι μεθ' ὅπλων Big.
q Παῖς] παῖς τοῦ Σαφάτου MS. Lipſ. SPANH.
r Σαφάτου.] Τ:φατε Big. Ἀφάτου Bod. Τοφᾶ Lipſ. Ταφάτου Gall. Τύφαι Vat. In Ruffini codicibus pleriſque Tobia fil. in uno, Tobie alias Saphati fil.
s Τοῦ] τοῦ τε Raf.
t Συμβαλεῖν ἀσφαλὲς] Al. συμβάλλειν.
u Νικᾶν εἴη βέβαιον,] Νικᾶν γ' Big.
x Ἀπαρασκεύων τε] Ἀπαρασκευάστους Big.
y Πρὸς τὴν ἀδόκητον] Illud πρὸς non agnoſcit Big. & commode abeſſe poteſt.
z Φεύγει πεζὸς,] Ἐκφεύγει Voſſ.
a Πέντε τοὺς] Forſan πεντήκοντα.
b Γεγηθότες] Γεγηθότες ὡς Big.
c Γεραιοὶ τοῦ δήμου,] Γεραιοὶ Vat.
d Ἐνεδίδου ταῖς ἱκεσίαις] Ἐνεδίδου Vat.
e Λαβόντων δὲ τούτων] Ita Big. Vat. Voſſ. & Bod. λαμβανόντων in Editis Aliiſque.
f Τοῦ δήμου δεξιὰς,] Τῷ δήμῳ Vat.
g Τραϊανὸν,] Conf. ſupr. c. 7. §. 31. SPANH.
h Ὁμονοοῦντα τοῖς ἱκέταις,] Ὁμοφρονοῦντα Big. ἄνευ τοῖς ἱκ. Raf.
i Ἀνακαλοῦντες.] ἀνακαλοῦντες Raf.
k Τριβομένης] Ita in MSS. τριβομένης in Editis.

* Qui pacifico ſermone oppidanos alloqueretur, Ruf.

† Arcem, Ruf.

gradiens Veſpaſianus. que, murorum partem ad meridiem dirui juſſit Veſpaſianus, & latiorem illis facit introitum: ut præda tamen & injuriis abſtinerent, in gratiam regis edixit; ejuſdemque cauſa, ſpondentis cives poſtea in fide manſuros, muris pepercit: atque civitatem aliuſmodi malis vexatam ex diſſenſione recreavit.

Οὐεσπασιανὸς κελεύσας, πλατεῖαν τὴν εἰσβολὴν αὐτοῖς. ἁρπαγῆς μέντοι καὶ ὕβρεως ἀπέχεσθαι [l] παρήγγελλε, τῷ βασιλεῖ χαριζόμενος, τῶν τε τειχῶν [m] διὰ τοῦτον ἐφείσατο, συμμένειν πρὸς τὸ λοιπὸν ἐγγυωμένου [n] τοὺς ἐν αὐτοῖς, [o] καὶ τὰ ἄλλα κεκακωμένην τὴν πόλιν ἐκ τῆς στάσεως [p] ἀνελάμβανε.

XVII.

CAP. X.

Quomodo capta erant Tarichææ. Jordanis deſcriptio & regionis Genneſar.

Veſpaſianus exercitum ducit contra Tarichæatas. DEinde ab ea digreſſus inter ipſam & Tarichæas caſtra metatur; eaque vallo firmiora reddit, ſuſpicans bellum illic ſibi protractum iri: nam omnes rerum novarum cupidi ad Tarichæas confluebant, civitatis munitionibus confiſi, pariter ac lacu, qui Geneſar ab indigenis appellatur. *Tarichæarum ſitus & munitio.* Etenim urbs, Tiberiadis ad inſtar monti ſubjecta, undique à Joſepho, qua lacu non alluebatur, cincta erat muro valido, non ita tamen ac Tiberias. nam ejus quidem ambitum, ſub defectionis initium, pecuniarum itemque virium copia vallaverat: Tarichææ vero non niſi de largitatis ejus reliquiis participabant. *Tarichæatarum pars in ſcaphas ſe recipiunt.* Attamen ſcaphas quam plurimas in lacu paratas habebant, tam in refugium, ſi terra vincerentur, quam ad prælium, ſi opus eſſet, navale inſtructas. Romanis autem caſtra munientibus, Jeſus ejuſque ſocii, neque multitudine neque pulchro hoſtium ordine perterriti, excurſionem faciunt; atque primo impetu disjectis muri fabricatoribus, cum nonnihil exſtructionis diſſipaſſent, ubi armatos congregati viderunt, ad ſuos, antequam mali aliquid paterentur, refugiunt: & Romani fugientes perſequuti ad navigia eos compellunt. Et illi quidem tantum provecti, unde Romanos poſſent miſſilibus contingere, & anchoras jaciunt, & phalangium more denſatis inter ſe navibus, hoſtibus in terra *conſiſtentis* prælium navale movent. *Titus miſſus ad Tarichæatas debellandos.* Veſpaſianus autem cum audiret magnam eorum multitudinem in planicie civitati proxima congregatam, filium ſuum cum ſexcentis delectis eò mittit.

2. Is vero, cum ingentem hoſtium multitudinem *illic* offendiſſet, patri quidem ſignificatum mittit, ſibi opus eſſe copiis majoribus. Cæterum ipſe, equitum pleroſque, etiam antequam ſubſidia venirent, incitatos animadvertens, nonnulloſque, viſa Judæorum multitudine, animis paululum conſternatos, cum conſtitiſſet unde exaudiri poſſet, *Titi concio ad milites.* „ Viri, inquit, Romani. vos quippe generis *ve*ſ*tri*, cum dicere incipiam, admonere decet, ut „ qui ſitis, & cum quibus ſimus pugnaturi, non „ neſciatis. Noſtris enim è manibus nullus adhuc „ populus per totum terrarum orbem ſalvus evaſit: „ Judæi vero, ut etiam pro illis aliquid dicam, „ hucuſque non fatiſcunt, *licet* victi. Indignum

ΚΕΦ. θ'.

Ὡς ἑάλωσαν αἱ Ταριχαῖαι. Ἰορδάνου ἔκφρασις καὶ τῆς Γεννησὰρ χώρας.

ΕΠειτα [u] προελθὼν αὐτῆς τε μεταξὺ καὶ Ταριχαιῶν στρατοπεδεύεται, τειχίζει δὲ [q] τὴν παρεμβολὴν ὀχυρωτέραν, ὑφορώμενος ἐκεῖ πολέμου τριβὴν αὐτῷ γενησομένην. συνέρρει γὰρ εἰς τὰς Ταριχαίας πᾶν τὸ νεωτερίζον, τῇ τε τῆς πόλεως ὀχυρότητι, καὶ τῇ λίμνῃ πεποιθότες, ἣ καλεῖται [r] Γεννησὰρ πρὸς τῶν ἐπιχωρίων. ἡ μὲν γὰρ πόλις, ὥσπερ ἡ Τιβεριὰς [s] ὑπόρειος οὖσα, καθὰ μὴ τῇ λίμνῃ προσεκλύζετο, πάντοθεν ὑπὸ τοῦ Ἰωσήπου τετείχιστο καρτερῶς, [t] ἔλασσον μέντοι τῆς Τιβεριάδος. τὸν μὲν γὰρ ἐκεῖ περίβολον, ἐν ἀρχῇ τῆς ἀποστάσεως δαψιλείᾳ χρημάτων καὶ δυνάμεως [v] ἐκρατύνατο. Ταριχαῖαι δὲ αὐτοῦ τὰ λείψανα τῆς φιλοτιμίας [x] μετέλαβον. σκάφη δὲ ἦν αὐτοῖς ἐπὶ τῆς λίμνης παρεσκευασμένα [y] πολλά, [z] πρός τε τὸ συμφυγεῖν ἐπὶ [a] τῆς γῆς ἡττωμένους. κἂν εἰ δέοι διαναυμαχεῖν, [b] ἐξηρτυμένα. περιβαλλομένων δὲ τῶν Ῥωμαίων τὸ στρατόπεδον, οἱ περὶ τὸν Ἰησοῦν, οὔτε πρὸς τὸ πλῆθος οὔτε πρὸς τὴν εὐταξίαν τῶν πολεμίων ὑποδείσαντες, προθέουσι, καὶ πρὸς τὴν πρώτην ἔφοδον τῶν τειχοποιῶν σκεδασθέντων, ὀλίγα τῆς δομήσεως σπαράξαντες, ὡς εὗρον τοὺς ὁπλίτας ἀθροιζομένους, πρὶν τι παθεῖν, εἰς τοὺς σφετέρους ἀνέφυγον· ἐπιδιώξαντες δὲ [c] οἱ Ῥωμαῖοι, συνελαύνουσιν αὐτοὺς εἰς τὰ σκάφη. καὶ οἱ μὲν ἀναχθέντες εἰς ὅσον ἐξικνεῖσθαι τῶν Ῥωμαίων [d] βάλλοντες δύναιντο, τάς τε ἀγκύρας ἔβαλλον, καὶ πυκνώσαντες ὥσπερ [e] φάλαγγας τὰς ναῦς ἐπαλλήλους, [f] τοῖς ἐπὶ τῆς γῆς διεναυμάχουν πολεμίοις. Οὐεσπασιανὸς δὲ τὸ πολὺ πλῆθος αὐτῶν ἠθροισμένον ἀκούων ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ, πέμπει τὸν υἱὸν σὺν ἱππεῦσιν ἑξακοσίοις ἐπιλέκτοις.

β'. Ὁ δέ, ὑπέρογκον εὑρὼν τὴν τῶν πολεμίων πληθὺν, πρὸς μὲν τὸν πατέρα πέμπει, πλείονος δυνάμεως αὐτῷ δεῖν λέγων. αὐτὸς δὲ τοὺς μὲν πλείους τῶν ἱππέων ὡρμημένους ὁρῶν, καὶ πρὶν ἀφικέσθαι βοήθειαν, [g] ἔστι δὲ οὓς ἡσυχῇ πρὸς τὸ πλῆθος τῶν Ἰουδαίων καταπεπληγότας, [h] ἐν ἐπηκόῳ στάς, „ ἄνδρες, „ ἔφη, Ῥωμαῖοι. καλὸν γὰρ ἐν ἀρχῇ τῶν λόγων ὑπομ„ νῆσαι τοῦ γένους ὑμᾶς, ἵνα εἰδῆτε τίνες ὄντες, [i] καὶ „ πρὸς τίνας μάχεσθαι μέλλομεν. τὰς μὲν γὰρ ἡμετέ„ ρας χεῖρας οὐδὲν εἰς τοῦτο τῶν ἐπὶ τῆς οἰκουμένης δια„ πέφευγεν· Ἰουδαῖοι δέ, ἵνα [k] εἴπω [l] καὶ ὑπὲρ αὐτῶν, „ μέχρι νῦν οὐ κοπιῶσιν ἡττώμενοι. καὶ δεινὸν, ἑστώτων „ ἐκεί-

l Παρήγγελλε,] Παρήγγειλε Vat.
m Διὰ τοῦτον] Ita Big. Bod. & Ruf. διὰ τοῦτο in cæteris.
n Τοὺς ἐν αὐτοῖς,] Τοὺς νῦν αὐτοῖς Vat. ἐγγυώμενον τοὺς Lugd. Bat.
o Καὶ τὰ ἄλλα] Καὶ πολλὰ Big.
p Ἀνελάμβανεν.] Ἀνελαμβάνετο Vat.
q Τὴν παρεμβολήν] Ita in MSS. αὐτῶν in Editis.
r Γεννησάρ] Sic Γεννησὰρ λίμνη ſup. lib. 2. c. 20. §. 6. alibi Γεννησαρῖτις ut Antiq. lib. 18. c. 2. §. 3. Conf. infr. §. 7. Spanh.
s Ὑπόρειος οὖσα,] Al. (ut Lugd. Bat.) ὑπόρειος.
t Ἔλασσον] ἐλάσσων L. B.
v Ἐκρατύνατο.] Ἐκρατύνετο Big.
x Μετέλαβον.] ἐλάμβανον Roſ.
y Πολλά,] Abeſt a Roſ.
z Πρός τε τὸ συμφυγεῖν] Πρός τε τὸ φυγεῖν ἐπὶ τῆς γῆς ἡττ. Big.
a Τῆς γῆς] Abeſt τῆς a L. B.
b Ἐξηρτυμένα,] Al. ἐξηρτισμένα ut Big. & Bod. & Roſ.
c Οἱ Ῥωμαῖοι,] Illud οἱ non agnoſcunt Big. Bod. & Vat.
d Βάλλοντες δύναιντο,] Ita Big. Vaſſ. & Ruf. βάλλεσθαι in Editis Aliiſque.
e Φάλαγγας] Iterum cum Big. & Ruf. φάλαγγα in cæteris.
f Τοῖς ἐπὶ τῆς γῆς] Τοῖς ἐπὶ γῆς πολεμίοις διεναυμάχουν Big.
g Ἔστι δὲ οὓς ἡσυχῇ] Vice ἔστι δὲ οὓς ἡσυχῇ habemus ἰδὼν in Cod. Big.
h Ἐν ἐπηκόῳ στάς,] Sic infr. lib. 5. c. 9. §. 3. & lib. 6. c. 2. §. 1. & lib. 7. c. 1. §. 2. Spanh.
i Καὶ πρὸς τίνας] Illud καὶ non agnoſcit Bod.
k Εἴπω] Εἴπωμεν Big. & Ruf.
l Καὶ ὑπὲρ] καὶ περὶ Roſ.

m Μέ-

„ ἐκείνων ἐν ταῖς κακοπραγίαις, ἡμᾶς τοῖς εὐτυχήμασιν ἐγκάμνειν. προθυμίας [m] μὲν ὑμᾶς εἰς τὸ φανερὸν [n] εὖ ἔχοντας, χαίρω [o] καὶ βλέπων. δέδοικα δὲ, μή τινι τὸ πλῆθος τῶν πολεμίων κατάπληξιν λεληθυῖαν [p] ἐνεργάσηται. λογισάσθω δὴ πάλιν, οἷος πρὸς οἵους παρατάξεται· καὶ διότι Ἰουδαῖοι μὲν, εἰ καὶ σφόδρα τολμηταὶ καὶ θανάτου καταφρονοῦντες, ἀλλὰ ἀσύντακτοί τε καὶ πολέμων ἄπειροι, καὶ ὄχλος ἂν ἄλλως μὲν [q] οὐ στρατιὰ λέγοιντο. τὰ δὲ τῆς ἡμετέρας ἐμπειρίας καὶ τάξεως τί [r] καὶ λέγειν δεῖ; ἐπὶ τοῦτο μέντοιγε μόνοι καὶ κατ' εἰρήνην ἀσκούμεθα τοῖς ὅπλοις, ἵν' ἐν πολέμῳ μὴ πρὸς τὸ ἀντίπαλον ἀριθμῶμεν ἑαυτούς. ἐπεὶ καὶ τίς ὄνησις τῆς διηνεκοῦς [s] στρατείας, ἐὰν ἴσοι πρὸς ἀστρατεύτους ἀντιτασσώμεθα; λογίζεσθε δὲ, ὅτι καὶ πρὸς γυμνήτας ὁπλῖται, καὶ ἱππεῖς πρὸς πεζοὺς, καὶ στρατηγούμενοι πρὸς ἀστρατηγήτους διαγωνίζεσθε· καὶ ὡς [t] ὑμᾶς μὲν ταῦτα πολλαπλασίους ποιεῖ τὰ πλεονεκτήματα, πολὺ δὲ [v] τῶν πολεμίων ἀριθμὸν παραιρεῖται τὰ ἐλαττώματα. κατορθοῖ δὲ τοὺς [x] πολέμους οὐ πλῆθος ἀνθρώπων, κἂν ᾖ μάχιμον· ἀνδρεία δὲ, κἂν ἐν ὀλίγοις [y] ᾖ. οἱ μέν γε καὶ συντάξασθαι ῥᾴδιοι, καὶ προσαμύνειν ἑαυτοῖς. αἱ δὲ ὑπέρογκοι δυνάμεις ὑφ' ἑαυτῶν βλάπτονται πλέον ἢ τῶν πολεμίων. Ἰουδαίων μὲν οὖν τόλμα καὶ θράσος ἡγεῖται, καὶ ἀπονοίας πάθη, κατὰ μὲν τὰς εὐπραγίας εὔτονα, σβεννύμενα δὲ ἐν ἐλαχίστοις σφάλμασιν· ἡμῶν δὲ ἀρετὴ, καὶ [z] εὐπείθεια, καὶ τὸ γενναῖον, ὃ κἂν [a] τοῖς εὐτυχήμασιν ἀκμάζει, [b] καὶ τοῖς πταίσμασιν οὐ μέχρι τέλους σφάλλεται. καὶ ὑπὲρ μειζόνων δὲ ἢ Ἰουδαῖοι διαγωνιεῖσθε. καὶ γὰρ εἰ περὶ ἐλευθερίας καὶ [c] πατρίδος ἐκείνοις ὁ πόλεμος κινδυνεύεται, τί μεῖζον ἡμῖν εὐδοξίας, καὶ τὸ μὴ δοκεῖν μετὰ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἐν ἀντιπάλῳ τὰ Ἰουδαίων [d] προτίθεσθαι; σκεπτέον δὲ ὅτι [e] καὶ παθεῖν μὲν ἡμῖν οὐδὲν ἀνήκεστον φόβος. πολλοὶ γὰρ οἱ βοηθήσοντες, καὶ πλησίον. ἁρπάσαι δὲ τὴν νίκην δυνάμεθα, καὶ χρὴ τοὺς ὑπὸ τοῦ πατρὸς ἡμῖν συμπεμπομένους συμμάχους φθάνειν, ἵν' ἀκοινώνητόν τε ᾖ τὸ κατόρθωμα καὶ μεῖζον. νομίζω [f] δὲ ἐγὼ ἐπὶ τούτου τῆς ὥρας, καὶ τὸν πατέρα τὸν ἐμὸν κρίνεσθαι κἀμὲ καὶ ὑμᾶς, εἰ τῶν μὲν [g] προκατωρθωμένων ἄξιος ἐκεῖνος, ἐγὼ δ' ἐκείνου παῖς, στρατιῶται δ' ὑμεῖς [h] ἐμοῦ. καὶ γὰρ ἐκείνῳ τὸ νικᾶν ἔθος, κἀγὼ πρὸς αὐτὸν ὑποστρέφειν οὐκ ἂν ὑπομείναιμι λειφθείς. ὑμεῖς δὲ πῶς [i] οὐκ ἂν αἰσχύνεσθε προκινδυνεύοντος ἡττώμενοι; προκινδυνεύσω γὰρ [k] εὖ ἴστε, καὶ πρῶτος εἰς τοὺς πολεμίους [l] ἐμβαλῶ. μὴ λείπεσθε δ' ὑμεῖς ἐμοῦ, πεπεισμένοι τὴν ὁρμὴν ἐμὴν συγκροτεῖσθαι Θεῷ συμμάχῳ· καὶ προγινώσκετε σα-

„ itaque, dum illi cum adverſis conflictati erectis ſtant animis, nos, etiam rebus proſpere fluentibus, langueſcere. Equidem lætor, etiam vos cernens tantum alacritatis palam facere. veritus autem ſum, ne cui veſtrum tanta hoſtium multitudo clam metum incutiat. Idcirco quiſque iterum ſecum cogitet, qui vir ſit, & adverſus quos in aciem prodibit: quodque Judæi, licet valde audaces ſint & mortem contemnant, incompoſiti tamen, & belli *plane* imperiti, atque turba potius quam exercitus appellandi. De veſtra autem peritia & ordinis obſervantia, quid eſt quod dicere laborem? Eò utique pacis etiam tempore ſoli armis exercemur, ut ne in bello nos cum hoſtibus numero conferamus. Alioquin, quid proderit noſmet in perpetuam militiæ diſciplinam tradere, ſi pares cum inexercitatis congrediamur? Porro vobiſcum reputate, quod armati cum inermibus, & equites cum peditibus, & quique ducis ſub imperio cum illis qui ductorem non agnoſcunt, dimicabitis: quodque iſta quidem commoda vos multo plures efficiant, multum autem incommoda de numero hoſtium detrahant. Nec *ſola* hominum multitudo, quamvis pugnaciſſimi fuerint, facit ut res proſpere cedant in bello, ſed fortitudo, etiamſi paucorum. quippe qui facile poſſunt *in aciem* ordinari, & ſibi invicem ſuccurrere: numeroſæ autem copiæ plus damni à ſeipſis accipiunt quam ab hoſtibus. Judæos ſane ducunt temeritas & audacia, quæ deſperatis ſolent accidere, & dum res bene ſuccedunt plurimum valent, ex leviſſimo vero lapſu impetus reſtinguitur: nos autem virtute *ducimur*, & morigera voluntate, itemque fortitudine, quæ in proſpera fortuna viget, * & ad extremum uſque non labitur in adverſis. Accedit, quòd vos pro rebus potioribus quam Judæi pugnaturi eſtis. nam ſi illi pro libertate ac patria belli diſcrimen adeunt; quid eſt nobis majoris faciendum quam gloria, & ne poſt orbis terrarum imperium *adeptum* exiſtimetur nos æquo Marte cum Judæis in certamen venire? Præterea cogitandum, nihil eſſe quod timeamus, ne mali aliquid gravioris patiamur. multos enim eoſque in propinquo nobis ſuppetias laturos eſſe. Illis autem præripere poſſumus victoriam, miſſoſque à patre nobis in auxilium prævenire convenit, ut & majores ſint res proſpere geſtæ, nulloſque earundem ſocios habeamus. Equidem putandum nunc de me ac patre meo vobiſque pariter factum iri judicium, an ille quidem gloria ex rebus jam ante feliciter geſtis fuerit dignus, ego vero ejus ſim filius *non degener*, voſque mei milites. Etenim illi vincere familiare eſt; neque eſt ut ipſe ſuſtineam, victus ad eum revertere. Quomodo autem non vos pudebit vinci, cum dux ſemet periculis objecerit? Mihi credite quod in pericula proruam, primuſque in hoſtes irruam. Vos vero ne me deſeratis, perſuaſum habentes impetum meum à Deo auxiliatore adjutum

m Μὲν ὑμᾶς] μὲν οὖν L. B.
n Εὖ ἔχοντας,] Hiſce ὑμᾶς præponit L. B.
o Καὶ βλέπων,] Καὶ abeſt Big. & Raf. & L. B.
p Ἐνεργάσηται,] ἐργάσηται L. B.
q Οὐ στρατιὰ] Abeſt a L. B. vocula καὶ quæ in aliis minus eleganter præfigitur, & ut inepte repetita ejus MSS. auctoritate expungitur. Hav.
r Καὶ λέγειν δεῖ,] δεῖ καὶ λέγειν L. B.
s Στρατείας,] Ita Big. & Lugd. Bat. στρατιᾶς in cæteris.
t Ὑμᾶς] ὑμεῖς L. B.
v Τῶν πολεμίων] Iterum cum Cod. Big. τὸ τῶν πολεμίων ἀριθμὸν in Editis Aliiſque.
x Πολέμους] Ita Big. Vat. & Raf. πολεμίους in cæteris.
y Ἤ. οἱ μέν γε καὶ] Illud ᾖ non agnoſcit Big. neque mox illud καὶ Gen.
z Εὐπείθεια,] εὐπειθία MSS, Lipſ. & Rufin. Bernh. ut & Raſ.

a Τοῖς εὐτυχήμασιν] ἄλλοις ἀδυχήμασιν. Gen. ἐν τοῖς ἀτυχήμασιν MSS. Lipſ. & Rufin. Bernh. Ita Big. Lugd. Bat. Vat. Lipſ. & Raf. τοῖς ἄλλοις εὐτυχήμασιν in Editis Aliiſque.
b Καὶ τοῖς πταίσμασιν] Κἂν τοῖς πτ. Big. & Voſſ.
c Πατρίδος] Ita Bod. Raſ. & Raf. πατρίου in cæteris.
d Προτίθεσθαι;] Τίθεσθαι Big.
e Καὶ παθεῖν — ἀνήκεστον φόβος.] Καὶ παθεῖν μὲν οὐδὲν ἀνήκεστον ἡμῖν φόβος Big. Lugd. Bat. Vat. & Bod.
f Δὲ ἐγὼ] Δ' ἔγωγε Big.
g Προκατωρθωμένων] προκατορθωμένων Raſ.
h Ἐμοῦ.] Ἐμοὶ Big.
i Οὐκ ἂν αἰσχύνεσθε] Οὐχ αἰσχύνεσθε Big. οὐκ ἂν αἰσχύνοισθε Voſſ.
k Εὖ ἴστε,] Ita Big. Voſſ. Raſ. & Bod. αὐτὸ in Editis Aliiſque.
l Ἐμβαλῶ.] Ita Voſſ. & Raf. ἐμβαλῶν in cæteris.

* Nec ad finem uſque inter adverſa decipitur, Raf.

m Σαφῶς

„ tum iri: & pro certo noſcitote, quod manibus „ conſertis plus præſtabimus, quam eminus telis.

Titus, militum fretus alacritate, in hoſtes pergit.

3. Poſtquam Titus ita diſſeruiſſet, alacritas Dei quaſi afflatu militibus incidit: atque ægre ferebant, Trajanum, antequam prælio congrederentur, cum CCCC equitibus *auxilio* venire, ac ſi ipſis victoriæ laus minueretur illorum ſocietate. Miſit autem Veſpaſianus & Antonium Silonem cum duobus millibus ſagittariorum, cum mandatis, ut monte è regione urbis occupato, murorum propugnatores repellerent. Et illi quidem, ita ut juſſi erant, eos qui ea ex parte ſuis auxiliari conabantur, ſuperabant. Titus autem primus equum in hoſtem agebat, & poſt eum cæteri cum clamore magno, in tantum ſpatii exporrecti quantum acies adverſa occupaverat; quo multo etiam plures, *quam erant*, æſtimabantur. Judæi vero licet incurſu eorum, ordinibus conſervatis, perterriti, pauliſper tamen primas ſuſtinuerunt impreſſiones: percuſſi autem contis & equorum impetu

Tarichæatæ fuſi fugatique.

everſi conculcabantur. atque ita multis paſſim peremptis diſſipantur, & in urbem, pro ſua quiſque velocitate, fugiunt. Titus autem aliquos à tergo inſtans occidebat, alios vero confertos perrumpens; rurſus alios prævertens ictibus ora transverberabat, multoſque, in eos inſiliens alium ſuper alium lapſos, conterebat. fugam autem ad mœnia omnibus præcidebat, & in planiciem *eos* avertebat, donec vi multitudinis elapſi in urbem confugerent.

Diſſenſio in civitate inter indigenas & advenas.

4. Illos autem, cum intus eſſent, excipit acerba diſſenſio. namque indigenis, & facultatis ſuarum & civitatis gratia, ab initio bellum diſplicebat; euque tempore multo magis ob cladem acceptam. ſed advenæ, qui plurimi erant, eo magis *bellum* urgebant, dumque ſibimet invicem ſuccenſerent magnus cietur clamor & tumultus, quaſi in eo fere eſſent ut arma caperent. Titus autem, ſtrepitu exaudito, non enim procul à muris aberat, ſtatim exclamabat, „ Hoc tempus eſt *quod expetebam*, & „ quid moramur, commilitones, Deo nobis dedente Judæos? victoriam accipite, annon clamores „ auditis? qui manus noſtras evaſere inter ſe diſ- „ ſident. Habemus civitatem, ſi modo properemus. ſed celeritati accedat oportet labor & fortitudo. Nihil enim magni præclari geri ſolet abſ- „ que periculo. non ſolum autem hoſtium concordiam, quos neceſſitas faciet brevi in gratiam „ redire, ſed & noſtrorum auxilia prævenire debemus: ut præter victoriam, qua tantas copias pau- „ ci ſuperamus, etiam civitate ſoli potiamur.

Titus urbem capit.

5. Simul ac iſta diceret in equum inſiluit, & ad lacum contendit, perque eum profectus urbem

„ φῶς, ὅτι τῆς ἔξω μάχης πλεῖόν τι κατορθώ- „ σομεν.

γʹ. Ταῦτα τοῦ Τίτου διεξιόντος, προθυμία δαιμόνιος ἐμπίπτει τοῖς ἀνδράσι, καὶ προσγινομένου πρὶν [m] συμβαλεῖν Τραιανοῦ μετὰ [n] τετρακοσίων ἱππέων, [o] ἤσχαλλον ὡς μειουμένης τῆς νίκης αὐτοῖς διὰ τὴν κοινωνίαν. ἔπεμψε δὲ Οὐεσπασιανὸς καὶ Ἀντώνιον [p] Σίλωνα σὺν δισχιλίοις τοξόταις, κελεύσας [q] καταλαβόντας τὸ ἀντικρὺ τῆς πόλεως ὄρος, [r] τοὺς ἐπὶ τοῦ τείχους ἀνείργειν. καὶ οἱ μὲν, ὡς προσετέτακτο, [s] τοὺς ταύτῃ πειρωμένους ἐκβοηθεῖν περιεῖχον. ὁ δὲ Τίτος πρῶτος τὸν ἵππον ἤλαυνε εἰς τοὺς πολεμίους, καὶ σὺν κραυγῇ μετ' αὐτὸν οἱ λοιποὶ, παρεκτείναντες ἑαυτοὺς εἰς ὅσον ἐπεῖχον οἱ πολέμιοι [t] τὸ πεδίον, παρὸ καὶ πολὺ πλείους ἔδοξαν. οἱ δὲ Ἰουδαῖοι, καίτοι τήν τε ὁρμὴν καὶ τὴν εὐταξίαν αὐτῶν καταπλαγέντες, πρὸς ὀλίγον μὲν ἀντέσχον ταῖς ἐμβολαῖς· νυσσόμενοι δὲ τοῖς κοντοῖς, καὶ [v] τῷ ῥοίζῳ τῶν ἱππέων [x] ἀνατρεπόμενοι, συνεπατοῦντο. πολλῶν δὲ πανταχοῦ φονευομένων διασκίδνανται, καὶ πρὸς τὴν πόλιν, [y] ὡς ἕκαστος εἶχε τάχους, ἔφευγον. Τίτος δὲ τοὺς μὲν κατόπιν [z] προσκείμενος ἀνῄρει, τοὺς δὲ διεκπαίων ἀθρόους, [a] τοὺς δὲ φθάνων κατὰ στόμα διήλαυνε, πολλοὺς δὲ [b] συνηλέα περὶ ἀλλήλοις πεσόντας ἐμπηδῶν. [c] πᾶσι δὲ τὰς πρὸς τὸ τεῖχος φυγὰς ὑπετέμνετο, καὶ πρὸς τὸ πεδίον ἀπέστρεφεν, ἕως τῷ πλήθει βιασάμενοι καὶ [d] διεκπεσόντες εἰς τὴν πόλιν συνέφυγον.

δʹ. Ἐκδέχεται δ' αὐτοὺς στάσις εἴσω χαλεπή. τοῖς μὲν γὰρ ἐπιχωρίοις, διά τε τὰς κτήσεις καὶ τὴν πόλιν, οὐκ ἐδόκει πολεμεῖν ἀπ' ἀρχῆς, καὶ τότε διὰ τὴν ἧτταν πλέον. ὁ δ' ἔπηλυς πολὺς ὢν πλέον ἐβιάζετο, καὶ [e] διωργισμένων ἐπ' ἀλλήλοις κραυγή τε ἦν καὶ θόρυβος, ὡς ὅσον οὔπω φερομένων εἰς ὅπλα. κατακούσας δὲ τῆς ταραχῆς Τίτος, οὐ γὰρ ἦν [f] ἄποθεν τοῦ τείχους, [g] „ οὗτος ἦν ὁ καιρὸς, [h] ἐκβοᾷ, „ καὶ τί συστρατιῶται μέλλομεν, ἐκδιδόντος ἡμῖν „ Ἰουδαίους Θεοῦ; δέξασθε τὴν νίκην, οὐκ ἀκούετε βοῆς; „ στασιάζουσιν οἱ τὰς χεῖρας ἡμῶν διαφυγόντες. „ ἔχομεν τὴν πόλιν ἐὰν ταχύνωμεν. δεῖ δὲ πόνου „ πρὸς τῷ τάχει καὶ λήματος. οὐδὲν γὰρ τῶν μεγά- „ λων φιλεῖ δίχα κινδύνου κατορθοῦσθαι. φθάνειν δ' οὐ „ μόνον χρὴ τὴν τῶν πολεμίων ὁμόνοιαν, οὓς ἀνάγκη „ διαλλάσσει ταχέως, ἀλλὰ [i] καὶ τὴν τῶν ἡμετέρων „ βοήθειαν, ἵνα [k] πρὸς τὸ νικῆσαι τοσοῦτο πλῆθος „ ὀλίγοι, καὶ τὴν πόλιν ἕλωμεν μόνοι.

εʹ. Ταῦθ' ἅμα λέγων ἐπὶ τὸν ἵππον ἀναπηδᾷ, καὶ [l] καθεῖ πρὸς τὴν λίμνην, δι' ἧς ἐλάσας πρῶτος εἰς τὴν πόλιν

m Συμβαλεῖν] Συμβάλλειν Voſſ.
n Τετρακοσίων ἱππέων,] Ita Big. & Ruf. τετρακοσίων ἀνδρῶν ἱππέων in Editis Aliiſque.
o Ἤσχαλλον] Ἤχαλλον Bod.
p Σίλωνα] καὶ Σίλωνα L. B.
q Καταλαβόντας] καταλαβεῖν, & mox καὶ τοὺς ἐπὶ τοῦ. Bod.
r Τοὺς] τὸ Gen. καὶ τοὺς Roſſ.
s Τοὺς ταύτῃ] τοὺς ἐπ' αὐτῷ.
t Τὸ πεδίον,] Forſan ἐν πεδίῳ.
v Τῷ ῥοίζῳ τῶν ἱππέων] Illud τῷ ex MSS.
x Ἀνατρεπόμενοι, συνεπατοῦντο.] αἰτούμενοι συνεπάτουν Roſſ.
y Ὡς ἕκαστος εἶχε τάχους,] Ἕκαστος καὶ εἶχε Vat.
z Προσκείμενος ἀνῄρει,] Ita Big. & Ruf. προσκειμένους in Editis Aliiſque.
a Τοὺς δὲ φθάνων] Οὓς δὲ in quibuſdam MSS.
b Συνηλέα] Ita Rived. συνηλοίᾳ in Editis. forſan pro συνηλοίᾳ, quod ferri poteſt. συνειλοῦ Big. quo modo & Ruf. qui vertit, *alium ſuper alium lapſos involvens*. Huds. συνοχῇ Roſſ. Satis recte vero συνηλοίᾳ ſcribas a verbo συνηλοάω. Sed male per duplex λλ συνηλλοίᾳ ſcribitur, ſimiliter peccatum cernes in Athenæo lib. XII. ubi vide Caſaub. cap. V. Hav.
c Πᾶσι δὲ τὰς πρὸς] Sic Big. Baſ. & Ruf. πάλιν δὲ τοὺς πρὸς ἀλλήλους perperam in Editis Aliiſque.
d Διεκπεσόντες] Ita Big. & Ruf. συνεκπεσόντες & mox ἔφευγον in Editis Aliiſque. συνεκπεσόντες Vat.
e Διωργισμένων ἐπ' ἀλλήλοις] Sic Big. Vat. & Bod. διωργισμένους in reliquis.
f Ἄποθεν] ἄπωθεν L. B.
g Οὗτος ἦν ὁ καιρὸς,] Nota hic ἦν poni eleganter pro ἐστί; ſicuti *erat* apud Virg. II. Æneid. 664. pro *eſt* vel *fuit*,

Hoc erat alma parens &c.

Aliter apud Lucan. lib. VII. v. 251. ubi Cæſar pariter ſpe plenus:

Miles adeſt toties optata copia pugnæ.

& mox v. 254.

Hæc eſt illa dies. Hav.

h Ἐκβοᾷ,] Ἐβόα Big.
i Καὶ τὴν τῶν ἡμετέρων βοήθειαν,] Illud τὴν ex L. B. inſeruimus. Hav.
k Πρὸς τὸ νικῆσαι] Πρὸς τῷ Big. Lugd. Bat. & Baſ.
l Καθεῖ πρὸς τὴν λίμνην,] Ita Big. & Ruf. καθηγεῖται in Editis Aliiſque.

m Τρί-

πόλιν εἰσέρχεται, καὶ μετ' αὐτὸν οἱ λοιποί. δέος δὲ πρὸς τὴν τόλμαν αὐτοῦ τοῖς ἐπὶ τῶν τειχῶν ἐνέπεσε, καὶ μάχεσθαι μὲν ἢ διακωλύειν οὐδεὶς [m] ὑπέμεινε. λιπόντες δὲ τὴν φρουρὰν, οἱ [n] μὲν περὶ τὸν Ἰησοῦν διὰ τῆς χώρας ἔφυγον, οἱ δὲ ἐπὶ τὴν λίμνην καταθέοντες ὑπαντιάζουσι τοῖς πολεμίοις περιέπιπτον. ἐκτείνοντο δὲ οἱ μὲν ἐπιβαίνοντες τῶν σκαφῶν, οἱ δὲ τοῖς ἀναχθεῖσι [o] προσπίπτειν πειρώμενοι· πολὺς δὲ τῶν κατὰ τὴν πόλιν ἦν φόνος, τῶν μὲν ἐπηλύδων, ὅσοι μὴ διαφεύγειν ἔφθασαν, ἀντιτασσομένων, ἀμαχητὶ δὲ τῶν ἐπιχωρίων· κατὰ γὰρ ἐλπίδα δεξιᾶς, καὶ τὸ συνειδὸς τοῦ μὴ [p] βεβουλεῦσθαι πολεμεῖν, μάχης ἀπετρέποντο, μέχρι Τίτος τοὺς μὲν αἰτίους ἀνελὼν, οἰκτείρας δὲ τοὺς ἐπιχωρίους ἀνεπαύσατο [q] φόνου. καὶ οἱ μὲν εἰς τὴν λίμνην [r] καταφυγόντες, ἐπεὶ τὴν πόλιν ἑαλωκυῖαν εἶδον, ὡς πορρωτάτω τῶν πολεμίων ἀνήχθησαν.

ϛʹ. Τίτος δὲ ἐκπέμψας τινὰ τῶν ἱππέων εὐαγγελίζεται τῷ πατρὶ τὸ ἔργον. ὁ δὲ, ὡς εἰκὸς, ὑπερησθεὶς [s] τῇ τε τοῦ παιδὸς ἀρετῇ καὶ τῷ κατορθώματι· μεγίστη γὰρ ἐδόκει καθῃρῆσθαι μοῖρα τοῦ πολέμου· τότε μὲν ἐλθὼν [t] περιέχοντας τὴν πόλιν φρουρεῖν ἐκέλευσεν, ὡς μὴ διαλάθοι τις ἐξ αὐτῆς, καὶ κτείνειν ἐκέλευσεν. τῇ δ' ὑστεραίᾳ πρὸς τὴν λίμνην καταβὰς, σχεδίας [v] ἐκέλευσε πηγνύειν ἐπὶ τοὺς καταπεφευγότας. αἱ δ' ἐγίνοντο ταχέως, ἀφθονίᾳ τε ὕλης, καὶ πλήθει τεχνιτῶν.

ζʹ. [x] Ἡ δὲ λίμνη Γεννησὰρ μὲν ἀπὸ τῆς προσεχοῦς χώρας καλεῖται, σταδίων [y] δὲ εὖρος οὖσα τεσσαράκοντα, [z] καὶ πρὸς τούτοις ἑτέρων ἑκατὸν τὸ μῆκος, γλυκεῖά τε ὅμως ἐστὶ καὶ ποτιμωτάτη· καὶ γὰρ τῆς ἑλώδους παχύτητος ἔχει [a] τὸ νᾶμα λεπτότερον, καθαρά τε ἐστὶ πάντοθεν αἰγιαλοῖς ἐπιλήγουσα καὶ ψάμμοις, πρὸς δὲ εὔκρατος ἀρύσασθαι. ποταμοῦ μὲν ἢ κρήνης προσηνεστέρα, ψυχροτέρα δ' ἢ κατὰ λίμνης διάχυσιν ἀεὶ μένουσα. καὶ [b] τὸ μὲν ὕδωρ [c] οὐκ ἀποδεῖ χιόνος ἐξαιθριασθὲν, ὅπερ θέρους [d] νυκτὸς ποιεῖν ἔθος τοῖς ἐπιχωρίοις. γένη δὲ ἰχθύων ἐν αὐτῇ διάφορα πρὸς τοὺς ἀλλαχοῦ γεῦσίν τε καὶ ἰδέαν· [e] μέση τε ὑπὸ τοῦ Ἰορδάνου τέμνεται. καὶ δοκεῖ μὲν [f] Ἰορδάνου πηγὴ τὸ [g] Πάνειον· φέρεται δὲ ὑπὸ γῆν εἰς τοῦτο [h] κρυπτῶς ἐκ τῆς καλουμένης Φιάλης. ἡ δέ ἐστιν ἀνιόντων εἰς τὴν Τραχωνῖτιν ἀπὸ σταδίων ἑκατὸν εἴκοσι Καισαρείας, τῆς ὁδοῦ κατὰ δεξιὸν μέρος οὐκ [i] ἄποθεν. ἐκ μὲν οὖν τῆς περιφερείας [k] ἐτύμως Φιάλη [l] κέκληται τροχοειδὴς οὖσα λίμνη. μένει δὲ ἐπὶ χείλους [m] αὐτῇ ἀεὶ τὸ ὕδωρ, μήτε ὑπονοστοῦν μήτε ὑπερχεόμενον. ἀγνοούμενος δὲ τέως ὁ Ἰορδάνης ἐντεῦθεν ἄρχεσθαι διὰ τοῦ τετράρχου Τραχωνιτῶν ἠλέγχθη Φιλίππου. βαλὼν γὰρ οὗτος εἰς τὴν Φιάλην ἄχυρα, κατὰ τὸ Πάνειον, ἔνθεν ἐδόκει οἱ [n] πάλαι

primus ingreditur, & poſt eum cæteri. Ad hanc illius audaciam animis conſternati erant murorum defenſores: & pugnare quidem vel *ipſum* arcere nemo ſuſtinuit. Relictis autem excubiis, Jeſus & qui cum eo erant per agros fuga dilabuntur; alii vero ad lacum decurrentes in manus hoſtium contra venientium incidebant. Mactabantur autem alii, dum navigia ſcanderent; itemque alii, dum jam provecta aſſequi natando conarentur: plurimaque illorum qui in urbe manebant edita erat ſtrages; advenarum quidem, quotquot non effugiſſent, adverſa acie reſiſtentium, indigenarum vero ſine prælio (nam ſpe gratiæ impetrandæ, quodque ſibi conſcii eſſent bellum haud ſuo conſilio initum eſſe, pugnam detrectabant) donec Titus, interemptis, qui culpæ affines erant, miſeratus indigenas à cæde requievit. Qui vero in lacum confugerant, ubi civitatem captam viderunt, quam longiſſime ab hoſtibus in altum ſe ſubduxerunt.

Magna ſtrages edita.

Tandem cædium miſertum eſt.

6. Titus autem unum ex equitibus ad patrem miſit cum læto rei geſtæ nuncio. Ille vero, ut par erat, mirum in modum delectatus & filii virtute, & facinore præclaro (nam maxima pars belli confecta videbatur) tunc quidem, cum eò veniſſet, urbi circundatis obſervare præcepit, ne quis ex ea fuga dilaberetur, & occidere juſſit. Poſtero autem die cum ad lacum deſcendiſſet, in mandatis dedit, ut naves adverſus illos compingerent qui fuga in eum ſe receperant. idque celeriter factum erat, quod & materiæ copia eſſet, & magna artificum multitudo.

Veſpaſianus jubet rates compingi.

5. Undique autem inſidiatoribus & convenis civitatem infeſtantibus, populus inter eos veluti magnum corpus dilacerabatur. Senes vero & mulieres præ conſilii inopia in malis inteſtinis pro Romanis vota faciebant; externumque bellum, quo domeſticis malis liberarentur, ſolicite exſpectabant. Gravis autem conſternatio & metus occupabat indigenas: & neque conſilii capiendi tempus erat ut voluntatem mutarent, neque pacis ineundæ aut fugæ capeſſendæ ſpes earum cupidis. etenim cuſtodiebantur omnia, & latronum principes, cætera diſſidentes, quaſi communes hoſtes eos interficiebant, quicunque Romanis favebant, aut in ſuſpicione erant transfugiendi ad eos, ſolumque in occidendis ſalute dignis conſentiebant. Et pugnantium quidem nocte dieque clamor perpetuus erat: graviores vero lugentium ploratus. & aſſiduas quidem lamentationis cauſas præbebant calamitates, præ mentis autem conſternatione repreſſi erant ejulatus. Præ metu autem cohibito dolore, gemitibus

„ τὰ ἐμφύλια μύση [i] προκαθαρθέντες εἰσῆλθον. Θεῷ „ μὲν γὰρ οὔτε ἦς ἔτι χῶρος, οὔτε μένειν ἐδύνασο, „ τάφος οἰκείων γενομένη σωμάτων, καὶ πολέμου τὸν „ ναὸν ἐμφυλίου [k] ποιήσασα [l] πολυάνδριον. δύναιο δ' „ ἂν γενέσθαι [m] πάλιν ἀμείνων, εἴγε ποτὲ τὸν πορ„θήσαντα Θεὸν ἐξιλάσῃ." ἀλλὰ καθεκτέον γὰρ καὶ τὰ πάθη τῷ νόμῳ [n] τῆς συγγραφῆς, ὡς [o] οὐ καλοφυρμῶν οἰκείων ὁ καιρὸς, ἀλλ' ἀφηγήσεως πραγμάτων. δίειμι δὲ τὰ ἑξῆς ἔργα τῆς στάσεως.

δ'. Τριχῆ τῶν ἐπιβούλων τῆς πόλεως διῃρημένων, οἱ μὲν περὶ τὸν Ἐλεάζαρον, τὰς ἱερὰς ἀπαρχὰς διαφυλάσσοντες, κατὰ τοῦ Ἰωάννου τὴν μέθην ἔφερον. οἱ δὲ, σὺν τούτῳ διαρπάζοντες τοὺς δημότας, ἠγείροντο κατὰ τοῦ Σίμωνος. ἦν δὲ κἀκείνῳ τροφὴ κατὰ τῶν [p] στασιαστῶν ἡ πόλις. ὁπότε μὲν οὖν ἀμφοτέρωθεν [q] ἐπιχειροῖτο, τοὺς συνόντας ὁ Ἰωάννης ἀντέστρεφε, καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας ἀπὸ τῶν στοῶν βάλλων, τοὺς δὲ ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας, ἠμύνετο τοῖς ὀργάνοις. εἰ δὲ ἐλευθερωθείη ποτὲ τῶν καθύπερθεν ἐπικειμένων (διανίσταιν δὲ αὐτοὺς πολλάκις μέθη τε καὶ κάματος) ἀδεέστερον τοῖς περὶ τὸν Σίμωνα μετὰ πλειόνων ἐπεξῄει. ἀεὶ δὲ ἐφ' ὅσον τρέψαιτο τῆς πόλεως, ὑπεμπίπρα τὰς οἰκίας σίτου μεστὰς καὶ παντοδαπῶν ἐπιτηδείων· τὸ δὲ αὐτὸ πάλιν ὑποχωροῦντος ἐπιὼν ὁ Σίμων ἔπραττεν, ὥσπερ ἐπίτηδες Ῥωμαίοις διαφθείροντες ἃ [r] παρεσκευάσατο πρὸς πολιορκίαν ἡ πόλις, καὶ τὰ νεῦρα τῆς [s] αὐτῶν ὑποκόπτοντες δυνάμεως. συνέβη γοῦν τὰ [t] μὲν περὶ τὸ ἱερὸν πάντα συμφλεγῆναι, καὶ [v] μεταίχμιον ἐρημίας γενέσθαι [x] καὶ παρατάξεως τὴν πόλιν· κατακαῆναι δὲ πλὴν ὀλίγου πάντα τὸν σῖτον, ὃς ἂν αὐτοῖς οὐκ ἐπ' ὀλίγα διήρκεσεν ἔτη πολιορκουμένοις. λιμῷ γοῦν ἑάλωσαν, ὅπερ ἥκιστα δυνατὸν ἦν, εἰ μὴ τοῦτον ἑαυτοῖς προπαρεσκεύασαν.

ε'. Πανταχόθεν δὲ τῆς πόλεως πολεμουμένης ὑπὸ τῶν ἐπιβούλων καὶ [y] συγκλύδων, μέσος ὁ δῆμος ὥσπερ [z] μέγα σῶμα διεσπαράσσετο. γηραιοὶ δὲ καὶ γυναῖκες ὑπ' ἀμηχανίας [a] τῶν ἔσω κακῶν ηὔχοντο Ῥωμαίοις, καὶ τὸν ἔξωθεν πόλεμον ἐπ' ἐλευθερίᾳ τῶν [b] οἰκείων κακῶν ἐκαραδόκουν. κατάπληξις δὲ δεινὴ καὶ δέος ἦν τοῖς [c] γνησίοις, καὶ οὔτε βουλῆς καιρὸς εἰς μεταβολὴν, οὔτε συμβάσεως ἐλπὶς [d] οὔτε φυγῆς τοῖς ἐθέλουσιν. ἐφρουρεῖτο γὰρ πάντα, καὶ τὰ λοιπὰ στασιάζοντες, [e] οἱ ἀρχιλῃσταὶ τοὺς εἰρηνικὰ Ῥωμαίοις φρονοῦντας, ἢ πρὸς αὐτομολίαν ὑπόπτους, ὡς κοινοὺς πολεμίους ἀνῄρουν, καὶ μόνον ὁμονόουν τὸ φονεύειν τοὺς σωτηρίας ἀξίους. καὶ τῶν μὲν [f] μαχομένων ἀδιάλειπτος [g] ἦν κραυγὴ, μεθ' ἡμέρας τε καὶ νύκτωρ, δεινότεροι δὲ οἱ τῶν πενθούντων [h] ὀδυρμοί. ἀεὶ καὶ θρήνων μὲν αἰτίας ἐπαλλήλους αἱ συμφοραὶ προσέφερον, τὰς δὲ οἰμωγὰς ἐνέκλειεν ἡ κατάπληξις αὐτῶν. [i] φιμούμενοι δὲ τάγε πάθη τῷ φόβῳ μεμυ-

κότες

i Προκαθαρθέντες εἰσῆλθον.] Ita ex MSS. & Ruf. [illegible] in Editis.

k Ποιήσασα] Sic lego, favente Ruf. πλήσασα in libris.

l Πολυάνδριον.] Conf. infr. lib. 6. c. 2. §. 3. Spanh.

m Πάλιν ἀμείνων,] Eo modo in duobus MSS. πάλιν ἂν ἀμείνων in Editis Aliiſque.

n Τῆς συγγραφῆς,] Τῆς γραφῆς Big.

o Οὐ καλοφυρμῶν] ὀλοφυρμῶν L. B. & Ruf. οὐκ ὀλοφυρμῶν Pariſ.

p Στασιαστῶν ἡ πόλις.] Ἀντιστασιαστῶν Big. Voſſ. Goll. & Bod.

q Ἐπιχειροῖτο,] Ἐπεχείρει Big.

r Παρεσκευάσατο] [illegible] Big.

s Αὐτῶν ὑποκόπτοντες] [illegible] Big.

t Μὲν περὶ τὸ ἱερὸν] Ita Big. & L. B. [illegible] in cæteris.

v Μεταίχμιον ἐρημίας γενέσθαι] Καὶ μετ. ἐρ. γενέσθαι [illegible] οἰκείας τὴν π. Big. Gall. Lugd. Bat. & Vat. [illegible] Bod. & Ruf. qui [illegible] habet. [illegible] (præter Pariſ.) in ſuo codice habuit Ruf. qui vertit, *& inter proprias acies ſolitudinem atque arcam pugna fieri civitatem*. Eſt qui legendum eſſe conjicit, καὶ μεταίχμιον ἐρημίας γενέσθαι παρατάξεως οἰκείας τὴν πόλιν, *& urbem ob vaſtitatem ſpatium fieri ordinandis aciebus accommodatum.*

x Καὶ παρατάξεως τὴν πόλιν.] Abeſt a Ruf. & Coiſl.

y Συγκλύδων,] Infr. c. 10. §. 5. σύγκλυδες. Spanh.

z Μέγα σῶμα] Μέγα deeſt in aliquot Codd.

a Τῶν ἔσω κακῶν] Τῶν οἰκείων κακῶν MS. Lipſ. Spanh.

b Οἰκείων κακῶν] Ita Big. & Ruf. ἔσω in Editis Aliiſque.

c Γνησίοις,] γνησίως Gen. vel γνησίους Edit Baſil. Spanh.

d Οὔτε φυγῆς] Οὔτε φυγὴ Vat. & Pariſ.

e Οἱ ἀρχιλῃσταὶ] Illud οἱ è Cod. Big. & L. B.

f Μαχομένων] [illegible] Ruf.

g Ἦν κραυγὴ,] In aliquot Codd. ἡ κραυγὴ ἦν, vel ἦν ἡ κραυγή.

h Ὀδυρμοί.] Antea diſtinctum erat, ὀδυρμοὶ ἀεί. καὶ θρήνων μὲν &c.

i Φιμούμενοι] Φιμούμενοι δὲ τάγε πάθη Big. Conf. de Maccab. §. 2. Spanh.

k [illegible]

καὶ τοῖς στραγγισμοῖς [k] ἐβασανίζοντο. καὶ οὔτε πρὸς τοὺς ζῶντας ἦν αἰδὼς ἔτι τοῖς προσήκουσιν, οὔτε πρόνοια τῆς τῶν ἀπολωλότων ταφῆς. αἴτιον δ' ἀμφοτέρων ἡ καθ' ἑαυτὸν ἀπόγνωσις ἑκάστου· [l] παρεῖντο γὰρ εἰς πάντα τὰς προθυμίας οἱ [m] μὴ στασιάζοντες, ὡς ἀπολούμενοι πάντως ὅσον οὐδέπω. πατοῦντες δὲ τοὺς νεκροὺς, ἐπ' ἀλλήλοις σεσωρευμένους, οἱ στασιασταὶ συνεπλέκοντο, καὶ τὴν ἀπόνοιαν ἀπὸ τῶν ἐν ποσὶ πτωμάτων σπῶντες ἦσαν ἀγριώτεροι. προσεξευρίσκοντες δ' ἀεί τι καθ' αὑτῶν ὀλέθριον, καὶ πᾶν τὸ δοχθὲν ἀφειδῶς δρῶντες, οὐδεμίαν οὔτε αἰκίας ὁδὸν οὔτε ὠμότητος παρέλειπον. ἀμέλει Ἰωάννης τὴν ἱερὰν ὕλην εἰς πολεμιστηρίων κατασκευὴν ὀργάνων ἀπεχρήσατο. δόξαν γάρ ποτε τῷ λαῷ καὶ τοῖς [n] ἱερεῦσιν ὑποστηρίξαντας τὸν ναὸν εἴκοσι πήχεις προσυψῶσαι, κατάγει μὲν ἀπὸ τοῦ Λιβάνου μεγίστοις ἀναλώμασι καὶ πόνοις τὴν χρήσιμον ὕλην ὁ βασιλεὺς Ἀγρίππας, ξύλα θέας ἄξια τήν τε εὐθύτητα καὶ τὸ μέγεθος· [o] μεσολαβήσαντος δὲ τοῦ πολέμου τὸ ἔργον, ὁ Ἰωάννης τεμὼν αὐτὰ πύργους κατεσκεύαζεν, ἐξαρκοῦν τὸ μῆκος εὑρὼν πρὸς τοὺς ἀπὸ τοῦ καθύπερθεν ἱεροῦ μαχομένους· ἵστησί τε προσαγαγὼν κατόπιν τοῦ περιβόλου, τῆς πρὸς δύσιν ἐξέδρας ἄντικρυς, ᾗπερ καὶ μόνῃ δυνατὸν ἦν, τῶν ἄλλων μερῶν βαθμοῖς πόρρωθεν διειλημμένων.

ϛ'. Καὶ ὁ μὲν τοῖς κατασκευασθεῖσιν ἐξ ἀσεβείας ὀργάνοις κρατήσειν ἤλπισε τῶν ἐχθρῶν· ὁ δὲ Θεὸς [p] ἄχρηστον αὐτῷ τὸν πόνον ἀπέδειξε, πρὶν ἐπιστῆσαί τινα τῶν πύργων, Ῥωμαίους [q] ἐπαγαγών. ὁ γὰρ δὴ Τίτος, ἐπειδὴ τὰ μὲν συνήγαγε τῆς δυνάμεως πρὸς [r] αὐτὸν, τοῖς δ' ἐπὶ Ἱεροσολύμων συναντᾶν ἐπέστειλεν, ἐξήλαυνε τῆς Καισαρείας. ἦν δὲ τρία μὲν τὰ πρότερον αὐτοῦ τῷ πατρὶ συνδῃώσαντα τὴν Ἰουδαίαν τάγματα, καὶ τὸ πάλαι [s] σὺν Κεστίῳ πταῖσαν δωδέκατον, ὅπερ καὶ ἄλλως ἐπίσημον δι' ἀνδρείαν ὑπάρχον, τότε [t] κατὰ μνήμην ὧν ἔπαθεν εἰς ἄμυναν ᾔει προθυμότερον. τούτων μὲν οὖν τὸ πέμπτον δι' [v] Ἀμμαοῦντος ἐκέλευσεν αὐτῷ συναντᾶν, καὶ διὰ Ἱεριχοῦντος τὸ δέκατον ἀναβαίνειν. αὐτὸς δ' ἀνέζευξε μετὰ τῶν λοιπῶν, πρὸς οἷς [x] αἵ τε τῶν βασιλέων συμμαχίαι [y] πᾶσαι πλείους, καὶ συχνοὶ τῶν ἀπὸ τῆς Συρίας ἐπίκουροι συνῆλθον. ἀνεπληρώθη δὲ καὶ [z] τῶν τεσσάρων ταγμάτων, ὅσους Οὐεσπασιανὸς ἐπιλέξας, Μουκιανῷ συνέπεμψεν εἰς Ἰταλίαν, ἐκ τῶν ἐπελθόντων μετὰ Τίτου. δισχίλιοι μὲν γὰρ αὐτῷ τῶν ἀπ' Ἀλεξανδρείας στρατευμάτων ἐπίλεκτοι, τρισχίλιοι δὲ [a] συνείποντο τῶν ἀπ' Εὐφράτου φυλάκων, φίλων δὲ δοκιμώτατος εὔνοιάν τε καὶ σύνεσιν [b] Τιβέριος Ἀλέξανδρος, πρότερον μὲν αὐτοῖς τὴν Αἴγυπτον διέπων, τότε δὲ τῶν στρατευμάτων [c] ἄρχων κριθεὶς ἄξιος, ἐξ ὧν ἐδεξιώσατο πρῶτος ἐγειρομένην ἄρτι τὴν ἡγεμονίαν, καὶ

per labia expreſſis cruciabantur: & neque jam vivis ab affinitate junctis ulla adhibita reverentia, neque mortuis cura ſepulturæ. Quorum amborum cauſa erat, quod de ſe quiſque deſperarit. De ſua enim in omni re cupiditate remiſerant qui cum ſeditioſis non erant, quaſi continuo modis omnibus morituri. At vero ſeditioſi congeſta in cumulum cadavera conculcantes dimicabant, & à mortuis ſub pedibus ad deſperationem redacti immanius ſæviebant: ſemperque aliquid in ſe pernicioſum excogitantes, & quodcunque illis viſum eſſet ſine miſeratione facientes, nihil quidquam injuriæ aut crudelitati reliquum fecerunt. immo quidem Joannes, contra quam debuit, ſacram materiam ad inſtrumenta bellica conficienda adhibuit. Nam cum olim populo itemque pontificibus placuiſſet templum ſuffulcire, * idque xx. cubitis altius ædificare, rex quidem Agrippa idoneam materiam ex monte Libano maximis ſumptibus & labore deducendam curat, ligna & proceritate & magnitudine ſpectatu digna. Interventu autem belli opere interrupto, Joannes, cum ſecurim illis admoviſſet, turres ædificabat, comperto juſtæ eſſe longitudinis adverſus eos qui deſuper è templo pugnarent; adductaſque conſtituit † poſt ſeptum & ad occidentem è regione exedrarum; quà etiam ſolum licebat, quod aliæ partes gradibus è longinquo fuerint occupatæ.

Joannes ex lignis in templi uſum paratis inſtrumenta bellica conficit.

6. Et ille quidem machinis, ex impietate fabricatis, hoſtes debellaturum eſſe ſperavit: at Deus ipſi vanum eſſe laborem oſtendit; priuſquam in turribus quiſquam pedem poneret, Romanos adducens. Etenim Titus poſtquam partem quidem copiarum ad ſe collegiſſet, aliis vero miſiſſet ut ipſum ad Hieroſolyma convenirent, Cæſareâ proficiſcebatur. Erant autem tres legiones quæ prius ſub patre illius Judæam vaſtaverant, & duodecima quæ olim ſub Ceſtio cladem acceperat; quæ licet alias inſigni erat fortitudine, tunc tamen memoria eorum quæ pertulerat alacrius ad vindictam properabat. Et Romanorum quidem legionem quintam ſibi per Ammauntem juſſit occurrere, decimam per Hierichuntem aſcendere: ipſe vero cum reliquis movit, quos regum quoque auxiliarii auctiores omnes, multique è Syria in ſubſidium venientes comitabantur. Quin & totidem viris ſuppletæ ſunt quatuor legiones, quot Veſpaſianus delectos cum Muciano miſerat in Italiam ex his qui cum Tito *Hieroſolyma* contenderant. duo namque millia aderant ex Alexandrino exercitu lecta, tria millia vero ex Euphratis cuſtodibus eum ſequebantur; & amicorum ſpectatiſſimus, benevolentia pariter ac prudentia, Tiberius Alexander, qui antea quidem Ægyptum adminiſtraverat, tunc autem dignus qui exercitum regeret propterea judicabatur, ‡ quòd primus novum benigne exceperat imperatorem, & cum clara fide fortunæ ejus, cum

Ex quibus conſtabat Titi exercitus.

adhuc

k Ἐβασανίζοντο] Ita Big. Bod. Raf. Pariſ. Voſſ. & Vat. Ἐβασάνιζον in Editis Aliiſque.

l Παρεῖντο] Παρεῖτο Big. Conf. Antt. lib. VI. c. 13. §. 8. & infr. c. 3. §. 4. Spanh.

m Μὴ στασιάζοντες,] Ita Big. Voſſ. & Raf. in Editis Aliiſque deerat μή.

n Ἱερεῦσιν] Ἀρχιερεῦσιν Vat. & L. E. & Pariſ.

o Μεσολαβήσαντος] Cyrill. adv. Jul. l. III. p. 109. E. τὸ μεσολαβοῦν καὶ ἀποτυχεῖν ἡμᾶς. Spanh.

p Ἄχρηστον] Ἀχρεῖον ἀπέδειξεν αὐτῷ τὸν πόνον, πρὶν ἐπιστῆσαι Big.

q Ἐπαγαγών.] Ἐπάγων Big.

r Αὐτόν,] Al. αὐτὸν & ἑαυτόν.

s Σὺν Κεστίῳ πταῖσαν — ὑπάρχον, τότε] Conf. ſupr. lib. 2. c. 18. §. 11. [illegible] &c. (19. §. ult.) [illegible] &c. Spanh.

t Κατὰ μνήμην ὧν ἔπαθεν] Ita Big. Voſſ. & Bod. [illegible] in Editis Aliiſque.

v Ἀμμαοῦντος] Ἀμμαοῦς in Editis.

x Αἵ τε τῶν βασιλέων] αἱ τῶν βασιλέων Raf.

y Πᾶσαι πλείους,] Πολλῷ πλείους Big. in Rufini verſione, multo plura quam dudum.

z Τῶν τεσσάρων ταγμάτων,] Τῶν τεττ. Voſſ.

a Συνείποντο] Συνείποντο non agnoſcit Vat.

b Τιβέριος Ἀλέξανδρος,] Conf. ſupr. lib. 2. c. 15. §. 1. & infr. c. 12. §. 2. Spanh.

c Ἄρχων] Forſan ἄρχειν. de hoc Tiberio Al. vide ſup. lib. 2. c. 15. §. 1.

* Idque xx. cubitis altius ædificare,] Ut videlicet ita media pars tecti æqualis eſſet exterioribus lateribus quibus erat humilior, ut videre eſt inf. cap. v. §. 4. Hav.

† Poſt ſeptum] Al. à tergo ſepti (interioris) contra exhedram occidentalem, qua ſolum parte erigi poterant; reliquæ enim partes gradibus erant à longinquo occupatæ. Vide App. ad Bib. Polyglott. p. 31.

‡ Quod primus incipienti fuit hoſpes imperio, Ruf.

adhuc incerta eſſet, ſe adjunxerat: idemque etiam conſultor in uſus bellicos ætate ac experientia præcipuus ſemper ei aderat.

μετὰ πίστεως λαμπρᾶς ἐξ ἀδήλου τῇ τύχῃ [d] προσέθετο· σύμβουλός γε μὴν ταῖς τοῦ πολέμου χρείαις, ἡλικίᾳ τε προὔχων καὶ κατ᾽ ἐμπειρίαν, εἵπετο.

II. CAP II.

Qualiter Titus profectus eſt Hieroſolyma, atque urbem ſpeculando in diſcrimen venit, atque ubi caſtra metatur.

Ordo exercitus Titi. Titum autem, terram in hoſtilem ingredientem, antecedebant quidem regii aliique omnes auxiliares, poſt quos viarum ſtratores caſtrorumque metatores *ibant*: deinde tribunorum impedimenta, & poſt milites armatos qui illis præſidio erant, ipſe *Titus*, & alios delectos *circa ſe* habens & haſtatos: eumque excipiebant equites legioni adſcripti. Hi vero machinas præibant, & poſt illos tribuni cum lectis militibus & præfecti cum cohortibus. Deinde ſigna aquilæ circundata, & ante ſigna tubicines: poſt hos vero phalanx, ſenum virorum ordinibus dilatata. Servi autem cujuſque legionis pone ſequebantur, ante ſe *militum* impedimenta agentes. Omnium vero noviſſimi mercenarii, horumque cuſtodes agminum coactores. Incedens autem compoſite *Titus in Judæam venit.* cum exercitu, ita ut mos eſt Romanis, per Samaritidem in Gophnam venit, prius à patre *ſuo* captam & tunc præſidiis occupatam. Ibi noctem unam moratus mane inde proficiſcitur, cumque ſtatum diei iter confeciſſet caſtra ponit in loco quem Judæi patrio ſermone Spinarum vallem appellant, apud vicum quendam Gabath-Saul dictum, (id autem Sauli collem ſignificat) diſtantem ab Hieroſolymis circiter ſtadia xxx. atque hinc, lectis equitibus ad ſexcentos ſecum aſſumptis, exploratum ibat & urbis firmitatem, & *Hieroſolyma explorat.* Judæorum animos, an ad ipſius conſpectum præ metu cederent priuſquam ad manus ventum eſſet. audierat enim, id quod verum erat, populum ſeditioſis & latronibus obnoxium pacem quidem deſiderare; * quod vero infirmior eſſet quam ut eos adortum iret, ideo quieſcere.

In periculum incidit. 2. Sane quamdiu per viam declivem, quæ ad murum duceret, equitabat, nemo ante portas apparuit: ubi vero de via ad turrim Pſephinam declinaret & equitum agmen tranſverſum duceret, innumeri ſubito proſiliunt juxta turres quæ Muliebres vocantur, porta egreſſi quæ è regione eſt monumenti Helenæ, & equitatum intercidunt: atque à fronte illis ſemet objicientes, alios quidem, dum adhuc via currebant, prohibuerunt, ne cum his qui diverterant ſeſe jungerent; Titum vero cum paucis à *ſuis* disjungunt. Ille quidem ulterius pergendo non erat, nam foſſâ hortorum culturæ adhibitâ cir-

ΚΕΦ. β.

Ὅπως Τίτος ᾔει πρὸς τὰ Ἱεροσόλυμα, καὶ ὡς τὴν πόλιν κατασκεπτόμενος κινδυνεύεται, οὗ τε στρατοπεδεύεται.

Προϊόντι δὲ εἰς τὴν πολεμίαν Τίτῳ, προῆγον μὲν οἱ βασιλικοὶ, καὶ πᾶν τὸ συμμαχικὸν, ἐφ᾽ οἷς ὁδοποιοὶ καὶ μετρηταὶ στρατοπέδων· ἔπειτα [e] τὰ τῶν ἡγεμόνων σκευοφόρα, καὶ μετὰ τοὺς τούτων ὁπλίτας αὐτὸς, τούς τε ἄλλους ἐπιλέκτους καὶ τοὺς λογχοφόρους ἔχων. [f] κατόπιν αὐτῷ τὸ τάγματος ἱππικόν. οὗτοι δὲ πρὸ τῶν μηχανημάτων, καὶ ἐπ᾽ ἐκείνοις μεθ᾽ ἐπιλέκτων χιλίαρχοι καὶ σπειρῶν ἔπαρχοι. μετὰ δὲ τούτους περὶ τὸν [g] αἰετὸν αἱ σημαῖαι, καὶ ἔμπροσθεν οἱ σαλπιγκταὶ τῶν σημαιῶν· ἐπὶ δὲ τούτοις ἡ φάλαγξ, τὸ στῖφος εἰς ἓξ πλατύνασα. τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ὄπισθεν, καὶ πρὸ τούτων τὰ σκευοφόρα. τελευταῖοι δὲ πάντων οἱ μίσθιοι, καὶ τούτων φύλακες [h] οἱ [i] οὐραγοί. [k] προάγων δὲ τὴν δύναμιν [l] ἐν κόσμῳ, καθὰ Ῥωμαίοις σύνηθες, ἐμβάλλει διὰ τῆς Σαμαρείτιδος εἰς [m] Γοφνὰ, κατειλημμένην τε πρότερον ὑπὸ τοῦ πατρὸς, καὶ τότε φρουρουμένην. ἔνθα μίαν [n] ἑσπέραν αὐλισάμενος, ὑπὸ τὴν ἕω [o] πρόεισι καὶ διανύσας ἡμέρας σταθμὸν στρατοπεδεύεται κατὰ τὸν ὑπὸ Ἰουδαίων πατρίως [p] Ἀκανθῶν αὐλῶνα καλούμενον, πρός τινι κώμῃ Γαβαθσαοὺλ [q] καλουμένῃ· σημαίνει δὲ τοῦτο λόφον Σαούλου· [r] διέχοντα [s] ἀπὸ τῶν Ἱεροσολύμων, ὅσον ἀπὸ τριάκοντα σταδίων. ἀναλαβών τε ἐντεῦθεν ὅσον εἰς ἑξακοσίους τῶν ἐπιλέκτων ἱππέων, ᾔει τήν τε πόλιν περισκεψάμενος ὅπως ὀχυρότητος ἔχοι, καὶ τὰ φρονήματα τῶν Ἰουδαίων, εἰ πρὸς τὴν ὄψιν αὐτοῦ, πρὶν εἰς χεῖρας ἐλθεῖν, ὑποδείσαντες ἐνδοῖεν. [t] πέπυστο γὰρ, ὅπερ ἦν ἀληθὲς, τοῖς στασιώδεσι καὶ λῃστρικοῖς τὸν δῆμον [v] ὑποπεπτωκότα ποθεῖν μὲν εἰρήνην, ἀσθενέστερον δὲ ὄντα τῆς ἐπαναστάσεως ἠρεμεῖν.

β. Ἕως μὲν οὖν ὄρθιον ἱππάζετο τὴν λεωφόρον κατατείνουσαν πρὸς τὸ τεῖχος, οὐδεὶς προεφαίνετο τῶν [x] πυλῶν· ἐπεὶ δὲ ἐκ τῆς ὁδοῦ πρὸς τὸν [y] Ψήφινον πύργον ἀποκλίνας, πλάγιον ἦγε τὸ τῶν ἱππέων στῖφος, προπηδήσαντες ἐξαίφνης ἄπειροι, κατὰ τοὺς Γυναικείους καλουμένους πύργους διὰ τῆς ἀντικρὺ τῶν Ἑλένης μνημείων πύλης, διεκπαίουσι τῆς ἵππου, καὶ τοὺς μὲν ἔτι κατὰ τὴν ὁδὸν θέοντας ἀντιμέτωποι στάντες ἐκώλυσαν συνάψαι τοῖς [z] ἐκκλίνασι· τὸν δὲ Τίτον ἀποτέμνονται σὺν ὀλίγοις. τῷ δὲ, πρόσω μὲν ἦν χωρεῖν ἀδύνατον, ἐκτετάφρευτο γὰρ ἀπὸ τοῦ τείχους περὶ τὰς κηπείας ἅπαντα,

d Προσέθετο] Ita cum pleriſque MSS. ut & Lipſ. L. B. Ruf. συνέθετο in Editis Aliiſque.
e Τὰ τῶν ἡγεμόνων σκευοφόρα,] Illud τὰ non agnoſcit Big.
f Κάτοπιν αὐτῷ τὸ τάγματος ἱππικόν] Κάτοπιν τε αὐτῷ τὸ τάγματος τὸ ἱππικὸν Big. κατόπιν δὲ αὐτῷ τὸ τοῦ τάγματος ἱππικὸν Voſſ. ὄπισθεν δὲ αὐτῷ τὸ τοῦ τάγματος ἱππικὸν ſupr. lib. 3. c. 6. §. 2. med. quem locum velim cum hoc conferas, & Savilium de Militia Rom. p. 354. Edit. Amſt.
g Αἰετὸν] Ἀετὸν Big. & Gall.
h Οἱ] Illud οἱ non agnoſcit Big.
i Οὐραγοί.] Conf. ſupr. lib. 2. c. 19. §. 2. SPANH.
k Προάγων δὲ] Προσάγων Vat.
l Ἐν κόσμῳ,] Ἐν κόσμῳ Τίτος Big.
m Γοφνὰ,] Γοφνὰ Big. Γόφνα Voſſ & Vat. Unde Γοφνιτικὴ τοπαρχία ſupr. lib. 1. c. 1. §. 5. SPANH.
n Ἑσπέραν αὐλισάμενος,] Ita Big. nec aliter Ruf. qui vertit, veſperam. ἡμέραν in Editis Aliiſque.
o Πρόεισι] Πρόεισιν Vat. & Lugd. Bat.
p Ἀκανθῶν αὐλῶνα] Spinarum vallem nec vulg. Acanthonaula inſcriptum. SPANH.
q Καλουμένῃ] Λεγομένῃ Big. Busb. Ruf. Vat. & Rhod.
r Διέχοντα] Διέχων Big. Ruf. & Voſſ.
s Ἀπὸ τῶν Ἱεροσολύμων,] Εἰς τριάκοντα σταδίους Big. Busb. & Rhod.
t Πέπυστο γὰρ,] Ita Voſſ. & Ruf. πέπυσο in Editis Aliiſque.
v Ὑποπεπτωκότα] Ita, ut videtur, Ruf. qui vertit oppreſſum. ὑποπεπληχότα Busb. Vat. & Rhod. ὑποπεπλησμένον Ruf. ὑποτεταγμένον in cæteris.
x Πυλῶν] Ita Big. Lugd. Bat. & Ruf. πύργων in Editis Aliiſque.
y Ψήφινον] Ψήφινος Turris Hieroſolymis infr. c. 3. §. 5. c. 4. §. 3. & c. 6. §. 2. SPANH.
z Ἐκκλίνασι] Sic Big. Gall. & Vat. ἐγκλίνασι in cæteris.
* Sed quod rebellantibus infirmior eſſet, nihil conari, Ruf.

τα, [a] κήποις τε ἐπικαρσίοις καὶ πολλοῖς ἕρκεσι διειλημμένα. τὴν δὲ πρὸς τοὺς σφετέρους ἀναδρομὴν, πλήθει τῶν ἐν μέσῳ πολεμίων ἀμήχανον [b] ἑώρα. ὧν οἱ πολλοὶ μηδὲ γινώσκοντες τὸν τοῦ [c] βασιλέως κίνδυνον, ἀλλ᾽ οἰόμενοι συναναστραφῆναι [d] κἀκεῖνον ἀνέφευγον. ὁ δὲ, κατιδὼν ὡς ἐν μόνῃ τῇ καθ᾽ [e] αὑτὸν ἀλκῇ κεῖται τὸ σώζεσθαι, τόν τε ἵππον ἐπιστρέφει, καὶ τοῖς περὶ αὐτὸν ἐμβοήσας ἕπεσθαι, μέσοις ἐμπηδᾷ τοῖς πολεμίοις, [f] διεκπαῖσαι πρὸς τοὺς σφετέρους βιαζόμενος. ἔνθα δὴ μάλιστα [g] πάρεστι νοεῖν, ὅτι καὶ πολέμων ῥοπαὶ καὶ βασιλέων κίνδυνοι μέλονται [h] τῷ Θεῷ. τοσούτων γὰρ ἐπὶ τὸν Τίτον ἀφιεμένων βελῶν, μήτε κράνος ἔχοντα μήτε θώρακα· προῆλθε γὰρ, ὡς ἔφην, οὐ πολεμιστὴς ἀλλὰ κατάσκοπος· οὐδὲν ἥψατο τοῦ σώματος, κατὰ δὲ ὥσπερ [i] ἐπίτηδες ἀστοχούντων, [k] παρεῤῥοιζεῖτο πάντα. τῷ δὲ ξίφει τοὺς κατὰ πλευρὸν ἀεὶ διαστέλλων, καὶ πολλοὺς τῶν [l] ἀντιπροσώπων ἀναιρῶν, ἤλαυνεν [m] ὑπὲρ τοὺς [n] ἐριπομένους τὸν ἵππον. τῶν δὲ κραυγή τε ἦν πρὸς τὸ παράστημα τοῦ Καίσαρος, καὶ παρακέλευσις ὁρμᾶν ἐπ᾽ αὐτόν. φυγὴ δὲ καὶ διαχωρισμὸς ἄθρους, καθ᾽ ὃς ἐπελαύνοι γένοιτο. συνῆπτον δὲ οἱ τοῦ κινδύνου μετέχοντες, κατὰ νῶτα καὶ κατὰ [o] πλευρὰ νυσσόμενοι. μία γὰρ ἐλπὶς ἦν σωτηρίας ἑκάστῳ, τὸ [p] συνεξανοίγειν τῷ Τίτῳ [q] μὴ φθάσαντι κυκλωθῆναι. δύο γοῦν τῶν [r] ἀποτέρων, τὸν μὲν σὺν τῷ ἵππῳ περισχόντες κατηκόντισαν, θάτερον δὲ καταπηδήσαντα, διαφθείραντες τὸν ἵππον ἀπήγαγον. μετὰ δὲ τῶν λοιπῶν Τίτος ἐπὶ τὸ στρατόπεδον διασώζεται. τοῖς μὲν οὖν Ἰουδαίοις, πλεονεκτήσασι κατὰ τὴν πρώτην ἐπίθεσιν ἐπῄγειρε τὰς διανοίας [s] ἄσκεπτος ἐλπὶς, καὶ πολὺ θάρσος αὐτοῖς εἰς τὸ μέλλον πρόσκαιρος ῥοπὴ παρεῖχε.

γ'. Καῖσαρ δὲ [t] ὡς αὐτῷ συνέμιξε διὰ νυκτὸς τὸ ἀπὸ τῆς [u] Ἀμμαοῦντος τάγμα, μεθ᾽ ἡμέραν ἐκεῖθεν ἄρας ἐπὶ τὸν [x] Σκοπὸν καλούμενον πρόσεισιν. ἔνθεν ἥ, τε πόλις ἤδη κατεφαίνετο, καὶ τὸ τοῦ ναοῦ μέγεθος ἔκλαμπρον, καθὰ τῷ βορείῳ κλίματι τῆς πόλεως χθαμαλὸς συνάπτων ὁ χῶρος ἐτύμως Σκοπὸς ὠνόμασται. τῆς δὲ πόλεως σταδίους ἑπτὰ διέχων, ἐκέλευσε [y] περιβάλλεσθαι στρατόπεδον τοῖς δύο τάγμασιν ὁμοῦ, [z] τῷ δὲ πέμπτῳ ὀπίσω τούτων τρισὶ σταδίοις. κόπῳ γὰρ τῆς διὰ νυκτὸς πορείας τετρυμένους ἐδόκει σκέπης ἀξίους εἶναι, ὡς ἂν ἀδεέστερον τειχίσαιντο. καταρχομένων δὲ ἄρτι τῆς δομήσεως, καὶ τὸ δέκατον τάγμα διὰ Ἱεριχοῦντος ἤδη παρῆν, ἔνθα καθῆστό τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολὴν, ὑπὸ Οὐεσπασιανοῦ [a] προκατειλημμένην. προσετέτακτο δὲ αὐτοῖς, ἓξ ἀπέχοντας τῶν Ἱεροσολύμων σταδίους στρατοπεδεύσασθαι κατὰ τὸ Ἐλαιῶν καλούμενον ὄρος, ὃ τῇ πόλει πρὸς ἀνατολὴν ἀντίκειται, μέσῃ [b] φάραγγι βαθείᾳ διειργόμενον, ἣ [c] Κεδρὼν ὠνόμασται.

δ'. Τῶν δὲ ἀνὰ τὸ ἄστυ [d] συῤῥηγνυμένων ἀδιαλείπ-

cundata erant omnia à muro, hortiſque obliquis & multis maceriis occupata. ut vero rurſus ſuos repeteret, præ hoſtium interjectorum multitudine haud fieri poſſe videbat; quorum plerique imperatoris periculum neſciebant, ſed exiſtimantes cum ſecum reverti ipſi etiam fugiebant. Atqui ille, cum perſpiceret in ſua tantum fortitudine ſitam eſſe ſalutis ſpem, converſo equo, iiſque qui circa eum erant alta voce juſſis ut ipſum ſequerentur, in medios hoſtes irruit, ad ſuos vi perrumpere feſtinans. Hinc ſane maxime licet intelligere, Deo curæ eſſe & belli momenta & regum pericula. Tot enim adverſus Titum jactis miſſilibus, cum neque galea neque thorace ſeptus eſſet (non bellator enim ſed explorator, ut dixi, proceſſerat) corpus ejus intactum erat & illæſum: ſed inaniter, tanquam de induſtria aberraretur, omnia cum ſtridore eum prætervolabant. gladio vero ſemper à lateribus inſtantes dirimens, multoſque ante ora ſubvertens, ſuper proſtratos equum agebat. Clamorem autem attollebant ad audaciam Cæſaris, ſeque invicem hortabantur ut in eum impetum facerent. quin & fugiebant ſimulque omnes diſcedebant, quocunque curſum dirigeret. Huic autem periculi participes, à tergo & à lateribus icti, ſe adjunxerant; una enim erat unicuique ſalutis ſpes, ſimul Tito viam aperire * ne prius circumveniretur. duos autem de extremis, alterum quidem cum equo circundatum jaculis confixerunt, alterum vero poſtquam deſiluiſſet occiderunt & equum abducebant. Titus vero cum cæteris ſalvus in caſtra revertitur. Et Judæis quidem, quod aggreſſione prima ſuperiores fuerant, inconſulta ſpes animos extulit, magnamque in poſterum fiduciam eis conciliabat brevis fortunæ inclinatio. *Titi fortitudo egregia.*

3. Cæſar autem, poſtquam ei nocte conjuncta eſſet legio ex Ammaunte, poſtridie inde digreſſus ad locum qui Scopus dicitur ſe confert; unde jam tum & civitas conſpiciebatur & clara templi magnitudo, qua planities, ſeptentrionalem urbis partem attingens, appoſite Scopos dicta fuit. Cum autem ſeptem ſtadiis ab urbe diſtaret, ibi duabus legionibus ſimul, quintæ vero legioni retrorſum tribus ſtadiis caſtra muniri juſſit: nam milites, nocturni itineris labore attritos tegumento dignos exiſtimabat, ut minori cum metu murum ſtruerent. Mox autem cœpto ædificio, decima quoque legio tum aderat, quæ per Hierichuntem venerat, ubi pars quædam militum collocata fuerat aditum *loci* cuſtodiens jam ante à Veſpaſiano occupatum. His autem præceptum erat, cum ſex ſtadiis ab Hieroſolymis abeſſent, caſtra metari juxta montem Olearum nuncupatum, qui civitati ab oriente objacet, interjecta profunda valle quæ Cedron fuit appellata. *III. Ubi caſtra metatus Titus.*

4. Continuo autem intra civitatem confligentium *Concurſus*

a Κήποις] Τείχεσι Voſſ.
b Ἑώρα] Antea erat, ἑώρα· οἱ δὲ ἀνὰ τὸν λόφον, ὧν οἱ πολλοὶ &c. Verum auctoritate Rufini, cujus verſionem hic lubri repræſentavi, οἱ δὲ ἀνὰ τὸν λόφον omiſi, utpote ad explicationem ὧν οἱ πολλοὶ margini olim appoſita, ut & illa καὶ ςρατιώτας τοὺς ἀνὰ τὸν λόφον in Cod. Big.
c Βασιλέως,] Καίσαρος Voſſ. in texto, βασιλέως ad oram libri. Nota de Tito dici nondum Imperatore, ſed jam Cæſare. Spanh.
d Κἀκεῖνον ἀνέφευγον.] Ita Big. Vat. & Gall. ἐκεῖνον in Editis Aliiſque.
e Αὑτὸν ἀλκῇ κεῖται] Al. αὐτὸν & ἑαυτὸν.
f Διεκπαῖσαι] διεκπαίσειν L. B. διεκπαίσειν Roſ.
g Πάρεστι νοεῖν,] Ita cum uno & altero MS. παρῆν μοι νοεῖν in Editis Aliiſque.
h Τῷ Θεῷ.] Illud τῷ non agnoſcunt aliquot MS.
i Ἐπίτηδες ἀστοχούντων,] Ἐξεπίτηδες Bod.
k Παρεῤῥοιζεῖτο πάντα.] Παρεῤῥοίζετο Big. παρεῤῥοίζετο L. B.
l Ἀντιπροσώπων,] Ἀντιπρόσωπον Voſſ.
m Ὑπὲρ τοὺς] Περὶ τοὺς Big.
n Ἐριπομένους τὸν ἵππον.] Al. ἐριπομένους.
o Πλευρὰ νυσσόμενοι.] Πλευρὰς Big.
p Συνεξανοίγειν τῷ Τίτῳ] Συνεξάγοντες Big.
q Μὴ φθάσαντι κυκλωθῆναι.] Καὶ μὴ φθάσαντι κἂν Big. καὶ μὴ φθάσαντα κ. Vat. & Roſ. κἂν μὴ φθάσας ἀνακυκλωθῆναι.
r Ἀποτέρων,] Ἀπωτέρων Big. & Gall. ὑστέρων Voſſ.
s Ἄσκεπτος] ἄσκεπτος L. B.
t Ὡς αὐτῷ] ὡς αὐτοῖς Roſ.
u Ἀμμαοῦντος τάγμα,] Ἀμμαοῦς in libris.
x Σκοπὸν] Conf. ſup. lib. 2. c. 19. §. 4. Spanh.
y Περιβάλλεσθαι] περιβαλέσθαι L. B.
z Τῷ δὲ πέμπτῳ] Ita cum Rufino. τὸ δὲ πέμπτον in Græcis omnibus. Huds. Cujus emendationem confirmat Roſ. qui clare ita exhibet. Hav.
a Προκατειλημμένην.] Καταλαμβανομένην Big.
b Φάραγγι βαθείᾳ διειργόμενον,] Conf. Antiq. Jud. lib. VIII. c. 1. §. 5. Spanh.
c Κεδρὼν] Κεδρὼν L. B.
d Συῤῥηγνυμένων] Συῤῥηγνυμένων Vat.
* Priuſquam circumventus opprimeretur, Ruf.

ſ Μὴ

Inter ſeditioſos.

tium mutuam diſſenſionem tum primum ſedavit bellum externum, magna vi ſubitoque illatum: & cum ſtupore ſeditioſi Romanos inſpectantes, tribus locis caſtra ponentes, malam concordiam inire cœperunt, ſermoneſque invicem miſcentes quæſiverunt, quidnam exſpectarent, quidve paſſi ſpiritum ſibi tribus muris occludi ſuſtinerent; & dum hoſtes munimenta inſtar urbium ſibimet exſtruunt, ipſi tanquam ſpectatores bonorum operum utiliumque conſideant mœnibus clauſi, & manibus armiſque remiſſis. „ In noſmet ipſos profecto, „ exclamabant, duntaxat fortes ſumus; Romani „ autem ex noſtra ſeditione id lucrabuntur, ut „ urbem ſine ſanguine capiant ". Iſtis, cum frequentes convenirent, ſe invicem hortabantur, & armis correptis ſubito in legionem decimam excurrunt, factaque per vallem eruptione, ingenti cum vociferatione, Romanos caſtra munientes adoriuntur. Illi autem ad munitiones inſtitutas perficiendas diſtributi, cumque propter hoc magna ex parte arma depoſuiſſent (non enim audere Judæos excurſum facere arbitrabantur, &, ſi maxime id vellent, animos eorum diſtractum iri ſeditione) inopinato conturbati erant, opereque relicto nonnulli quidem ſtatim receſſerunt, multi autem ad arma properantes, priuſquam ſe in hoſtes converterent, confoſſi neci deduntur. Ad Judæos autem plures ſemper accedebant, animis inde ſumptis quod victores eſſent qui præceſſerant: & multo plures quam revera erant & ſibimet & hoſtibus videbantur, utpote quod eis proſpere ceſſerit fortuna. Maxime autem eos qui ordinari conſueverunt, gnarique erant prælia ita conferendi ut ordines ſervarent & imperata facerent, confuſio, qua deprehenſi ſunt, in trepidationem conjicit. Quare & tunc Romani, repentino hoſtium adventu oppreſſi, factis impreſſionibus cedebant: & cum quidem ſe converterent *ab inſequentibus* occupati, & à curſu reprimebant Judæos, minuſque cautos, præ impetu quo ferebantur, vulnerabant. Cum autem numero ſemper augerentur qui excurſionem faciebant, magis magiſque turbati *Romani* poſtremo caſtris pulſi ſunt. Et tunc tota in periculo eſſe videbatur legio, niſi Titus, hoc ipſo ei nunciato, mature illis ſubveniſſet: cumque multis ignaviam illis exprobraſſet, ſuos quidem à fuga revocat; Ille vero, impetu in contravenientes Judæos facto, cum lectis qui ſecum venerant *militibus*, multos quidem occidit, plures vero ſauciat, omneſque in fugam vertit & in vallem præcipites compellit. Illi autem, in declivitate multo damno accepto, poſtquam in adverſam partem evaſerant, ſe iterum convertunt, interjectoque torrente cum Romanis dimicabant. Equidem ad medium uſque diem ita pugnarunt: paulo autem poſt meridiem, Titus, cum hos qui ſecum in ſubſidium venerant, alioſque de cohortibus adverſum excurſus facientes collocaſſet, reliquam legionem in ſuperiora montis remittebat ad muniendum vallum.

Hieroſolymitani Romanos aggrediuntur.

Romani caſtris pulſi.

Titus, repreſſis Judæis, ſuos ad caſtra munienda remittit.

5. Judæis autem hoc ipſum fuga eſſe videbatur, cumque idem indicaſſet ſpeculator, quem

τοις, τότε πρῶτον ἀνέπαυσε τὴν ἐπ' ἀλλήλοις ἔριν ὁ ἔξωθεν πόλεμος, ἐξαίφνης πολὺς ἐπελθών, καὶ [e] μετ' ἐκπλήξεως οἱ στασιασταὶ τοὺς Ῥωμαίους ἀφορῶντες, στρατοπεδευομένους τριχῆ, κακῆς ὁμονοίας κατήρχοντο, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, [f] τί μένοιεν ἢ τί παθόντες ἀνέχοιντο τρία ταῖς ἀναπνοαῖς αὐτῶν [g] ἐπιφρασσόμενα τείχη καὶ τοῦ πολέμου μετ' ἀδείας [h] ἀντιπολίζοντος ἑαυτόν, οἱ δὲ ὥσπερ θεαταὶ καλῶν καὶ συμφερόντων ἔργων καθέζοιντο τειχήρεις, τὼ χεῖρε καὶ τὰς πανοπλίας παρέντες. „ καθ' „ αὐτῶν ἄρα γενναῖοι μόνον ἡμεῖς, [i] ἐξεβόησαν, Ῥω„ μαῖοι δὲ ἐκ τῆς ἡμετέρας στάσεως κερδήσουσιν „ ἀναιμωτὶ τὴν πόλιν. " [k] τούτοις ἀθροιζόμενοι ἀλλήλους παρεκρότουν, καὶ τὰς πανοπλίας [l] ἁρπάσαντες αἰφνιδίως ἐπεκθέουσι τῷ δεκάτῳ τάγματι, καὶ διὰ τῆς φάραγγος ἀΐξαντες μετὰ κραυγῆς ἐξαισίου τειχιζομένοις προσπίπτουσι τοῖς [m] Ῥωμαίοις. οἱ δὲ πρὸς τὸ ἔργον διῃρημένοι, καὶ διὰ τοῦτο τὰ πολλὰ [n] τεθεικότες τῶν ὅπλων. οὔτε γὰρ [o] θαρσεῖν τοὺς Ἰουδαίους πρὸς ἐκδρομὴν ὑπελάμβανον, καὶ προθυμουμένων περισπασθήσεσθαι τὰς ὁρμὰς τῇ στάσει, συνεταράχθησαν ἀδοκήτως, καὶ τὸ ἔργον [p] ἀφέντες τινὲς μὲν ἀνεχώρουν εὐθέως, πολλοὶ δὲ ἐπὶ τὰ ὅπλα θέοντες, πρὶν ἐπιστραφῆναι πρὸς τοὺς ἐχθρούς, [q] ἐφονεύοντο παιόμενοι. προσεγίνοντο δὲ τοῖς Ἰουδαίοις ἀεὶ πλείους, ἐπὶ τῷ κρατεῖν τοὺς πρώτους τεθαρρηκότες, καὶ τῶν ὄντων πολλαπλασίους ἐδόκουν σφίσι τε καὶ τοῖς πολεμίοις, δεξιᾷ τῇ τύχῃ χρώμενοι. μάλιστα δὲ τοὺς ἐν ἔθει συντάξεως ὄντας, καὶ μετὰ κόσμου καὶ παραγγελμάτων πολεμεῖν εἰδότας, ἀταξία φθάσασα θορυβεῖ. διὸ καὶ τότε προληφθέντες οἱ Ῥωμαῖοι ταῖς ἐμβολαῖς εἶκον· καὶ ὁπότε μὲν ἐπιστραφεῖεν οἱ καταλαμβανόμενοι, τοῦ τε δρόμου τοὺς Ἰουδαίους ἐπεῖχον, καὶ διὰ τὴν ὁρμὴν ἧττον φυλαττομένους ἐτίτρωσκον. ἀεὶ δὲ πληθυνούσης τῆς ἐκδρομῆς, μᾶλλον ταραττόμενοι τελευταῖον ἀπὸ τοῦ στρατοπέδου τρέπονται, [r] καὶ ἐδόκει τότε κινδυνεῦσαι τὸ τάγμα πᾶν, εἰ μὴ Τίτος [s] ἀγγελθέντος αὐτῷ διὰ τάχους ἐπεβοήθησε, καὶ πολλὰ ὀνειδίσας εἰς ἀνανδρίαν, ἐπιστρέφει μὲν τοὺς φεύγοντας, [t] αὐτὸς δὲ πλαγίοις τοῖς Ἰουδαίοις προσπεσών, μεθ' ὧν [u] ἧκεν ἐπιλέκτων, συχνοὺς μὲν ἀναιρεῖ, τιτρώσκει δὲ πλείους, τρέπεται δὲ πάντας καὶ συνωθεῖ κατὰ [x] τῆς φάραγγος. οἱ δὲ ἐν τῷ καταντεῖ πολλὰ κακωθέντες, ὡς διεξέπεσον, ἄντικρυς ἐπιστρέφονται, καὶ μέσην ἔχοντες [y] τὴν χαράδραν, τοῖς Ῥωμαίοις διεμάχοντο. μέχρι μὲν δὴ μέσης ἡμέρας, οὕτως ἐπολέμουν· ὀλίγον δὲ ἀπὸ μεσημβρίας ἐκκλίναντος [z] ἤδη, Τίτος τοὺς μεθ' ἑαυτοῦ προσβοηθήσαντας, καὶ τοὺς ἀπὸ τῶν σπειρῶν τοῖς ἐκτρέχουσιν ἀντιπαρατάξας, τὸ λοιπὸν τάγμα πρὸς τὸν τειχισμὸν [a] ἀνέπεμπεν εἰς τὴν ἀκρώρειαν.

έ. Ἰουδαίοις δὲ τοῦτο ἔδοξε φυγή, καὶ τοῦ σκοποῦ καλασείσαντος θοἰμάτιον, ὃς αὐτοῖς ἐπὶ τοῦ τείχους κα-

e Μετ' ἐκπλήξεως οἱ] Refertur hic locus apud Suidam in ἄδεια, vel qui ex iſto ſupplendus. Spanh.

f Τί μένοιεν] Ita in MSS. & Suida v. ἄδεια. Verum τί μένομεν ediderunt Baſileenſes.

g Ἐπιφρασσόμενα] ἀποφρασσόμενα Suidas. Spanh.

h Ἀντιπολίζοντος] Perperam ἀντιπολεμίζοντος bis apud Suidam.

i Ἐξεβόησαν,] Ἐξεβόησάν τινες Big.

k Τούτοις ἀθροιζόμενοι] Τούτους apud Suidam in voce ἀθροίζοντες.

l Ἁρπάσαντες] συσπάσαντες L. B. & Raf.

m Ῥωμαίοις.] Ita Big. & Raf. πολεμίοις in Editis Aliiſque.

n Τεθεικότες] Τεθηκότες Big. Verum pro vulgata lectione facit Suidas voce τεθεικότες.

o Θαρσεῖν τοὺς Ἰουδαίους] Θαρρεῖν Big.

p Ἀφέντες] ἀφέμενοι Raf.

q Ἐφονεύοντο παιόμενοι.] Ἐφθάνοντο Big.

r Καὶ ἐδόκει τότε κινδυνεῦσαι] Ita Big. & Raf. deest in cæteris.

s Ἀγγελθέντος αὐτῷ] Ἀπαγγελθέντος Big.

t Αὐτὸς δὲ] αὐτοῦ δὲ Raf.

u Ἧκεν ἐπιλέκτων,] Εἶχεν Big.

x Τῆς φάραγγος.] Illud τῆς è Codd. MSS. ut & τὴν paulo infra circiter fin.

y Τὴν χαράδραν,] Conf. lib. VIII. Antiq. Jud. c. 1. §. 5. Spanh.

z Ἤδη,] Eſt qui poſt ἤδη ſupplet τοῦ ἡλίου. verum ἡλίου ſubintelligendum puto.

a Ἀνέπεμπεν] Ita in MSS. ἀνέπεμψεν in Editis.

b Α[illegible]

καθίσαντο, προπηδῶσι πλῆθος [b] ἀκραιφνέστερον μετὰ τοσαύτης ὁρμῆς, ὡς τὸν δρόμον αὐτῶν τοῖς ἀγριωτάτοις εἰκάζειν θηρίοις. ἀμέλει τῶν [c] παραταχθέντων οὐδεὶς ἔμεινε τὴν [d] ἐμβολὴν, ἀλλ' ὥσπερ ἐξ ὀργάνου παιόμενοι διέρρηξαν τὴν τάξιν, καὶ πρὸς τὸ ὄρος τραπέντες ἀνέφευγον. λείπεται δὲ ἐν μέσῳ τῷ προσάντει Τίτος μετ' ὀλίγων, καὶ πολλὰ παραινούντων τῶν φίλων, ὅσοι δι' αἰδῶ τὴν πρὸς τὸν ἡγεμόνα τοῦ κινδύνου καταφρονήσαντες ἔστησαν, „εἶξαι θανατῶσιν Ἰουδαίοις, „καὶ μὴ προκινδυνεύειν τούτων οὓς ἐχρῆν „[e] πρὸ αὐτοῦ μένειν, λαμβάνειν δὲ ἔννοιαν τῆς [f] καθ' „αὑτὸν τύχης, καὶ μὴ, στρατιώτου τάξιν [g] ἀπο„πληροῦντα, καὶ [h] τοῦ πολέμου καὶ τῆς οἰκουμένης δε„σπότην, [i] ὀξεῖαν οὕτως ὑφίστασθαι [k] τροπὴν, ἐν ᾧ „σαλεύει τὰ πάντα,“ [l] τούτων οὐδὲ ἀκούειν ἔδοξε, τοῖς δὲ [m] καὶ αὐτὸν ἀνατρέχουσιν [n] ἀνθίστατο, καὶ κατὰ στόμα παίων βιαζομένους ἀνῄρει, κατά τε τοῦ πρανοῦς ἀθρόοις ἐμπίπτων ἀνώθει τὸ πλῆθος. οἱ δὲ, πρός τε τὸ παράστημα καὶ τὴν [o] ἰσχὺν καταπλαγέντες, οὐδὲ οὕτως μὲν ἀνέφευγον εἰς τὴν πόλιν, καθ' ἑκάτερον δὲ ἐγκλίνοντες ἀπ' αὐτοῦ τοῖς ἀνωτέρω φεύγουσι προσέκειντο. καὶ τούτοις δὲ κατὰ πλευρὰν προσβάλλων, τὰς ὁρμὰς ὑπετέμνετο. [p] κἀν τούτῳ καὶ τοῖς ἄνω τειχίζουσι τὸ στρατόπεδον, ὡς ἐθεάσαντο τοὺς κάτω φεύγοντας, πάλιν ἐμπίπτει ταραχὴ καὶ δέος, καὶ διασκίδναται πᾶν τὸ [q] τάγμα, δοκούντων ἀνυπόστατον μὲν εἶναι τὴν τῶν Ἰουδαίων ἐκδρομὴν, τετράφθαι δὲ [r] αὐτὸν Τίτον, οὐ [s] γὰρ ἄν ποτε τοὺς ἄλλους φυγεῖν ἐκείνου μένοντος. καὶ καθάπερ πανικῷ δείματι κυκλωθέντες, ἄλλος ἀλλαχῆ διεφέροντο, μέχρι τινὲς κατιδόντες ἐν μέσῳ τοῦ πολέμου τὸν ἡγεμόνα στρεφόμενον, καὶ μέγα δείσαντες [t] ἀμφ' αὐτῷ, διαβοῶσι τὸν κίνδυνον ὅλῳ τῷ τάγματι. τοὺς δὲ αἰδὼς ἐπέστρεφε, καὶ πλεῖόν τι φυγῆς κακίζοντες ἀλλήλους [u] ἐπὶ τῷ καταλιπεῖν Καίσαρα, πάσῃ βίᾳ κατὰ τῶν Ἰουδαίων ἐχρῶντο, καὶ κλίναντες ἅπαξ ἀπὸ τοῦ κατάντους συνώθουν αὐτοὺς εἰς τὸ κοῖλον. οἱ δὲ [x] ὑπὸ πόδα χωροῦντες ἐμάχοντο, καὶ πλεονεκτοῦντες οἱ Ῥωμαῖοι τῷ καθύπερθεν εἶναι συνελαύνουσι πάντας εἰς τὴν φάραγγα. προσέκειτο δὲ τοῖς καθ' αὑτὸν ὁ Τίτος, καὶ τὸ μὲν τάγμα πάλιν ἐπὶ τὴν τειχοποιίαν ἔπεμψεν. αὐτὸς δὲ σὺν οἷς πρότερον ἀντιστὰς εἶργε τοὺς πολεμίους. ὥστε, εἰ χρὴ μήτε θεραπείᾳ τι προστιθέντα μήτε ὑφελόντα φθόνῳ τὸ ἀληθὲς εἰπεῖν, αὐτὸς Καῖσαρ δὶς μὲν ἐῤῥύσατο [y] κινδυνεῦον ὅλον τὸ τάγμα, καὶ τοῦ [z] περιβάλλεσθαι δὲ τὸ στρατόπεδον αὐτοῖς ἄδειαν παρέσχε.

quem illi in muro poſuerant, veſtem concutiendo, magna & recens multitudo tanto impetu proſiliit, ut beſtias immaniſſimas curſu adæquarent. quippe nemo ex adverſa acie impreſſionem illorum ſuſtinuit: ſed quaſi vi machinæ ferirentur ordines perturbant, & in fugam verſi ad montem ſe recipiebant. In acclivitatis autem medio Titus cum paucis relictus eſt: multumque monentibus amicis, qui ex imperatoris reverentia contempto periculo ſteterunt, „ut Judæis mori cupientibus „cederet, * nec ipſorum cauſa periclitaretur, „† quos propter ipſum oportebat impetum ſuſti„nere, ſed potius ſuæ conditionis rationem habe„ret, & non, dum militis officio fungitur qui „& belli & terrarum orbis dominus, in celeri „adeo fuga *ipſe* ſtaret, in quo vertitur omnium „fortuna“, iſta ne audire quidem viſus eſt, contra ipſum vero exſurgentibus reſiſtit, eoſque in ora feriens, cum vi obniterentur, occidebat, & confertis incumbens per declive multitudinem deturbabat. Illi autem, licet animi in eo præſentia ejuſque viribus perterriti, ne tum quidem in civitatem refugiebant, ſed in utrumque latus ab eo declinantes, ſurſum fugientes inſequebantur. atqui vero iſtos à latere aggreſſus impetum *quo movebant* reprimebat. Dumque hæc aguntur, etiam illos qui paulo ſupra caſtra muniunt, ubi fugere inferiores vidêre, rurſus occupat metus ac trepidatio, omneſque legionis iſtius milites diſſipantur, (ut qui Judæorum excurſum non ferendum eſſe exiſtimarent, ipſumque in fugam verſum eſſe Titum: nunquam enim illo manente alios fugituros eſſe *credebant*) & tanquam Panico terrore circundati, alius alio ferebantur, donec quidam, cum vidiſſent imperatorem in media pugna verſari, & de eo in magno metu eſſe cœpiſſent, univerſæ legioni ejus periculum edito clamore ſignificant. Illos autem pudor revocabat, & fuga majus aliquid ſibi invicem exprobrantes quod Cæſarem deſeruiſſent, totis viribus in Judæos ruebant: ipſoſque, ubi ſemel ſe inclinarunt, per declivia in cavitatem coëgerunt. Illi vero pedem referentes pugnabant; Romanique, utpote loco ſuperiores plus valentes in vallem omnes compellunt. At Titus illis inſtabat qui adverſus ipſum contendebant, & legionem quidem ad vallum muniendum remiſit; ipſe vero cum iis quibus fretus antea reſtiterat hoſtes arcebat. Adeo ut, ſi verum dicere oporteat, nihil ex adulatione adjiciendo aut ex invidia detrahendo, fatendum eſt Cæſarem ipſum bis totam legionem è periculo eripuiſſe, atque id demum effeciſſe ut incolumes ad caſtra munienda ſe reciperent.

Romani à Judæis diſſipati pulſique in montem ſe recipiunt.

Titi fortitudinis alterum ſpecimen egregium.

Metus & trepidatio inter Romanos.

Titus Judæos loco cedentes urget.

Legionis bis ſervatæ gloriam adeptus eſt.

b Ἀκραιφνέστερον] Ἀκραιφνέστατον Big. Raf. & Voſſ.
c Παραταχθέντων] Ἀντιπαραταχθέντων Big. Raf. & Voſſ.
d Ἐμβολὴν,] Συμβολὴν Bod. Lugd. Bat. & Vat.
e Πρὸ αὐτοῦ μένειν,] Πρὸς ἑαυτοὺς Big.
f Καθ' αὑτὸν τύχης,] Καθ' ἑαυτὸν Big.
g Ἀποπληροῦντα,] Ἀποπληροῦν τὴν &c. Voſſ.
h Τοῦ πολέμου] Καὶ τοῦ in MSS.
i Ὀξεῖαν] Μηδ' ἀξιοῦν Big. μηδ' ἀξιοῦν οὕτως Voſſ. & Raf.
k Τροπὴν,] Ῥοπὴν Big.
l Τούτων οὐδὲ ἀκούειν ἔδοξε,] Τούτων δὲ οὐδ' ἀκ. Big.
m Καὶ αὐτὸν ἀνατρέχουσιν] Καθ' αὑτὸν Big.
n Ἀνθίστατο,] Ἀντίστατο legiſſe videtur Raf.
o Ἰσχὺν] Ὁρμὴν Voſſ. & Raf.
p Κἀν τούτῳ] Ita Big. & Raf. κἀν τούτῳ αὐτοῖς in vulgatis. καὶ τ. ἄ. ἀνατειχίζουσι Raf. κ. τ. ἄλλοις τοῖς ἀνατειχίζουσι. Lugd. Bat.
q Τάγμα] Στράτευμα Bod. Raf. & Voſſ.
r Αὐτὸν Τίτον,] Αὐτὸν non agnoſcit Voſſ.
s Γὰρ ἄν ποτε] Οὐ γάρ ποτε τ. ἄ. φυγεῖν Big.
t Ἀμφ' αὐτῷ,] Ἐπ' αὐτῷ Big.
u Ἐπὶ τῷ καταλιπεῖν Καίσαρα,] Ἐπὶ τὸ κατ. Big.
x Ὑπὸ πόδα] Forte ἀπὸ πόδα Cocc.
y Κινδυνεῦον ὅλον τὸ τάγμα,] Κινδυνεῦσαν Big.
z Περιβάλλεσθαι] Περιβαλεῖν Voſſ. ἀποβαλλέσθαι MSS. Lipſ. Spanh.

* Neque pro his in diſcrimen veniret, quos ante ipſum ſalvos eſſe non oporteret. *Raf.*
† *Al.* quos oportebat ipſum protegere.

IV.

CAP. III.

Quomodo ſeditio rurſus excitetur Hieroſolymis: poſtea vero Romanis inſidias ſtruunt Judæi. qualiterque Titus militibus propter temeritatem minitabatur.

Seditio in urbe recrudeſcit feſto Paſchatis.

CUM autem paulisper quieviſſet bellum externum, rurſus ſeditio exoriebatur domeſtica; & inſtante feſto Azymorum, die decima quarta menſis * Xanthici, qua primum creduntur Judæi ab Ægyptiis liberati, Eleazarus quidem ſuique, portas aperientes, è populo excipiebant quotquot intus adorare volebant. Joannes autem, feſto ad occultandas inſidias uſus, quoſdam è ſuis ignotiores armis abditis inſtructos, quorum plerique haud purificati erant, † eo animo ſtudioque inter alios ſubmittit ut fanum occuparent. Illi autem, cum intus eſſent, veſtimentis abjectis ſubito armati apparuerunt. Maxima vero ſtatim turba circa templum ac tumultus erat: populo quidem à ſeditione alieno in omnes ſine diſcrimine, Zelotis vero in ſemet ſolum impetum factum iri ſuſpicantibus. Verum hi quidem relicta jam portarum cuſtodia, poſtquam ex propugnaculis deſiluiſſent, prius quam ad manus ventum eſſet, in templi cloacas confugere: populus vero ad aram trepidantes, conſtipatique circa templum conculcabantur, lignis paſſim ferroque cæſi. Multos autem, qui vitam quietam agebant, ex ſimultate & odio privato, quaſi diverſæ factionis fuiſſent, interficiebant inimici: & quicunque antea inſidiatorum aliquem offenderat, tunc agnitus quaſi Zelotes ad cædem ducebatur. Verum hi qui variis modis in inſontes ſævitiam exercebant, nocentibus inducias conceſſerunt, progreſſoſque ex cloacis dimiſerunt. Ipſi autem, cum templum interius, omnemque in eo apparatum occupaſſent, tum Simonem oppugnare audebant. Atque ita quidem ſeditio, quæ antea triplex erat, in duas partes redigitur.

Joannes vincit Eleazarum, & factiones duæ in unam rediguntur.

2. Titus autem, cum ei in animo eſſet caſtra de Scopo propius ad civitatem transferre, lectos equites peditesque quotquot ſatis eſſe arbitrabatur, ad cohibendos *hoſtium* excurſus poſuit; omnibus vero *præterea* copiis imperavit totum ad muros uſque intervallum complanare. Cunctis igitur maceriis ac ſepibus, quibus hortos ac lucos incolæ præmunierant, dirutis, omnique arbore *etiam* manſueta quæ in medio erat exciſa, oppleta quidem ſunt quæ cava erant & hiantia; ſaxorum vero exſtantia ferro auferendo, ſolum exæquarunt omne à Scopo uſque ad Herodis monumenta, prope piſcinam quæ Serpentium nuncupata erat.

ΚΕΦ. γʹ.

Ὡς πάλιν ἔνδον Ἱεροσολύμων ἡ στάσις ἠγείρετο. ἔπειτα δὲ Ῥωμαίοις ἐνέδρας μηχανῶνται Ἰουδαῖοι. ὅπως τε Τίτος τοῖς στρατιώταις διὰ τὴν προπέτειαν ἠπείλει.

Λωφήσαντος δὲ πρὸς βραχὺ τοῦ [a] θύραθεν πολέμου, [b] πάλιν ἔνδον ἡ στάσις ἐπηγείρετο, καὶ τῆς [c] τῶν ἀζύμων ἐνστάσης ἡμέρας τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνὸς, ἐν ᾗ δοκοῦσιν [d] Ἰουδαῖοι τὸ πρῶτον ἀπαλλαγῆναι καιρὸν Αἰγυπτίων, οἱ μὲν περὶ τὸν Ἐλεάζαρον, παρανοίγοντες τὰς πύλας, ἐδέχοντο ἐκ τοῦ δήμου τοὺς προσκυνεῖν ἐθέλοντας εἴσω. Ἰωάννης δὲ προκάλυμμα τῆς ἐπιβουλῆς ποιησάμενος τὴν ἑορτὴν, τῶν σὺν αὐτῷ κρυπτοῖς ὅπλοις [e] ἐνσκευάσας τοὺς ἀσημοτέρους, ὧν οἱ πλείους ἦσαν [f] ἄναγνοι, διὰ σπουδῆς παρεισπέμπει προκαταληψομένους τὸ ἱερόν. οἱ δὲ, ὡς ἔνδον ἐγένοντο τὰς ἐσθῆτας [g] ἀπορρίψαντες, ἐφάνησαν ἐξαπίνης ὁπλῖται. ταραχὴ δὲ μεγίστη περὶ τὸν ναὸν αὐτίκα καὶ θόρυβος ἦν. τοῦ μὲν [h] ἔξω τῆς στάσεως λαοῦ, κατὰ πάντων ἀκρίτως [i] οἰομένου εἶναι τὴν ἐπίθεσιν, τῶν δὲ ζηλωτῶν ἐπὶ σφίσι μόνοις. ἀλλ' οἱ μὲν ἀφέμενοι τὸ φρουρεῖν [k] ἔτι τὰς πύλας, καὶ τῶν ἐπάλξεων καταπηδήσαντες πρὶν εἰς χεῖρας ἐλθεῖν, εἰς τοὺς ὑπονόμους τοῦ ἱεροῦ κατέφυγον· οἱ δὲ ἀπὸ τοῦ δήμου [l] πρὸς τῷ βωμῷ καταπτήσσοντες, καὶ περὶ τὸν ναὸν συνειλούμενοι κατεπατοῦντο, ξύλοις τε [m] ἀνέδην παιόμενοι καὶ σιδήρῳ. πολλοὺς δὲ τῶν ἡσυχίων κατ' ἔχθραν καὶ μῖσος ἴδιον ὡς ἀντιστασιαστὰς ἀνῄρουν οἱ διάφοροι· καὶ πᾶς ὁ προσκρούσας τινὶ τῶν ἐπιβούλων πάλαι, τηνικαῦτα ἐπιγνωσθεὶς, ὡς ζηλωτὴς πρὸς αἰκίας [n] ἀνήγετο. πολλὰ δὲ δεινὰ τοὺς ἀναιτίους [o] διαθέντες ἐκεχειρίαν τοῖς αἰτίοις ἔδοσαν, καὶ προελθόντας ἐκ τῶν ὑπονόμων διεῖσαν. αὐτοὶ δὲ, καὶ τὸ [p] ἐνδότερον ἱερὸν κατασχόντες καὶ τὰς ἐν αὐτῷ παρασκευὰς πάσας, κατεθάρρουν ἤδη τοῦ Σίμωνος. ἡ μὲν οὖν στάσις, οὕτω τριμερὴς οὖσα πρότερον, εἰς δύο μοίρας περιίσταται.

βʹ. Ὁ δὲ Τίτος, [q] ἔγγιον ἀπὸ τοῦ Σκοποῦ τῇ πόλει [r] στρατοπεδεύσασθαι προαιρούμενος, πρὸς μὲν τοὺς ἐκθέοντας ἔστησεν, ἐπιλέξας ἱππέων τε καὶ πεζῶν ὅσους ἀρκέσειν ὑπελάμβανε· τῇ δὲ ὅλῃ δυνάμει προσέταξεν ἐξομαλίζειν τὸ μέχρι τοῦ τείχους διάστημα. καταβληθέντος δὲ παντὸς ἕρκους καὶ [s] περιφράγματος, ὅσα κήπων προανεστήσαντο καὶ δένδρων οἱ οἰκήτορες, ὕλης τε ἡμέρου τῆς μεταξὺ πάσης ἐκκοπείσης, ἀνεπλήσθη μὲν τὰ κοῖλα καὶ χαραδρώδη τοῦ τόπου· τὰς δὲ πετρώδεις ἐξοχὰς σιδήροις κατεργαζόμενοι, χθαμαλὸν ἐποίουν πάντα τὸν χῶρον ἀπὸ τοῦ Σκοποῦ μέχρι τῶν Ἡρώδου μνημείων, ἃ προσεῖχε τῇ τῶν [t] Ὄφεων [v] ἐπικαλουμένῃ [x] κολυμβήθρᾳ.

γʹ. [y] Καὶ

a Θύραθεν πολέμου.] Ita Big. & Zonar. θύραζε in Editis Aliisque.

b Πάλιν ἔνδον ἡ στάσις ἐπηγείρετο,] Πάλιν δ' ἔνδον ἡ στάσις ἐπηγείρετο Big. πάλιν καὶ ἔνδον ἡ στάσις ἤγειρετο Zonar.

c Τῶν ἀζύμων ἐνστάσης—Ξανθικοῦ μηνὸς.] Conf. ſupr. lib. 2. c. 1. § 3. Spanh. Die 14. Niſan inſtabat dies azymorum, non erat dies primus: alias ſcripſiſſet ἡμέρας τεσσαρεσκαιδεκάτης, & die 14. non erant liberati ab Ægyptiis ſed die 15. præterea non dicit fuiſſe 14. Niſan ſed 14. Ξανθικοῦ Rel.

d Ἰουδαῖοι.] Οἱ Ἰουδαῖοι Busb. & Rhod.

e Ἐνσκευάσας τοὺς ἀσημοτέρους,] Ita Big. & Ruf. συσκευάσας in Editis Aliisque.

f Ἄναγνοι.] ἄναγνοι Æſchyl. Agam. v. 228. Spanh.

g Ἀπορρίψαντες,] Ἀπορρίψαντες Busb.

h Ἔξω τῆς στάσεως] Ἔξωθεν Big.

i Οἰομένου] Οἰόμενοι—τῶν ζηλ. Big.

k Ἔτι τὰς πύλας,] Ἐπὶ τὰς π. Big.

l Πρὸς τῷ βωμῷ] Ἐπὶ τῷ β. Big.

m Ἀνέδην παιόμενοι καὶ σιδήρῳ.] Ἀναιδῶς Big.

n Ἀνήγετο.] Ita Big. & Ruf. ἀνήγετο Lugd. Bat. & Ruf. ἀπήγετο in Editis Aliiſque.

o Διαθέντες] Sic Big. Lipſ. Vat. & Voſſ. διατιθέντες in cæteris. διαθέντες Gen. διαθέντες MS. Lipſ. Spanh.

p Ἐνδότερον ἱερὸν] Eo modo Big. ἐνδοτέρω in reliquis.

q Ἔγγιον] Ἀντίον Big.

r Στρατοπεδεύσασθαι] Παραστρατοπεδεύσασθαι Lipſ. & Vat.

s Περιφράγματος,] Περιφραγμάτων Big. & Ruf.

t Ὄφεων] Vid. Σολομῶντος κολυμβήθρα infr. cap. 4. §. 2. & Στρουθίου κολυμβήθρα c. XI. §. 4. Spanh.

v Ἐπικαλουμένῃ] καλουμένῃ L. B.

x Κολυμβήθρᾳ.] Aliquid præterea in ſuo codice habuiſſe videtur *Ruffinus*, qui vertit, *ſtagnum quod olim Berbara vocabatur.*

* Aprilis, *Ruf.* perperam, ut oſtendit *Petavius* in notis ad *Epiphanium*. p. 187. & poſt eum *Langius* de *Annis Chriſti*, lib. 1. c. 9. p. 113.

† *Al.* feſtinanter.

y Καὶ

γ'. [y] Καὶ κατ' αὐτὰς τὰς ἡμέρας οἱ Ἰουδαῖοι κατὰ τῶν Ῥωμαίων ἐνέδραν συσκευάζονται τοιάνδε. τῶν στασιαστῶν οἱ μὲν [z] τολμηρότεροι προελθόντες ἔξω τῶν Γυναικείων καλουμένων πύργων, ὡς ἐκβεβλημένοι δῆθεν ὑπὸ τῶν εἰρηνικὰ φρονούντων, καὶ δεδοικότες τὴν τῶν Ῥωμαίων ἔφοδον [a] ἀνειλοῦντο, καὶ [b] παρ' ἀλλήλους ὑπέπτησσον. οἱ δὲ [c] διαστάντες ἐπὶ τοῦ τείχους, [d] δῆμος εἶναι δοκῶν, εἰρήνην ἐβόων, καὶ δεξιὰν ᾐτοῦντο, καὶ [e] τοὺς Ῥωμαίους ἐκάλουν, ἀνοίξειν ὑπισχνούμενοι τὰς πύλας. ἅμα δὲ ταῦτα κεκραγότες, καὶ τοὺς σφετέρους ἔβαλλον λίθοις, ὡς ἀπελαύνοντες τῶν πυλῶν. κἀκεῖνοι βιάζεσθαι τὰς εἰσόδους [f] ὑπεκρίνοντο, καὶ τοὺς ἔνδον ἱκέτευον, συνεχῶς τε πρὸς τοὺς Ῥωμαίους [g] ὁρμήσαντες, ἐπιστρεφόμενοι ταραττομένοις [h] προσῄεσαν. παρὰ μὲν οὖν τοῖς στρατιώταις τὸ πανοῦργον αὐτῶν [i] οὐκ ἐλείπετο πίστεως· ἀλλ' ὡς τοὺς μὲν ἐν χερσὶν [k] ἔχοντες ἑτοίμους πρὸς τιμωρίαν, τοὺς δὲ ἀνοίξειν τὴν πόλιν ἐλπίζοντες, ἐχώρουν ἐπὶ τὴν πρᾶξιν. Τίτῳ δὲ δι' ὑποψίας ἦν τὸ τῆς ἐπικλήσεως [l] παράλογον. καὶ γὰρ πρὸ μιᾶς ἡμέρας προκαλούμενος αὐτοὺς ἐπὶ συμβάσεις διὰ τοῦ Ἰωσήπου μέτριον οὐδὲν εὑρήκει, καὶ τότε τοὺς στρατιώτας κατὰ χώραν μένειν ἐκέλευσεν. [m] ἔφθασαν δέ τινες τῶν ἐπὶ τοῖς ἔργοις προτεταγμένων ἁρπάσαντες τὰ ὅπλα πρὸς τὰς πύλας ἐκδραμεῖν. τούτοις οἱ μὲν ἐκβεβλῆσθαι δοκοῦντες τὸ πρῶτον ὑπεχώρουν. ἐπεὶ δὲ μεταξὺ τῶν τῆς [n] πύλης ἐγένοντο πύργων, ἐκθέοντες ἐκυκλοῦντο σφᾶς, καὶ προσέκειντο κατόπιν. οἱ δὲ [o] ἀπὸ τοῦ τείχους πλῆθος χερμάδων καὶ βελῶν παντοίων ἄθρουν κατέχεαν, ὥστε συχνοὺς μὲν ἀνελεῖν, τρῶσαι δὲ πλείστους. ἦν γὰρ οὐ ῥᾴδιον τοῦ τείχους [p] διαφυγεῖν τῶν κατόπιν βιαζομένων, καὶ ἄλλως αἰδὼς τῆς διαμαρτίας [q] τῶν ἡγεμόνων καὶ δέος παρεκελεύετο [r] τῷ πταίσματι προσλιπαρεῖν. διὸ δὴ μέχρι πλείστου διαδορατιζόμενοι, καὶ πολλὰς ὑπὸ τῶν Ἰουδαίων λαμβάνοντες πληγάς, ἀμέλει δὲ οὐκ ἐλάττους ἀντιδιδόντες, τέλος ἀνωθοῦσι τοὺς κυκλωσαμένους. ὑποχωροῦσι δὲ αὐτοῖς οἱ Ἰουδαῖοι [s] καὶ μέχρι τῶν Ἑλένης μνημείων εἵποντο βάλλοντες.

δ'. Ἔπειτα οἱ μὲν, ἀπειροκάλως [t] ἐξυβρίζοντες εἰς τὴν τύχην, ἔσκωπτόν τε τοὺς Ῥωμαίους δελεασθέντας ἀπάτῃ, καὶ τοὺς θυρεοὺς ἀνασείοντες ἐσκίρτων, καὶ μετὰ χαρᾶς ἀνεβόων. τοὺς δὲ στρατιώτας ἀπειλή τε τῶν ταξιάρχων, καὶ χαλεπαίνων Καῖσαρ [v] ἐξεδέχετο. „ Ἰουδαῖοι μὲν, οἷς ἀπόνοια μόνη „ στρατηγεῖ, πάντα μετὰ προνοίας πράττουσι καὶ σκέ- „ ψεως, ἐπιβουλάς τε συντάσσοντες καὶ λόχους, ἕπε- „ ται δὲ αὐτῶν ταῖς ἐνέδραις καὶ τύχη, διὰ τὸ „ πειθήνιον καὶ τὴν πρὸς ἀλλήλους εὔνοιάν [x] τε καὶ πί- „ στιν. Ῥωμαῖοι δὲ, οἷς δι' εὐταξίαν καὶ [y] τὸ πρὸς „ τοὺς ἡγεμόνας εὐπειθὲς ἀεὶ δουλεύει καὶ τύχη, νῦν „ ὑπὸ τῶν ἐναντίων πταίουσι, καὶ διὰ χειρῶν ἀκρα- „ σίαν ἁλίσκονται, τὸ πάντων αἴσχιστον, ἀστρατήγη- „ τοι μαχόμενοι παρόντος Καίσαρος. [z] ἦ μεγάλα „ μὲν στενάξειν, ἔφη, τοὺς τῆς [a] στρατείας νόμους, με-

3. Illis etiam diebus *quibus iſta* fierent, Judæi hujuſmodi inſidias Romanis ſtruunt. Audaciores quidem è ſeditioſis, urbe egreſſi ad turres quæ Muliebres appellantur, quaſi ſcilicet à pacis ſtudioſis ejecti, veritique Romanorum incurſum *ante mœnia* verſabantur, * ſubinde alii alios expaveſcebant. Alii vero in mœnibus diſpoſiti, quaſi ex plebe *homines*, pacem clamabant, & dextram petebant, & Romanos vocabant, portas ſe patefacturos eſſe pollicentes. Simul autem ac iſta vociferaſſent, etiam in ſuos, veluti portis eos abigerent, lapides jaciebant. atque illi ſe vi perrumpere aditus velle ſimulabant, uſque qui intus erant ſupplicare: cumque ad Romanos ſæpe numero ire contendiſſent, reverſi metu exterritis ſimiles videbantur. Et apud milites quidem hæc eorum calliditas fide non carebat: ſed tanquam hos quidem in manibus haberent paratos ad ſupplicium, illos vero civitatem ſibi aperturos ſperarent, ad rem exſequendam iverunt. Titus autem inexſpectatam vocationem ſuſpectam habebat. Namque cum eos pridie per Joſephum ad pactiones provocaſſet, nihil moderati *reſponſi* accipiebat, & tunc milites ſuo loco manere juſſit. Jam vero quidam, qui operariorum in fronte collocati erant, raptis armis ad portas procurrerunt. iſti qui pro ejectis quidem habebantur primò ſe ſubducebant: ut vero intra portæ turres perventum eſſet, *Judæi* excurſu facto illos circumvenerunt, & à tergo urgebant. qui vero in mœnibus erant confertam lapidum & omne genus telorum vim in eos effuderunt, adeo ut multos quidem necarint, plurimos vero vulnerarint. Non enim facile erat à muro ſe fuga liberare, cum illos vi urgerent qui à tergo erant: præterea que pudor quod erraverint, & rectorum metus in delicto perſeverare ſuadebat. Quamobrem poſt longam dimicationem multa à Judæis vulnera accipientes, atqui non pauciora viciſſim dantes, eos à quibus circundati erant tandem repellunt. Illos autem ſe ſubducentes etiam & Helenæ uſque ad monumenta jaculis perſequebantur Judæi.

Romani à Judæis decepti.

Magna Romanorum cædes.

„ Quid igitur vir ejus Abraamus proavus noſter? Num igitur injuriæ auctorem ultus fuerit armis, qui præfectos *ſub ſe* trecentos & octodecim habebat, quorum ſingulis infinita parebat multitudo; aut ipſos pro nihilo duxerit, cum ei præſens non adeſſet Deus, puriſque manibus ad hunc locum protenſis quem vos inquinaſtis, invictum ſibi auxiliatorem ad militiam legerit? Nonne ſecunda quidem veſpera incorrupta remiſſa eſt regina ad maritum; Ægyptius autem, adorans quem vos gentili cæde cruentaſtis locum, & nocturnis viſis expavefactus, aufugit, cum Judæos Deo dilectos auro & argento donaſſet? Sileo an dicam patrum *noſtrorum* migrationem in Ægyptum, qui, annos quadraginta tyrannis ac regibus alienigenis ſubditi, cum armis & manibus ab illis vindicari potuiſſent, ſemetipſos Deo *injuriarum ultori* permiſerunt? Quis neſcit Ægyptum feris variis repletam, diverſiſque morbis ad interitum uſque vexatam, terram nullos fructus edentem, Nilumque aqua defectum, & continuas decem plagas, & ob iſta parentes noſtros cum præſidio deductos, ſine ſanguine, ſine periculo, quos Deus ſibi in æditus ducebat. Nonne arcam quidem noſtram ſacram, Aſſyriorum vi nefaria raptam, gemuit Palæſtina & Dagon ſimulachrum, gemuitque gens univerſa illorum qui eam rapuerant; podicibuſque procidentibus ac per eos viſceribus cum cibo delapſis, *eam* manibus ſacrilegis reportarunt, cymbalorum & tympanorum ſonitu & variis placationibus ſacrum *violatum* expiantes? Deus erat cujus ductu iſta pro patribus noſtris gerebantur, propterea quod, omiſſis armis ac manibus, ejus judicio rem permiſerint. Aſſyriorum rex Senacheribus, cum Aſiam univerſam ſecum duceret & hanc urbem exercitu cinxiſſet, num manibus hominum cecidit? Nonne iſtæ ab armis quieſcentes in ſacrariis *ad Deum ſublatæ* erant, & angelus Dei in una nocte infinitum delevit exercitum, poſteroque die ubi ſurrexit Aſſyrius, CLXXXV. millia reperit mortuorum, & cum reliquis *è ſuis* Hebræos inermes nec perſequentes fugiebat? Quin & ſervitium in Babylone noſtis, ubi annos LXX. populus in exſilio agens, non prius libertatem recuperavit, quam Cyrus hoc ipſum Dei in gratiam concederet. Ab eo utique deducti erant, iterumque auxiliatori ſuo facti erant æditui. Denique nihil memorari poteſt, quod armis patres noſtri proſpere geſ-

„ τί οὖν ὁ ταύτης ἀνὴρ Ἀβραάμος, προπάτωρ δὲ ἡμέτερος; [a] ἆρα τὸν ὑβριστὴν [b] ἠμύνατο τοῖς ὅπλοις, καί τοι ὀκτωκαίδεκα μὲν καὶ τριακοσίους ὑπάρχους ἔχων, δύναμιν δ' [c] ἐφ' ἑκάστῳ τούτων ἄπειρον; ἢ [d] αὐτοὺς μὲν ἐρημίαν ἡγήσατο μὴ συμπαρόντος Θεοῦ, καθαρὰς δ' ἀνατείνας τὰς χεῖρας εἰς ὃν νῦν ἐμιάνατε χῶρον ὑμεῖς, τὸν ἀνίκητον αὐτῷ βοηθὸν ἐστρατολόγησεν; οὐ μετὰ μίαν ἑσπέραν [e] ἄχραντος μὲν ἡ [f] βασίλισσα ἀνεπέμφθη πρὸς τὸν ἄνδρα· προσκυνῶν δὲ τὸν ὑφ' ὑμῶν αἱμαχθέντα χῶρον ὁμοφύλῳ φόνῳ, καὶ τρέμων ἀπὸ τῶν ἐν νυκτὶ φαντασμάτων, ἔφευγεν ὁ Αἰγύπτιος, ἀργύρῳ δὲ καὶ χρυσῷ τοὺς θεοφιλεῖς [g] Ἑβραίους [h] ἐδωρεῖτο; [i] σιγῶ ἢ εἴπω τὴν εἰς Αἴγυπτον μετοικίαν τῶν πατέρων, οἱ τυραννούμενοι καὶ βασιλεῦσιν ἀλλοφύλοις ὑποπεπτωκότες τετρακοσίοις ἔτεσι, [k] παρὸν ὅπλοις ἀμύνασθαι καὶ χερσί, σφᾶς αὐτοὺς ἐπέτρεψαν τῷ Θεῷ; τίς οὐκ οἶδε [l] τὴν ἐκ παντὸς θηρίου καταπλησθεῖσαν Αἴγυπτον, καὶ πάσῃ φθαρεῖσαν νόσῳ, τὴν ἄκαρπον γῆν, [m] τὸν ἐπιλείποντα Νεῖλον, τὰς ἐπαλλήλους δέκα πληγάς, τοὺς διὰ ταῦτα μετὰ φρουρᾶς προπεμπομένους πατέρας ἡμῶν, ἀναιμάκτους, ἀκινδύνους, [n] οὓς ὁ Θεὸς ἑαυτῷ νεωκόρους ἦγεν. ἀλλὰ τὴν [o] ὑπ' [p] Ἀσσυρίων ἁρπαγεῖσαν [q] ἁγίαν ἡμῶν λάρνακα οὐκ ἐστέναξε μὲν ἡ Παλαιστίνη καὶ [r] Δαγὼν τὸ ξόανον, ἐστέναξε δὲ πᾶν τὸ τῶν ἁρπαζομένων ἔθνος. [s] σηπόμενοι δὲ τὰ κρυπτὰ τοῦ σώματος, καὶ δι' αὐτῶν τὰ σπλάγχνα μετὰ τῶν σιτίων καταφέροντες, χερσὶ ταῖς λῃσαμέναις ἀπεκόμισαν, κυμβάλων καὶ τυμπάνων ἤχῳ, καὶ πᾶσι μειλικτηρίοις ἱλασκόμενοι τὸ ἅγιον; Θεὸς ἦν ὁ ταῦτα πατράσιν ἡμετέροις στρατηγῶν, ὅτι, τὰς χεῖρας καὶ τὰ ὅπλα παρέντες, αὐτῷ κρῖναι τὸ ἔργον ἐπέτρεψαν. [t] βασιλεὺς Ἀσσυρίων [v] Σεναχήριβος, ὅ, τε πᾶσαν τὴν Ἀσίαν ἐπισυρόμενος τήνδε περιεστρατοπεδεύσατο τὴν πόλιν, ἆρα χερσὶν ἀνθρωπίναις ἔπεσεν; οὐχ αἱ μὲν ἀπὸ τῶν ὅπλων ἠρεμοῦσαι ἐν προσευχαῖς ἦσαν, ἄγγελος δὲ τοῦ Θεοῦ [x] μιᾷ νυκτὶ τὴν ἄπειρον στρατιὰν ἐλυμήνατο, καὶ μεθ' ἡμέραν ἀναστὰς ὁ Ἀσσύριος, [y] ὀκτωκαίδεκα μυριάδας ἐπὶ [z] πεντακισχιλίοις νεκρῶν εὗρε, μετὰ δὲ τῶν καταλειπομένων [a] ἀνόπλους καὶ μὴ διώκοντας Ἑβραίους ἔφυγεν; ἴστε [b] δὲ καὶ τὴν ἐν Βαβυλῶνι δουλείαν, ἔνθα μετανάστης ὢν ὁ λαὸς [c] ἔτεσιν ἑβδομήκοντα [d] οὐ πρότερον εἰς ἐλευθερίαν ἀνεχαίτισεν, ἢ Κῦρον τοῦτο χαρίσασθαι τῷ Θεῷ. [e] προεπέμφθησαν γοῦν ὑπ' αὐτοῦ, καὶ πάλιν τὸν [f] αὐτῶν σύμμαχον ἐνεωκόρουν. [g] καθόλου δ' οὐκ ἔστιν εἰπεῖν, ὅ, τι κατώρθωσαν οἱ πατέρες ἡμῶν τοῖς ὅπλοις, ἢ δι-

a Ἀρα τὸν ὑβριστὴν] In *Cod. Big.* ἄρα, ut & p. 1241. v. 13. infra post τὴν πόλιν.

b Ἠμύνατο τοῖς ὅπλοις,] Ἠμύνατο *Big.*

c Ἐφ' ἑκάστῳ] Ἐφ' ἑκάστου *Big.* ἐφ' ἑκάστῳ *Vat.*

d Αὐτοὺς μὲν ἐρημίαν] Αὐτὸς μὲν ἐρημῶσαι *Big.* Et forſan eo modo *Ruſinus*, aut αὐτὸς ἐρημίας ἤγετο, cum vertat, *an ipſe quidem quieſcere maluit.* Cl. *Lowthius* hoc modo, *An potius non aliam illorum rationem habuit, quam ſi in ſolitudine fuiſſet, niſi Deus præſens foret.*

e Ἄχραντος] Ἄχραντος μὲν αὐτῷ ἡ *Bar. Voſſ.*

f Βασίλισσα] Nota βασίλισσα de Sara SPANH.

g Ἑβραίους] Vocem Ἑβραίους non agnoſcit *Big.*

h Ἐδωρεῖτο,] ἐδωρήσατο *L. B.* & *Roſſ.*

i Σιγῶ ἢ εἴπω] Illa σιγῶ ἢ abſunt à *Big.* & *Ruf.*

k Παρὸν ὅπλοις ἀμύνασθαι] Παρὸν ἀμύνασθαι καὶ χερσὶ τὸν ὑμέτερον *Big.*

l Τὴν ἐκ παντὸς θηρίου] Τὴν παντὸς *Vat.* & *Roſſ.*

m Τὸν ἐπιλείποντα] Τὸν ἐπιλείποντα *Big.*

n Οὓς ὁ Θεὸς] Ita *Big.* & *Ruf.* οὓς in *Editis Aliiſque.*

o Ὑπ'] Ὑπὸ Σύρων καὶ Ἀζωτίων *Big.* ὑπὸ Σύρων ἁρπαγεῖσαν *Vat.* & *Voſſ.*

p Ἀσσυρίων ἁρπαγεῖσαν] Nota Ἀσσυρίων, qui Palæſtini erant, ſupra ἀρχ. lib. 5. c. XI §. 2. & lib. VI. cap. 1. §. 1. SPANH. Syros & Aſſyrios pro iiſdem habet, uti multi ex veteribus. Virgil. Georg. 2: 465.

Alba nec Aſſyrio fucatur lana veneno. REL.

q Ἁγίαν ἡμῶν λάρνακα] Ἡμῶν ἁγίαν *Busb.*

r Δαγὼν τὸ ξόανον,] Conf. Antt. Jud. lib. VI. c. 1. §. 1. SPANH.

s Σηπόμενοι δὲ—τὰ σπλάγχνα] Conf. Antt. Jud. lib. VI. c. 1. §. 1. SPANH.

t Βασιλεὺς Ἀσσυρίων] Conf. Antt. lib. 10. c. 1. §. 1. SPANH.

v Σεναχήριβος,] In *MSS.* Σενναχηρίμ, Σενναχηρὶμ, & Σεναχηρίμ.

x Μιᾷ νυκτὶ τὴν ἄπειρον στρατιὰν] Conf. Antt. lib. 10. c. 1. §. 5. SPANH.

y Ὀκτωκαίδεκα μυριάδας ἐπὶ πεντ.] Conf. Antt. l. 10. c. 1. §. 5. SPANH.

z Πεντακισχιλίοις] Ita in *MSS.* πεντακισχιλίους in *Editis.*

a Ἀνόπλους] Ἀνόπλους τε *Big.*

b Δὲ καὶ τὴν] Illud δὲ abeſt à *Vat.* & *Big.*

c Ἔτεσιν ἑβδομήκοντα] Ὡς ἑβδομήκοντα ἔτεσιν *Big.*

d Οὐ πρότερον εἰς ἐλευθερίαν ἀνεχαίτισεν,] Conf. ſupr. lib. 2. c. 16. §. 4. SPANH.

e Προεπέμφθησαν] Προεπέμφθησαν *Big.*

f Αὐτῶν σύμμαχον ἐνεωκόρουν.] Ἐν αὐτῷ *Big.*

g Καθόλου δ' οὐκ ἔστιν εἰπεῖν,] Καθόλου δ' εἰπεῖν, οὐκ ἔστιν δ', τι *Big.* & *L. B.*

h Ὁ ἡμέ-

δίχα τούτων δίκαιον ἐπιτρέψαντες τῷ Θεῷ. μένοντες μέν γε κατὰ χώραν ἐνίκων ὡς ἐδόκει τῷ κριτῇ, μαχόμενοι δὲ ἔπταισαν ἀεί. τοῦτο μὲν, ἡνίκα βασιλεὺς Βαβυλωνίων ἐπολιόρκει ταύτην τὴν πόλιν, συμβαλὼν Σεδεκίας [h] ὁ ἡμέτερος βασιλεὺς παρὰ τὰς Ἱερεμίου προφητείας, [i] αὐτός τε ἑάλω καὶ τὸ ἄστυ μετὰ τοῦ ναοῦ κατασκαπτόμενον εἶδε· καίτοι πόσῳ μετριώτερος ὁ μὲν βασιλεὺς ἐκεῖνος τῶν ὑμετέρων ἡγεμόνων ἦν, ὁ δὲ [k] ὑπ' αὐτῷ λαὸς ὑμῶν. βοῶντα γοῦν τὸν Ἱερεμίαν ὡς [l] ἀπεχθάνοιντο μὲν τῷ Θεῷ διὰ τὰς εἰς αὐτὸν πλημμελείας, ἁλώσοιντο δ' εἰ μὴ παραδοῖεν τὴν πόλιν, οὔθ' ὁ βασιλεὺς, οὔθ' ὁ δῆμος ἀνεῖλεν. ἀλλ' ὑμεῖς, ἵνα ἐάσω τἄνδον, οὐ γὰρ ἑρμηνεῦσαι δυναίμην τὰς παρανομίας ὑμῶν ἀξίως· ἐμὲ τὸν παρακαλοῦντα πρὸς σωτηρίαν ὑμᾶς βλασφημεῖτε, καὶ βάλλετε, παροξυνόμενοι πρὸς τὰς ὑπομνήσεις τῶν ἁμαρτημάτων, καὶ μηδὲ τοὺς λόγους φέροντες, ὧν [m] τἄργα δρᾶτε καθ' ἡμέραν. τοῦτο δὲ ἡνίκα, Ἀντιόχου τοῦ [n] κληθέντος Ἐπιφανοῦς προσκαθεζομένου τῇ πόλει, πολλὰ πρὸς τὸ θεῖον [o] ἐξυβρικότος, οἱ πρόγονοι μετὰ τῶν ὅπλων προῆλθον, αὐτοὶ μὲν ἀπεσφάγησαν ἐν τῇ μάχῃ, διηρπάγη δὲ [p] καὶ τὸ ἄστυ τοῖς πολεμίοις, ἠρημώθη [q] δ' ἔτη τρία καὶ μῆνας ἓξ τὸ ἅγιον. καὶ τί δεῖ τἆλλα λέγειν; ἀλλὰ Ῥωμαίους τίς ἐστρατολόγησε κατὰ τοῦ ἔθνους; οὐχ ἡ τῶν ἐπιχωρίων ἀσέβεια; πόθεν δ' ἠρξάμεθα δουλείας; ἆρ' οὐχὶ ἐκ στάσεως τῶν προγόνων, ὅτε ἡ Ἀριστοβούλου καὶ Ὑρκανοῦ μανία, καὶ [r] ἡ πρὸς ἀλλήλους ἔρις Πομπήϊον ἐπήγαγε τῇ πόλει, καὶ Ῥωμαίοις [s] ὑπέταξεν ὁ Θεὸς τοὺς οὐκ ἀξίους ἐλευθερίας. τρισὶ [t] γοῦν μησὶ πολιορκηθέντες ἑαυτοὺς παρέδοσαν, [v] οὔτε ἁμαρτόντες εἰς τὰ ἅγια καὶ τοὺς νόμους ἡλίκα ὑμεῖς, καὶ πολὺ μείζοσιν ἀφορμαῖς πρὸς τὸν πόλεμον χρώμενοι. τὸ δὲ Ἀντιγόνου τέλος τοῦ Ἀριστοβούλου παιδὸς οὐκ ἴσμεν, οὗ βασιλεύοντος, ὁ Θεὸς ἁλώσει πάλιν τὸν λαὸν ἤλαυνε πλημμελοῦντα; καὶ Ἡρώδης μὲν ὁ Ἀντιπάτρου Σόσσιον, Σόσσιος δὲ Ῥωμαίων στρατιὰν ἤγαγε· περισχεθέντες δ' ἐπὶ μῆνας ἓξ ἐπολιορκοῦντο, μέχρι δίκας τῶν ἁμαρτιῶν δόντες ἑάλωσαν, καὶ διηρπάγη τοῖς πολεμίοις ἡ πόλις. οὕτως οὐδέποτε τῷ ἔθνει τὰ ὅπλα δέδοται. τῷ δὲ πολεμεῖσθαι καὶ τὸ ἁλώσεσθαι πάντως πρόσεστι. δεῖ γὰρ οἶμαι τοὺς [x] χωρίον ἅγιον νεμομένους ἐπιτρέπειν πάντα τῷ Θεῷ δικάζειν, καὶ καταφρονεῖν τότε χειρὸς ἀνθρωπίνης, [y] ὅτι αὐτοὶ πείθωσι τὸν ἄνω δικαστήν. ὑμῖν δὲ τί τῶν εὐλογηθέντων ὑπὸ τοῦ νομοθέτου πέπρακται; τί δὲ τῶν ὑπ' ἐκείνου κατηραμένων [z] παραλέλειπται; πόσῳ δέ ἐστε τῶν τάχιον ἁλόντων ἀσεβέστεροι; οὐ τὰ κρυπτὰ μὲν τῶν ἁμαρτημάτων ἠδοξήκατε, κλοπὰς λέγω καὶ ἐνέδρας καὶ μοιχείας· ἁρπαγαῖς δ' ἐρίζετε καὶ φόνοις, καὶ ξένας καινοτομεῖτε κακίας ὁδούς. ἐκδοχεῖον δὲ πάντων [a] τὸ ἱερὸν γέγονε, καὶ χερσὶν [b] ἐμφυλίοις ὁ θεῖος μεμίανται χῶρος, ὃν καὶ Ῥωμαῖοι πόρρωθεν προσεκύνουν, πολλὰ τῶν ἰδίων ἐθῶν [c] παραλύοντες εἰς τὸν ἡμέτερον νόμον. εἶτα ἐπὶ τούτοις τὸν ἀσεβηθέντα σύμμαχον προσδοκᾶτε; πάνυ γοῦν

ſerint, aut non ſine armis Deo permiſſa poteſtate impetraverint. Domi quippe manentes, victoria ab illis ſtabat, prout judici videbatur: pugnatumque euntes ſemper de ſpe deciderunt. Partim quidem, cum, rege Babyloniorum hanc urbem obſidente, Sedechias rex noſter, contra Hieremiæ vaticinationem cum eo congreſſus, & ipſe captus eſt, & civitatem templumque vidit exſcindi: quanquam ille rex quanto veſtris ducibus, ejuſque populus vobis erat *æquior & moderatior*. Siquidem Hieremiam, vociferantem, Deo quidem inviſos eſſe propter delicta in eum commiſſa, captum autem iri niſi traderent civitatem, neque rex neque populus interfecit. Sed vos (ut intus geſta prætermittam, non enim digne poſſum iniquitates veſtras exponere, mihi, qui vobis ſalutem ſuadeam, maledicitis, teliſque me petitis, irritati quod vos veſtrorum peccatorum commonefaciam, nec ea dici ferre poteſtis quæ re ipſa quotidie facitis. Partim vero cum (Antiocho, cognomine Epiphane, qui multis contumeliis numen affecerat, obſidione *gravi* urbem urgente) majores noſtri armati progreſſi, ipſi quidem in pugna *fœde* perempti ſunt; inſuper vero & urbs ab hoſtibus direpta eſt, & ſacrarium per triennium & ſex menſes deſolatum. Et quorſum cætera memorem? Quis vero Romanos contra *Judæorum* gentem ad militiam excitavit? nonne indigenarum impietas? Unde ſervire cœpimus? nonne à ſeditione majorum, quando Ariſtobuli & Hyrcani furor atque inter ſe contentio Pompejum in urbem induxit, & libertate indignos Romanis ſubjecit Deus. Hinc tres menſes obſeſſi ſeſe tradiderunt, cum nihil tale quale vos in ſanctum legeſque deliquerant, & majoribus ad bellum ſubſidiis utebantur. Antigoni autem filii Ariſtobuli exitum neſcimus: quo regnum obtinente Deus iterum captivitate perſequebatur populum delinquentem? Et Herodes quidem Antipatri filius Soſium & Soſius Romanum adduxit exercitum: & circundati per ſex menſes obſidebantur, tandemque pro peccatis dato ſupplicio capti ſunt & ab hoſtibus direpta eſt civitas. Ita nunquam genti conceſſum eſt, ut armis rem *feliciter* gererent. Verum oppugnatio ſine dubio poſt ſe trahit excidium. Oportet ergo, ut opinor, ſacri loci poſſeſſores Deo permittere de omnibus judicium, manuſque tunc humanas contemnere, quando ipſi ſuperno judici *à ſe ſtare* perſuaſerint. Vos autem quid ex iis quæ legis conditor comprobavit feciſtis, quidve illorum quæ reprobavit prætermiſiſtis? Quantum autem illos qui cito excidium paſſi ſunt impietate ſuperaſtis? non occulta quidem dedignati eſtis peccata, furta ſcilicet inſidiaſque & adulteria; ſed rapinarum & cædium certamen inſtituitis, novaſque maleficiorum vias excogitatis. Sanctum vero templum factum eſt omnium receptaculum, & indigenarum manibus inquinatus eſt locus ſacer, quem Romani è longinquo adorabant, multa per legem noſtram de ſuis moribus derogantes. Atque poſt hæc eum, in quem impii fuiſtis, auxiliatorem exſpectatis? Eſto ſane, vos

h Ὁ ἡμέτερος βασιλεὺς—Ἱερεμίου προφητείας,] Omnia hæc abſunt a *Raſ.*

i Αὐτός τε ἑάλω,] Αὐτὸς δ' ἑάλω *Big.*

k Ὑπ' αὐτῷ] ὑπ' αὐτὸν *L. B.*

l Ἀπεχθάνοιντο μὲν] Ἀπήχθοντο *Big. Raſ. Voſſ. & Vat.*

m Τἄργα δρᾶτε καθ' ἡμέραν.] Τὰ ἔργα *Big.*

n Κληθέντος] Ἐπικληθέντος *Big.*

o Ἐξυβρικότος,] Ἐξυβρικότες *Big.*

p Καὶ τὸ ἄστυ] Illud καὶ abeſt à *Big. Vat. & Voſſ.*

q Δ' ἔτη τρία καὶ μῆνας ἓξ] Δὲ καὶ &c. *Big.*

r Ἡ πρὸς ἀλλήλους] Illud ἡ è *Cod. Big.*

s Ὑπέταξεν ὁ Θεὸς] Ὑπέταξεν τὴν πόλιν ὁ Θεὸς τοὺς ἀναξίους ἐλευθερίας *Big.*

t Γοῦν μησὶ πολιορκηθέντες] Γὰρ pro γοῦν in *Cod. Big.* & mox γοῦν pro γὰρ in v. 15. infr. poſt δεῖ.

v Οὔτε ἁμαρτόντες εἰς] Οὔτε ἁμαρτάνοντες *Big.*

x Χωρίον ἅγιον] Χῶρον ἱερὸν *Big.*

y Ὅτι αὐτοὶ πείθωσι] Ὅτ' ἂν *Big.*

z Παραλέλειπται;] Ὑπολέλειπται *Big.*

a Τὸ ἱερὸν γέγονε,] Τὸ ἅγιον ἱερὸν *Big.*

b Ἐμφυλίοις] Ὁμοφύλοις *Big.*

c Παραλύοντες εἰς τὸν ἡμέτερον νόμον.] Εἰς τὸν ἡμέτερον νόμον παραλύοντες *Big.* παραλύοντες καὶ νόμον *L. B.* & *Raſ.*

ὁ Ἡρώδ

vos dignos eſſe ſupplices, puriſque manibus adjutorem veſtrum obſecrare, qualibus rex noſter *Deo* ſupplicavit adverſus Aſſyrium, cum magnum illum exercitum Deus una nocte proſtravit. Similia vero Aſſyriis Romani perpetrant, ut etiam vos ſimilem ultionem ſperetis? Nonne ille quidem ab rege noſtro accepta pecunia ut vaſtitati parceret civitatis, neglecto jurejurando ad incendium templi deſcendit? Romani vero ſolenne poſcunt tributum, quod parentes noſtri eorum parentibus pendebant. Et ſi hoc impetraverint, non illis in animo eſt vaſtare civitatem, neque ſancta omnino tangere. Concedunt autem vobis præter cætera familias liberas, & poſſeſſiones quoſque ſuas tenere, ſacraſque leges ſalvas manere patiuntur. Inſania eſt profecto ſperare Deum talem circa juſtos fore, qualis injuſtis apparuit: præſertim qui ſtatim ulciſci noverit cum oportet. Quo factum ut ab Aſſyriis prima nocte, qua caſtra civitati admoverant, pœnas repetiverit. adeo ut ſi & noſtram progeniem libertate aut Romanos pœna dignos judicaret, confeſtim in eos ſicut in Aſſyrios invaſiſſet, cum genti manus intulit Pompejus, cum poſt illum Soſius aſcendit, cum Veſpaſianus Galilæam vaſtavit: denique nunc cum Titus civitati appropinquavit. Sed neque Magnus quidem neque Soſius quicquam paſſi ſunt, & civitatem victoria ceperunt, Veſpaſianus autem ex bello quod nobiſcum geſſit etiam imperium adeptus eſt. Quin & Tito quidem fontes nunc uberiores profluunt, qui prius vobis aruerant. quippe ante ejus adventum ſcitis & Siloam & omnes extra civitatem fontes adeo defeciſſe, ut per amphoras aqua emeretur. nunc autem ita hoſtibus noſtris creſcunt, ut non modo ipſis & jumentis ipſorum, ſed & hortis *irrigandis* ſufficiant. Cæterum hujus prodigii & ante periculum factum eſt in excidio civitatis, quando prædictus Babylonius expeditione ſuſcepta & urbem in poteſtatem ſuam redegit & templum incendit; quamvis ut opinor nihil tunc illi tam impie fecerint, quantum vos *hodie commiſiſtis*. adeo ut Deum quidem loca ſancta reliquiſſe putaverim, hiſque nunc adeſſe quibuſcum bellum geritis. At bonus quidem vir domum flagitioſam fugiet & domeſticos oderit: Deum vero jam veſtri eſſe cumque vobis ſceleratis manere arbitramini, qui omnia etiam *tenebrarum* occulta cernit, quæque ſilentio teguntur audit? Quid autem apud vos tacetur, quidve celatur, quidve non & inimicis patefactum eſt? ex ſceleribus enim veſtris triumphos agitis, inque dies ſingulos quis pejor ſit contenditis, nequitiam pro virtute ad ſpectandum proponentes. Veruntamen adhuc reliqua eſt ad ſalutem via, ſi velitis; & Deus facile cum illis in gratiam redibit qui *peccata* confitentur & reſipiſcunt. O ferrei, arma projicite, pudeat vos patriæ jam dirutæ. convertite oculos, & aſpicite ejus quam proditis pulchritudinem, quale oppidum, quale templum, quam multarum gentium munera. Quis primus illis admovet flammas? Quis iſta

ἐςὲ δίκαιοι ἱκέται, καὶ χερσὶν καθαραῖς τὸν βοηθὸν ὑμῶν παρακαλεῖτε. τοιαύταις ὁ βασιλεὺς [d] ἡμῶν ἱκέτευσεν ἐπὶ τὸν Ἀσσύριον, ὅτε τὸν μέγαν ἐκεῖνον στρατὸν μιᾷ νυκτὶ κατέστρωσεν ὁ Θεός. ὅμοια δὲ τοῖς Ἀσσυρίοις Ῥωμαῖοι δρῶσιν, ἵνα καὶ ἄμυναν ὑμεῖς ὁμοίαν ἐλπίσητε; οὐχ ὁ μὲν, χρήματα παρὰ τοῦ βασιλέως ὑμῶν λαβὼν ἐφ᾽ ᾧ μὴ πορθήσῃ τὴν πόλιν, κατέβη παρὰ τοὺς ὅρκους ἐμπρῆσαι τὸν ναόν; Ῥωμαῖοι δὲ τὸν συνήθη δασμὸν αἰτοῦσιν, ὃν οἱ πατέρες ἡμῶν τοῖς ἐκείνων πατράσι παρέσχον. καὶ τούτου τυχόντες, οὔτε πορθοῦσι τὴν πόλιν, οὔτε ψαύουσι τῶν ἁγίων. διδόασι δ᾽ [e] ὑμῖν τἄλλα γενεάς τε ἐλευθέρας, καὶ κτήσεις τὰς ἑαυτῶν νέμεσθαι, καὶ τοὺς ἱεροὺς νόμους σώζουσι. μανία δὴ τὸν Θεὸν προσδοκᾷν ἐπὶ δικαίοις, οἷος ἐπ᾽ ἀδίκοις ἐφάνη· καὶ παραχρῆμα δ᾽ ἀμύνειν οἶδεν ὅταν δέῃ. τοὺς γοῦν Ἀσσυρίους κατὰ νύκτα τὴν πρώτην [f] παραστρατοπεδευσαμένους [g] ἔκλασεν. ὥστε εἰ καὶ τὴν ἡμετέραν γενεὰν ἐλευθερίας, ἢ Ῥωμαίους κολάσεως ἀξίους ἔκρινε, κἂν παραχρῆμα καθάπερ τοῖς Ἀσσυρίοις ἐνέσκηψεν, ὅτε τοῦ ἔθνους ἥπτετο Πομπήϊος, ὅτε μετ᾽ αὐτὸν ἀνῄει [h] Σόσιος, ὅτε Οὐεσπασιανὸς ἐπόρθει τὴν Γαλιλαίαν τὰ τελευταῖα νῦν, ὅτε ἤγγιζε Τίτος τῇ πόλει. καί τοι Μάγνος μὲν, καὶ Σόσιος [i] πρὸς τὸ μηδὲν παθεῖν, καὶ ἀνὰ κράτος ἔλαβον τὴν πόλιν, Οὐεσπασιανὸς δ᾽ ἐκ τοῦ πρὸς ἡμᾶς πολέμου καὶ βασιλείας ἦρξατο. Τίτῳ μὲν γὰρ καὶ πηγαὶ πλουσιώτεραι ῥέουσιν, αἱ ξηρανθεῖσαι πρότερον ὑμῖν. πρὸ γοῦν τῆς αὐτοῦ παρουσίας, τήν τε Σιλωὰμ [k] ἐπιλιποῦσαν ἴστε, καὶ τὰς [l] ἔξω τοῦ ἄστεος ἁπάσας, ὥστε πρὸς [m] ἀμφορεῖς ὠνεῖσθαι τὸ ὕδωρ. τὸ δὲ νῦν οὕτω [n] πληθύουσι τοῖς πολεμίοις ὑμῶν, ὡς μὴ μόνον αὐτοῖς καὶ κτήνεσιν, ἀλλὰ καὶ κήποις [o] διαρκεῖν. τόγε μὴν τέρας τοῦτο [p] πεπείρασθε καὶ πρότερον ἐφ᾽ ἁλώσει τῆς πόλεως γεγενημένον, ὅτε ὁ προειρημένος Βαβυλώνιος ἐπεστράτευσεν, ὃς τήν τε πόλιν ἑλὼν ἐνέπρησε καὶ τὸν ναὸν, οὐδὲν οἶμαι τῶν τότε ἠσεβηκότων τηλικοῦτον ἡλίκα ὑμεῖς. ὥς τε ἔγωγε [q] πεφευγέναι μὲν ἐκ τῶν ἁγίων οἶμαι [r] τὸν Θεὸν, ἑστάναι δὲ παρ᾽ οἷς πολεμεῖτε νῦν. ἀλλ᾽ ἀνὴρ μὲν [s] ἀγαθὸς οἰκίας ἀσελγῆ φεύξεται, καὶ τοὺς ἐν αὐτῇ στυγήσει. τὸν δὲ Θεὸν ἔτι πείθεσθε τοῖς ὑμετέροις κακοῖς παραμένειν, ὃς τά τε κρυπτὰ πάντα ἐφορᾷ, καὶ τῶν σιγωμένων ἀκούει; τί δὲ σιγᾶται παρ᾽ ὑμῖν, ἢ τί κρύπτεται, τί δ᾽ οὐχὶ καὶ τοῖς ἐχθροῖς φανερὸν γέγονε; πομπεύετε γὰρ παρανομοῦντες, καὶ καθ᾽ ἡμέραν ἐρίζετε, τίς [t] χείρων γένηται, τῆς ἀδικίας ὥσπερ ἀρετῆς ἐπίδειξιν ποιούμενοι. [v] καταλείπεται δὲ ὅμως ἔτι σωτηρίας ὁδὸς ἐὰν θέλητε, καὶ τὸ θεῖον εὐδιάλλακτον ἐξομολογουμένοις καὶ μετανοοῦσιν. ὦ σιδήρειοι, ῥίψατε τὰς πανοπλίας, λάβετε ἤδη καταρειπομένης [x] αἰδῶ πατρίδος, ἐπιστράφητε, [y] καὶ θεάσασθε τὸ κάλλος ἧς προδίδοτε. οἷον ἄστυ, [z] οἷον ἱερὸν, ὅσων ἐθνῶν δῶρα. ἐπὶ ταῦτα τίς ὁδηγεῖ φλόγας; ταῦτα τίς μηκέτι

d Ἡμῶν ἱκέτευσεν] Ὑμῶν Big. & Voſſ. & mox infr. poſt βασιλέως ὑμῶν.

e Ὑμῖν] ὑμῶν L. B.

f Παραστρατοπεδευσαμένους] Καταστρατοπεδευσαμένους Big.

g Ἔκλασεν.] Ita Big. & Raf. ἐνέκλασεν in Editis Aliiſque.

h Σόσιος,] Al. Σόσσιος. Vide Antt. lib. 14. c. 15. §. 9.

i Πρὸς τὸ] Πρὸς τῷ μ. Big.

k Ἐπιλιποῦσαν ἴστε,] Ἐπιλείπουσαν Big.

l Ἔξω τοῦ ἄστεος ἁπάσας,] Ita Big. & Raf. πρὸ in cæteris.

m Ἀμφορεῖς ὠνεῖσθαι τὸ ὕδωρ.] Ἀμφόρεως Big. nec aliter Raf. qui vertit, *& ad utrumque aqua mercaretur.*

n Πληθύουσι] πληθύνουσι L. B.

o Διαρκεῖν.] Inde liquet Fontem Siloam extra urbem fuiſſe. Rel.

p Πεπείρασθε] Πεπείρασθαι in Edit. Gen.

q Πεφευγέναι μὲν ἐκ τῶν ἁγίων οἶμαι] Gentilium etiam opinio: Deos capta urbe excedere. Vid. Æſchyl. S. Theb. v. 223. Θεοὺς τοὺς τῆς ἁλούσης πόλεως ἐκλείπειν λόγος. Spanh. Videtur Templum, ut domum Dei, conſiderare. Rel.

r Τὸν Θεὸν, — πολεμεῖτε νῦν.] Ita Big. & Raf. τὸ θεῖον in Editis Aliiſque.

s Ἀγαθὸς οἰκίας] Ἀγαθὸς καὶ οἰκίαν Big.

t Χείρων γένηται,] Χείρω Big. & Vat.

v Καταλείπεται δὲ — σωτηρίας ὁδὸς] Καταλείπεται ὅτι ὁμοίως σωτηρίας ἐλπὶς Big.

x Αἰδῶ πατρίδος,] Αἰδῶ τῆς πατρίδος Big.

y Καὶ θεάσασθε] Καὶ ἴδετε Big.

z Οἷον ἱερὸν,] Καὶ οἷον Big.

„ κέτι εἶναι θέλει; καὶ τί σώζεσθαι τούτων ἀξιώτερον; [a] ἄτεγκτοι καὶ λίθων ἀπαθέστεροι. καὶ εἰ μὴ ταῦτα γνησίοις ὄμμασι βλέπετε, γενεὰς γοῦν ὑμετέρας οἰκτείρατε, καὶ πρὸ ὀφθαλμῶν [b] ἑκάστῳ γενέσθω τέκνα, καὶ γυνή, καὶ γονεῖς, οὓς ἀναλώσει κατὰ μικρὸν ἢ λιμὸς, ἢ πόλεμος. οἶδα ὅτι μοι συγκινδυνεύει μήτηρ, καὶ γυνή, καὶ γένος οὐκ ἄσημον, καὶ πάλαι λαμπρὸς οἶκος, καὶ τάχα δοκῶ διὰ ταῦτα συμβουλεύειν. ἀποκτείνατε αὐτοὺς, λάβετε μισθὸν τῆς ἑαυτῶν σωτηρίας τοὐμὸν αἷμα· κἀγὼ θνήσκειν ἕτοιμος, εἰ μετ' ἐμὲ σωφρονεῖν μέλλετε.

„ jam non eſſe deſiderat? Et quid hiſce magis ſervari mereatur? O duri & lapidibus ſtupidiores. Et ſi hæc non veris luminibus cernitis, ſaltem familiarum veſtrarum miſeremini, & in conſpectu cujuſque ſiſtantur filii & conjuges & parentes, quos brevi aut bellum aut fames abſumet. probe novi quod unà cum cæteris periclitabitur mihi mater, & conjux, & familia non ignobilis, domuſque olim inclyta. Et fortaſſe idcirco exiſtimer hujuſmodi conſilium dare. Interficite illos, accipite mercedem ſalutis veſtræ ſanguinem meum. Et ipſe mori paratus ſum, ſi me mortuo prudentiores eſtis futuri.

Κ Ε Φ. ι.

Ὡς πολλοὶ τοῦ δήμου αὐτομολεῖν ὥρμησαν· οἷά τε λιμῷ καὶ τοῖς ἐξ αὐτοῦ χαλεποῖς οἱ μένοντες ἀπαίσια ἔπαθον.

Τοιαῦτα δὲ Ἰωσήπου μετὰ δακρύων ἐμβοῶντος, οἱ στασιασταὶ μὲν οὔτε [c] ἐνέδοσαν, οὔτε ἀσφαλῆ τὴν μεταβολὴν [d] ἔκρινον· ὁ δὲ δῆμος ἐκινήθη πρὸς αὐτομολίαν. καὶ οἱ μὲν τὰς κτήσεις [e] ἐλαχίστου πωλοῦντες, οἱ δὲ τὰ πολυτελέστερα τῶν κειμηλίων, τοὺς μὲν χρυσοῦς, ὡς μὴ φωραθεῖεν ὑπὸ τῶν λῃστῶν, κατέπινον, ἔπειτα πρὸς τοὺς Ῥωμαίους διαδιδράσκοντες, [f] ὁπότε κατενέγκαιεν, εὐπόρουν πρὸς ἃ δέοιντο. διηφίει γὰρ τοὺς πολλοὺς ὁ Τίτος εἰς τὴν χώραν, ὅποι [g] βούλοιτο ἕκαστος· καὶ τοῦτο αὐτοὺς μᾶλλον [h] πρὸς αὐτομολίαν παρεκάλει, τῶν μὲν εἴσω κακῶν στερησομένους, μὴ [i] δουλεύσοντας δὲ Ῥωμαίοις. οἱ δὲ περὶ τὸν Ἰωάννην καὶ τὸν Σίμωνα παρεφύλαττον τὰς τούτων ἐξόδους πλέον ἢ τὰς Ῥωμαίων εἰσόδους, [k] καὶ σκιὰν τις ὑπονοίας παρασχὼν μόνον εὐθέως ἀπεσφάττετο.

β. [l] Τοῖς γε μὴν εὐπόροις καὶ τὸ μένειν [m] πρὸς ἀπώλειαν ἴσον ἦν. προφάσει γὰρ αὐτομολίας [n] ἀνῃρεῖτό τις διὰ τὴν οὐσίαν. τῷ λιμῷ δὲ [o] ἡ ἀπόνοια τῶν στασιαστῶν συνήκμαζε, καὶ [p] καθ' ἡμέραν ἀμφότερα προσεξεκαίετο τὰ δεινά. φανερὸς [q] μὲν γὰρ οὐδαμοῦ σῖτος ἦν, ἐπεισπηδῶντες δὲ, διηρεύνων τὰς οἰκίας· ἔπειθ' εὑρόντες μὲν, ὡς ἀρνησαμένους [r] ᾐκίζοντο, μὴ εὑρόντες δὲ, ὡς ἐπιμελέστερον κρύψαντας, ἐβασάνιζον. τεκμήριον δὲ τοῦ τι ἔχειν καὶ μὴ, τὰ σώματα τῶν ἀθλίων. ὧν οἱ μὲν ἔτι συνεστῶτες εὐπορεῖν τροφῆς ἐδόκουν. οἱ τηκόμενοι δὲ ἤδη, παρωδεύοντο. καὶ κτείνειν ἄλογον ἐδόκει [s] τοὺς ὑπ' ἐνδείας τεθνηξομένους αὐτίκα. πολλοὶ δὲ λάθρα τὰς κτήσεις ἑνὸς [t] ἀντηλλάξαντο μέτρου, πυρῶν μὲν [v] εἰ πλουσιώτεροι τυγχάνοιεν ὄντες, οἱ δὲ πενέστεροι κριθῆς. ἔπειτα κατακλείοντες ἑαυτοὺς εἰς τὰ [x] μυχαίτατα τῶν οἰκιῶν, τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας ἀνέρ-

C A P. X.

Quomodo multi è plebe ad transfugiendum incitati erant: quæque paſſi ſunt qui manebant ex fame & malis inde graviſſimis.

Talia cum lachrymis vociferante Joſepho, ſeditioſi quidem neque animos flexerunt, neque tutam *ſibi* mutationem fore judicarunt; populus vero ad transfugium commotus eſt. Et alii quidem poſſeſſiones ſuas minimo vendentes, alii vero res ſuas pretioſiores, aureos, ne latrones eos deprehenderent, deglutiebant. cum vero ad Romanos elapſi fuiſſent, exonerato ventre ſatis habebant ad ea quibus opus erat. Titus enim pleroſque per regionem, quò quiſque vellet, dimittebat: idque magis eos ad transfugium incitabat, quòd & inteſtinis malis carebant, nec Romanis ſervituri eſſent. Qui vero cum Joanne & Simone erant, horum exitus magis quam Romanorum ingreſſus cavebant: & qui vel umbram tantùm ſuſpicionis dediſſet, ſtatim jugulabatur.

In eo erat populus ut ad Romanos transfugerent.

Crudelitas tyrannorum in transfugas ſuſpectos.

2. Cæterum ditioribus quidem manere perinde exitioſum erat: nam propter divitias necabantur, quaſi transfugere ad hoſtes voluiſſent. Simul autem cum fame creſcebat furor ſeditioſorum: & utrumque malum magis ac magis quotidie ingraveſcebat. Et palam quidem nullum ullibi frumentum erat, ſed irruentes ſcrutabantur domos: dein ſi quidem *aliquid* repeririſſent, eos *qui in ædibus erant*, tanquam ſe habere negaſſent, crudeliter verberabant; ſi vero nihil inveniſſent, quaſi diligentius occultaſſent, tormentis excruciabant. Porro an cibos haberent necne, indicio erant corpora miſerorum. quorum qui adhuc firma erant valetudine eos alimentorum copia abundare cenſebant: qui vero jam contabeſcerent, eos miſſos faciebant. quippe à ratione alienum videbatur, homines jam jamque præ inedia morituros interficere. Multi vero clam facultates ſuas uno frumenti quidem, ſi divites eſſent, ſin pauperes, hordei modio permutabant. Deinde in intimos ædium receſſus ſeſe abdentes nonnulli quidem famis ultima

Fames in urbe.

a Ἄτεγκτοι καὶ λίθων ἀπαθέστεροι.] Ἄτεγκτοί γε Big.
b Ἑκάστῳ] Ἑκάστῳ ἔστω Big. Roſt. & Voſſ.
c Ἐνέδοσαν,] ἐνέδοσαν. Thucydid. p. 461. C. ὑπενδιδόντας Schol. Spanh.
d Ἔκρινον] Ἔκρινον Big.
e Ἐλαχίστου] δι' ἐλαχίστου L. B.
f Ὁπότε κατενέγκαιεν,] Sic γαστρὸς ἀνάγκαις dixit Æſchyl. Agam. v. 735. Spanh.
g Βούλοιτο ἕκαστος] Βούλοιτο Big.
h Πρὸς αὐτομολίαν παρεκάλει,] Πρὸς τὸ αὐτομολεῖν Big. & Roſt. πρὸς αὐτομολεῖν Vat. & Gall.
i Δουλεύσοντας] Δουλεύοντας Big. & Ruf.
k Καὶ σκιὰν τις ὑπονοίας] Καὶ ὁ σκιὰν Big. quod ſi verum, mallem τῆς ὑπονοίας.
l Τοῖς γε μὴν εὐπόροις καὶ τὸ μένειν] Adducuntur hæc ab Euſebio, & tanquam è libro V. Hiſtor. lib. III. H. Eccl. cap. VI.
m Πρὸς ἀπώλειαν ἴσον ἦν.] Πρὸς ἀπωλείας Euſeb. & Niceph. in Eccl. Hiſt. l. 3. c. 6.
n Ἀνῃρεῖτό τις διὰ τὴν οὐσίαν.] Ἀνῄρετο Big.
o Ἡ ἀπόνοια] Ita Big. & Euſeb. ἡ deerat reliquis. ἡ ἀπόνοια Euſeb.
p Καθ' ἡμέραν] καθημέραν Euſeb.
q Μὲν γὰρ οὐδαμοῦ] Μὲν γε Big. & Euſeb. μὲν γε Spanh.
r Ἠικίζοντο,] Ἠικίζον Niceph. & Zonar.
s Τοὺς ὑπ' ἐνδείας τεθνηξομένους] Ita cum Euſebii & Nicephori libris, (imo & Lugd. Bat.) τοῖς ὑπ' ἐνδείας τεθνηξομένοις perperam in Joſephi libris.
t Ἀντηλλάξαντο μέτρου,] Ἀντικατηλλάξαντο Euſeb. & Big.
v Εἰ πλουσιώτεροι] Ita lego cum Euſeb. & Cod. Big. (ſuffragante itidem Lugd. Bat.) antea erat οἱ, prout in Nicephoro. nec aliter legiſſe videtur Ruf.
x Μυχαίτατα] Conf. lib. VII. Antiq. Jud. c. 9. §. 8. Spanh.

ultima neceſſitate adacti fruges nondum molitas comedebant: alii vero panem conficiebant, prout neceſſitas metuſque ſuadebat. Et menſa quidem nullibi apponebatur, ſed crudos adhuc cibos ex igne ad ſeſe attrahebant & diripiebant.

Famis atrocitas. 3. Miſerabilis porro erat alimonia, & dignum lachrymis ſpectaculum: cum valentiores quidem plus *juſto* haberent, infirmiores vero vicem ſuam dolerent. Omnes quidem animi affectus longe ſuperat fames, nullum vero æque evertit ac verecundiam. nam quicquid alias dignum eſt reverentia, in fame contemnitur. Siquidem uxores viris, & filii parentibus, &, quod *omnium* maxime miſerabile erat, matres infantibus cibum ex ipſo ore rapiebant: & marceſcentibus inter manus *liberis* cariſſimis vitales *lactis* guttas adimere non pigebat. Hujuſmodi autem cibos dum caperent, latere tamen non poterant. ubique ſcilicet ſeditioſi prædæ iſtorum ac rapinis imminebant. nam ubicunque clauſam domum conſpicerent, eos qui intus eſſent cibum ſumere hoc indicio ſuſpicabantur: ſtatimque effractis foribus irruebant, & prope ex ipſis faucibus expreſſa ciborum fruſta revocabant. *Præter famem alia acerba patiuntur obſeſſi.* Vapulabant ſenes qui eſcam mordicus tenebant: & capillis rotabantur mulieres, occultantes ea quæ in manibus erant. Nulla canorum, nulla infantiæ miſeratio erat: ſed raptos in ſublime parvulos, cum ipſis quibus penduli inhærebant buccellis, ſolo allidebant. Si qui vero incurſum eorum prævenìſſent, idque quod ipſi rapturi erant deglutire occupaſſent, eos inhumanius tractabant quaſi injuriam ab iis accepiſſent. Porro dira tormentorum genera excogitabant ad perveſtigandum alimentum, miſeris pudendorum quidem meatus nervis obturantes, podicem vero præacutis ſudibus transfigentes. Utque panem unum ſe habere quis fateretur, aut pugillum farinæ occultum indicaret, ea perferebant quæ vel ipſo auditu horrorem incutiebant. Interim tortores ipſi penuria minime laborabant: minus enim crudele viſum fuiſſet, ſi neceſſitate adacti talia perpetraſſent. Sed id agebant, ut audaciam ſuam hujuſmodi exercitatione confirmarent, & commeatum ſibi in multos dies compararent. At ſi qui noctu uſque ad ſtationes Romanorum erepſerant, agreſtium olerum & herbarum colligendarum cauſa; occurrentes iis, qui ſe jam hoſtium manus effugiſſe credebant, quicquid attulerant diripiebant: multumque ſupplicantibus, & per tremendum Dei nomen obſecrantibus, ut partem eorum, quæ cum vitæ periculo attulerant, ſibi concederent, nihil prorſus impertierunt. gratandumque erat, ſi ſpoliati non etiam necarentur.

Honorati ac divites ad tyrannos perducti. 4. Ejuſmodi quidem mala humiliores à ſatellitibus patiebantur: ad tyrannos vero honoratiores & divites perducti erant. quorum alii inſidiarum falſo accuſati occidebantur, alii quaſi vellent Romanis prodere civitatem. Præſentiſſimum autem erat, indice aliquo uti ſubornato qui diceret, illis decretum eſſe transfugium. *Conſpiratio inter Simonem & Joannem.* Si quem vero Simon expilaſſet, is ad Joannem remittebatur, & quem Joannes expilaſſet eum Simon excipie-

γαστὸν τὸν σῖτον ἤσθιον, οἱ δὲ ἔπεσσον ὡς ἥτε ἀνάγκη καὶ τὸ δέος παρῄνει. καὶ τράπεζα μὲν οὐδαμοῦ παρετίθετο. τοῦ δὲ πυρὸς [y] ἐφέλκοντες, ἔτ᾽ ὠμὰ τὰ σιτία διήρπαζον.

γ΄. Ἐλεεινὴ δ᾽ ἦν ἡ τροφὴ, καὶ δακρύων ἄξιος ἡ θέα· τῶν μὲν δυνατωτέρων, πλεονεκτούντων, τῶν δὲ ἀσθενῶν, ὀδυρομένων. πάντων μὲν δὴ παθῶν ὑπερίσταται λιμὸς, οὐδὲν δ᾽ οὕτως ἀπόλλυσιν ὡς [z] αἰδῶ. τὸ γὰρ ἄλλως ἐντροπῆς ἄξιον, ἐν τούτῳ καταφρονεῖται. γυναῖκες γοῦν ἀνδρῶν, καὶ παῖδες πατέρων, καὶ τὸ οἰκτρότατον μητέρες νηπίων ἐξήρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφὰς καὶ τῶν φιλτάτων ἐν χερσὶ μαραινομένων, οὐκ ἦν φειδὼ τοὺς τοῦ ζῆν ἀφελέσθαι σταλαγμούς. τοιαῦτα δ᾽ ἐσθίοντες, ὅμως οὐ διελάνθανον. πανταχοῦ δ᾽ [a] οἷς ἐφίσταντο [b] οἱ στασιασταὶ καὶ τούτων ταῖς ἁρπαγαῖς. ὁπότε γὰρ κατίδοιεν ἀποκεκλεισμένην οἰκίαν, σημεῖον ἦν τοῦτο, τοὺς ἔνδον προσφέρεσθαι [c] τροφῆς· εὐθέως δ᾽ [d] ἐξαράξαντες τὰς θύρας εἰσεπήδων, καὶ μόνον οὐκ ἐκ τῆς φάρυγγος ἀναθλίβοντες, [e] τὰς ἀκόλους ἀνέφερον. ἐτύπτοντο δὲ γέροντες ἀντεχόμενοι τῶν σιτίων, καὶ [f] κόμας ἐσπαράττοντο γυναῖκες συγκαλύπτουσαι τὰ ἐν χερσίν. οὐδέ τις ἦν [g] οἶκτος πολιᾶς ἢ νηπίων, ἀλλὰ συνεπαίροντες τὰ [h] παιδία τῶν ψωμῶν ἐκκρεμάμενα, κατέσειον εἰς ἔδαφος. τοῖς δὲ φθάσασι τὴν εἰσδρομὴν αὐτῶν, καὶ [i] προκαταπιοῦσι τὸ ἁρπαγησόμενον, ὡς ἀδικηθέντες ἦσαν ὠμότεροι. [k] δεινὰς δὲ βασάνων ὁδοὺς ἐπενόουν πρὸς ἔρευναν τροφῆς, ὀρόβοις μὲν ἐμφράττοντες τοῖς ἀθλίοις τοὺς τῶν αἰδοίων πόρους, ῥάβδοις δ᾽ ὀξείαις ἀναπείροντες τὰς ἕδρας. τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς ἔπασχέ τις εἰς ἐξομολόγησιν ἑνὸς ἄρτου, καὶ ἵνα μηνύσῃ δράκα μίαν [l] κεκρυμμένων ἀλφίτων. οἱ βασανισταὶ δ᾽ οὐκ ἐπείνων, [m] καὶ γὰρ ἧττον ἂν ὠμὸν ἦν τὸ μετ᾽ ἀνάγκης. γυμνάζοντες δὲ τὴν ἀπόνοιαν, καὶ [n] προπαρασκευάζοντες αὐτοῖς [o] εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια. τοῖς δ᾽ ἐπὶ τὴν Ῥωμαίων φρουρὰν νύκτωρ ἐξερπύσασιν ἐπὶ λαχάνων συλλογὴν ἀγρίων καὶ πόας, ὑπαντῶντες, ὅτε ἤδη διαπεφευγέναι τοὺς πολεμίους ἐδόκουν, ἀφήρπαζον τὰ κομισθέντα· καὶ πολλάκις ἱκετευόντων, καὶ τὸ [p] φρικτὸν ἐπικαλουμένων [q] ὄνομα τοῦ Θεοῦ, μεταδοῦναί τι μέρος αὐτοῖς ὧν κινδυνεύσαντες ἤνεγκαν, οὐδ᾽ ὁτιοῦν μετέδοσαν. ἀγαπητὸν δ᾽ ἦν [r] τὸ μὴ καὶ προσαπολέσθαι [s] σεσυλημένον.

δ΄. Οἱ μὲν δὴ ταπεινότεροι τοιαῦτα πρὸς τῶν δορυφόρων ἔπασχον· οἱ δὲ ἐν ἀξιώματι καὶ πλούτῳ, πρὸς τοὺς τυράννους ἀνήγοντο. τούτων οἱ μὲν ἐπιβουλὰς ψευδεῖς [t] ἐγκαλούμενοι διεφθείροντο, οἱ δὲ ὡς προδιδοῖεν Ῥωμαίοις τὴν πόλιν. τὸ δὲ ἑτοιμότατον ἦν, μηνυτὴς [u] τις ὑποβλητὸς, ὡς αὐτομολεῖν διεγνωκότων. ὁ δὲ ὑπὸ Σίμωνος γυμνωθεὶς πρὸς Ἰωάννην ἀνεπέμπετο, [x] καὶ τῶν ὑπὸ Ἰωάννου σεσυλημένων ὁ Σίμων μεταλάμ-

y Ἐφέλκοντες,] Ὑφέλκοντες *Niceph.* ἀφέλκοντες *Euſeb.* ἐφέλκοντες præfert *Valeſius* in notis.

z Αἰδῶ.] Ita lego cum *Cod. Voſſii*, *Euſeb.* & *Niceph.* antea erat αἰδώς. quo ſervato, ὡς ante αἰδώς tollendum cenſet vir Ill. *Ez. Spanhemius* in notis ad *Callimachum*, p. 78. Videtis *L. Boſium* in *Animadverſ.* ad *Joſephum*, p. 100.

a Οἷς ἐφίσταντο] Ita cum *Euſeb.* οἷς abeſt è *Joſephi* libris.

b Οἱ στασιασταὶ] Illa οἱ στασιασταὶ non agnoſcunt *Big. Roſſ.* & *Voſſ.* nec legiſſe videtur *Ruf.*

c Τροφῆς] Τροφὴν *Big.* & *Niceph.*

d Ἐξαράξαντες] Εἰσαράξαντες *Euſeb.* ἐξαρράξαντες *Niceph.* ῥήξαντες *Big.*

e Τὰς ἀκόλους] Τὰς ἀκόλους *Niceph.* τὰς ἀκόλ. *Euſ. Spanh.*

f Κόμας ἐσπαράττοντο] Κόμας *Big. Voſſ.* & *Euſeb.* κόμας *Vat.*

g Οἶκτος πολιᾶς ἢ νηπίων,] Οἶκτος ἢ πολιᾶς ἢ νηπίων *Big.*

h Παιδία] Νήπια *Euſeb.*

i Προκαταπιοῦσι] καταπιοῦσι *Roſſ.*

k Δεινὰς] Δεινῶν *Big.*

l Κεκρυμμένων ἀλφίτων.] Κεκρυμμένην *Big.* & *Spanh.*

m Καὶ γὰρ ἧττον] Καὶ γὰρ ἂν ἧττον ὠμὸν *Euſeb.* καὶ γὰρ ἧττον ἀνηρ *Niceph.*

n Προπαρασκευάζοντες] Προπαρασκευάζοντες ἑαυτοῖς *Big.*

o Εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια.] Εἰς τὰς ἑξ ἡμέρας *Big.* & *Ruf.*

p Φρικτὸν] Φρικτότατον *Euſeb.*

q Ὄνομα τοῦ Θεοῦ] ὄνομα Dei nunc notum adhuc. *Ruf.*

r Τὸ μὴ καὶ προσαπολέσθαι] Τὸ καὶ μὴ πρ. *Big.*

s Σεσυλημένον.] Σεσυλημένους *Niceph.*

t Ἐγκαλούμενοι διεφθείροντο,] Ita lego cum *Cod. Big.* & *Ruf.* ἐγκαλούμενοι in *Editis Aliiſque.*

u Τις ὑποβλητὸς,] Illud τις non agnoſcit *Big.*

x Καὶ τῶν] Καὶ τὸ ὑπὸ Ἰωάννου σεσυλημένον *Big.*

y Αὐτ-

παρέμβανον [y] ἀντιπροέπινον δ' ἀλλήλοις τὸ αἷμα τῶν δημοτῶν, καὶ [z] τὰ πτώματα τῶν ἀθλίων διεμερίζοντο. καὶ τοῦ μὲν κρατεῖν, στάσις ἦν ἐν ἀμφοτέροις· τῶν δὲ ἀσεβημάτων ὁμόνοια. καὶ γὰρ ὁ μὴ [a] μεταδοὺς ἐκ τῶν ἀλλοτρίων κακῶν θατέρῳ [b] μονοτρόπως ἐδόκει πονηρός· καὶ ὁ μὴ μεταλαβὼν, ὡς ἀγαθοῦ τινὸς ἤλγει τὸν νοσφισμὸν τῆς ὠμότητος.

ε'. Καθέκαστον μὲν οὖν ἐπεξιέναι τὴν παρανομίαν αὐτῶν, ἀδύνατον. συνελόντα δ' εἰπεῖν, μήτε πόλιν ἄλλην τοιαῦτα πεπονθέναι, [c] μήτε γενεὰν ἐξ αἰῶνος γεγονέναι κακίας γονιμωτέραν. οἵγε τελευταῖον, καὶ τὸ γένος ἐφαύλιζον τῶν Ἑβραίων, ὡς ἧττον ἀσεβεῖς δοκοῖεν πρὸς ἀλλοτρίους. ἐξωμολογήσαντο δ' ὅπερ ἦσαν εἶναι δοῦλοι, [d] σύγκλυδες, καὶ νόθα τοῦ ἔθνους φθάρματα. [e] τὴν μέν γε πόλιν ἀνέτρεψαν [f] αὐτοί· Ῥωμαίους δὲ ἄκοντας ἠνάγκασαν ἐπιγραφῆναι σκυθρωπῷ κατορθώματι, καὶ μόνον οὐχ εἵλκυσαν ἐπὶ τὸν ναὸν βραδῦνον τὸ πῦρ. ἀμέλει καιόμενον ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες, οὔτε ἤλγησαν, οὔτε ἐδάκρυσαν. ἀλλὰ ταῦτα τὰ πάθη παρὰ [g] Ῥωμαίοις εὑρέθη. καὶ ταῦτα μὲν κατὰ χώραν ὕστερον μετὰ ἀποδείξεως τῶν πραγμάτων ἐροῦμεν.

bat: ſibique invicem propinabant ſanguinem popularium, miſerorumque cadavera partiebantur. Et dominandi quidem cauſa inter utroſque erat diſſenſio, ſcelerum vero concordia. nam qui ex alienis malis partem alteri, ſibi totum vendicans, non dediſſet, modo ſingulari nequam videbatur: & qui non accepiſſet, dolebat, non ſecus ac ſi boni aliquid deſideraſſet, ſibi abſuiſſe crudelitatis partem.

5. Et ſigillatim quidem iniquitates eorum commemorare, *factu* impoſſibile *eſt*: illud autem breviter dici poteſt, neque aliam urbem talia perpeſſam eſſe, neque hominum genus *aliud* ab omni ævo ſceleratius exſtitiſſe. Poſtremo etiam genti Judæorum maledicebant, ut minus impii viderentur in alienos. Confeſſi autem ſunt, id quod *revera* erant, ſe & ſervos eſſe, & convenas, gentiſque *ſuæ* fœtus ſpurios & per abortum editos. Civitatem quidem ipſi everterunt: Romanos autem invitos coëgerunt ſibimet adſcribere triſtem adeo victoriam, ignemque tardius in templum venientem propemodum traxêre. Profecto * cum ex ſuperiore civitate illud ardere viderent, neque doluêre, neque illachrymavere: ſed Romanis iſta accidiſſe compertum eſt. Et alio quidem in loco iſta dicemus, cum ad res narrandas deſcribendaſque ventum erit.

Joſephi de populo Judaico judicium.

Feritas eorum qui ſummam rerum obtinebant in urbe.

Κ Ε Φ. ια'.

Ὡς Ἰουδαῖοι πρὸ τοῦ τείχους ἀνεσταυροῦντο. περὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς ὡς τὰ τῶν Ῥωμαίων χώματα καταβάλλουσιν Ἰουδαῖοι.

ΤΊτῳ δὲ τὰ μὲν χώματα προὔκοπτε, καίτοι πολλὰ κακουμένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν. πέμψας δ' αὐτὸς μοῖραν τῶν ἱππέων ἐκέλευσε τοὺς κατὰ τὰς φάραγγας ἐπὶ [h] συγκομιδῇ τροφῆς ἐξιόντας ἐνεδρεύειν. ἦσαν δέ τινες μὲν καὶ τῶν μαχίμων, οὐκ ἔτι διαρκούμενοι ταῖς ἁρπαγαῖς, τὸ δὲ πλέον ἐκ τοῦ δήμου πένητες, οὓς αὐτομολεῖν ἀπέτρεπε τὸ περὶ τῶν οἰκείων δέος. οὔτε γὰρ λήσεσθαι τοὺς στασιαστὰς ἤλπιζον μετὰ γυναικῶν καὶ [i] παιδίων διαδιδράσκοντες, καὶ καταλιπεῖν ταῦτα τοῖς λῃσταῖς οὐχ ὑπέμενον ὑπὲρ αὐτῶν σφαγησόμενα. [k] τολμηροὺς δὲ πρὸς τὰς ἐξόδους ὁ λιμὸς ἐποίει, καὶ κατελείπετο [l] λανθάνοντας εἰς τοὺς πολεμίους ἁλίσκεσθαι. λαμβανόμενοι δὲ κατ' ἀνάγκην ἠμύνοντο [m] δεῖν τῆς κολάσεως, καὶ μετὰ μάχην ἱκετεύειν ἄωρον ἐδόκει. [n] μαστιγούμενοι δὴ καὶ προβασανιζόμενοι τοῦ θανάτου πᾶσαν αἰκίαν, [o] ἀνεσταυροῦντο τοῦ τείχους ἀντικρύ. Τίτῳ μὲν οὖν οἰκτρὸν τὸ πάθος κατεφαίνετο, πεντακοσίων ἑκάστης ἡμέρας, [p] ἔστι δ' ὅτε καὶ πλειόνων ἁλισκομένων. οὔτε δὲ τοὺς βίᾳ ληφθέντας ἀφεῖναι ἀσφαλὲς, καὶ φυλάττειν τοσούτους φρουρὰν τῶν [q] φυλαξόντων ἑώρα· [r] τό γε μὴν πλέον οὐκ ἐκώλυε, [s] τάχα δ' ἂν ἐνδοῦναι πρὸς τὴν ὄψιν ἐλπίσας αὐτοὺς, εἰ μὴ παραδ-

C A P. XI.

XII.

Quomodo Judæi pro mœnibus in cruces tollebantur. de Antiocho Epiphane. qualiter Romanorum aggeres dejiciunt Judæi.

INterea Tito quidem aggeres promovebantur, quamvis milites de muris valde affligerentur. Ipſe vero, parte equitatus miſſa, juſſit per valles ad cibum comportandum exeuntibus inſidias tendi. Erant autem in his nonnulli quidem ex bellicoſis rapinis haud contenti; majore vero ex parte pauperes plebeji, quos metus de neceſſariis ſuis à transfugio deterrebat. neque enim fore ſperabant ut clam ſeditioſos cum conjugibus ac liberis diffugerent; eoſque latronibus relinquere, vice ſua jugulandos, non ſuſtinebant. Audaciores autem faciebat ad exeundum fames: † reſtabatque ut occulto egreſſi verſus hoſtes ab iis caperentur. deprehenſi autem ex neceſſitate repugnabant metu ſupplicii: & poſt pugnam ſupplicare intempeſtivum videbatur. itaque verberati & ante mortem modis omnibus excruciati, pro mœnibus ſuffigebantur crucibus. Et Tito quidem miſeranda videbatur ea calamitas; cum *Judæi* in dies ſingulos quingenti, nonnunquam etiam plures caperentur. Sed neque vi captos dimittere tutum erat, tantamque adſervare multitudinem cuſtodum videbat eſſe cuſtodiam; maxime vero eos *crucifigi* non prohibebat, ut qui ſperarit ipſos ad conſpectum *illorum* forſan deditionem facere, quaſi ſimilia paſſu-

Judæi quamplurimi in conſpectu obſeſſorum crucibus affixi.

y Ἀντιπροέπινον] Ἀντεπρόπινον Big.
z Πτώματα] Ita in omnibus MSS. nec aliter legebat Ruf. σώματα in Editis Aliiſque.
a Μεταδοὺς] μεταδιδοὺς L. B.
b Μονοτρόπως] Μονότροπος Big. & Voſſ. Conf. ſupr. lib. 2. c. 21. §. 1. Spanh.
c Μήτε γενεὰν] Μήτε γένος ἕτερον Zonar.
d Σύγκλυδες, —φθάρματα.] Σύγκλυδες παντοδαποὶ θρέμματα τοῦ ἔθνους φθάρματα Vat. & Roſt. Conf. ſupr. c. 1. §. 5. Spanh.
e Τὴν μέν γε πόλιν] Forſan, τὴν γε μὴν π.
f Αὐτοί] Οἱ αὐτοὶ Big.
g Ῥωμαίοις εὑρέθη.] Ῥωμαίοις εὑρέθη Big. & L. B.
h Συγκομιδῇ] Συγκομιδὴν Big.
i Παιδίων διαδιδράσκοντες.] Παίδων Big.
k Τολμηροὺς δὲ] Τολμηροτέρους juxta Ruf.

l Λανθάνοντας] μὴ λανθ. L. B.
m Δεῖν τῆς κολάσεως.] Illa δεῖν τῆς κολάσεως adjecta eſſe volui à Cod. Big. & Ruf.
n Μαστιγούμενοι δὴ] Μαστιγούμενοι τε Big.
o Ἀνεσταυροῦντο] Roſt. ἐσταυροῦντο. fruſtra; confer Ep. Pauli ad Hebr. 6: 6. ubi male per *rurſus crucifigere* vertunt. Hav.
p Ἔστι δ' ὅτε καὶ πλειόνων ἁλισκομένων.] Ἔστι δὲ καὶ ὅτε πλ. Big.
q Φυλαξόντων] Φυλαξάντων L. B.
r Τό γε μὴν πλέον] Τότε μὲν πλ. Big.
s Τάχα δ' ἂν ἐνδοῦναι] Ταχέως ἐνδώσειν Big. τάχα γ' ἂν ἐνδ. L. B. τάχιον ἐνδοῦναι legebat Ruf.

* Cum hi ardere ſuperiorem civitatem vidiſſent, Ruf.
† Reſtabatque jam latitantes egredi & ab hoſtibus capi, Ruf.

paſſuros niſi ſe dederent. Milites autem ex ira aut odio *cruci* affigebant captos, modis quidem diverſis ludibrii cauſa: & propter multitudinem, ſpatium crucibus deerat, & corporibus cruces.

Quale judicium de crucifixis ferebant ſeditioſi.

2. Tantum vero aberat ut ſeditioſi ad calamitatem iſtam animos mutarent, * ut contrarium plane ad reliquam multitudinem ſimularint. Transfugarum enim neceſſariis ad muros pertractis, † illiſque è popularibus qui ad *Romanorum* fidem *fugere* properarint, qualia paterentur ii qui ad Romanos confugerent oſtenderunt; & qui comprehenſi tenebantur non captivos eſſe, ſed ſupplices, dicebant. Hoc multos transfugere cupientium, donec verum cognoſceretur, intra muros continebat. nonnulli autem ſtatim diſcurrerunt quaſi ad verum ſupplicium; mortem ab hoſtibus illatam, ſi cum fame conferatur, requiem eſſe ducentes. Cumque multis captivorum manus amputari juſſiſſet, ut transfugæ minime viderentur, crederenturque propter calamitatem, eos ad Joannem & Simonem remiſit, „ ſaltem nunc *à vecordia* deſinerent admonens, neve ipſum ad urbis „ excidium compellerent, animiſque tandem mutatis lucrarentur & propriam vitam, & patriam tantam, & templum ‡ quocum nullum „ aliud contendi poteſt." Simul autem aggeres circumeundo operarios urgebat, veluti factis verba non multo poſt ſequutus. Ad hæc in muris ſtantes & ipſi Cæſari & patri ejus maledicebant, „ morteṁque ſe contemnere clamabant, „ (eam quippe ſervituti recte præferri) & mala „ quæ poterunt Romanis illaturos eſſe dum ſpirant, illiſque non curæ eſſe patriam, *brevi*, ut „ ipſe dicit, perituris, mundumque Deo eſſe „ templum hoc præſtantius. Cæterum hoc ipſum „ ab eo ſervatum iri qui illud incoleret, quem „ & ipſos auxiliatorem habentes minas omnes deridere facta deſiderantes: rerum enim eventum „ à Deo eſſe." Quæ hujuſmodi erant conviciis admiſta vociferabantur.

Titi ad Joannem & Simonem admonitio.

Antiochus Epiphanes Commagenus.

3. Interea autem & Antiochus Epiphanes aderat, aliosque multos milites ſecum habens & circa ipſum catervam quæ Macedonum appellabatur; omnes ejuſdem ætatis, proceros, & ex ephebis paulum modo egreſſos, Macedonum more armatos & in re militari exercitos, unde etiam nomen habebant, qui tamen plerique famam gentis æquare non poterant. Omnium enim regum qui Romanis parebant feliciſſimum Commagenum fieri contigit, prius quam fortuna mutaretur. Oſtendit autem & ille in ſenecta ætate, neminem ante obitum beatum dici oportere. Cæterum filius ejus, qui eo adhuc vigente tunc forte aderat, ſe mirari ajebat, quidnam eſſet cur Romani muros adire cunctarentur. erat enim bellator ipſe, naturaque factus ad audendum, tantuſque

δοῖεν ὅμοια πεισομένους. προσήλουν δ' οἱ στρατιῶται δι' ὀργὴν καὶ μῖσος τοὺς ἁλόντας, ^t ἄλλον ἄλλῳ σχήματι πρὸς χλεύην, καὶ διὰ τὸ πλῆθος χώρα τε ^v ἐνελείπετο τοῖς σταυροῖς, ^x καὶ σταυροὶ τοῖς σώμασιν.

β. Οἱ στασιασταὶ δὲ τοσοῦτον ^y ἀπεδέησαν τοῦ μεταβαλέσθαι πρὸς τὸ πάθος, ὥστε καὶ τοὐναντίον ^z αὐτοὺς σοφίσασθαι πρὸς τὸ λοιπὸν πλῆθος. σύροντες γὰρ τοὺς τῶν αὐτομόλων οἰκείους ἐπὶ τὸ τεῖχος, καὶ τῶν δημοτῶν τοὺς ἐπὶ πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ Ῥωμαίοις προσφεύγοντες ἐπεδείκνυσαν, καὶ τοὺς κεκρατημένους ἱκέτας ἔλεγον οὐκ αἰχμαλώτους. τοῦτο πολλοὺς τῶν αὐτομολεῖν ὡρμημένων, μέχρι τἀληθὲς ἐγνώσθη, κατέσχεν εἴσω. ^a εἰσὶ δὲ καὶ παραχρῆμα διέδρασαν, ὡς ἐπὶ ^b βέβαιον τιμωρίαν, ἀνάπαυσιν ἡγούμενοι τὸν ἐκ τῶν πολεμίων θάνατον ἐν λιμοῦ συγκρίσει. πολλοὺς δὲ καὶ χειροκοπῆσαι κελεύσας Τίτος τῶν ἑαλωκότων, ὡς μὴ δοκοῖεν αὐτόμολοι καὶ πιστεύοιντο διὰ τὴν συμφορὰν, εἰσέπεμψε πρὸς τὸν ^c Ἰωάννην καὶ τὸν Σίμωνα, „ νῦν „ γε ἤδη παύσασθαι παραινῶν, καὶ μὴ πρὸς ἀναί„ρεσιν τῆς πόλεως ^d αὐτὸν βιάζεσθαι, κερδῆσαι δ' ἐκ „ τῆς ἐν ὑστάτοις μεταμελείας τάς τε αὐτῶν ψυ„χὰς, καὶ τηλικαύτην πατρίδα, καὶ ναὸν ^e ἀκοινώνη„τον ἄλλοις." περιιὼν δὲ τὰ χώματα τοὺς ἐργαζομένους ἅμα κατήπειγεν, ὡς ^f οὐκ εἰς μακρὰν ἀκολουθήσων ἔργοις ^g τοῖς λόγοις. πρὸς ταῦτα αὐτόν τε ἐβλασφήμουν ἀπὸ τοῦ τείχους Καίσαρα, καὶ τὸν πατέρα αὐτοῦ, „ καὶ τοῦ μὲν θανάτου καταφρονεῖν ἐβόων. ^h ᾑρῆσθαι „ γὰρ αὐτὸν πρὸ δουλείας καλῶς· ^i ἐργάσασθαι δ' ὅσα „ ἂν δύνωνται κακὰ Ῥωμαίους ἕως ἐμπνέωσι, πατρί„δος δ' οὐ ^k μέλειν τοῖς ὡς αὐτός φησιν ^l ἀπολου„μένοις, ^m καὶ ναοῦ ^n ἀμείνω τούτου τῷ Θεῷ τὸν κόσμον „ εἶναι. σωθήσεσθαι γε μὴν καὶ τοῦτον ὑπὸ τοῦ κατοικοῦντος, „ ὃν καὶ αὐτοὶ σύμμαχον ἔχοντες πᾶσαν χλευάσειν „ ἀπειλὴν ὑστεροῦσαν ἔργων· τὸ γὰρ τέλος εἶναι τοῦ Θεοῦ." τοιαῦτα ταῖς λοιδορίαις ἀναμίσγοντες ^o ἐκεκράγεσαν.

γ'. Ἐν δὲ τούτῳ, καὶ ὁ ^p Ἐπιφανὴς Ἀντίοχος παρῆν, ἄλλους τε ὁπλίτας συχνοὺς ἔχων, καὶ περὶ αὐτὸν στῖφος Μακεδόνων καλούμενον, ^q ἥλικας πάντας, ὑψηλοὺς, ὀλίγον ὑπὲρ ^r ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένους ^s τε καὶ πεπαιδευμένους, ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον, ὑστεροῦντες οἱ πολλοὶ τοῦ γένους. εὐδαιμονῆσαι γὰρ μάλιστα τῶν ὑπὸ ^t Ῥωμαίοις βασιλέων τὸν Κομμαγηνὸν συνέβη, πρὶν γεύσασθαι μεταβολῆς. ἀπέφηνε δὲ κἀκεῖνος ἐπὶ γήρως, ὡς οὐδένα χρὴ λέγειν πρὸ θανάτου μακάριον. ἀλλ' ὅγε παῖς ἀκμάζοντος αὐτοῦ τηνικαῦτα παρὼν θαυμάζειν ἔφασκε, τί δήποτε Ῥωμαῖοι κατοκνοῖεν προσιέναι τῷ τείχει. πολεμιστὴς δέ τις αὐτὸς ἦν, καὶ φύσει ^v παράβολος, ^x κατὰ

t Ἄλλον ἄλλῳ σχήματι] Illud ἄλλῳ abeſt à *Cod. Big.*

v Ἐνελείπετο τοῖς σταυροῖς,] Ἐνέλειπεν *Big.*

x Καὶ σταυροὶ τοῖς σώμασιν.] Juſto Dei judicio, ut qui Chriſtum cruci adfixerant. Rel.

y Ἀπεδέησαν] Ἐνεδέησαν *Big.*

z Αὐτοὺς] Αὐτοὶ *Big.* & *Lugd. Bat.* αὐτὸς malit Cl. *Lowthius.*

a Εἰσὶ δὲ] Εἰσὶ δ' οἳ καὶ π. *Big.*

b Βέβαιον τιμωρίαν,] Βέβαιον *Big.*

c Ἰωάννην καὶ τὸν Σίμωνα,] Ita cum *Big.* & *Raf.* antea erat Σίμωνα καὶ τὸν Ἰωάννην.

d Αὐτὸν βιάζεσθαι,] Αὐτοὶ *Bod.*

e Ἀκοινώνητον ἄλλοις.] Quod erat aliis (nempe Ethnicis) inſociabile. Spanh.

f Οὐκ εἰς μακρὰν] Οὐκέτι εἰς μακρὰν ἀκολουθήσων *Big.*

g Τοῖς λόγοις.] Eſt qui malit τῷ λόγῳ aut τοὺς λόγους.

h Ἡρῆσθαι γὰρ αὐτὸν] Ἡρῆσθαι *Big.* προῃρῆσθαι *L. B.* προῃρῆσθαι *Coccejus* legit.

i Ἐργάσασθαι] ἐργάσεσθαι *L. B.*

k Μέλειν τοῖς ὡς αὐτός φησιν] Ita ſcribendum cenſui. μέλλειν in *libris*, præterquam in *L. B.* ubi μέλειν quoque.

l Ἀπολουμένοις,] Ita in *Cod. Vat. Raf. L. B.* aliiſque ἀπολλυμένοις in *Editis.*

m Καὶ ναοῦ] Καὶ ναοῦ παρειλημμένου in quibuſdam *MSS.* καὶ ναοῦ ἀπειλημμένου *L. B.* & *Raf.*

n Ἀμείνω] Τὸν ἀμείνω *Big.*

o Ἐκεκράγεσαν.] Ἐκεκράγεισαν *Big.*

p Ἐπιφανὴς Ἀντίοχος] In lib. V. *Pſeudo-Hegeſippi* dicitur *Antiochi Commageni filius.* Conf. ſupr. lib. 2. c. 18. §. 9. Spanh.

q Ἥλικας πάντας,] Ita lego ex *MSS.* (ut & *L. B.* & *Raf.*) & *Suida.* antea erat ἡλικίᾳ.

r Ἀντίπαιδας,] ἀντίπαιδα Sophocl. in Exc. H. Gr. p. 125. Plutarch. Æmil. p. 267. A. Spanh.

s Τε καὶ πεπαιδευμένους.] Deſunt *Raf.*

t Ῥωμαίοις] Ῥωμαίους *Big.* & *L. B.*

v Παράβολος.] Conf. Antt. lib. 14. c. 14. §. 1. & alibi. lib. 1. c. 19. §. 5. ὄντα καὶ αὐτοὶ παραβόλοι & lib. 4. c. 1. §. 9. Spanh.

* *Eſt qui malit in hunc ſenſum*, ut res cito illorum aſtutia in contrarium plane quoad reliquam multitudinem ceſſerit.

† Et ſi qui erant popularium proniores ad pacem, *Ruf.*

‡ *Al.* cui nullum par erat aut ſimile. in *Rufini* verſione, *cujus participem non habebant.*

x Κατὰ

[x] καλόν τι τῆς ἀλκῆς τοσοῦτος, [y] ὡς ὀλίγου τῆς τόλμης διαμαρτάνειν. μειδιάσαντος δὲ τοῦ Τίτου, καὶ κοινὸς ὁ πόνος εἰπόντος, ὡς εἶχεν ὥρμησεν ὁ Ἀντίοχος μετὰ τῶν Μακεδόνων πρὸς τὸ τεῖχος. αὐτὸς μὲν οὖν διά τε ἰσχὺν, καὶ κατ᾽ ἐμπειρίαν, ἐφυλάττετο τὰ τῶν Ἰουδαίων βέλη, τοξεύων εἰς αὐτούς. τὰ μειράκια δ᾽ αὐτῷ συνετρίβη πάντα, πλὴν ὀλίγων. διὰ γὰρ αἰδῶ τῆς ὑποσχέσεως προσεφιλονείκει μαχόμενα, καὶ τέλος ἀνεχώρουν τραυματίαι πολλοὶ, συννοοῦντες ὅτι καὶ τοῖς ἀληθῶς Μακεδόσιν, εἰ μέλλουσι κρατεῖν, [z] δεῖ τῆς Ἀλεξάνδρου τύχης.

δʹ. Τοῖς δὲ Ῥωμαίοις ἀρξαμένοις [a] δωδεκάτῃ μηνὸς Ἀρτεμισίου, συνετελέσθη τὰ χώματα μόλις ἐνάτῃ καὶ εἰκάδι, ταῖς [b] δεκαεπτὰ συνεχῶς πονηθεῖσιν ἡμέραις. μέγιστα γὰρ ἐχώσθη τὰ τέσσαρα, καὶ θάτερον μὲν [c] τὸ ἐπὶ τὴν Ἀντωνίαν ὑπὸ τοῦ πέμπτου τάγματος ἐβλήθη [d] κατὰ μέσον τῆς [e] Στρουθίου καλουμένης κολυμβήθρας, τὸ δ᾽ ἕτερον ὑπὸ τοῦ δωδεκάτου διεστῶτος [f] ὅσον εἰς πήχεις εἴκοσι. τῷ δεκάτῳ δὲ τάγματι, διέχοντι πολὺ τούτων, κατὰ βόρειον κλίμα τὸ ἔργον ἦν καὶ κολυμβήθραν Ἀμύγδαλον προσαγορευομένην. τούτου δὲ τὸ [g] πεντεκαιδέκατον ἀπὸ τριάκοντα πηχῶν [h] ἔχον κατὰ τὸ τοῦ ἀρχιερέως [i] μνημεῖον. προσαγομένων δ᾽ ἤδη τῶν ὀργάνων, ὁ μὲν Ἰωάννης ἔνδοθεν ὑπορύξας τὸ κατὰ τὴν Ἀντωνίαν μέχρι τῶν χωμάτων [k] διάστημα, καὶ διαλαβὼν σταυροῖς τοὺς ὑπονόμους ἀνακρεμάμενος τὰ ἔργα. πίσσῃ δὲ καὶ ἀσφάλτῳ διακεχρισμένην ὕλην εἰσκομίσας ἐνίησι πῦρ, καὶ τῶν σταυρῶν ὑποκαέντων ἥ τε διῶρυξ ἐνέδωκεν ἀθρόα, καὶ μετὰ μεγίστου ψόφου κατησείσθη τὰ χώματα εἰς αὐτήν. τὸ μὲν οὖν πρῶτον μετὰ τοῦ κονιορτοῦ καπνὸς [l] ἠγείρετο βαθὺς, πνιγομένου τοῦ [m] πλαίσματι τοῦ πυρός· [n] τῆς δὲ θλιβούσης ὕλης διαβιβρωσκομένης ἤδη φανερὰ φλὸξ [o] ἐρρήγνυτο. καὶ τοῖς Ῥωμαίοις ἔκπληξις μὲν πρὸς τὸ αἰφνίδιον, ἀθυμία δὲ πρὸς τὴν ἐπίνοιαν ἐμπίπτει. καὶ κρατήσειν οἰομένους ἤδη τὸ συμβὰν καὶ πρὸς τὸ μέλλον ἔψυξε τὴν ἐλπίδα· τὸ δὲ ἀμύνειν ἄχρηστον ἐδόκει πρὸς τὸ πῦρ, καὶ εἰ σβεσθείη, [p] τῶν χωμάτων καταποθέντων.

εʹ. Μετὰ δὲ ἡμέρας δύο, καὶ τοῖς ἄλλοις ἐπιτίθενται χώμασιν οἱ περὶ τὸν Σίμωνα. καὶ γὰρ δὴ προσαγαγόντες ταύτῃ τὰς ἑλεπόλεις οἱ Ῥωμαῖοι, ἔσειον ἤδη τὸ τεῖχος. Τεφθαῖος δέ τις ἀπὸ [q] Γαρὶς πόλεως τῆς Γαλιλαίας, καὶ Μεγάσσαρος τῶν βασιλικῶν Μαριάμμης θεραπόντων, [r] μεθ᾽ ὧν Ἀδιαβηνός τις υἱὸς Ναβαταίου, τοὔνομα κληθεὶς ἀπὸ τῆς τύχης [s] Χαγείρας, ὅπερ σημαίνει χωλὸς, ἁρπάσαντες λαμπάδας, [t] προσεπήδησαν ἐπὶ τὰς μηχανάς. τούτων τῶν ἀνδρῶν οὔτε τολμηρότεροι κατὰ τόνδε τὸν πόλεμον ἐκ τῆς πόλεως ἐφάνησαν, οὔτε φοβερώτεροι. καθάπερ γὰρ εἰς φίλους ἐκτρέχοντες οὐ πολεμίων στῖφος, οὔτ᾽ ἐμέλ-

viribus ut non multum peccaret audacia. Cum vero Titus ad hoc ſubriſiſſet, * laboremque communem eſſe dixiſſet, ita ut erat ſe cum Macedonibus proripuit Antiochus, & in muros impetum fecit. Et ipſe quidem pro viribus ſuis ac peritia cavebat tela Judæorum, dum illos jaculis peteret: fere autem omnes ejus adoleſcentes attriti erant. promiſſa enim *magnifica* reveriti certatim pugnâ perſeverabant, & ad extremum multi ſaucii receſſerunt, ſecum cogitantes, veris Macedonibus, ſi vellent vincere, opus eſſe fortuna Alexandri. *Facinus ejus mirabile.*

p Πίνακας] In quibus ſimila macerata ad altare deferebatur. Vid. Ibidem. Rel.

q Τραπέζας.] Erant menſæ 13. in templo ad varios uſus, 1. in ſancto, 2. in pronao, 2. in atrio ad occaſum clivi altaris, 8. in atrio ad uſum mactatorum. Rel.

r Ἀκρατοφόρων.] Meraria, in Gloſſis vett. quamvis vocem *acratophora* uti apud Latinos uſu receptam Cicero ipſe memoret. Rel.

s Βασιλεῖς] Nota ita jam illo dictos tempore Imperatores ſed Græco ſermone; nam Latine eos reges tunc vocare non fuiſſet tutum. Poſtea id paſſi ſunt. Rel.

t Ἱερὸν οἶνον] Erat enim e ſacerdotibus præfectus libaminum; & conclave in templo 11. in quo oleum & vinum ſacrum ſervabatur, in latere atrii mulierum. Rel.

v Τοῖς ὁλοκαυτώμασιν] Nam ad ſacrificia piacularia vinum non adhibebatur nec oleum. Rel.

x Πλέον τοῦ ἵν ἠλείφοντο,] Pluſquam menſurâ ungebantur. Sic ἵνας infra de menſura quadam. lib. 6. c. 3. §. 3. τὰς γὰρ ἵνας ἵνα συνάγοντες ubi ἵνας *Chryſoſt.* & *Euſeb.* Spanh.

y Οὐκ ἂν] Apud *Euſ.* H. Eccl. lib. III. c. VI. p. 78. C. Spanh.

z Τῆς Σοδομηνῆς] Hanc regionem non fuiſſe undis merſam credidit Joſephus, & recte quidem, nam κατακλυσθῆναι ipſi debuiſſet tribuiſſe. Rel.

a Ου-

Λαζάρου φυγὼν, διὰ μιᾶς ἔλεγεν ἐκκεκομίσθαι πύλης, ἣν αὐτὸς ἐπεπίστευτο, μυριάδας ἕνδεκα νεκρῶν ἐπὶ πεντακισχιλίοις [a] ὀκτακοσίοις ὀγδοήκοντα, ἀφ᾽ ἧς αὐτοῖς ἡμέρας παρεστρατοπεδεύσατο, τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνὸς ἄχρι [b] Πανέμου νουμηνίας. τοῦτο δ᾽ ἦν πλῆθος [c] ἄπειρον. καὶ οὐδὲ αὐτὸς ἐφεστὼς, ἀλλὰ δημοσίᾳ [d] μισθὸν διδοὺς ἐξ ἀνάγκης ἠρίθμει. τοὺς δὲ λοιποὺς οἱ προσήκοντες ἔθαπτον. ταφὴ δ᾽ ἦν, τὸ προκομίσαντας [e] ἐκ τοῦ ἄστεος ῥίψαι. μετὰ δὲ τοῦτον διαδράντες πολλοὶ τῶν ἐπισήμων, τὰς πάσας τῶν ἀπόρων νεκρῶν ἀπήγγελλον, μυριάδας ἑξήκοντα διὰ τῶν πυλῶν ἐκριφῆναι. τῶν δ᾽ ἄλλων ἀνεξεύρετον εἶναι τὸν ἀριθμόν. μηκέτι δὲ [f] εὐτονούντων τοὺς πτωχοὺς ἐκφέρειν, ἔλεγον συσσωρεύοντας εἰς τοὺς μεγίστους οἴκους τὰ πτώματα ἀποκλείειν· καὶ τοῦ μὲν σίτου [g] τὸ μέτρον πραθῆναι ταλάντου. μετὰ ταῦτα δὲ ὡς οὐδὲ [h] ποηλογεῖν ἔτι οἷόν τε [i] ἦν περιτειχισθείσης τῆς πόλεως, [k] προελθεῖν τινας εἰς τοσοῦτον ἀνάγκης, ὥς τε τὰς [l] ἀμάρας ἐρευνῶντας, καὶ παλαιὸν [m] ὄνθον βοῶν, προσφέρεσθαι τὰ ἐκ τούτων σκύβαλα, καὶ τὸ μηδὲ ὄψει φορητὸν πάλαι τότε γενέσθαι τροφήν. ταῦτα Ῥωμαῖοι μὲν ἀκούοντες ἠλέησαν· οἱ στασιασταὶ δὲ καὶ βλέποντες οὐ μετενόουν, ἀλλ᾽ ἠνείχοντο μέχρις αὐτῶν προελθεῖν. ἐπεπήρωντο γὰρ [n] ὑπὸ τοῦ χρεὼν, ὃ τῇ τε πόλει καὶ αὐτοῖς ἤδη παρῆν.

transgreſſus, dicebat per unam portam, quæ ſibi credita fuerat, elata fuiſſe centum & quindecim mortuorum millia & DCCCLXXX, ex quo die caſtra prope civitatem poſita ſunt, ex die XIV. menſis Xanthici uſque ad primam Panemi diem. Hæc autem erat immenſa multitudo. nec tamen ipſe fuit portæ appoſitus, ſed publicam mercedem diſtribuens neceſſe habuit *mortuos* numerare. Cæteros autem propinqui ſepeliebant. Sepultura autem erat, elatos de urbis muro dejicere. Poſt hunc autem multi nobiles transfugæ narrabant, mortuos egenos ad ſexcenta millia univerſos portis ejectos eſſe. aliorum vero numerum inveniri non poſſe. *Elatorum numerus.* Cumque pauperibus efferendis non ſufficerent, congeſta in maximis ædibus cadavera incluſa eſſe dicebant; & frumenti quidem modium veniſſe talento. Poſt autem, ubi muro circundata civitate ne herbas quidem legere jam liceret, eò neceſſitatis quoſdam deveniſſe, ut cloacas & vetuſta rimantes boum ſtercora, retrimenta inde collecta ederent; & quod olim viſu erat horribile in eſcam ceſſiſſe *eſurientibus*. Cum iſta quidem audirent Romani eos miſerati ſunt: ſeditioſos autem etiam iſta aſpicientes non pœnitebat, ſed patiebantur ea uſque ad ipſos progredi. Fatum enim eos cæcos reddiderat, quod jam & civitati & ipſis imminebat.

a Ὀκτακοσίοις] καὶ ὀκτακοσίους L. B.
b Πανέμου νουμηνίας.] Conf. infr. lib. 6. c. 1. §. 3. Spanh.
c Ἄπειρον.] Ita lego ex *Rufini* verſione. antea erat ἄπορον.
d Μισθὸν] Nam antea dixit placuiſſe, ut publico ſumtu ſepelirentur. Rel.
e Ἐκ τοῦ ἄστεος] Prior vox abeſt a L. B.
f Εὐτονούντων] Conf. ſupr. lib. 4. c. 7. §. 4. Spanh.
g Τὸ μέτρον πραθῆναι ταλάντου.] Τὸ *μέδιμνον Zonar.*
h Ποηλογεῖν] προσλογεῖν *Roſſ.*
i Ἦν] Abeſt a *Roſſ.*
k Προελθεῖν] Ita lego cum *Cod. Voſſ.* prout infra, circ. fin. poſt *μέχρις αὐτῶν* in *Editis Aliiſque προσελθεῖν.*
l Ἀμάρας] *ἀνάγκας Roſſ.* ſed ita recentior manus immutavit. Videtur tamen litera ν a vetuſta manu eſſe, uti & ſequentes.
m Ὄνθον] Simile quid de Nicodemi Gorionidis filia Talmudici narrant, eam cibum quæſiiſſe in ſtercore animalium. Rel.
n Ὑπὸ τοῦ χρεὼν.] Conf. Antt. lib. 8. c. 15. §. 6. Spanh.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΚΤΩ ΛΟΓΩ

ΤΩΝ ΙΩΣΗΠΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΗΣ ΙΟΥΔΑΙΚΗΣ ΑΛΩΣΕΩΣ.

JOSEPHI LIBRO SEXTO

HISTORIARUM EXCIDII JUDAICI

HÆC CONTINENTUR.

1. *DE ſeditioſorum deſperatione, & hominibus fame pereuntibus, qualiterque ſuburbia circumciſa, poſt erectos à Romanis aggeres, aſpectu erant ingratiſſima.*

2. *Quomodo Romani & Judæi animis affecti erant excitatis aggeribus: quodque Judæi excurſione facta illos urere non potuerunt.*

3. *Quomodo Romani machinarum pulſatione, & ſuffoſſione Antonia murum dejecerunt: alio autem muro conſpecto, quem Joannes cum ſuis ædificaverat, conturbati erant.*

4. *Quemadmodum Titus milites, cum murum aſcendere non auſi eſſent, præſtantiſſima oratione adhortatus eſt.*

5. *Qualiter & alii, & Sabinus omnium primus de muro exſiliens Judæos in fugam vertit; multiſque cæſis tandem & ipſe occiditur.*

6. *Quomodo & tertius murus ſuperatus eſt. deſcriptio pugnæ inter Judæos & Romanos circa templum.*

7. *De Juliano centurione, quomodo Judæorum multos interfecit, & ipſe peremptus eſt: utque fugiunt Romani & in Antoniam concluſi ſunt.*

8. *Quomodo Titus, cum Antoniam dirui juſſiſſet, Joſephum incitavit ut Judæos iterum verbis hortaretur.*

9. *Quod multi de populo, cum ſeditioſi in melius non mutarentur verbis Joſephi, transfugiendi deſiderio egreſſi ſunt, quos Titus in Gophnam miſit.*

10. *Quemadmodum transfugæ multis Judæos rogabant ut Cæſari urbem traderent; verum nihil valebant, ſed potius pertinaciores eos efficiebant: unde Titus, cum per Joſephum eos increpaſſet, illique nihil obſequuti eſſent, rurſus bello eos aggreditur.*

11. *Quomodo Titus, cum ex copiis univerſis fortiſſimos elegiſſet & ipſos contra templum dimiſiſſet, ipſe ab Antonia quid fieret exſpectabat.*

12. *Qualiter prælio congreſſi ſunt, & multis utrinque cæſis dirempta eſt pugna cum dubia victoria.*

α΄. ΠΕρὶ τῆς τῶν στασιαστῶν ἀπονοίας, καὶ τῶν ὑπὸ τοῦ λιμοῦ ἀποθνησκόντων· καὶ ὅπως τῶν Ῥωμαίων τὰ χώματα ἐγειράντων, περικαθαρθέντα τὰ προάστεια ᵃ ἀχαριστότατα ἐφαίνοντο.

β. Ὅπως διέθησαν Ῥωμαῖοι καὶ Ἰουδαῖοι τῶν χωμάτων γενομένων. καὶ ὅπως ὁρμήσαντες Ἰουδαῖοι καὶ ταῦτα καῦσαι οὐκ ἴσχυσαν.

γ΄. Ὅπως ταῖς τε ἑλεπόλεσι τύπτοντες Ῥωμαῖοι, καὶ ὑπορύττοντες τὸ τεῖχος τῆς Ἀντωνίας κατέρειψαν· ἀναδειχθέντος δὲ ἑτέρου τείχους, ὅπερ ἔνδοθεν οἱ περὶ τὸν Ἰωάννην ἀντῳκοδόμησαν, ἠνιάθησαν.

δ΄. Ὡς δεδοικότας ἀναβῆναι τοὺς στρατιώτας Τίτος δημηγορίᾳ ἀρίστῃ προὐτρέψατο αὐτούς.

ε΄. Ὅπως ἄλλοι τε, καὶ Σαβῖνος πρῶτος πάντων ἐκπηδήσας τοὺς Ἰουδαίους ἐτρέψατο· καὶ πολλοὺς ἀποκτείνας, τελευταῖον καὶ αὐτὸς διεφθάρη.

ϛ΄. Ὡς καὶ τὸ τρίτον τεῖχος παρελήφθη. ἔκφρασις τοῦ περὶ τὸ ἱερὸν πολέμου Ἰουδαίων τε καὶ Ῥωμαίων.

ζ΄. Περὶ Ἰουλιανοῦ τοῦ ἑκατοντάρχου, ὅπως πολλούς τε τῶν Ἰουδαίων ἀπέκτεινε, καὶ αὐτὸς ἀπώλετο. καὶ ὅπως τρέπονται Ῥωμαῖοι, καὶ κατακλείονται εἰς τὴν Ἀντωνίαν.

η΄. Ὅπως Τίτος, κατασκάψαι προστάξας τὴν Ἀντωνίαν, τὸν Ἰώσηπον προὐτρέψατο τοῖς Ἰουδαίοις αὖθις παραινέσαι.

θ΄. Ὡς μηδὲν τῶν στασιαστῶν ὠφεληθέντων ἐκ τῶν λόγων Ἰωσήπου, πολλοὶ τῶν ἀπὸ τοῦ δήμου πρὸς τὸ αὐτομολεῖν ὁρμήσαντες ἐξῆλθον, οὓς ὁ Τίτος εἰς Γόφναν ἐξαπέστειλεν.

ι΄. Ὅπως οἱ αὐτομολήσαντες πλεῖστα τοὺς Ἰουδαίους ἱκέτευον παραδοῦναι Καίσαρι τὴν πόλιν, ἀλλ᾿ οὐδὲν ἤνυον, μᾶλλον δὲ καὶ φιλονεικοτέρους ἐποίουν· ἐφ᾿ οἷς Τίτος διὰ Ἰωσήπου διελέχθη, καὶ μὴ πειθομένων αὐτῷ πάλιν πρὸς τὸν πόλεμον ἐχώρει.

ια΄. Ὡς ἀπὸ πάσης τῆς δυνάμεως τοὺς ἀρίστους ἐκλεξάμενος Τίτος, καὶ κατὰ τοῦ ἱεροῦ αὐτοὺς διαφεὶς, αὐτὸς ἀπὸ τῆς Ἀντωνίας ἐκαραδόκει τὸ μέλλον.

ιβ΄. Ὅπως συμπεσόντες ἀλλήλοις, πολλῶν ἑκατέρωθεν πεσόντων διελύθησαν, μηδενὸς βεβαίως νικήσαντος.

ιγ΄. Ὅπως

ᵃ Ἀχαριστότατα] Ita ex conjectura. ἀχρειότατα in *Edit. Baſil.* & *duobus MSS.*

ιγ'. Ὅπως κατὰ τοῦ ἱεροῦ χώματα ἤγειραν.

ιδ'. Ὡς τινῶν ἱππέων ἀπολλύντων τοὺς ἵππους, διὰ τῆς εἰς ἕνα στρατιώτην κολάσεως, τοὺς λοιποὺς Καῖσαρ ἐσωφρόνισεν.

ιε'. Ὅπως κατὰ τὸ Ἐλαιῶν ὄρος πολλοὶ τῶν στασιαστῶν ὁρμήσαντες ὑπεξελθεῖν, ἀνετράπησαν· ὅτι καί τις τῶν ἱππέων Πεδάνιος ἁρπάσας τινὰ νεανίαν φεύγοντα, τῷ Καίσαρι καθάπερ τι κειμήλιον προσήγαγεν.

ιϛ'. Ὡς Ἰουδαῖοι τὰ προσεγγίζοντα τῷ ἱερῷ κατέπρησαν, ὡς μὴ δι' αὐτῶν Ῥωμαῖοι τοῦ ἱεροῦ ἐγκρατεῖς γένοιντο.

ιζ'. Περὶ τοῦ μονομαχήσαντος Ἰουδαίου κατὰ πρόκλησιν, καὶ νικήσαντος πῶς διὰ τῆς ἀλαζονείας ἀπεκτάνθη.

ιη'. Περὶ τοῦ ἐπινοηθέντος παρὰ τῶν Ἰουδαίων δόλου, ᾧ πολλοὺς Ῥωμαίων ἐνέπρησαν.

ιθ'. Περὶ Λόγγου τοῦ στρατιώτου Ῥωμαίων ὡς ἑαυτὸν ἀνεῖλε, καὶ περὶ τοῦ ἐπιρρίψαντος ἑαυτὸν συστρατιώτῃ Λουκίῳ.

κ'. Ἔκφρασις αὖθις τῶν ὑπὸ τοῦ λιμοῦ θνησκόντων.

κα'. Περὶ Μαρίας τῆς τὸ ἴδιον τέκνον καταφαγούσης.

κβ'. Ὅπως, τῶν χωμάτων κατὰ τοῦ ἱεροῦ ἀπαρτισθέντων, προσήγαγον τοὺς κριούς. καὶ ὡς ἐπὶ κλίμακας ἀναβάντες, δεινὸν αὖθις ἔστησαν πόλεμον, καὶ τέλος ἡττήθησαν Ῥωμαῖοι. ἐφ' οἷς ὀργισθεὶς Τίτος τὰς πύλας ὑφάπτειν προσέταξεν.

κγ'. Περὶ τῶν αὐτομολησάντων τῷ Τίτῳ δορυφόρων τοῦ τυράννου Σίμωνος.

κδ'. Ὅπως βουλὴν προθεὶς Τίτος πῶς δεῖ χρήσασθαι τῷ ἱερῷ, ἄλλων ἄλλα λεγόντων, αὐτὸς οὐκ ἔφη, συγχωρῆσαι τοιοῦτον ἔργον καταφλεγῆναι, καὶ οὕτως διαλύεται τὸ συνέδριον.

κε'. Ὅπως Ἰουδαῖοι τοῖς τῶν Ῥωμαίων φύλαξιν ἐπιπίπτουσι, καὶ μελλόντων αὐτῶν τραπῆναι, φθάσας Καῖσαρ ἐπήμυνε, τρέψας τοὺς Ἰουδαίους.

κϛ'. Ὅπως ὁ ναὸς ἐνεπρήσθη, καὶ ἄκοντος Καίσαρος.

κζ'. Ὅτι καθ' ὃν καιρὸν ἐπὶ τῶν Βαβυλωνίων καὶ πρότερον ὁ ναὸς ἐνεπρήσθη κατὰ τόνδε τὸν μῆνα καὶ τὴν ἡμέραν αὖθις κατεφλέγη.

κη'. Ὡς τοῦ ναοῦ φλεγομένου, καὶ πάντων ὁμοῦ τῶν Ἰουδαίων συναναιρουμένων, συμμιγής τις ἦχος καὶ βοὴ τῶν τε Ῥωμαίων καὶ τῶν ἀπολλυμένων ἐγένετο.

κθ'. Ὅπως τῶν ἱερέων τινὲς κατὰ τῶν Ῥωμαίων ἐνερρίπτουν τοὺς ὀβελοὺς τοῦ ναοῦ, καὶ ὡς ἐπὶ τοῖχόν τινα ἀναβάντες ἑαυτοὺς εἰς τὸ πῦρ ἔβαλλον· καὶ ὡς Ῥωμαῖοι τὰ λοιπὰ λείψανα τοῦ ναοῦ πάντα καταφλέγοντες κατέκαυσαν, καὶ πλῆθος τῶν καταφυγόντων αὐτόθι εἰς ἑξακισχιλίους.

λ'. Περὶ τοῦ ψευδοπροφήτου, ᾧ πιστεύσας ὁ λαὸς ἀπώλετο.

λα'. Περὶ τῶν προγεγονότων σημείων τῆς ἁλώσεως.

λβ'. Ὅπως Ῥωμαῖοι τὰς σημαίας ἐν τῷ ναῷ εἰσκομίσαντες, καὶ τὸν Τίτον εὐφημίαις ἐγέραιρον. καὶ ὅπως ὁ χρυσὸς ἀπὸ τῆς λείας εὐθήνησεν.

λγ'. Περὶ τοῦ παιδίου τοῦ μετὰ ἱερέων εἰς τὸν τοῖχον ἀναφυγόντος, πῶς ἠπάτησε Ῥωμαίους· καὶ ὅπως λιμώττοντες κατέβησαν πρὸς τὸν Τίτον οἱ ἱερεῖς, ὁ δὲ αὐτοὺς ἐκέλευσε κολάσαι.

λδ'. Ὅπως οἱ τύραννοι τὸν Τίτον εἰς λόγους προκα-

13. *Quomodo contra templum aggeres excitarunt.*

14. *Ut, cum equitum nonnulli equos amiſiſſent, unius militis pœna reliquos in poſterum cautiores reddidit.*

15. *Quomodo è regione Olivarum montis multi ſeditioſorum clam egredi conati proſternuntur. quodque equitum quidam Pedanius, rapto quodam juvene dum fugeret, eum ad Cæſarem tanquam munus pretioſum adducebat.*

16. *Ut Judæi omnia templi propinqua incenderunt, ne ex illis Romani templum in poteſtatem ſuam redigerent.*

17. *De Judæo qui ad ſingulare certamen Romanos provocaverat, victorque ex gloriatione ſua occiſus eſt.*

18. *De dolo à Judæis excogitato, quo multos Romanorum exuſſerunt.*

19. *De Longo milite Romano, qualiter ſemetipſum interfecit: deque eo qui ſeſe in Lucium commilitonem projecit.*

20. *Altera deſcriptio illorum qui fame perierunt.*

21. *De Maria, quæ filium ſuum comederat.*

22. *Qualiter aggeribus contra templum erectis arietes admovebant: utque ſcalis aſcenſis acre commiſſum eſt prælium, tandemque victi ſunt Romani: qua de cauſa Titus iratus portis ignem ſubjici juſſit.*

23. *De ſatellitibus Simonis tyranni qui ad Titum profugerant.*

24. *Quod, cum proponeretur à Tito quid facturi eſſent de templo, aliique alia dicerent, ipſe dixerit; ſe non paſſurum eſſe ejuſmodi ſtructuram flammis abſumi: atque ita concilium dimiſit.*

25. *Quomodo Judæi Romanos qui in ſtatione erant adoriuntur, cumque in eo eſſent ut in fugam verterentur, Cæſar prius auxilio venit & Judæos fugat.*

26. *Quomodo templum incenſum eſt, invito Cæſare.*

27. *Quod eodem menſe & die deflagravit templum, quo olim concrematum eſt à Babyloniis.*

28. *Quod, cum templum flammis vaſtaretur & Judæi omnes cujuſcunque ætatis una perirent, permixtus cum cæde editur ſonitus, clamorque Romanorum & pereuntium promiſcuus.*

29. *Quomodo ſacerdotum nonnulli verubus templi in Romanos pro miſſilibus utebantur, & muro quodam aſcenſo ſemetipſos in ignem conjecerunt: utque Romani, igne in omnia graſſantes, quicquid reliquum erat templi incenderunt, & multitudinem eò confugientium ad ſex hominum millia.*

30. *De Pſeudo-propheta, cui populus ad ſui interitum fidem habuit.*

31. *De ſignis excidium præcedentibus.*

32. *Quomodo Romani ſigna in templum inferebant, & Titum acclamationibus honorabant; deque magna auri copia ex præda.*

33. *De puero cum ſacerdotibus in templi parietem ſe recipiente, & quo pacto decepit Romanos: utque ſacerdotes fame laborantes deſcenderunt ad Titum, quos ipſe puniri juſſit.*

34. *Quomodo tyranni Titum ad colloquium provocant,*

vocant, atque ipſe cum eis ſermonem habuit maxime admirandum.

λέσατο, ὁ δὲ αὐτοῖς διαλαλιᾷ θαυμασιωτάτῃ ὡμίλησεν.

35. *Quod Titus, cum tyranni nihil moderati præ ſe ferrent, vehementer iratus edixerit per præconem, ne jam fidem dextramque ſibi dari ſperarent: quo facto imperavit militibus igne omnia vaſtare.*

λε'. Ὅτι μηδὲν μέτριον φρονούντων τῶν τυράννων, ἀγανακτήσας Τίτος ἐκήρυξε μὴ ἐλπίζειν αὐτοὺς ἔτι δεξιᾶς τυχεῖν· ὅθεν τὴν στρατιὰν ἐκέλευσε τὰ λοιπὰ καταφλέξαι.

36. *De regis conſanguineis ad Cæſarem perfugientibus, atque eos Romam mittendos curavit.*

λϛ'. Περὶ τῶν προσφυγόντων Καίσαρι βασιλικῶν συγγενῶν, ὅπως τε αὐτοὺς εἰς Ῥώμην ἀπέστειλεν.

37. *Quomodo ſeditioſi ad domum regiam profecti Romanos inde pepulerunt, & reliquam multitudinem popularium qui eo confugerant occiderunt, & duos milites Romanos vivos ceperunt.*

λζ'. Ὡς ὁρμήσαντες οἱ στασιασταί, τοὺς ἐν τῇ βασιλικῇ οἰκίᾳ Ῥωμαίους διώξαντες, τὸ λοιπὸν πλῆθος τῶν καταφυγόντων τοῦ δήμου πᾶν ἐφόνευσαν, δύο τῶν Ῥωμαίων ζωγρήσαντες.

38. *Quomodo Romani, latronibus rurſus in fugam verſis, quod reliquum erat urbis incenderunt.*

λη'. Ὅπως πάλιν Ῥωμαῖοι, τοὺς λῃστὰς τρεψάμενοι, τὰ ὑπόλοιπα τῆς πόλεως κατέφλεξαν.

39. *Quomodo tyranni cuniculis freti & innixi ad extremum uſque belligerabant.*

λθ'. Ὅπως οἱ τύραννοι τοῖς ὑπονόμοις θαρροῦντες, μέχρι παντὸς τῷ πολέμῳ προσέμενον.

40. *Quod Cæſar iterum ſuperiorem urbem aggeribus occupat: cumque è ſeditioſis nonnulli de urbe tradenda deliberant, eos re explorata prævenit Simon & pœnis afficit.*

μ'. Ὡς πάλιν ὁ Καῖσαρ τὴν ἄνω πόλιν χώμασι διαλαμβάνει, καθ' ὃν καιρὸν βουλευομένων τινῶν στασιαστῶν περὶ παραδόσεως, φθάνει μαθὼν ὁ Σίμων, οὓς καὶ ἐκόλασεν.

41. *De ſacerdote ad Cæſarem profugiente, & res multas pretioſas ei tradente.*

μα'. Περὶ τοῦ ἱερέως τοῦ προσφυγόντος Καίσαρι, καὶ κειμήλια πολλὰ παραδόντος.

42. *Quomodo aggeribus perfectis Romani machinas adducebant, & latronibus inexſpectato fugientibus & cuniculos ſubeuntibus totam urbem nacti ſunt Romani.*

μβ'. Ὡς, συντελουμένων τῶν χωμάτων, Ῥωμαῖοι, τὰς μηχανὰς προσάγοντες, τῶν λῃστῶν παραλόγως ἀποδράντων, καὶ τοῖς ὑπονόμοις ὑποδύντων, ἐγκρατεῖς τῆς ὅλης πόλεως ἐγεγόνεισαν.

43. *Quod Cæſar urbem introgreſſus eamque ob firmitatem multum miratus, cætera quidem omnia deleri juſſit, tres vero turres ſolas in ſuæ virtutis & fortitudinis monumentum intactas reliquit.*

μγ' Ὡς παρελθὼν εἴσω Καῖσαρ, καὶ πολλὰ τῆς ὀχυρότητος τὴν πόλιν θαυμάσας, τὰ μὲν ἄλλα πάντα ἀφανίσαι προσέταξε, μόνους δὲ τοὺς τρεῖς πύργους, εἰς μνημεῖον τῆς ἑαυτοῦ ἀρετῆς τε καὶ ἀνδρείας, εἴασεν.

44. *Quomodo Cæſar, poſtquam latrones & ſeditioſos à ſe invicem delatos interfici juſſerat, reliquos, partim in triumphum reſervavit, partim provinciis donavit, alioſque ad Ægyptiorum opera relegavit, pluresque vendidit.*

μδ'. Ὅπως Καῖσαρ τοὺς λῃστρικοὺς καὶ στασιώδεις, ὑπ' ἀλλήλων ἐνδεικνυμένους, ἀναιρεθῆναι προστάξας, τοὺς λοιπούς, οὓς μὲν εἰς τὸν θρίαμβον ἐτήρησεν, οὓς δὲ ταῖς ἐπαρχίαις ἐδωρήσατο, ἄλλους δ' εἰς τὰ κατ' Αἴγυπτον ἔργα, τοὺς δὲ πλείους διέπρασε.

45. *De tota multitudine eorum qui bello capti erant & perierunt.*

με'. Περὶ ὅλου τοῦ πλήθους τῶν ὑπὸ πόλεμον ἑαλωκότων τε καὶ διαφθαρέντων.

46. *De iis qui in cuniculos confugerunt.*

μϛ'. Περὶ τῶν εἰς τοὺς ὑπονόμους καταφυγόντων.

47. *Quod urbs quinquies prius capta, tunc iterum vaſtata erat.*

μζ'. Ὅτι πεντάκις πρότερον ἁλούσης τῆς πόλεως τοῦτο δεύτερον ἠρημώθη.

ΦΛ. ΙΩΣΗΠΟΥ
ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ,
Η
ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ
ΛΟΓΟΣ ϛʹ.

FLAVII JOSEPHI
DE BELLO JUDAICO,
SIVE
JUDAICÆ HISTORIÆ DE EXCIDIO,
LIBER VI.

ΚΕΦ. αʹ.

Ὅτι Ἰουδαίων πάθη ἐπὶ τὸ χεῖρον προέκοπτε καὶ ὡς τῇ Ἀντωνίᾳ προσβάλλουσιν οἱ Ῥωμαῖοι.

Τὰ μὲν οὖν τῶν Ἱεροσολύμων πάθη προὔκοπτε καθ᾽ ἡμέραν ἐπὶ τὸ χεῖρον, [a] τῶν στασιαστῶν μᾶλλον παροξυνομένων [b] ἐν ταῖς συμφοραῖς, καὶ τοῦ λιμοῦ μετὰ τὸν δῆμον ἤδη κἀκείνους νεμομένου. τό γε μὴν πλῆθος τῶν σεσωρευμένων ἀνὰ τὴν πόλιν πτωμάτων ὄψει τε φρικῶδες ἦν, καὶ λοιμώδη προσέβαλλεν ὀσμὴν, [c] πρός τε τὰς ἐκδρομὰς ἐμπόδιον τοῖς μαχομένοις. ὥσπερ γὰρ διὰ παρατάξεως φόνῳ μυρίῳ [d] γεγυμνασμένους, χωροῦντας ἔδει τὰ σώματα πατεῖν, [e] οἱ δὲ ἐπιβαίνοντες οὔτε ἔφριττον, οὔτε ἠλέουν, οὔτε [f] κληδόνα κακὴν σφῶν αὐτῶν ὑπελάμβανον τὴν εἰς τοὺς κατοιχομένους ὕβριν· πεφυρμένοι δ᾽ ὁμοφύλῳ φόνῳ τὰς δεξιὰς, ἐπὶ τὸν πρὸς τοὺς ἀλλοφύλους πόλεμον ἐξέθεον, ὀνειδίζοντες, ἔμοιγε δοκεῖν, τὸ θεῖον εἰς βραδυτῆτα τῆς [g] ἐπ᾽ αὐτοῖς κολάσεως. οὐ γὰρ ἐλπίδι νίκης ὁ πόλεμος, ἤδη δ᾽ ἀπεγνωσμένης σωτηρίας ἐθρασύνετο. Ῥωμαῖοι δὲ, καίτοι πολλὰ περὶ τὴν τῆς ὕλης συγκομιδὴν ταλαιπωρούμενοι, τὰ χώματα διήγειραν μιᾷ καὶ εἴκοσιν ἡμέραις, κείραντες ὡς προείρηται τὴν περὶ τὸ ἄστυ χώραν, ἐπ᾽ ἐνενήκοντα σταδίους ἐν κύκλῳ πᾶσαν. [h] ἦν

CAP. I.

Quod Judæorum calamitates magis ingraveſcebant: utque in Antoniam impreſſionem faciunt Romani.

At enim Hieroſolymorum calamitates quotidie ingraveſcebant, cum & ſeditioſi magis irritarentur adverſis incluſi, & fames in populum graſſata jam & ipſos depaſceretur. Quin & multitudo congeſtorum in civitate cadaverum & viſu horrenda erat, odoremque peſtiferum emittebat, qui pugnantium excurſibus impedimento erat. Nam incedentes, veluti per aciem plurima cæde exercitati; conculcare corpora neceſſe habebant; quique ſuper eis graderentur neque horrebant neque miſerabantur, neque malum omen ſibi ducebant contumeliam in mortuos: gentili autem cæde dextras pollutas habentes, ad bellum cum alienigenis excurrebant, tanquam exprobrantes Deo (ut mihi videtur) ſupplicii ſui tarditatem. non enim ſpe victoriæ, ſed deſperatione ſalutis jam ferociter gerebatur bellum. Romani autem, quamvis in aggreganda materia valde laborarent, aggeres tamen intra dies XXI. excitarunt, attonſa, ut jam ante dictum eſt, omni in orbem circa civitatem regione ad XC. ſtadia. Erat autem

Cumuli mortuorum in urbe.

Aggeres brevi à Romanis excitati.

a Τῶν τε στασιαστῶν] Ita *Big.* & *Ruf.* τῶν στασιαστῶν in *cæteris.*
b Ἐν ταῖς συμφοραῖς.] Illud ἐν non agnoſcit *Ruf.*
c Πρός τε τὰς] Πρὸς δὲ *Big.*
d Γεγυμνασμένους,] Γεγυμνασμένοι *Gall.* & *Lugd. Bat.*
e Οἱ δὲ ἐπιβαίνοντες] Οἱ δ᾽ ἐπιβαίνοντες *Big.*
f Κληδόνα κακὴν] Conf. infr. c. 5. §. 3. Spanh.
g Ἐπ᾽ αὐτοῖς κολάσεως.] Ἐπ᾽ αὐτοὺς *Big.*
h Ην δὲ ἐλεεινὴ καὶ ἡ τῆς γῆς ὄψις.] Ita *Big. Lugd. Bat.* & *Vat.* antea erat, ἦν δὲ πάντα ἐλεεινὴ καὶ γῆς ὄψις.

ἡ ὄψις

autem miſerabilis etiam terræ facies: nam quæ antea arboribus & hortis ornata fuerant *loca*, ea tunc undique deſerta ſylvis acciſis cernebantur. nec ullus qui antea Judæam viderat alienigena, & ſuburbana pulcherrima civitatis, cum ejus ſolitudinem tunc cerneret, lachrymas continere poterat, & mutationem non gemere, quæ & quanta fuerit, quippe omnia pulchritudinis veſtigia deleverat bellum: nec ſi quis ſubito adveniſſet qui locum prius noverat, eum cognoſceret, ſed præſens quæreret civitatem.

Mutata facies urbis.

2. Aggerum autem opus finitum Romanis pariter ac Judæis in cauſa erat ut timere inciperent. namque hi, niſi eos quoque exurerent, captum iri civitatem putabant: Romani vero, eam haud unquam ſe capturos eſſe, ſi & iſti deſtruerentur. materia quippe eos defecerat, & labore quidem militibus attrita erant corpora, crebris vero adverſis caſibus animis deficiebant. Porro eveniebat ut ex civitatis calamitatibus Romani magis animos deſponderent, quam qui in ea erant. nam propter iſtiuſmodi clades pugnatores nihilo ſegniores habebant, ipſis interim fracta ſpe & debilitata, cum aggeres inſidiis, machinæ ſoliditati muri, pugnaque manibus conſerta audaciæ confligentium cederent. Maximè vero, cum & ſeditione & fame & bello ſuperiorem animi fortitudinem Judæos habere comperirent, virorum quidem inſuperabiles eſſe impetus, animos vero in calamitatibus terrore invictos gerere arbitrabantur. quid enim non ſuſtineant proſperis in rebus, qui malis ad virtutem incitarentur? Et illi quidem propterea validiores aggeribus adhibebant cuſtodias.

Romani à Judæis terrentur.

3. Joannes autem ejuſque ſocii, apud Antoniam ſimul & futuris, ſi disjiceretur murus, proſpiciebant; &, antequam arietes admoverentur, impetum faciebant in opera. Non tamen illis ſucceſſit conatus. Sed cum facibus progreſſi, priuſquam aggeribus appropinquarent, ſpe ſua fruſtrati reverterunt. Nam primum ne concordare quidem videbatur eorum conſilium, paulatim, & per intervalla, & cunctanter, non ſine metu exſilientium, atque, ut ſummatim dicam, non Judæorum more. Simul enim illis deerant quæ gentis propria, audacia, impetus, conjunctuſque omnium curſus, & ſine offenſione revertere. Languidiores vero progreſſi, quam ſolebant, etiam Romanos acie ſolito validiori ſtantes inveniebant: qui corporibus quidem atque armis ita undique aggeres ſepſerunt, ut nuſquam igni aditum relinquerent; animo vero quiſque eatenus confirmato erat, ut prius moreretur quam loco cederet. nam præterquam quod omnis ſpes illis præcideretur, ſi etiam iſta opera forent exuſta, magno ſibi pudori eſſe ducebant milites, ſi per omnia cederet aut calliditati virtus, aut arma temeritati, aut peritia multitudini, aut Romani Judæis. Simul autem & machinæ obſidionales pro illis faciebant, miſſilia ad eos uſque conjicientes qui è *muro* proſiliebant, & cum quis cecidiſſet ſubſequuturo moram injiciebat, periculumque ultra

Judæi cum facibus aggerem aggrediuntur.

Audacia & impetus Judæorum decrevit.

δὲ ἐλεεινὴ καὶ τῆς γῆς ἡ θέα. τὰ γὰρ πάλαι δένδρεσι καὶ παραδείσοις κεκοσμημένα τότε πανταχόθεν ἠρήμωτο καὶ περιεκέκοπτο τῆς ὕλης. οὐδείς τε τῶν πάλαι Ἰουδαίαν καὶ τὰ περικαλλῆ προάστεια τῆς πόλεως ἑωρακὼς ἀλλόφυλος, ἔπειτα τὴν τότε βλέπων ἐρημίαν, οὐκ [i] ὠλοφύρατο, καὶ κατεστέναξε τὴν μεταβολὴν παρ' ὅσον γένοιτο. πάντα γὰρ ἐλυμήνατο τὰ σημεῖα τοῦ κάλλους ὁ πόλεμος, καὶ οὐκ ἄν τις ἐξαπίνης ἐπιστὰς τῶν [k] προεγνωκότων ἐγνώρισε τὸν τόπον, ἀλλὰ παρὼν ἐζήτει τὴν πόλιν.

β'. Ῥωμαίοις δὲ καὶ Ἰουδαίοις τὸ τέλος τῶν χωμάτων [l] ἴσην ἐνεποίει δέους ἀρχήν. οἱ μὲν γὰρ, εἰ μὴ καὶ ταῦτα καύσειαν, ἁλώσεσθαι τὴν πόλιν προσεδόκων· Ῥωμαῖοι δὲ, οὐκ ἂν ἔτι αἱρήσειν, κἀκείνων διαφθαρέντων. ὕλης γάρ τε ἦν ἀπορία, καὶ τῶν μὲν πόνων ἤδη τὸ σῶμα, τῶν δ' ἐπαλλήλων πταισμάτων αἱ ψυχαὶ τοῖς στρατιώταις ἐλείποντο. τάς γε μὴν κατὰ τὴν πόλιν συμφορὰς, Ῥωμαίοις πλέον εἶναι συνέβαινε πρὸς ἀθυμίας, ἢ τοῖς ἐν αὐτῇ. παρὰ γὰρ τὰ τηλικαῦτα πάθη τοῖς μαχομένοις οὐδὲν ἐχρῶντο μαλακωτέροις, ἀλλ' ἔθραυον πάντοτε τὰς ἐλπίδας, τῶν μὲν χωμάτων ταῖς ἐπιβουλαῖς, τῶν δὲ ὀργάνων στερρότητι τοῦ τείχους, τῶν δὲ κατὰ χεῖρα μάχης ταῖς τῶν συμπλεκομένων τόλμαις πλεονεκτούμενοι. τὸ δὲ μέγιστον, στάσεώς τε, καὶ λιμοῦ [m] καὶ πολέμου, καὶ τοσούτων κακῶν εὑρίσκοντες ἐπάνω τὸ [n] παράστημα τῆς ψυχῆς Ἰουδαίους ἔχοντας, ὑπελάμβανόν τε τῶν ἀνδρῶν ἀμάχους μὲν τὰς ὁρμὰς, ἀνάλωτον δὲ τὴν ἐπὶ συμφοραῖς εὐθυμίαν εἶναι. τί γὰρ ἂν μὴ ὑποστῆναι δεξιᾷ τύχῃ χρωμένους, τοὺς ὑπὸ κακῶν πρὸς ἀλκὴν τρεπομένους; οἱ μὲν οὖν ἐρρωμενεστέρας διὰ ταῦτα τῶν χωμάτων ἐποιοῦντο τὰς φυλακάς.

γ'. Οἱ δὲ περὶ τὸν Ἰωάννην, κατὰ τὴν Ἀντωνίαν ἅμα καὶ πρὸς τὸ μέλλον, εἰ καταῤῥιφθείη τὸ τεῖχος, ἠσφαλίζοντο καὶ, πρὶν ἐπιστῆναι τοὺς κριοὺς, ἐπέθεντο τοῖς ἔργοις. οὐ μὴν ἐκράτησάν γε τῆς ἐπιχειρήσεως. [o] ἀλλὰ προελθόντες μετὰ λαμπάδων, πρὶν ἐγγίσαι τοῖς χώμασι, ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν. πρῶτον μὲν γὰρ, οὐδὲ ὁμονοεῖν ἡ σκέψις αὐτῶν ἐδόκει, κατὰ μέρος ἐκπηδώντων, κἀκ διαλειμμάτων, καὶ μεμελλημένως μετὰ δέους, καθόλου τ' εἰπεῖν, οὐκ Ἰουδαϊκῶς. τὰ γὰρ ἴδια τοῦ [p] ἔθνους [q] ὑστέρητο ἅμα, ἡ [r] τόλμα, καὶ ὁρμὴ, καὶ δρόμος ὁμοῦ πάντων, [s] καὶ τὸ μηδὲ [t] πταίοντας ἀναστρέφειν. ἀτονώτεροι δὲ ἑαυτῶν προελθόντες, καὶ τοὺς Ῥωμαίους εὗρον ἐρρωμενεστέρους τοῦ συνήθους παρατεταγμένους. τοῖς μέν γε σώμασι καὶ ταῖς πανοπλίαις οὕτως ἔφραξαν τὰ χώματα πάντοθεν, ὡς τῷ πυρὶ μηδαμόθεν καταλιπεῖν [u] παρείσδυσιν. τὴν δὲ ψυχὴν [x] ἐτόνωσαν ἕκαστος, μὴ μετακινηθῆναι τῆς [y] τάξεως πρὸ θανάτου. [z] πρὸς γὰρ τὸ πάσας αὐτῶν ὑποκόπτεσθαι τὰς ἐλπίδας, εἰ κἀκεῖνα καταφλεγείη τὰ ἔργα, δεινὴ τοὺς στρατιώτας εἶχεν αἰδὼς, εἰ πάντα [a] κρατήσειαν, πανουργία μὲν ἀρετῆς, ἀπόνοια δὲ ὅπλων, πλῆθος δὲ ἐμπειρίας, Ἰουδαῖοι δὲ Ῥωμαίων. ἅμα δέ τι καὶ τὰ [b] ἀφετήρια συνήργει τῶν προπηδώντων ἐφικνούμενα, καὶ πεσών τις [c] τῷ μεθ' ἑαυτὸν ἐμπόδιον ἦν, ὅ, τε κίνδυνος [d] τοῦ πρόσω

χωρεῖν

i Ὠλοφύρατο,] Ὠλοφύρετο Big.
k Προεγνωκότων] Τῶν οὐ προεγνωκότων Big.
l Ἴσην ἐνεποίει δέους ἀρχήν.] Ἴσον μὲν ἐποίει Big.
m Καὶ πολέμου,] Abeſt a *L. B.*
n Παράστημα τῆς ψυχῆς.] Conf. ſupr. lib. 2. c. 18. §. 5. & lib. 4. c. 3. §. 11. Spanh.
o Ἀλλὰ προελθόντες] Ἀλλὰ καὶ προελθόντες Big. & *L. B.*
p Ἔθνους] ἔθους Gen. ἤθους *Rufin.* Spanh. ἤθους quoque ediderat Huds. ſed ex verſione apparet ἔθνους voluiſſe, quod *Ruf.* quoque comprobat Hav.
q Ὑστέρητο ἅμα,] Ὑστερεῖτο Big.
r Τόλμα,] Τόλμα καὶ ἡ ὁρμὴ Big.
s Καὶ τὸ μηδὲ] Et neque poſt cladem deceptam recedentes. Spanh.
t Πταίοντας ἀναστρέφειν.] Παίοντας Big.
u Παρείσδυσιν] Παρεισδύσιν Big. Conf. ſupr. lib. 5. c. 7. §. 9. Spanh.
x Ἐτόνωσαν] Ἐτόνωσαν Big. Conf. ſupr. lib. 3. c. 1. §. 10. Spanh.
y Τάξεως πρὸ θανάτου.] Παρατάξεως Big.
z Πρὸς γὰρ τὸ πάσας] Πρὸς γὰρ τῷ & mox κόπτεσθαι Big.
a Κρατήσειαν,] Κρατήσειεν Big.
b Ἀφετήρια] Conf. ſupr. lib. 2. c. 19. §. 9. Spanh.
c Τῷ μεθ' ἑαυτὸν] Τῶν μεθ' ἑαυτὸν Big.
d Τοῦ πρόσω χωρεῖν] Ita ex conjectura. antea erat τῷ μὴ πρόσω χωρεῖν in *Editis* & *MSS.*

e Νυμ.

χωρεῖν ἐποίει μαλακωτέρους. τῶν δ' ἐνδοτέρω βέλους ὑποδραμόντων, οἱ μὲν πρὶν εἰς χεῖρας ἐλθεῖν τὴν εὐταξίαν καὶ τὸ πύκνωμα τῶν πολεμίων καταπλαγέντες, οἱ δὲ νυττόμενοι τοῖς ξυστοῖς ὑπαλινδρόμουν καὶ τέλος, ἀλλήλους κακίζοντες εἰς δειλίαν, ἀνεχώρουν ἄπρακτοι. [e] νουμηνίᾳ Πανέμου μηνὸς ἡ ἐπιχείρησις ἦν. ἀναχωρησάντων δὲ [f] τῶν Ἰουδαίων, προσῆγον οἱ Ῥωμαῖοι τὰς ἑλεπόλεις, βαλλόμενοι πέτραις τε ἀπὸ τῆς Ἀντωνίας, καὶ πυρὶ καὶ σιδήρῳ, καὶ παντὶ τῷ χορηγουμένῳ Ἰουδαίοις ὑπὸ τῆς ἀνάγκης βέλει. καίτοι γὰρ πολὺ τῷ τείχει πεποιθότες, καὶ τῶν ὀργάνων καταφρονοῦντες, ὅμως ἐκώλυον τοὺς Ῥωμαίους προσάγειν. οἱ δὲ τὴν σπουδὴν τῶν Ἰουδαίων τοῦ μὴ πληγῆναι τὴν Ἀντωνίαν ὑπολαμβάνοντες γίνεσθαι δι' ἀσθένειαν τοῦ τείχους, καὶ σαθροὺς ἐλπίσαντες εἶναι τοὺς θεμελίους, ἀντεφιλονείκουν. [g] οὐ μὴν ὑπήκουε τὸ τυπτόμενον· ἀλλ' οἱ μὲν συνεχῶς βαλλόμενοι, καὶ πρὸς μηδένα τῶν καθύπερθεν κινδύνων ἐνδιδόντες, ἐνεργοὺς παρεῖχον τὰς [h] ἑλεπόλεις. ὡς δ' ἦσαν ἐλάττους, καὶ περιεθραύοντο ταῖς πέτραις, ἕτεροι τοὺς θυρεοὺς ὀροφώσαντες ὑπὲρ τῶν σωμάτων, χερσὶ καὶ μοχλοῖς ὑπώρυττον τοὺς θεμελίους, καὶ τέσσαράς γε λίθους προσκαρτερήσαντες ἐξέσεισαν. ἀνέπαυσε δὲ νὺξ ἑκατέρους, καὶ ἐν ταύτῃ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σεσαλευμένον, [i] καθ' ὃ τοῖς προτέροις ἐπιβουλεύων χώμασιν ὁ Ἰωάννης ὑπώρυξεν, ἐνδούσης [k] τῆς [l] διώρυχος, ἐξαπίνης [m] κατερείπεται.

δ'. Τούτου συμβάντος παραδόξως, ἑκατέροις [n] διετέθη τὰ φρονήματα. Ἰουδαίους μὲν γὰρ, οὓς ἀθυμεῖν εἰκὸς ἦν τῷ παρ' ἐλπίδα γενέσθαι τὸ πτῶμα, καὶ μὴ προησφαλίσθαι πρὸς αὐτὸ, θαρρεῖν ὡς μενούσης συνέβαινε τῆς Ἀντωνίας· Ῥωμαίων δέ γε τὴν παρ' ἐλπίδα χαρὰν ἐπὶ τῷ καταρριφθέντι ταχέως ἔσβεσεν ὄψις ἑτέρου τείχους, ὅπερ ἔνδοθεν οἱ περὶ τὸν Ἰωάννην ἀντῳκοδομήκεσαν. εὐμαρεστέρα μέν γε τῆς προτέρου ἡ προσβολὴ κατεφαίνετο. τότε γὰρ ἀναβῆναι διὰ τῶν καταρριφθέντων ῥᾷον ἐδόκει, καὶ τὸ τεῖχος ἀσθενέστερόν τε πολλῷ τῆς Ἀντωνίας, καὶ ταχέως τῷ πρόσκαιρον εἶναι [o] λύειν ὑπελάμβανον. οὐ μὴν ἐτόλμα τις ἀναβαίνειν· πρόπτος γὰρ τοῖς ἀρξαμένοις ἦν ἀπώλεια.

ε'. Νομίζων δ' ὁ Τίτος ἐγείρεσθαι μάλιστα τὰς τῶν πολεμούντων προθυμίας ἐλπίδι καὶ λόγῳ, τάς τε προτροπὰς καὶ τὰς ὑποσχέσεις πολλάκις μὲν λήθην [p] ἐργάζεσθαι τῶν κινδύνων, ἔστι δ' ὅτε καὶ θανάτου καταφρόνησιν, συναγαγὼν ἐπὶ ταυτὸ τοὺς ἀλκίμους, ἐπειρᾶτο τῶν ἀνδρῶν, „ὦ συστρατιῶται, λέγων, τὸ μὲν [q] παρακελεύειν ἐπὶ τὰ μὴ φέροντα κίνδυνον, αὐτόθεν τοῖς „παρακελευομένοις ἀκλεὲς, ἀμέλει δὲ καὶ τῷ παρακελεύοντι φέρει κατάγνωσιν ἀνανδρίας. δεῖ δ' οἶμαι „προτροπῆς εἰς μόνα τὰ σφαλερὰ τῶν πραγμάτων, „ὡς ἐκεῖνά γε καθ' αὑτοὺς πράττειν ἄξιον. ὥστ' ἔγω„γε τὸ μὲν ὑπάρχειν χαλεπὴν τὴν ἐπὶ τὸ τεῖχος „ἄνοδον, αὐτὸς ὑμῖν προτίθημι· τὸ δ' ὅτι μάλιστα „προσήκει μάχεσθαι τοῖς δυσκόλοις τοὺς ἀρετῆς ἐφιε„μένους, καὶ ὅτι καλὸν ἐν εὐκλείᾳ τελευτὴ, καὶ ὡς οὐκ „ἄκαρπον ἔσται τοῖς καταρξαμένοις τὸ γενναῖον, διέ„ξειμι. πρῶτον μὲν οὖν [r] ὑμῖν γινέσθω προτροπὴ, τὸ

progrediendi remiſſiores efficiebat. Qui vero intra teli jactum ſe proripuerant, alii, priuſquam ad manus ventum eſſet, diſciplina hoſtium & denſitate perterriti, alii ſpiculis vulnerati retrocedebant: tandemque, alius alium timiditatis arguens, re infecta revertebantur. Primo menſis Panemi die cœpta eſt oppugnatio. Judæis autem inde digreſſis, Romani helepoles admovère, quamvis ab Antonia ſaxis peterentur & igni & ferro, teliſque omnigenis quæ Judæis ſuppeditaret neceſſitas. Nam licet mœnibus multum confiderent Judæi, machinaſque contemnerent, tamen eas applicare prohibebant Romanos. Illi autem Judæorum ſtudium ne læderetur Antonia ex murorum infirmitate eſſe arbitrantes, ratique eam fragilibus niti fundamentis, ex adverſo *modis omnibus* contendebant. Nec tamen quod feriebatur ictibus cedebat: ſed ipſi quidem crebris in ſe miſſilibus jactis, cum nulli periculo deſuper venienti ſuccumberent, eo perducebant helepoles ut agendi vim haberent. At cum inferiores eſſent, ac lapidibus comminuerentur, alii ſcutis ſuper corpora concameratis ſundamenta manibus & vectibus ſuffodiebant, atque ſaxa quatuor obſtinato labore amoliti ſunt. Nox autem prælium utrinque diremit: atque in ea, murus arietibus quaſſatus, qua Joannes, cum prioribus aggeribus inſidiaretur, eum ſuffoderat, ſubſidente cuniculo, repente corruit.

Judæi ſe ipſos timiditatis arguunt.

Romani oppugnant Antoniam.

Muri pars ſubito corruit.

4. Cum hoc præter opinionem accidiſſet, utrique *diverſe* animis affecti erant. Nam Judæi quidem, quos anxios & dejectos eſſe veriſimile erat, quod præter exſpectationem inciderit ruina, & adverſus eam nihil præcaverant, tanquam acciderat manente Antonia, confidebant: Romanorum vero inopinatam lætitiam è proſtrato *conceptam* cito reſtinxit muri alterius conſpectus, quem poſt illum Joannes cum ſuis ædificaverat. Veruntamen priori facilior oppugnatu apparebat. Tunc enim & aſcenſum per ruinas promptiorem videri, & Antonia multo infirmiorem eſſe murum, quodque temporarius eſſet cito deſtrui poſſe exiſtimabant. Nemo tamen eum audebat aſcendere, quod primo tentantibus præſentiſſimum impenderet exitium.

Romani & Judæi qualiter ex eo affecti.

5. Titus vero ſpe atque oratione putans alacritatem pugnantium quam maxime excitari, & adhortationes atque promiſſa facere ut ſæpe in oblivionem veniant periculorum, atque mors ipſa interdum contemnatur, fortiſſimis in concionem congregatis experiebatur eos, dicens, „Hortari „quidem ad ea, commilitones, quæ ſine peri„culo geri poſſunt, ſubinde & ipſis qui rogan„tur inglorium eſt, ipſumque certe qui rogat „ignaviæ arguit. Non opus eſſe puto exhortatio„ne, niſi cum res periculoſæ ſint; quas ſcilicet „per ſe quemque gerere dignum eſt. Quare ego „partim quidem difficilem vobis in murum eſſe „aſcenſum ipſe profiteor; partim vero quod deceat „gloriæ cupidos cum difficilibus congredi, quod„que pulchrum ſit cum gloria mori, nec infru„ctuoſum erit primum audere forte facinus, per„ſequor. Et primum quidem vos illud hortetur, „quod

Titus ſuos hortatur.

e Νουμηνίᾳ Πανέμου μηνὸς] Conf. ſupr. lib. 5. c. 13. §. 7. Spanh.

f Τῶν Ἰουδαίων,] Illud τῶν non agnoſcit *Big.*

g Οὐ μὴν ὑπήκουε τὸ τυπτόμενον.] Sic ſupr. lib. 5. c. 6. §. 5. Spanh.

h Ἑλεπόλεις.] Conf. ſupr. lib. 2. c. 18. §. 9. & lib. 5. c. 6. §. 4. Spanh.

i Καθ'] καὶ καθ' *L. B.*

k Τῆς] Sic *Big. Lugd. Ros. Vat. & Ruf.* antea erat ἐνδούσης ἡ διώρυχος.

l Διώρυχος.] Conf. de Vita §. 31. & infr. cap. 7. §. 3.

m Κατερείπεται.] Ita *Big. & Zonar.* κατερρίφθη in *Editis Aliiſque.*

n Διετέθη τὰ φρονήματα.] Eo modo *Big. Vat. & Ruf.* διηγέρθη in *Editis Aliiſque.*

o Λύειν ὑπελάμβανον.] *Λύσειν Big.*

p Ἐργάζεσθαι τῶν κινδύνων,] *Ἐνεργάζεσθαι Big.*

q Παρακελεύειν] Παρακαλεῖν *Big.* & mox παρακαλουμένοις, & παρακαλοῦντι.

r Ὑμῖν γινέσθω προτροπὴ,] Ὑμῶν in aliquot *Codd. MSS.*

quod nonnullos fortaſſe deterreat, Judæorum patientia & in adverſis rebus conſtantia. etenim Romanos meoſque milites, quibus in pace quidem bella diſcere, in bello vero vincere conſuetum eſt, à Judæis manu vel animo ſuperari. turpe eſt, idque in fine victoriæ, cumque à Deo adjuti ſimus. noſtra enim infortunia Judæorum deſperationi accepta debentur: illorum autem clades veſtris virtutibus, quibus auxiliatur Deus, creſcunt. Etenim ſeditio, fames, obſidio, murorumque ſine machinis caſus, quid ſit aliud quam in illos ira Dei, noſtrumque adjumentum? Igitur non ſolum deterioribus inferiores videri, ſed etiam divinum auxilium prodere, vobis non convenit. Quo pacto autem non turpe videatur, Judæos quidem, quibus non magno pudori eſt vinci qui ſervire didicerint, ne in poſterum id patiantur, mortem contemnere, atque in nos medios frequenter excurrere, * non victoriæ ſpe, ſed ad levem virtutis oſtentationem: nos autem totius pene terræ mariſque victores, quibus etiam non vincere probro habetur, otioſos ſedentes, ne ſemel quidem in hoſtem aliquid audaciter expertos, famem ac fortunam illis adverſam cum ejuſmodi armis operiri, idque cum parvo diſcrimine totum poſſitis efficere? Itaque in Antoniam ſi aſcenderimus habebimus civitatem. nam etſi pugnandum ſit adverſum intus poſitos, quod non arbitror, attamen verticibus ac reſpirationi hoſtium inſidere victoriam nobis integram ſpondet & *promittit*. Equidem prætermiſſa nunc eorum laude qui in bello moriuntur, illorumque immortalitate qui Martio furore cadunt, eſt ut illis, qui non adeo fortiter animati ſunt, ex morbo pacis tempore mortem imprecer, quorum anima cum corpore ſepulchro damnatur. Quis enim virorum fortium neſcit, animas in acie quidem ferro corporibus ſolutas puriſſimo ætheris elemento inter aſtra collocari; eaſque manes bonos ac propitios heroas poſteris illorum conſpiciendas dare; quas vero morbus corporis tabeſque conſumpſerit, maculæ licet labiſque puras, ſub terras ire in tenebras & in profundam demergi oblivionem, eundemque memoriæ ſtatui terminum qui ſit & vitæ & corporis. Quod ſi fati neceſſitate mors hominibus decreta eſt, ad eam autem omni morbo levius eſt ferri miniſterium, cui non videatur ignavum negare id in commodum aliorum, quod ut fato debitum reddituri ſumus? Et hæc quidem, quaſi ſervari nequeant qui hoc ipſum aggredientur, proſequutus ſum. Eſt autem iis qui virilem animum gerunt evadendi via etiam è maximis periculis. Nam primum quidem quod dejectum eſt facile aſcenditur: deinde totum quod ædificatum eſt facile diſſolvi poteſt. Voſque plures, ſumpta audacia ad rem aggrediendam, alii aliis incitamento eſtote & auxilio, veſtraque animi fortitudo brevi animos hoſtium franget. & fortaſſe vobis res

τινὰς ἴσως [s] ἀποτρέπον, ἡ Ἰουδαίων μακροθυμία, καὶ τὸ καρτερικὸν ἐν οἷς κακοπαθοῦσιν. αἰσχρὸν γὰρ Ῥωμαίους τε ὄντας καὶ στρατιώτας ἐμοὺς, καὶ διδακτοὺς μὲν ἐν εἰρήνῃ τὸ πολεμεῖν, ἐθίμους δ' ἐν πολέμῳ τὸ κρατεῖν, ἡττᾶσθαι κατὰ χεῖρα Ἰουδαίων ἢ κατὰ ψυχὴν, καὶ ταῦτα πρὸς τέλει τῆς νίκης καὶ συνεργουμένους ὑπὸ τοῦ Θεοῦ. τὰ [t] μὲν γὰρ ἡμέτερα πταίσματα τῆς Ἰουδαίων ἐστὶν ἀπονοίας· τὰ δ' ἐκείνων πάθη ταῖς τε [v] ὑμετέραις ἀρεταῖς καὶ ταῖς τοῦ Θεοῦ συνεργίαις αὔξεται. στάσις γὰρ καὶ λιμὸς, καὶ πολιορκία, καὶ δίχα μηχανημάτων πίπτοντα τείχη, τί ἂν ἄλλ' ἢ Θεοῦ [x] μὲν εἴη μῆνις ἐκείνοις, βοήθεια δ' ἡμετέρα; τὸ τοίνυν μὴ μόνον ἐλαττοῦσθαι χειρόνων, ἀλλὰ καὶ τὴν θείαν συμμαχίαν προδιδόναι, πρὸς ἡμῶν οὐκ ἂν εἴη. πῶς δ' οὐκ αἰσχρὸν, Ἰουδαίους μὲν οἷς [y] πολλὴν αἰσχύνην οὐ φέρει τὸ λείπεσθαι μαθοῦσι δουλεύειν, ὑπὲρ τοῦ μηκέτι τοῦτο πάσχειν θανάτου καταφρονεῖν, καὶ πολλάκις εἰς μέσους ἡμᾶς ἐκτρέχειν, οὐκ ἐλπίδι τοῦ κρατήσειν, [z] ἀλλὰ διὰ ψιλὴν ἐπίδειξιν ἀνδρείας· ἡμᾶς δὲ τοὺς γῆς ὀλίγου δεῖν [a] ἁπάσης καὶ θαλάσσης κρατοῦντας, οἷς καὶ τὸ μὴ νικᾶν ὄνειδος, μηδὲ ἅπαξ εἰς τοὺς πολεμίους παραβάλλεσθαι, [b] περιμένειν δὲ τὸν λιμὸν κατ' αὐτῶν καὶ τὴν τύχην ἀργοὺς καθεζομένους μετὰ τοιούτων ὅπλων, καὶ ταῦτα [c] δι' ὀλίγου τοῦ παραβόλου τὸ πᾶν κατορθῶσαι δυναμένους; ἀναβάντες γοῦν ἐπὶ τὴν Ἀντωνίαν, ἔχομεν τὴν πόλιν. καὶ γὰρ ἂν γίνηταί τις ἔτι πρὸς τοὺς ἔνδον ὅπερ οὐκ οἴομαι, μάχη, τό γε κατὰ [d] κορυφὴν εἶναι, καὶ ταῖς ἀναπνοαῖς ἐπικαθῆσθαι τῶν πολεμίων, ταχέως τὴν ὁλοσχερῆ νίκην ἐγγυᾶται. καὶ ἔγωγε, τὸ μὲν ὑμνεῖν ἄρτι τὴν [e] ἐν πολέμῳ τελευτὴν, καὶ τὴν ἐπὶ τοῖς [f] ἀρειμανίοις πεσοῦσιν ἀθανασίαν παραλείπω, ἐπαρασαίμην δ' ἂν τοῖς ἄλλως ἔχουσι τὸν κατ' εἰρήνην ἐκ νόσου θάνατον, οἷς μετὰ τοῦ σώματος καὶ ἡ ψυχὴ τάφῳ κατακρίνεται. [g] τίς γὰρ οὐκ οἶδε [h] τῶν ἀγαθῶν ἀνδρῶν, ὅτι τὰς μὲν ἐν παρατάξει [i] ψυχὰς, σιδήρῳ τῶν σαρκῶν ἀπολυθείσας, τὸ καθαρώτατον στοιχεῖον αἰθὴρ ξενοδοχῶν ἄστροις ἐγκαθιδρύει· δαίμονες δ' ἀγαθοὶ, καὶ ἥρωες εὐμενεῖς, ἰδίοις ἐγγόνοις ἐμφανίζονται. τὰς δ' ἐν νοσοῦσι τοῖς σώμασι συντακείσας, κἂν τὰ μάλιστα κηλίδων ἢ μιασμάτων ὦσι καθαραὶ, νὺξ ὑπόγειος ἀφανίζει, καὶ λήθη βαθεῖα δέχεται, [k] λαμβάνουσά τε ἅμα τοῦ τε βίου καὶ τῶν σωμάτων ἔτι δὲ τῆς μνήμης περιγραφήν. εἰ δὲ κέκλωσται μὲν ἀνθρώποις ἀναγκαία τελευτὴ, [l] κουφότερος δ' εἰς αὐτὴν νόσου πάσης σίδηρος ὑπηρέτης, πῶς οὐκ ἀγεννὲς μὴ διδόναι ταῖς χρείαις, ὃ τῷ χρεὼν ἀποδώσομεν; καὶ ταῦτα μὲν, ὡς οὐ δυναμένων σωθῆναι τῶν ἐπιχειρησόντων, διεξῆλθον. ἔνεστι δὲ σώζεσθαι τοῖς ἀνδριζομένοις, καὶ ἐκ τῶν σφαλερωτάτων. πρῶτον μὲν γὰρ τὸ καταρριφθὲν εὐεπίβατον· ἔπειτα πᾶν τὸ οἰκοδομηθὲν εὐδιάλυτον. ὑμεῖς τε πλείους, θαρσήσαντες ἐπὶ τὴν πρᾶξιν, ἀλλήλοις προτροπὴ καὶ βοήθεια γίνεσθε, καὶ τοῖς πολεμίοις τὸ ὑμέτερον παράστημα ταχέως κλάσει τὰ φρονήματα. καὶ τάχα ἂν ὑμῖν ἀναί-

s Ἀποτρέπον,] ἀποτρέπει Raſ. mox ἡ Abeſt a L. B.
t Μὲν γὰρ ἡμέτερα πταίσματα] Illud μὲν è *Cod. Big.*
v Ὑμετέραις ἀρεταῖς] Ita *Big. Voſſ.* & *Raſ.* ὑμ. in *aliis.*
x Μὲν εἴη μῆνις ἐκείνοις,] Ita *Big. Vat.* & *Raſ.* μόνη μῆνις in *Editis Aliiſque.*
y Πολλὴν αἰσχύνην] Οὐ πολλὴν αἰσχύνην φέρει *Big.*
z Ἀλλὰ] Abeſt a *Raſ.*
a Ἁπάσης καὶ θαλάσσης] Πάσης καὶ θαλάττης *Big.*
b Περιμένειν] Τὸ περιμένειν *Big.*
c Δι' ὀλίγου τοῦ παραβόλου] δι' ὀλίγου παραβόλου L. B. δι' ὀλίγου παραβόλως *Raſ.*
d Κορυφὴν] Nam & ex Antonia uti ex altiori loco deſcendebatur ad Templum: ita alibi κατιόντων εἰς τὸ ἱερὸν ex Antonia. Rel.
e Ἐν πολέμῳ τελευτὴν,] Ἐν τῷ πολέμῳ *Big.*

f Ἀρειμανίοις] Conf. ſupr. lib. 2. c. 16. §. 4. Spanh.
g Τίς γὰρ οὐκ οἶδε] ἐγὼ οὐκ οἶδα. Rel.
h Τῶν ἀγαθῶν ἀνδρῶν,] Illa τῶν ἀγαθῶν ἀνδρῶν poſſunt referri ad ſequentia.
i Ψυχὰς,] Ita & Ammianus de Alanis lib. 31. *Judicatur ibi beatus qui in prœlio profuderit animam.* Vide & Valer. Max. II. 6. *Cimbri & Celtiberi in acie exultabant tanquam glorioſe & feliciter vita exceſſuri.* Rel.
k Λαμβάνουσά τε ἅμα] Ita *Big.* & *Vat.* antea erat λαμβάνουσι.
l Κουφότερος] Sic *Big.* κουφότερον in *Editis Aliiſque.*

* Non ad ſpem victoriæ, ſed ad indicium fortitudinis & oſtentationem gloriæ, *Pſeudo-Hegeſipp.*

ἀναίμακτον τὸ κατόρθωμα γένοιτο, μόνον καταρξαμένοις. ἀναβαίνοντας μὲν γὰρ κωλύειν πειράσονται κατὰ τὸ εἰκός, λαθόντας δὲ καὶ βιασαμένους ἅπαξ, οὐκ ἂν ὑποσταῖεν ἔτι κἂν ὀλίγοι [m] φθάσητε. τὸν δὲ καταρξάμενον, αἰσχυνοίμην ἄν, εἰ μὴ [n] ποιήσαιμι ζηλωτὸν ἐν ταῖς [o] ἐπικαρπίαις· καὶ ὁ μὲν ζῶν ἄρξει τῶν νῦν ὁμοίων, [p] μακάρια δ' ἀκολουθήσει καὶ τοῖς πεσοῦσι τὰ ἀριστεῖα.

ϛʹ. Τοιαῦτα τοῦ Τίτου [q] διεξιόντος, τὸ μὲν ἄλλο πλῆθος ἔδεισε τοῦ κινδύνου τὸ μέγεθος· τῶν δ' ἐν ταῖς σπείραις στρατευομένων Σαβῖνος τοὔνομα, γένος ἀπὸ Συρίας, ἀνὴρ καὶ κατὰ χεῖρα καὶ κατὰ ψυχὴν ἄριστος ἐφάνη, καίτοι προϊδὼν ἄν τις αὐτὸν ἀπό γε τῆς σωματικῆς ἕξεως οὐ δίκαιον εἶναι στρατιώτην ἔδοξε. μέλας μὲν γὰρ ἦν τὴν χρόαν, ἰσχνός, [r] τὴν σάρκα πεπιλημένος, ἀλλ' ἐνῴκει τις ἡρωϊκὴ ψυχὴ λεπτῷ σώματι, καὶ πολὺ τῆς ἰδίας ἀλκῆς [s] στενοτέρῳ. πρῶτος γοῦν ἀναστάς, „ἐπιδίδωμι [t] σοί Καῖσαρ, ἔφη, προθύμως ἐμαυτόν, πρῶτος ἀναβαίνω [u] τὸ τεῖχος· καὶ εὔχομαι μέν μου τῇ τε ἰσχύϊ καὶ τῇ γνώμῃ τὴν σὴν ἀκολουθῆσαι τύχην. εἰ δὲ νεμεσηθείην [x] τῆς ἐπιβολῆς, ἴσθι με, μὴ [y] πταίσαντα παρ' ἐλπίδας, ἀλλ' ὑπὲρ σοῦ κρίσει τὸν θάνατον ᾑρημένον.“ Ταῦτα εἰπὼν καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ τὸν θυρεὸν ὑπὲρ τῆς κεφαλῆς προκατατείνας, τῇ δεξιᾷ δὲ τὸ ξίφος σπασάμενος, ἐχώρει πρὸς τὸ τεῖχος, μάλιστα περὶ ὥραν τῆς ἡμέρας ἕκτην. εἵποντο δ' αὐτῷ καὶ τῶν ἄλλων ἕνδεκα μόνοι ζηλωταὶ τῆς ἀνδρείας γενόμενοι. προῆγε δὲ πολὺ πάντας ὁ ἀνὴρ ὁρμῇ τινι δαιμονίῳ χρώμενος. οἱ φρουροὶ δ' ἀπὸ τοῦ τείχους κατηκόντιζόν τε αὐτούς, καὶ βέλεσι [z] πάντοθεν ἀπείροις ἔβαλλον, καὶ πέτρας ἐξαισίους κατεκύλιον, αἳ [a] ἐκ τῶν μὲν ἕνδεκα παρέσυραν ἐνίους. ὁ δὲ Σαβῖνος ἀπαντῶν τοῖς ἀφιεμένοις, καὶ καταχωννύμενος ὑπὸ τῶν βελῶν, οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν ἢ γενέσθαι ἐπ' ἄκρῳ, καὶ τρέψασθαι τοὺς πολεμίους. καταπλαγέντες γὰρ αὐτοῦ τήν τε δύναμιν οἱ Ἰουδαῖοι, καὶ τὸ παράστημα τῆς ψυχῆς, ἅμα δὲ καὶ πλείους ἀναβεβηκέναι δόξαντες ἐτράπησαν. ἔνθα δὴ καταμέμψαιτ' ἄν τις ὡς φθονερὰν ἐπὶ ταῖς ἀρεταῖς τὴν τύχην, καὶ κωλύουσαν ἀεὶ τὰ παράδοξα τῶν κατορθωμάτων. ὁ γοῦν ἀνὴρ οὗτος ὅτε ἐκράτησε [b] τῆς ἐπιβολῆς ἐσφάλη, καὶ πταίσας [c] πρός τινα πέτραν, [d] πρηνὴς [e] ἐπ' αὐτῆς μετὰ μεγίστου ψόφου κατέπεσεν. ἐπιστραφέντες δ' οἱ Ἰουδαῖοι καὶ κατιδόντες μόνον τε αὐτὸν καὶ πεπτωκότα, πάντοθεν ἔβαλλον. ὁ δ' [f] εἰς γόνυ διαναστάς, καὶ προκαλυψάμενος τὸν θυρεόν, τὸ μὲν πρῶτον [g] ἠμύνατο, καὶ πολλοὺς τῶν πλησιασάντων ἔτρωσεν. αὖθις δ' [h] ἀπὸ πλήθους τραυμάτων παρῆκε τὴν δεξιάν, καὶ τέλος, πρὶν ἀποδοῦναι τὴν ψυχήν, κατεχώσθη τοῖς βέλεσιν· ἀνὴρ ἄξιος μὲν ἀμείνονι [i] χρήσασθαι δι' ἀνδρείαν τύχῃ, πεσὼν δὲ τῆς [k] ἐπιβολῆς ἀναλόγως. τῶν δ' ἄλλων τρεῖς μὲν τοὺς ἤδη πρὸς τοῖς ἄκροις ὄντας συντρίψαντες ἀπέκτειναν τοῖς λίθοις· οἱ δ' ὀκτὼ τραυματίαι κατασυρέντες, ἀνεκομίσθησαν εἰς τὸ στρατόπεδον. ταῦτα μὲν οὖν τρίτῃ Πανέμου μηνὸς ἐπράχθη.

„ ſine ſanguine ſucceſſerit, ſi eam tantum cœperitis. Nam aſcendentes quidem ab illis prohiberi veriſimile eſt: ſi vero clam vel etiam per vim aliquid ſemel egeritis, non erit ut vos ſuſtineant, ſi pauci id facere occupaveritis. Me autem profecto pudeat, niſi qui primus murum conſcenderit invidendum remunerationibus fecero: & qui vixerit quidem iis imperabit, qui nunc ipſi æquales habentur; beatiſſima vero etiam eos ſequentur præmia, qui ceciderint.

Sabinus vir fortiſſimus.

6. Talia cum diceret Titus, cætera quidem multitudo periculi magnitudinem pertimuit: eorum vero unus qui in cohortibus militarent, Sabinus nomine, Syrus natione, vir & animo & manu fortiſſimus apparuit, etiamſi qui illum intuitus virtutem habitu corporis menſus fuiſſet, eum ne juſtum quidem militem eſſe crediſſet. etenim colore niger erat, corpore gracilis & piloſus, ſed in tenui corpore & viribus ejus anguſtiore heroica quædam virtus habitabat. Cum primus itaque ſurrexiſſet, „dedo me, inquit, tibi alacri animo, Cæſar, & ante omnes in murum aſcendo: atque opto quidem ut vires ac voluntatem meam ſequatur fortuna tua. * quod ſi quis indignans facinus audax mihi inviderit, ſcito me non præter ſpem, ſi res aliter ceſſerit, ſed quòd ſic decreverim, pro te moriturum.“ His dictis, & ſcuto lævâ capiti prætenſo, ſtrictoque dexterâ gladio, hora quidem diei ſexta murum petebat. Eumque ex aliis ſequebantur, qui ſoli ejus virtutem æmulati ſunt, viri undecim. Ille autem omnes multo antecedebat, impulſu quodam divino incitatus. At vigiles è muro jaculis eos petebant, & tela undique innumera jaciebant, inſuper & ſaxa ingentia devolvebant, quibus aliquot ex undecim dejecti ſunt. Sabinus autem miſſilibus occurrens, teliſque *pene* obrutus, non prius deſtitit ab impetu, quam in ſummum murum evaſiſſet & hoſtes fugaſſet. nam Judæi, tam viribus illius attoniti quam animi fortitudine, ſimulque plures aſcendiſſe rati, in fugam verſi ſunt. Unde eſt quod fortuna *non immerito* incuſetur, ut quæ virtutibus invideat, ſemperque præclaris obſtet facinoribus. Siquidem hic vir, † cum quod aggreſſus eſt ſuperaſſet, lapſus eſt, ſaxoque cuidam impactus maximo cum ſonitu *armorum* pronus in eum decidit. Quo factum eſt, ut Judæi converſi, ubi ſolum & jacentem vidêre, undique eum peterent. Ille autem genu nixus & ſcuto protectus, primo quidem ſemet defendit, multoſque ad ipſum accedentes fauciavit; poſtea vero vulnerum multitudine dextram laxavit, & ad extremum, priuſquam animam redderet, telis eſt obrutus: vir ſane pro fortitudine dignus meliori fortuna, haud ſecus tamen ac pro cœpti facinoris difficultate cecidit. E cæteris autem tres quidem qui jam ad ſummum evaſerant, lapidibus obtritos occiderunt, octo vero faucii detracti & in caſtra relati ſunt. Et hæc quidem tertio die menſis Panemi geſta ſunt.

Cum XI. aliis murum aggreditur.

Cum tribus ſociis perit.

7. Bi-

m Φθάσητε.] Ita ex MSS. φθάσητε] in Editis.
n Ποιήσαιμι ζηλωτὸν] Ποιησαίμην Big.
o Ἐπικαρπίαις] Conf. ſupr. lib. 1. c. 16. §. 3. Spanh.
p Μακάρια δ' ἀκολουθήσει] Μακάριοι Big. Voſſ. Raſ. & Bod.
q Διεξιόντος,] Διεξελθόντος Big.
r Τὴν σάρκα πεπιλημένος.] Philo Qu. Prob. Liber. p. 869. A. ὑπὸ πολυσάρκου σαρκῶν πεπιλημένου, de robuſto & carnoſo Athleta. Unde corruptus videtur hic Joſephi locus, niſi de carnoſo nimium, ſeu carnis mole nimia laborante ſumatur. Spanh.
s Στενοτέρῳ.] γυμνοτέρα L. B.
t Σοὶ Καῖσαρ.] Ibid σοὶ è MSS. & Raſ.
u Τὸ τεῖχος.] Τοῦ τείχους Big.
x Τῆς ἐπιβολῆς.] In ora Cod. Big. τοῦ ἐγχειρήματος.
y Πταίσαντα παρ' ἐλπίδας.] Πταίσαντα Voſſ.
z Πάντοθεν] πανταχόθεν Raſ.
Tomus II.

a Ἐκ] Abeſt a L. B.
b Τῆς ἐπιβολῆς ἐσφάλη.] Conf. ſupr. lib. 5. c. 5. §. 1. Spanh.
c Πρός τινα πέτραν,] Πρός τινι πέτρᾳ Zonar.
d Πρηνὴς] Conf. Antiq. lib. 1. c. 32. §. 1. Spanh.
e Ἐπ' αὐτῆς μετὰ μεγίστου ψόφου κατέπεσεν.] Ἐπ' αὐτὴν Big. Voſſ. & Bod. ἐν αὐτῇ Zonar.
f Εἰς γόνυ διαναστάς,] Εἰς τὸ γόνυ Big.
g Ἠμύνατο,] Ἠμύνετο Big. & Zonar.
h Ἀπὸ πλήθους τραυμάτων] Ὑπὸ πλήθους Big.
i Χρήσασθαι δι' ἀνδρείαν τύχῃ,] Χρήσασθαι Big.
k Ἐπιβολῆς] Conf. ſupr. lib. 5. c. 5. §. 1. Spanh.
* Quod ſi cœpto caſus inviderit, Raſ. Si deſtitueretur ſecundis, nihil præter ſpem ſibi accidere, qui judicio proprio delegiſſet pro Cæſare mori, Pſeudo-Hegeſipp.
† Cum quod aggreſſus eſt ſuperaſſet, lapſus eſt.] Ubi ſuperavit, ab aggreſſione decidit. Spanh.

II. *Viginti è cuſtodibus aggrediuntur Antoniam.* 7. Biduo autem poſt viginti de numero cuſtodum, per aggeres excubantium, congregati, ſigniferum quidem legionis quintæ, & duces quoſdum ex ala equitum, atque unum tubicinem ad ſe vocant. hora autem noctis nona tacite per ruinas ad Antoniam progrediuntur: occiſiſque primis cuſtodibus qui obdormierant, murum occupant, & buccina ſignum dari juſſerunt. quo cæteri quidem vigiles ſubito exſuſcitantur, fugiuntque priuſquam numerum eorum qui aſcenderunt diſcernere potuerant. Nam & timor & turba faciebant ut magna hoſtium multitudo aſcendiſſe crederetur. Cæſar autem ſigno audito exercitum propere armari jubet, & cum ducibus primus, lectorum manu comitatus, aſcendit. Cum autem Judæi ad templum confugerent, ipſi quoque per cuniculum, quem Joannes ſubter aggeres Romanorum excavarat, irruebant. diſcretique ab utroque agmine ſeditioſi, tam Joannis quam Simonis, arcebant eos ſumma vi atque alacritate repugnantes. Siquidem excidii finem putabant *locum* ſanctum penetraſſe Romanos, quod & illi pro victoriæ principio *habebant*. Ad ipſum autem aditum acris committitur pugna, his quidem templum vi occupare nitentibus, Judæis vero Antoniam verſus eos repellentibus. Et ſagittæ quidem & haſtæ utriſque inutiles erant, ſtrictis autem gladiis congrediebantur, & in ipſo conflictu diſcerni non poterat ex qua parte quiſque pugnaret, permixtis quidem viris & propter anguſtias permutatis, incerto vero clamore propter ejus magnitudinem ad aures accidente. Quin & multa utrinque cædes erat, & cadentium cadavera ſimul & arma conculcantes frangebant pugnatores. Semper autem ad utram partem vergens prælium gravius eſſet, ſe invicem adhortabantur ſuperantes, cedenteſque ejulatus edebant; & neque fugæ locus erat neque perſecutioni, ſed incerto modo nunc inclinarent, nunc ſe reflecterent, acie mixta confuſaque. Qui vero inter primos ſteterant neceſſe habebant ut *alios* interficerent aut *ipſi* morerentur, quod refugere non daretur: nam & poſteriores utriuſque partis ſuos in frontem urgebant, nullumque dimicantibus ſpatium intermedium relinquebant. Cum autem Judæorum animi Romanorum peritiam vincerent, jamque omnino tota acies inclinaret, à nona enim hora noctis ad ſeptimam diei uſque pugnabant, hi quidem ſimul omnes, etiam excidii periculum
Antonia capitur. pro incitamento ad virtutem habentes, Romani vero parte exercitus, (nondum enim aſcenderant legiones illiſque ſpes pugnantium nitebantur) tunc ſatis eſſe videbatur in præſens Antoniam occupare.

III. *Juliani opera.* 8. Julianus vero quidam centurio ex Bithynia, vir non ignobilis, quem in illo bello & ipſe cognovi, & armorum peritia & corporis viribus & animi fortitudine omnium præſtantiſſimus, ubi Romanos jam cedere & male ſemet defendere conſpexit, (nam Tito apud Antoniam adſtabat) proſiliebat, & Judæos, cum victores eſſent, ſolus in fugam vertit *perſequiturque* ad interioris templi angulum. Fugiebat autem univerſa multitudo, neque

ζ'. Μετὰ δὲ ἡμέρας δύο τῶν προκοιτούντων τινὲς ἐπὶ τοῖς χώμασι φυλάκων εἴκοσι συνελθόντες, προσκαλοῦνται μὲν τὸν τοῦ πέμπτου τάγματος σημαιοφόρον, καὶ δύο τινὰς τῶν ἐν ταῖς ἴλαις ἱππέων, καὶ σαλπικτὴν ἕνα. κατὰ δ' ὥραν τῆς νυκτὸς ἐνάτην, [l] προβαίνουσι μὲν ἡσυχῇ διὰ τῶν ἐρειπίων ἐπὶ τὴν Ἀντωνίαν· ἀποσφάξαντες δὲ τοὺς πρώτους τῶν φρουρῶν [m] κοιμωμένους, κρατοῦσι τοῦ τείχους, καὶ τῷ σαλπικτῇ [n] σημαίνειν ἐκέλευσαν. πρὸς δὲ τῶν μὲν ἄλλων φυλάκων [o] ἐξανάστασίς τε αἰφνίδιος ἦν καὶ φυγὴ, πρίν τινα τὸ πλῆθος [p] ἐπιδεῖν τῶν ἐπιβεβηκότων. ὅ, τε γὰρ φόβος καὶ ἡ σάλπιγξ φαντασίαν αὐτοῖς [q] τοῦ πλήθους ἀναβεβηκέναι πολεμίων παρεῖχε. Καῖσαρ δὲ, τοῦ σημείου κατακούσας, ἐξοπλίζει τήν τε δύναμιν [r] διὰ τάχους, καὶ μετὰ τῶν ἡγεμόνων πρῶτος [s] ἀναβαίνει τοὺς ἐπιλέκτους ἔχων. [t] καταφυγόντων δ' Ἰουδαίων εἰς τὸ ἱερὸν, καὶ αὐτοὶ διὰ τῆς [v] διώρυχος εἰσέπιπτον, ἣν ὁ Ἰωάννης [x] ὑπὸ τὰ χώματα τῶν Ῥωμαίων ὑπώρυξε. καὶ [y] διαστάντες ἀπ' ἀμφοτέρων οἱ στασιασταὶ τῶν ταγμάτων, τοῦ τε Ἰωάννου καὶ τοῦ Σίμωνος, εἶργον αὐτοὺς, οὐδεμίας οὔτε ἰσχύος οὔτε προθυμίας ἐλλείποντες ὑπερβολήν. πέρας γὰρ ἁλώσεως ὑπελάμβανον, τὸ Ῥωμαίους παρελθεῖν εἰς τὸ ἅγιον· ὃ δὴ κἀκεῖνοι, τοῦ κρατεῖν ἀρχήν. συρρήγνυται δὲ περὶ τὰς εἰσόδους μάχη καρτερὰ, τῶν μὲν καταλαβέσθαι καὶ τὸ ἱερὸν εἰσβιαζομένων, τῶν δὲ Ἰουδαίων ἐξωθούντων αὐτοὺς ἐπὶ τὴν Ἀντωνίαν. καὶ τὰ βέλη μὲν ἦν ἀμφοτέροις ἄχρηστα, καὶ τὰ δόρατα. σπασάμενοι δὲ τὰ ξίφη συνεπλέκοντο, καὶ περὶ τὴν συμβολὴν ἄκριτον ἦν ὁποτέρωθεν ἕκαστοι μάχοιντο, πεφυρμένων μὲν τῶν ἀνδρῶν καὶ περὶ τὴν στενοχωρίαν διηλλαγμένων, τῆς δὲ [z] βοῆς ἀσημάντου προσπιπτούσης διὰ τὸ μέγεθος. φόνος τε ἦν ἑκατέρωθεν πολὺς, καὶ τῶν πεσόντων τά τε σώματα καὶ τὰς πανοπλίας [a] πατοῦντες ἔθραυον οἱ μαχόμενοι. ἀεὶ δ' ἐφ' ὁπότερον βρίσειε [b] ῥέπων ὁ πόλεμος, παρακέλευσις μὲν ἦν τῶν πλεονεκτούντων, οἰμωγαὶ δὲ τῶν τρεπομένων. οὔτε δ' αἱ φυγαὶ τόπον εἶχον, οὔθ' αἱ διώξεις, ἀλλ' [c] ἀνώμαλοι ῥοπαὶ καὶ [d] μεταχλίσεις μεμιγμένης ἐγίνοντο τῆς παρατάξεως. τοῖς δ' ἔμπροσθεν γινομένοις ἢ τοῦ κτείνειν ἢ τοῦ θνήσκειν ἀνάγκη παρῆν, οὐκ οὔσης ἀναφυγῆς· οἱ γὰρ κατὰ νώτου, πρόσω βιαζόμενοι τοὺς σφετέρους παρ' ἀμφοῖν, οὐδὲ τῇ μάχῃ μεταίχμιον κατέλιπον. πλεονεκτούντων δὲ τῶν Ἰουδαίων τοῖς θυμοῖς τὴν Ῥωμαίων ἐμπειρίαν, καὶ κλινομένης [e] καθάπαν ἤδη τῆς παρατάξεως, ἀπὸ γὰρ ἐνάτης νυκτὸς ὥρας εἰς ἑβδόμην τῆς ἡμέρας ἐπολέμουν, οἱ μὲν ἀθρόοι, καὶ τὸν τῆς ἁλώσεως κίνδυνον ἔχοντες ἀνδρείας ἐφόδιον, Ῥωμαῖοι δὲ μέρει τῆς δυνάμεως, οὔπω γὰρ [f] ἐπαναβεβήκει τὰ τάγματα, κἀκείνοις ἐπανεῖχον οἱ μαχόμενοι, [g] τότε κρατεῖν τῆς Ἀντωνίας [h] ἀπόχρην ἐπὶ τοῦ παρόντος ἐδόκει.

η'. Ἰουλιανὸς δέ τις ἑκατοντάρχης τῶν ἀπὸ τῆς Βιθυνίας, οὐκ ἄσημος ὢν ἀνὴρ, ὃν ἐγὼ κατ' ἐκεῖνον ἱστόρησα τὸν πόλεμον, ὅπλων τε ἐμπειρίᾳ, καὶ ἀλκῇ σώματος, καὶ ψυχῆς παραστήματι πάντων ἄριστος, ὁρῶν τοὺς Ῥωμαίους ἐνδιδόντας ἤδη καὶ κακῶς ἀμυνομένους, παρειστήκει δὲ Τίτῳ κατὰ τὴν Ἀντωνίαν, προπηδᾷ, καὶ νικῶντας ἤδη τοὺς Ἰουδαίους τρέπεται μόνος μέχρι τῆς τοῦ ἐνδοτέρου ἱεροῦ γωνίας. ἔφευγε δὲ τὸ πλῆθος ἄθρουν, οὔτε τὴν ἰσχὺν, οὔτε τὴν τόλ-

l Προβαίνουσι μὲν ἡσυχῇ] Προβαίνουσι Big. Voſſ. & Bod.
m Κοιμωμένους,] κοιμωμένους Roſt.
n Σημαίνειν] σημαίνειν &c. (σαλπίζειν· Heſychius. Spanh.
o Ἐξανάστασίς τε] Ita Big. ἐξανάστασις αἰφ. in cæteris.
p Ἐπιδεῖν τῶν ἐπιβεβηκότων.] Ἰδεῖν Big.
q Τοῦ πλήθους] τὸ πλῆθος L. B.
r Διὰ τάχους.] Κατὰ τάχος Big.
s Ἀναβαίνει τοὺς ἐπιλέκτους ἔχων.] ἀναβαίνει τοὺς ἐπιλ. ἔχ. L. B. ἀναβαίνει ἔχων ἐπ. deleto τοὺς Roſt.
t Καταφυγόντων δ' Ἰουδαίων] Καταφυγόντων Big.
v Διώρυχος] Conf. de Vita §. 31. Spanh.
x Ὑπὸ τὰ χώματα] Κατὰ τὰ χώματα Big. Lugd. Bat. Vat. & Bod.
y Διαστάντες ἀπ' ἀμφοτέρων] Διαστάντες ἐπ' ἀμφοτέρων Vat. Διαστάντες ἐπ' ἀμφοτέρων Big. Διαστάντες ἀπ' ἀμφ. Roſt.
z Βοῆς ἀσημάντου] Ita in quibuſdam MSS. βοῆς in Editis Aliiſque.
a Πατοῦντες ἔθραυον] Σπαρατοῦντες Big.
b Ῥέπων ὁ πόλεμος,] Ita lego cum Lamb. Boſ. in Animadverſionibus ad Scriptores quoſdam Græcos, p. 103. antea erat ῥέων, quod & agnovit Rufinus, qui vertit fluitans.
c Ἀνώμαλοι ῥοπαὶ] Ἀγχώμαλοι Big.
d Μεταχλίσεις μεμιγμένης] Ita cum Cod. Big. μεταχλίσεως in cæteris.
e Καθάπαν ἤδη] Καθάπαξ Big. & Vat.
f Ἐπαναβεβήκει] Ἀναβεβήκει Vat.
g Τότε κρατεῖν] τό, γε κρατεῖν L. B.
h Ἀπόχρην] Forte ἀποχρῆναι Cocc.

i Του-

τὴν τόλμαν ἀνθρωπίνην [i] ὑπολαμβάνοντες. ὁ δὲ, διὰ μέσων τῶν σκεδαννυμένων ἄλλοτε ἄλλῃ [k] διάττων, ἐφόνευε τοὺς καταλαμβανομένους καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τῷ Καίσαρι θαυμασιώτερον, οὔτε τοῖς ἄλλοις παρέστη φρικωδέστερον. ἐδιώκετο δ' ἄρα καὶ αὐτὸς [l] ὑπὸ τῆς εἱμαρμένης, ἣν ἀμήχανον διαφυγεῖν θνητὸν ὄντα. [m] τὰ γὰρ ὑποδήματα [n] πεπαρμένα πυκνοῖς καὶ ὀξέσιν ἥλοις ἔχων, ὥσπερ τῶν ἄλλων στρατιωτῶν ἕκαστος, καὶ κατὰ [o] λιθοστρώτου τρέχων [p] ὑπολισθαίνει. πεσὼν δ' ὕπτιος, μετὰ μεγίστου τῆς πανοπλίας ἤχου, τοὺς [q] φεύγοντας ἐπιστρέφει. καὶ τῶν μὲν ἀπὸ τῆς Ἀντωνίας Ῥωμαίων ἤρθη βοὴ, [r] περὶ τἀνδρὶ δεισάντων· οἱ δὲ Ἰουδαῖοι περιστάντες [s] αὐτὸν ἀθρόοι, τοῖς τε ξυστοῖς, καὶ ταῖς ῥομφαίαις [t] πάντοθεν ἔπαιον. ὁ δὲ πολὺν μὲν τῷ θυρεῷ σίδηρον ἐξεδέχετο, πολλάκις δ' ἀναστῆναι πειράσας, ὑπὸ τοῦ πλήθους τῶν τυπτόντων ἀνετράπη, [u] καὶ κείμενος δ' ὅμως ἔνυττε τῷ ξίφει πολλούς. οὐδὲ γὰρ ἀνῃρέθη ταχέως, τῷ τε κράνει καὶ τῷ θώρακι πεφραγμένος [x] πάντα τὰ καίρια πρὸς σφαγὴν, καὶ τὸν αὐχένα συνέλκων, μέχρι κοπτομένων αὐτῷ τῶν ἄλλων μελῶν, καὶ μηδενὸς προσαμῦναι τολμῶντος, ἐνέδωκε. δεινὸν δὲ πάθος εἰσῄει [y] Καίσαρα ἀνδρὸς οὕτως ἐναρέτου, καὶ ἐν ὄψει τοσούτων φονευομένου. καὶ αὐτὸν μὲν ὁ τόπος διέκλειε [z] τοῦ βοηθεῖν [a] ἐθέλοντα, τοὺς δυναμένους δὲ κατάπληξις. Ἰουλιανὸς μὲν οὖν πολλὰ [b] δυσθανατήσας, καὶ τῶν [c] κτεινάντων ὀλίγους [d] ἀπλήγας καταλιπὼν, μόλις ἀποσφάττεται, μέγιστον οὐ παρὰ Ῥωμαίοις καὶ Καίσαρι μόνον, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις κλέος καταλιπών. Ἰουδαῖοι δὲ, καὶ τὸν νεκρὸν ἁρπασάμενοι, πάλιν τοὺς Ῥωμαίους τρέπονται, καὶ κατακλείουσιν εἰς τὴν Ἀντωνίαν. ἠγωνίσαντο δ' ἐξ αὐτῶν ἐπισήμως κατὰ ταύτην τὴν μάχην, Ἀλεξᾶς μέν τις καὶ Γυφθαῖος τοῦ Ἰωάννου τάγματος· ἐκ δὲ τῶν περὶ Σίμωνα, Μαλαχίας τε, καὶ ὁ τοῦ [e] Μέρτωνος Ἰούδας, καὶ [f] Σωσᾶ υἱὸς [g] Ἰάκωβος τῶν Ἰδουμαίων ἡγεμὼν, τῶν δὲ ζηλωτῶν ἀδελφοὶ δύο, [h] παῖδες Ἰαΐρου Σίμων τε καὶ Ἰούδας.

vim ejus neque audaciam hominis eſſe opinantes. At ille per medios ruens, quos alios aliò disjecerat, ipſos quos prehendit interficiebat: illoque ſpectaculo nihil aut Cæſari magis admirabile viſum eſt, aut aliis magis horribile. Verum & ipſum profecto fata perſequebantur, quæ utpote mortalis vitare non potuit. Nam calceis crebros clavos & acutos, ut & cæteri milites, infixos habens, & in ſolo lapidibus ſtrato currens prolabitur: cumque reſupinus caderet, magnoque cum armorum ſonitu, fugientes in ſe convertit. Et Romanorum quidem clamor ex Antonia ſublatus eſt, ſaluti ejus metuentium: Judæi vero multi ſimul haſtis & gladiis *eum* undique feriebant. Ille autem multam quidem ferri vim ſcuto excipiebat; ſæpe vero conatus ſemet erigere, percutientium multitudine proſternebatur: at jacens tamen multos gladio vulnerabat. nec enim cito peremptus eſt, galea & thorace per omnia tectus ubi plagam lethalem acciperet, contractaque cervice, donec conciſis aliis ejus membris, & nemine ei ſuccurrere audente, morti ſuccubuit. Ingentem autem dolorem capiebat Cæſar ex viro tantæ fortitudinis etiam in conſpectu tot virorum occiſo: & locus ipſum quidem diſcludebat, auxilium ferre cupientem; alios autem, cum poſſent, metus *impediebat*. Et Julianus quidem diu cum morte luctatus, * relictiſque paucis interfectorum ſuorum quos non percuſſerat, ægre perimitur; magna ſui gloria non apud Romanos tantum & Cæſarem, verum apud hoſtes quoque relicta. Judæi vero etiam rapto mortui cadavere Romanos iterum in fugam vertunt & in Antoniam concludunt. Inſigniter autem in eo prælio decertarunt, Alexas quidam & Gyphthæus ex agmine Joannis; ex parte vero Simonis Malachias & Mertonis filius Judas, & Soſæ filius Jacobus dux Idumæorum, Zelotarum vero fratres duo, Jairi filii, Simon & Judas.

Caliga clavis ſuffixa.

Juliani cædes.

Κ Ε Φ. β'.

Ὅπως Τίτος, κατασκάψαι προστάξας τὴν Ἀντωνίας, τὸν Ἰώσηπον προὐτρέψατο τοῖς Ἰουδαίοις αὖθις παραινέσαι.

Τίτος δὲ τοῖς μὲν σὺν αὐτῷ στρατιώταις κατασκάπτειν προσέταξε τοὺς θεμελίους τῆς Ἀντωνίας, καὶ τῇ δυνάμει πάσῃ ῥᾳδίαν τὴν ἄνοδον εὐτρεπίζειν. αὐτὸς δὲ τὸν Ἰώσηπον παραστησάμενος· ἐπέπυστο γὰρ ἐπ' ἐκείνης τῆς ἡμέρας, Πανέμου δ' ἦν ἑπτακαιδεκάτη, τὸν [k] ἐνδελεχισμὸν καλούμενον, [l] ἀνδρῶν ἀπορίᾳ διαλελοιπέναι τῷ Θεῷ, καὶ τὸν δῆμον ἐπὶ τούτῳ δεινῶς

CAP. II.

Quomodo Titus, cum Antoniam dirui juſſiſſet, Joſephum incitavit ut Judæos iterum verbis hortaretur.

Titus autem militibus qui cum eo quidem erant, imperavit, ut Antoniæ fundamenta diruerent, facilemque aſcenſum toti exercitui dare curarent: ipſe vero, cum Joſephum ad ſe vocaſſet (nam audiverat eo die, qui erat menſis Panemi decimus ſeptimus, juge ſacrificium, ut vocabatur, virorum penuria Deo defuiſſe, idque populum

Titus Antoniæ fundamenta everti jubet.

i Ὑπολαμβάνοντες.] ὑπολαβόντες *Roſſ.*
k Διάττων,] Sic διάττοντας Gen. infr. c. 5. §. 1. Spanh.
l Ὑπὸ τῆς εἱμαρμένης, — θνητὸν ὄντα.] Conf. Antt. lib. 8. c. 15. §. 6. Spanh.
m Τὰ γὰρ ὑποδήματα] Videlis *Balduinum* de Calceis Antiquis c. 13. & *Nigronum* de Caliga c. 4.
n Πεπαρμένα πυκνοῖς καὶ ὀξέσιν ἥλοις ἔχων,] Vocem πεπαρμένα non agnoſcit *Big.*
o Λιθοστρώτου] Solum montis templi הבית הר Rel.
p Ὑπολισθαίνει.] Ὑπολισθάνει *Big. Lugd. Eat.* & *Vat.* κατολισθαίνει *Zonar.*
q Φεύγοντας ἐπιστρέφει.] Καταφεύγοντας *Voſſ.*
r Περὶ τἀνδρὶ δεισάντων.] Περὶ τοῦ ἀνδρὸς *Big.*
s Αὐτὸν ἀθρόοι,] Αὐτῷ *Big.*
t Πάντοθεν ἔπαιον.] Πανταχόθεν *Voſſ. Roſſ.* & *Bod.*
u Καὶ κείμενος δ' ὅμως] Κείμενον *Vat. Voſſ.* & *Bod.*
x Πάντα τὰ καίρια] Τὰ καίρια πάντα *Big.*
y Καίσαρα ἀνδρὸς] Καίσαρι *Big.*
z Τοῦ βοηθεῖν] τὸν βοηθεῖν *Roſſ.*
a Ἐθέλοντα,] Θέλοντα *Big. Roſſ. Voſſ. Vat.* & *Bod.*

b Δυσθανατήσας,] Conf. ſupr. lib. 4. c. 1. §. 4. Spanh.
c Κτεινάντων ὀλίγους] Κτεινόντων *Big.*
d Ἀπλήγας] Conf. ſupr. lib. 2. c. 14. §. 1. Spanh.
e Μέρτωνος Ἰούδας,] Μελίτωνος *Big.*
f Σωσᾶ υἱὸς] Conf. ſupr. lib. 3. c. 4. §. 2. Spanh.
g Ἰάκωβος] Ἰακώβου *L. B.*
h Παῖδες Ἰαΐρου Σίμων] δύο παῖδες, Ἀρείμαν &c. *Roſſ.*
i Τίτος] Καῖσαρ *L. B.* & *Roſſ.*
k Ἐνδελεχισμὸν καλούμενον,] Conf. ſupr. lib. 1. c. 1. §. 1. Spanh. Ita vocat ſacrificium juge, ſive quotidianum, תמיד Talmudicis, ex agno conſtans uno, qui mane, altero qui veſperi offerebatur. Rel.
l Ἀνδρῶν ἀπορίᾳ] ἀρνῶν alii legunt pro ἀνδρῶν. Sed omnino ἀνδρῶν defectum fuiſſe liquet ex ſequentibus, quod Titus ipſe Judæos (ſacerdotes nempe) quos eligerent obtulerit ut ſacra iterum fierent. Rel.

* Cum non paucos interfectorum ſuorum ſaucios reliquiſſet. *Ruf.*

lum valde dolere) Joanni dicere iterum præcepit quæ & ante *mandaverat*: „ quod, ſi quis etiam „ eum pugnandi pravus amor teneret, cum qua vel- „ let multitudine ad bellum progrederetur, dum „ modo non una ſecum & civitas interiret ſimul „ & templum. ſanctum tamen locum violare de- „ ſineret, neve in Deum neſas admitteret. ipſi au- „ tem licere ſacra intermiſſa celebrare per Judæos „ quos *ipſe* delecturus eſſet.” Atque Joſephus, quaſi non ſoli Joanni, ſed etiam pluribus (cum conſtitiſſet, unde exaudiri poſſet) quæque *ipſi* in mandatis dederat Cæſar Hebraïce nunciavit, multiſque *eos* precabatur, „ ut patriæ parcerent, „ ignemque jam templum attingentem depellerent, „ Deoque vota redderent conſueta.” Ad hæc mœſtitia tenebatur populus & ſilentio. Tyrannus autem, cum multa Joſepho convicia dixiſſet & maledicta, poſtremo addidit, „ nunquam *ſibi* ex- „ cidium eſſe metuendum, utpote quod Dei civi- „ tas eſſet.” Atque Joſephus ad iſta exclamavit, „ Eam quippe Deo omnino puram conſervaſti, „ & ſacrarium manet incontaminatum. nec in eum, „ cujus ſperas auxilium, aliquid ſceleris admiſiſti; „ ſed *is* ſacra ſolennia conſequitur. Et ſiquidem „ tibi, ô ſceleratiſſime, quiſquam quotidianum „ auferat cibum, eum pro hoſte neſario habebis; „ ipſum vero Deum, quem perpetuo cultu pri- „ vaſti, in bello tibi auxilio ſperas futurum? & „ Romanis peccata imputas, qui hucuſque legi- „ bus noſtris curam adhibent; & quæ ipſe inter- „ dixiſti ſacra, Deo ut reddantur vi contendunt? „ Quis non gemeret, & urbem ob inopinatam „ mutationem defleret, quod alienigenæ quidem „ hoſteſque impietatem tuam emendatum eant; „ tu vero Judæus, inter leges eductus, eis etiam „ quam illi infeſtior ſis? Atqui, Joannes, ut „ malorum te pœniteat non turpe eſt in extremis, „ bonumque tibi exemplum civitate ſervare cu- „ pienti propoſitum eſt in Jechonia rege Judæo- „ rum: qui, cum olim Babylonius propter ipſum „ cum exercitu *contra urbem* veniſſet, ſponte ea, „ priuſquam caperetur, exceſſit, & cum cogna- „ tione ſua voluntariam captivitatem ſuſtinuit, „ ne ſancta hæc hoſtibus proderet, Deique do- „ mum ardentem videret. Ob hoc *ſane* ſacra „ omnium Judæorum commemoratione celebra- „ tur, eumque memoria per ſæcula tranſmiſſa „ ſemper nova immortalem poſteris tradidit. Bo- „ num, ô Joannes, exemplar, etiamſi immineat „ periculum. Ego autem veniam quoque tibi à „ Romanis ſpondeo. At memento quod popu- „ laris qui ſum te moneam, Judæuſque iſta pro- „ mittam: ſpectarique oporteat quis ſit auctor, „ & unde *conſilium*. Abſit enim unquam me ita „ captivum vivere, ut genus in memoria tenere „ deſinam, aut eorum quæ è patria mea ſint obli- „ viſcar. Rurſum indignaris, & vociferaris, „ mihique maledicis. Etiam acerbiora mereor, „ qui adverſus fata te hortor & ſuadeam,

Joannem ad prælium provocat.

Joſephus interpres Cæſaris erat obſecratque Judæos.

Tyrannus conviciatur Joſepho.

Joſephi oratio, Judæis deditionem ſuadens.

ἀθυμεῖν. [m] λέγειν τῷ Ἰωάννῃ πάλιν ἐκέλευσεν ἃ καὶ πρότερον. „ ὡς εἰ καί τις αὐτὸν ἔρως κακὸς ἔχοι τοῦ „ μάχεσθαι, [n] προελθόντι μεθ' ὅσων βούλεται πολεμεῖν „ [o] ἔξεστι, δίχα τοῦ συναπολέσθαι τήν τε πόλιν καὶ τὸν „ ναὸν [p] αὐτῷ. μηκέτι μέντοι μιαίνειν τὸ ἅγιον, μηδὲ „ εἰς τὸν Θεὸν πλημμελεῖν. παρεῖναι δ' αὐτῷ τὰς ἐπι- „ λελοιπυίας θυσίας ἐκτελεῖν, δι' ὧν ἂν ἐπιλέξηται „ Ἰουδαίων.” καὶ ὁ Ἰώσηπος, [q] ὡς ἂν εἰ μὴ τῷ Ἰωάννῃ μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς, [r] ἐν ἐπηκόῳ στὰς, τά τε τοῦ Καίσαρος διήγγελλεν [s] ἑβραΐζων, καὶ πολλὰ προσηντιβόλει, „ φείσασθαι τῆς πατρίδος, καὶ διασκε- „ δάσαι τοῦ ναοῦ γευόμενον ἤδη τὸ πῦρ, τούς τε ἐνα- „ γισμοὺς [t] ἐπιδιδόναι τῷ Θεῷ.” πρὸς ταῦτα τοῦ δήμου μὲν ἦν κατήφεια καὶ σιγή. πολλὰ δ' ὁ τύραννος λοιδορηθείς τε τῷ Ἰωσήπῳ καὶ καταρασάμενος, τὸ τελευταῖον προσέθηκεν, „ ὡς οὐκ ἄν ποτε δείσειεν ἅλω- „ σιν, Θεοῦ γὰρ ὑπάρχειν τὴν πόλιν.” καὶ ὁ Ἰώσηπος πρὸς ταῦτα ἀνέκραγεν. „ πάνυ γοῦν καθαρὰν τῷ Θεῷ „ τετήρηκας αὐτὴν, ἀμίαντον δὲ μένει τὸ ἅγιον. [v] εἰς „ ὃν δὲ ἐλπίζεις σύμμαχον, οὐδὲν ἠσέβησας. τὰς δὲ „ ἐθίμους θυσίας ἀπολαμβάνει. κἂν μὲν σοῦ τις [x] ἀφέ- „ ληται τὴν καθ' ἡμέραν τροφὴν, ἀσεβέστατε, τοῦτον „ [y] ἡγήσῃ πολέμιον· [z] αὐτὸν δὲ, ὃν τῆς αἰωνίου θρη- „ σκείας [a] ἐστέρησας Θεὸν, ἐλπίζεις σύμμαχον ἔχειν „ ἐν τῷ πολέμῳ; καὶ Ῥωμαίοις τὰς ἁμαρτίας [b] ἀνα- „ τίθης, οἳ μέχρι νῦν κήδονται τῶν ἡμετέρων νόμων, καὶ „ τὰς ὑπὸ σοῦ διακοπείσας θυσίας ἀποδίδοσθαι τῷ „ Θεῷ βιάζονται; τίς οὐκ ἂν [c] στενάξειεν, καὶ κατο- „ λοφύραιτο τῆς παραδόξου μεταβολῆς τὴν πόλιν, εἴγε „ ἀλλόφυλοι μὲν καὶ πολέμιοι τὴν σὴν ἀσέβειαν ἐπα- „ νορθοῦνται, σὺ δὲ [d] Ἰουδαῖος, ὁ τοῖς νόμοις ἐντρα- „ φεὶς, κἀκείνων πρὸς αὐτοὺς γίνῃ χαλεπώτερος; „ [e] ἀλλά τοι, Ἰωάννη, καὶ μετανοῆσαι μὲν ἐκ κακῶν „ οὐκ αἰσχρὸν ἐν ἐσχάτοις, καὶ καλὸν ὑπόδειγμα βου- „ λομένῳ σώζειν τὴν πατρίδα σοι πρόκειται, βασιλεὺς „ Ἰουδαίων Ἰεχονίας ὅς ποτε στρατεύσαντι τῷ Βαβυ- „ λωνίῳ δι' αὐτὸν ἑκὼν ἐξέστη [f] πρὶν ἁλῶναι τῆς πό- „ λεως, καὶ μετὰ γενεᾶς αἰχμαλωσίαν ὑπέμεινεν ἐθε- „ λούσιον, ὑπὲρ τοῦ μὴ παραδοῦναι ταῦτα πολεμίοις „ τὰ ἅγια, καὶ τὸν οἶκον τοῦ Θεοῦ [g] περιϊδεῖν φλεγό- „ μενον. διὰ τοῦτο λόγος τε αὐτὸν πρὸς [h] ἁπάν- „ των Ἰουδαίων ἱερὸς [i] ἀνυμνεῖ, καὶ μνήμη ῥέουσα δι' αἰῶ- „ νος ἀεὶ νέα τοῖς ἐπιγινομένοις παραδίδωσιν ἀθάνα- „ τον. καλὸν, ὦ Ἰωάννη, ὑπόδειγμα, κἂν προσῇ „ κίνδυνος. ἐγὼ δέ σοι καὶ τὴν [k] ἀπὸ Ῥωμαίων συγγνώ- „ μην ἐγγυῶμαι. μέμνησο δὲ, ὡς ὁμόφυλος ὢν παρ- „ αινῶ, καὶ Ἰουδαῖος ὢν ἐπαγγέλλομαι· καὶ χρὴ σκο- „ πεῖν, τίς ὁ συμβουλεύων, καὶ πόθεν. μὴ γὰρ ἔγωγέ „ ποτε γενοίμην ζῶν οὕτως αἰχμάλωτος, ἵνα παύ- „ σωμαι τοῦ γένους, ἢ τῆς πατρίου ἐπιλάθωμαι. πάλιν „ ἀγανακτεῖς, καὶ κέκραγάς μοι λοιδορούμενος. [l] ἄξιός „ γε καὶ χαλεπωτέρων, ὃς [m] ἄντικρυς εἱμαρμένης τι „ πα-

m Λέγειν] Ita *Big.* antea erat λέγειν δὲ τῷ.
n Προελθόντι] Προσελθόντι *Big.*
o Ἔξεστι] ἐξεῖν *L. B.*
p Αὐτῷ.] Ita reſcripſi è *Cod. Big.* αὐτοῦ in *Editis Aliiſque.*
q Ὡς ἂν εἰ μὴ] Ὡς ἂν εἰ *Vat.* & *Bod.* quo admiſſo dicendum vocem ἀκούειν aut ſimile vocabulum deſiderari. *Rufinus* vertit, *ut ſoli Joanni hæc intimarentur, ſed etiam pluribus, unde exaudiri poſſet conſtitit, & mandata Cæſaris Hebraico ſermone differuit.*
r Ἐν ἐπηκόῳ στὰς,] Conf. ſupr. lib. 3. c. 9. §. 2. Spanh.
s Ἑβραΐζων,] Quis ergo dubitet linguæ Hebrææ peritum fuiſſe Joſephum. Rel.
t Ἐπιδιδόναι τῷ Θεῷ.] Ἀποδοῦναι *Big.*
v Εἰς ὃν δὲ ἐλπίζεις σύμμαχον,] Εἰς ὃν δ' ἐλπίζεις σύμμαχον *Big.*
x Ἀφέληται] Ἀφέλῃ *Big.* & *Bod.*
y Ἡγήσῃ πολέμιον] Ἡγήσαιο *Big.*
z Αὐτὸν δὲ,] αὐτὸς δὲ *L. B.*
a Ἐστέρησας Θεὸν,] Ἀπεστέρησας *Big.*
b Ἀνατίθης,] ἀνατιθεὶς *L. B.*
c Στενάξειεν,] στενάξῃ *L. B.* στενάξει *Ruf.*
d Ἰουδαῖος,] ὁ Ἰουδαῖος *L. B.*
e Ἀλλά τοι,] Ἀλλ' ὦ Ἰωάννη *Voſſ.* & *Bod.*
f Πρὶν ἁλῶναι] πρὶν ἁλῶσαι *L. B.*
g Περιϊδεῖν φλεγόμενον.] Ἰδεῖν legiſſe videtur *Ruf.*
h Ἁπάντων Ἰουδαίων ἱερὸς] Vocem ἁπάντων neglexit *Ruf.* Conf. Ant. lib. 10. c. 7. §. 1. Spanh.
i Ἀνυμνεῖ, καὶ μνήμη — παραδίδωσιν ἀθάνατον.] Ita cum *Cod. Big.* ὑμνεῖ in *Editis Aliiſque.*
k Ἀπὸ Ῥωμαίων] ὑπὸ Ῥωμ. *L. B.*
l Ἄξιός γε] ἄξιόν γε *MS. Lipſ.* & *L. B.*
m Ἄντικρυς εἱμαρμένης τι παραινῶ,] Conf. Ant. lib. 8. c. 15. §. 6. Spanh.

n Τὸν

„ προδιδῶ, καὶ τοὺς [n] ὑπὸ Θεοῦ βιάζομαι κατακρίτους „ σώζειν. τίς οὐκ οἶδε [o] τὰς τῶν παλαιῶν προφητῶν „ ἀναγραφὰς, καὶ τὸν [p] ἐπιῤῥέποντα τῇ τλήμονι πόλει „ χρησμὸν, ἤδη ἐνεστῶτα. τότε γὰρ ἅλωσιν αὐτῆς „ προεῖπον, ὅταν ὁμοφύλου τις ἄρξῃ [q] φόνου. τῶν [r] ὑμετέρων δὲ πτωμάτων οὐχ ἡ πόλις, καὶ τὸ ἱερὸν δὲ πᾶν „ πεπλήρωται; Θεὸς ἄρα, Θεὸς αὐτὸς ἐπάγει μετὰ „ Ῥωμαίων [s] καθάρσιον [t] αὐτῷ πῦρ, καὶ τὴν τοσούτων „ μιασμάτων γέμουσαν πόλιν ἀναρπάζει.

β. Ταῦτα λέγων ὁ Ἰώσηπος [v] μετ' ὀδυρμοῦ καὶ δακρύων, λυγμῷ τὴν φωνὴν [x] ἀνεκόπη. καὶ Ῥωμαῖοι μὲν ἠλέησάν τε τοῦ πάθους, καὶ τῆς προαιρέσεως αὐτὸν ἐθαύμαζον. οἱ δὲ περὶ τὸν Ἰωάννην παρωξύνοντο μᾶλλον ἐπὶ τοὺς Ῥωμαίους, ἐπιθυμοῦντες ἐγκρατεῖς [y] κἀκείνου γενέσθαι. τῶν γε μὴν εὐγενῶν πολλοὺς [z] ἐκίνησεν ὁ λόγος. καὶ τινὲς μὲν, ὀῤῥωδοῦντες τὰς φυλακὰς τῶν στασιαστῶν, κατὰ χώραν ἔμενον, ἀπώλειαν μέντοι σφῶν τε αὐτῶν καὶ τῆς πόλεως κατεγνώκεισαν. εἰσὶ δ' οἳ, καιροφυλακήσαντες ἄδειαν [a] ἀναχωρήσεως, πρὸς τοὺς Ῥωμαίους κατέφυγον. [b] ὧν ἦσαν ἀρχιερεῖς μὲν Ἰώσηπός τε καὶ Ἰησοῦς, υἱοὶ δ' ἀρχιερέων, τρεῖς μὲν Ἰσμαήλου τοῦ καρατομηθέντος ἐν Κυρήνῃ, καὶ τοῦ Ματθίου [c] τέσσαρες, καὶ εἷς ἑτέρου [d] Ματθίου παῖς, διαδρὰς μετὰ τὴν τοῦ πατρὸς ἀπώλειαν, ὃν ὁ τοῦ Γιώρα Σίμων ἀπέκτεινε, σὺν τρισὶν υἱοῖς, ὡς προείρηται. πολλοὶ δὲ καὶ τῶν ἄλλων εὐγενῶν τοῖς ἀρχιερεῦσι [e] συμμετεβάλλοντο. Καῖσαρ δ' αὐτοὺς τά τε ἄλλα φιλοφρόνως ἐδέξατο, καὶ γινώσκων ἀλλοφύλοις ἤθεσιν ἀηδῆ τὴν διατριβὴν ἕξειν, ἀπέπεμψεν αὐτοὺς εἰς Γόφναν, τέως ἐκεῖ παραινῶν μένειν· ἀποδώσειν γὰρ ἑκάστῳ τὰς κτήσεις, κατὰ σχολὴν ἀπὸ τοῦ πολέμου γενόμενος. οἱ μὲν οὖν εἰς τὸ δοθὲν πολίχνιον, μετὰ πάσης ἀσφαλείας, ἀνεχώρουν ἄσμενοι. μὴ φαινομένων δ' αὐτῶν, διεφήμισαν οἱ στασιασταὶ πάλιν, ὡς ἀποσφαγεῖεν ὑπὸ Ῥωμαίων οἱ αὐτόμολοι, [f] δηλονότι τοὺς λοιποὺς ἀποτρέποντες τῷ φόβῳ διαδιδράσκειν. ἤνυσε δ' ὡς καὶ πρότερον αὐτοῖς τὸ πανούργημα πρὸς καιρὸν, ἐπεσχέθησαν γὰρ ὑπὸ τοῦ δέους αὐτομολεῖν.

γ. Αὖθις δ', ὡς ἀνακαλέσας τοὺς ἄνδρας ἀπὸ τῆς Γόφνας Τίτος ἐκέλευσε μετὰ τοῦ Ἰωσήπου περιελθόντας τὸ τεῖχος ὀφθῆναι τῷ δήμῳ, πλεῖστοι πρὸς τοὺς Ῥωμαίους ἔφευγον. γενόμενοι δ' ἀθρόοι, καὶ πρὸ τῶν Ῥωμαίων ἱστάμενοι, μετ' οἰμωγῆς καὶ δακρύων ἱκέτευον τοὺς στασιαστὰς, τὸ μὲν πρῶτον, ὅλῃ τοὺς Ῥωμαίους δέξασθαι τῇ πόλει, καὶ τὴν πατρίδα σῶσαι πάλιν· εἰ δὲ μὴ, τοῦ γε ἱεροῦ πάντως ὑπεξελθεῖν, καὶ ῥύσασθαι τὸν ναὸν αὐτοῖς· οὐ γὰρ ἂν τολμῆσαι Ῥωμαίους μὴ μετὰ μεγίστης ἀνάγκης καταφλέξαι τὰ ἅγια. τούτοις μᾶλλον ἀντεφιλονείκουν, καὶ πολλὰ βλάσφημα τοῖς αὐτομόλοις ἀντικεκραγότες, ἐπὶ τῶν ἱερῶν πυλῶν τούς τε ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλους μηχανὰς διέστησαν. ὡς τὸ κύκλῳ μὲν ἱερὸν ἀπὸ πλήθους νεκρῶν προσεοικέναι [g] πολυανδρίῳ, τὸν δὲ ναὸν αὐτὸν φρουρίῳ. τοῖς δ' ἁγίοις καὶ ἀβάτοις μετὰ τῶν ὅπλων εἰσεπήδων, θερμὰς ἔτι τὰς χεῖρας [h] ἐξ ὁμοφύλων ἔχοντες φόνων· καὶ προέκοψαν εἰς τοσοῦτον πα-

„ Deique ſententia condemnatos ſervare contendam. Quis ignorat ſcripta veterum prophetarum, & oraculum quod miſeræ civitati jam præſens imminet. Tunc enim ejus excidium *fore* „ prædixére, quando aliquis è popularibus cædem „ patrare incipiet. Veſtris autem cadaveribus nonne civitas & templum omne repletum eſt? Deus „ profecto, Deus ipſe cum Romanis ignem ei luſtrationis infert, totque ſcelerum plenam civitatem è ſedibus evellit.

2. Hæc Joſepho cum fletu & lachrymis proſequente, ſingultibus vox ejus interrupta eſt. Et Romani quidem miſerati ſunt & ipſum ob ea quæ paſſus eſt, & admirati eorum ergo quæ facere deſtinavit: Joannes autem ejuſque ſocii magis contra Romanos irritabantur, illum quoque capere cupientes. Cæterum nobilium plurimos commovit *ejus* oratio. & nonnulli quidem, ſeditioſorum cuſtodias formidantes, cum ſociis ſuis manebant, quamvis certi de ſuo pariter & civitatis exitio. Erant autem qui, capto ſecuræ diſceſſionis tempore, ad Romanos confugere. in quibus erant Joſephus quidem & Jeſus pontifices; filii vero pontificum, tres quidem Iſmaëli, cui apud Cyrenen fuerat caput abſciſſum; & Matthiæ quatuor, alterius vero Matthiæ unus, qui poſt interitum patris auſugerat, quem Simon Gioræ cum tribus filiis, ut ſupra dictum eſt, interemit. Multi autem ex aliis nobilibus una cum pontificibus migrabant *ad Romanos*: eoſque Cæſar cætera humaniter excepit, ſcienſque inter alienigenarum mores haud jucunde illos victuros eſſe, in Gophnam dimiſit, eis interim illic manere perſuadens, ut qui poſſeſſiones ſingulis redditurus eſſet, cum bello confecto frueretur otio. Et illi quidem in urbeculam *ſibi* conceſſam, cum omni ſecuritate, læti diſcedebant. Cum autem illi non comparerent, ſeditioſi iterum divulgarunt, transfugas à Romanis occiſos eſſe, ſcilicet ut metu à fuga reliquos deterrerent. Et paulisper *quidem* ut antea hæc calliditas eis profuit: nam metus eos impedivit quo minus transfugerent.

3. Rurſus autem, poſtquam eos Titus revocatos à Gophna cum Joſepho muros obire & populo in conſpectum dari juſſiſſet, plurimi ad Romanos fugiebant. Frequentes vero congregati, & ante Romanos ſtantes, cum ejulatu & lachrymis ſeditioſis ſupplicabant, primo quidem ut Romanos in omnem civitatem reciperent, patriamque iterum ſervarent: ſin vero hoc diſpliceret, ſaltem de fano exirent, templumque ſibi eruerent. non enim auſuros ne maxima quidem neceſſitate Romanos ignem ſanctis immittere. His autem illi magis adverſabantur; cumque multa in transfugas vociferaſſent maledicta, ſupra ſacras portas ſcorpiones & catapultas & baliſtas diſpoſuêrunt. adeo ut omne quidem circa fanum ſpatium mortuorum multitudine cœmeterio, templum vero ipſum caſtello ſimile videretur. In loca autem ſancta & inacceſſa, cum armis & manibus adhuc gentili cæde calentibus, inſiliebant; & eò iniquitatis proceſſe-

Joannes cum ſuis irritati.

Judæorum nobilium plurimi ad Romanos confugiunt.

Cæſar eos humaniter excepit.

Judæorum ad ſeditionem impetus.

n Ὑπὸ Θεοῦ βιάζομαι] Ὑπὸ τοῦ Θεοῦ *Big.* & *Bod.*

o Τὰς τῶν παλαιῶν προφητῶν ἀναγραφὰς,] Conf. ſupr. lib. 4. c. 6. §. 3. Spanh.

p Ἐπιῤῥέποντα τῇ τλήμονι—ἅλωσιν αὐτῆς προεῖπον,] Ἐνεστῶτα *Big.*

q Φόνου.] Ad Danielis Prophetiam reſpicit. Rel.

r Ὑμετέρων δὲ πτωμάτων] Ita *Big. Voſſ.* & *Ruf.* ἡμετέρων in *cæteris.*

s Καθάρσιον] Κάθαρσιν Big. *Lipſ.* & *Vat.* Conf. Antt. lib. xx. c. 7. §. 5. Spanh.

t Αὐτῷ πῦρ,] Αὐτοῦ legiſſe videtur *Ruf.*

v Μετ' ὀδυρμοῦ] Μετ' ὀδυρμῶν *Big.*

x Ἀνεκόπη.] Ἐνεκόπη *Big. Lugd. Bat.* & *Vat.*

y Κἀκείνου] Ita *Big. Lipſ. Voſſ.* & *Bod.* antea erat ἐγκρατεῖς γενέσθαι ἐκείνου.

z Ἐκίνησεν ὁ λόγος.] ἐκίνησε μᾶλλον ὁ λόγος *Ruf.*

a Ἀναχωρήσεως,] ἀναχωρήσαντες *Ruf.*

b Ὧν ἦσαν ἀρχιερεῖς—καρατομηθέντος ἐν Κυρήνῃ.] Plures ſimul Ἀρχιερεῖς Judæorum vid. de Vita §. 38. ſupr. lib. 4. c. 3. §. 8. & cap. 4. §. 3. & c. 9. §. 11. lib. 5. c. 13. §. 1.

c Τέσσαρες,] Ita *Big.* & *Ruf.* ὁ τέταρτος Ματθίου παῖς in *Editis Aliiſque.*

d Ματθίου παῖς,] Conf. de Matthiæ hujus cæde, ſupr. lib. 5. c. 13. §. 1. Spanh.

e Συμμετεβάλλοντο.] συμμετεβάλοντο *L. B.*

f Δηλονότι τοὺς] δῆλον ὅτι, τοὺς λοιποὺς ἀποτρέψοντες *Gen.* δῆλον ὅτι δὲ τ. λ. ἀποτρέπουσι *L. B.*

g Πολυανδρίῳ,] Conf. ſupr. lib. 5. c. 1. §. 3. Spanh.

h Ἐξ ὁμοφύλων] Ita *Big.* vocula ἐξ *reliquis* aberat.

[illegible]

ceſſerunt ; ut quam ad indignationem Judæos adduci veriſimile erat, ſi hanc Romani in ipſos injuriam admiſiſſent, ea tunc in Judæos, propria ſacra temerantes, uterentur Romani. Nemo ſane erat ex militibus qui non cum horrore templum aſpiceret atque adoraret, optaretque ut latrones, antequam inſanabile malum paterentur, reſipiſcerent.

Titus adhuc tentat Joannem adducere ad deditionem.

4. Titus autem, cum admodum doleret vicem eorum, iterum Joannem ejuſque ſocios his verbis increpabat, „ Nonne vos, ô ſceleratiſſimi, hunc „ cancellum *locis* ſanctis objeciſtis ? Nonne vos „ columnas ad certa intervalla in eo ſtatuiſtis, lite- „ ris Græcis ac noſtris inſcriptas ; quibus edici- „ tur, ne ſepta quidem cuiquam licere tranſgredi ? „ Nonne eos qui tranſiiſſent, quamvis Romanus „ quis eſſet, vobis necare permiſimus ? Quid igi- „ tur in eo etiam mortuos nunc conculcatis, ô „ nocentiſſimi ? Cur autem templum & externo & „ gentili ſanguine contaminatis ? Teſtor ego pa- „ trios Deos, & ſi quis olim hunc locum reſpexit „ (nunc enim neminem *ad eum reſpicere* arbitror) „ itemque teſtor & exercitum meum, & Judæos „ qui apud me ſunt, & voſmetipſos, quod non „ ego vos ad hæc violanda compellam : & ſi locum „ aciei mutaveritis, neque accedet ad ſancta quiſ- „ quam Romanorum, neque contumeliam *eis* fa- „ ciet. Vobis autem etiam invitis templum ſervabo.

Titi proteſtatio.

V.

Illi refragantur obſeſſi.

5. Hæc Joſepho illis *Hebraïce* renunciante mandato Cæſaris, latrones ac tyrannus, non ex benevolentia ſed timiditate adhortationes proficiſci exiſtimantes, ſuperbia efferebantur. Titus autem, cum illos neque ſuas fortunas miſerari neque templo parcere videret, invitus bellum repetebat. Et copias quidem univerſas, quod locus eas non caperet, illis admovere non poterat : tricenis autem optimorum ex ſingula centuria delectis, & tribunis per millenos attributis, hiſce duce præpoſito Cereali, ſub noctis horam nonam cuſtodes aggredi juſſit. Cum autem ipſe quoque in armis eſſet, ſimulque ad deſcenſum ſemet paraviſſet, propter periculi magnitudinem eum amici cohibebant, atque illa quæ à ducibus dicta erant. „ Plus „ enim ipſum effecturum, ajebant, ad Antoniam „ ſedentem, pugnamque aſſignantem militibus, „ quam ſi deſcenderet, periculiſque pro illis ſe „ objiceret : quippe omnes in conſpectu Cæſaris „ ſtrenuos fore bellatores." Iſtis obſequutus Cæſar, cum ad milites dixiſſet, „ ob hoc ſolum ſe „ manere, ut de eorum virtute judicaret, & ne- „ que fortis quiſquam præmio careret, neque „ ignavus pœnam evaderet, ſed omnium ſpectator „ ipſe eſſet & teſtis, penes quem ulciſcendi & re- „ munerandi arbitrium," illos quidem ad rem aggrediendam, hora quæ ſupra memorata eſt, dimiſit ; ipſe vero, ad ſpeculam ex Antonia progreſſus, quid fieret exſpectabat.

Cerealis cum expedita manu jubetur impreſſionem facere in templum.

Acer conflictus Judæorum & Romanorum.

6. Verum hi qui miſſi fuerant non uti ſperabant ſomno oppreſſos invenerunt, ſed cum clamore inſilientibus ſtatim ad manus ventum eſt. Cæteri autem excubitorum clamoribus exciti ex ædibus ſe turmatim proripiebant. Primorum quidem impetum excipiebant Romani : & qui

ρανομίας, [i] ὥστε ἦν ἂν εἰκὸς ἀγανάκτησιν γενέσθαι Ἰουδαίων, εἰ Ῥωμαῖοι ταῦτα ἐξυβρίζοιεν εἰς αὐτούς, ταύτην εἶναι παρὰ Ῥωμαίων τότε πρὸς Ἰουδαίους ἀσεβοῦντας εἰς τὰ ἴδια. [k] τῶν μέν γε στρατιωτῶν οὐκ ἔστιν ὅς τις οὐ μετὰ φρίκης εἰς τὸν ναὸν ἀφεώρα καὶ προσεκύνει, τούς τε λῃστὰς ηὔχοντο, πρὶν ἀνηκέστου πάθους, μετανοῆσαι.

δ'. [l] Τίτος δ' ὑπεραλγήσας πάλιν [m] ἐξωνείδιζε τοὺς περὶ τὸν Ἰωάννην, λέγων, „ ἆρ' οὐχ ὑμεῖς, ὦ „ μιαρώτατοι, τὸν δρύφακτον τοῦτον προυβάλεσθε τῶν ἁ- „ γίων; οὐχ ὑμεῖς δὲ τὰς ἐν αὐτῷ στήλας [n] διεστήσατε, „ [o] γράμμασιν Ἑλληνικοῖς καὶ ἡμετέροις κεχαραγμένας, „ [p] ἃ μηδένα τὸ [q] γεῖσον ὑπερβαίνειν παραγγέλ- „ λει; οὐχ [r] ἡμεῖς δὲ τοὺς ὑπερβάντας ὑμῖν ἀναιρεῖν „ ἐπετρέψαμεν, κἂν [s] Ῥωμαῖός τις ᾖ; τί οὖν νῦν, „ ἀλιτήριοι, καὶ νεκροὺς ἐν αὐτῷ καταπατεῖτε; τί δὲ „ τὸν ναὸν αἵματι ξένῳ καὶ ἐγχωρίῳ φύρετε; μαρτύρο- „ μαι θεοὺς ἐγὼ πατρίους, καὶ εἴ τις ἐφεώρα ποτὲ „ τόνδε τὸν χῶρον, νῦν μὲν γὰρ οὐκ οἴομαι, μαρτύ- „ ρομαι δὲ καὶ [t] στρατιὰν ἐμὴν, καὶ τοὺς [v] παρ' ἐμοὶ „ Ἰουδαίους, καὶ ὑμᾶς αὐτοὺς, ὡς οὐκ ἐγὼ ταῦθ' ὑμᾶς „ ἀναγκάζω μιαίνειν· κἂν ἀλλάξητε τῆς παρατάξεως „ τὸν τόπον, οὔτε προσελεύσεταί τις Ῥωμαίων τοῖς „ ἁγίοις, οὔτε [x] ἐνυβρίσει, τηρήσω δὲ τὸν ναὸν ὑμῖν, „ καὶ μὴ θέλουσι.

ε'. Ταῦτα τοῦ Ἰωσήπου διαγγέλλοντος ἐκ τοῦ Καίσαρος, οἱ λῃσταὶ καὶ ὁ τύραννος, [y] οὐκ ἀπ' εὐνοίας ἀλλὰ κατὰ δειλίαν γίνεσθαι τὰς παρακλήσεις δοκοῦντες, ὑπερηφάνουν. Τίτος δὲ, ὡς οὔτε οἶκτον ἑαυτῶν τοὺς ἄνδρας οὐδὲ [z] φειδώ τινα τοῦ ναοῦ ποιουμένους ἑώρα, πάλιν πρὸς πόλεμον ἄκων ἐχώρει. πᾶσαν μὲν οὖν τὴν δύναμιν ἐπάγειν αὐτοῖς οὐχ οἷόν τε ἦν, μὴ χωρουμένην τῷ τόπῳ· τριάκοντα δ' ἐπιλέξας ἀφ' ἑκάστης ἑκατονταρχίας τοὺς ἀρίστους, καὶ τοῖς χιλιάρχοις ἀνὰ χιλίους παραδοὺς, τούτων δ' ἐπιτάξας ἡγεμόνα Κερεάλιον, ἐπιθέσθαι προσέταξε ταῖς φυλακαῖς [a] περὶ ὥραν τῆς νυκτὸς ἐνάτην. ὄντα δὲ καὶ αὐτὸν ἐν τοῖς ὅπλοις καὶ συγκαταβαίνειν παρεσκευασμένον, οἵ τε φίλοι διὰ τὸ μέγεθος τοῦ κινδύνου κατεῖχον, καὶ τὰ παρὰ τῶν ἡγεμόνων λεγόμενα. „ πλέον γὰρ αὐτὸν ἀνύσειν, ἔφασαν, ἐπὶ τῆς Ἀντωνίας „ καθεζόμενον, καὶ τὴν μάχην ἀγωνοθετοῦντα τοῖς στρατιώ- „ ταις, ἢ εἰ καταβὰς προκινδυνεύοι. πάντας γὰρ ὁρῶν- „ τος Καίσαρος, ἀγαθοὺς πολεμιστὰς ἔσεσθαι." τούτοις πεισθεὶς ὁ Καῖσαρ, [b] „ δι' ἓν τοῦτο τοῖς στρατιώταις „ ὑπομένειν εἰπὼν, ἵνα κρίνῃ τὰς ἀρετὰς αὐτῶν, καὶ „ μήτε τῶν ἀγαθῶν τις ἀγέραστος, μήτε τῶν ἐναντίων „ ἀτιμώρητος διαλάθῃ, γένηται δ' αὐτόπτης καὶ μάρ- „ τυς ἁπάντων, ὁ καὶ τοῦ κολάζειν καὶ τοῦ τιμᾶν κύριος," τοὺς μὲν, ἐπὶ τὴν πρᾶξιν ἔπεμπε καθ' ἣν ὥραν [c] καὶ προείρηται, προελθὼν δ' αὐτὸς εἰς τὸ κάτοπτον ἀπὸ τῆς Ἀντωνίας ἐκαραδόκει τὸ μέλλον.

ς'. Οὐ μὴν οἵ γε πεμφθέντες τοὺς φύλακας εὗρον κοιμωμένους ὡς ἤλπισαν, ἀλλ' [d] ἀναπηδήσασι μετὰ κραυγῆς εὐθέως συνεπλέκοντο. πρὸς δὲ τὴν τῶν ἐκκαλούντων βοὴν ἔνδοθεν οἱ λοιποὶ κατὰ στῖφος ἐξέθεον. [e] τῶν μὲν δὴ πρώτων τὰς ὁρμὰς ἐξεδέχοντο Ῥωμαῖοι· πεί-

i Ὥστε ἦν ἂν εἰκὸς ἀγανάκτησιν] Ὡς τινα ἂν εἰκὸς Big. ὥστε ἦν ἂν εἰκὸς ἦν ἀγανάκτησιν Vat.

k Τῶν μέν γε] Τὸ μέν τοι L. B.

l Τίτος] Καῖσαρ L. B.

m Ἐξωνείδιζε] Ἐξωνείδιζεν Vat.

n Διεστήσατε,] προεστήσατε Raf.

o Γράμμασιν Ἑλληνικοῖς] Ἐν γράμμασιν Big.

p Ἃ μηδένα] Ita cum Cl. *Lowthio*, & *Bojo* pro ἂν μηδένα reſcripſi. πρότερον μηδένα Big.

q Γεῖσον] Conf. Antt. Jud. lib. VIII. cap. 3. §. 9. SPANH. חיל Talmudicis. δρύφακτον λίθινον alibi vocat Joſephus. REL.

r Ἡμεῖς δὲ] Ὑμεῖς Big.

s Ῥωμαῖός τις ᾖ;] Ῥωμαίων Voſſ.

t Στρατιὰν ἐμὴν,] Στρατιὰν τὴν ἐμὴν Big.

v Παρ' ἐμοὶ Ἰουδαίους,] Παρ' ἐμοῦ Big.

x Ἐνυβρίσει.] Προσυβρίσει Big.

y Οὐκ ἀπ' εὐνοίας] Οὐ κατ' εὐνοίας Big.

z Φειδώ τινα τοῦ ναοῦ ποιουμένους] Conf. Antt. lib. 17. c. 8. §. 4. SPANH.

a Περὶ ὥραν τῆς νυκτὸς ἐνάτην.] Conf. infr. §. 6. SPANH.

b Δι' ἓν τοῦτο] Καὶ διὰ τοῦτο Big. καὶ δι' ἓν τοῦτο Voſſ.

c Καὶ προείρηται,] Illud καὶ non agnoſcit Big.

d Ἀναπηδήσασι] Ἀναπηδήσαντες Vat.

e Τῶν μὲν δὴ πρώτων] Τῶν μὲν δὲ πρῶτον Big.

f Τῶ

περιέπιπτον δ' οἱ μετ' ἐκείνους τῷ σφετέρῳ τάγματι, καὶ πολλοὶ τοῖς οἰκείοις ὡς πολεμίοις ἐχρῶντο. [f] τὴν μὲν γὰρ διὰ βοῆς ἐπίγνωσιν ἡ κραυγὴ συγχυθεῖσα παρ' ἀμφοῖν, [g] τὴν δὲ ὀμμάτων ἡ νὺξ ἑκάστων ἀφείλετο, καὶ τυφλώττειν ἄλλους μὲν οἱ θυμοὶ παρεσκεύαζον, ἄλλους δὲ οἱ φόβοι. διὰ τοῦτο τὸ προστυχόντα πλήττειν ἦν ἄκριτον. Ῥωμαίους μὲν οὖν συνησπικότας, καὶ κατὰ συντάξεις προπηδῶντας, ἧττον ἔβλαπτεν ἄγνοια· καὶ γὰρ ἦν παρ' ἑκάστῳ μνήμη τοῦ συνθήματος. Ἰουδαῖοι δ' ἀεὶ σκεδαννύμενοι, καὶ τάς τε προσβολὰς, καὶ τὰς ὑποχωρήσεις ἀνέδην ποιούμενοι, πολλάκις φαντασίαν παρεῖχον ἀλλήλοις πολεμίων· τὸν ὑποστρέφοντα γὰρ ἕκαστος οἰκεῖον διὰ σκότους ὡς ἐπιόντα Ῥωμαῖον ἐξεδέχετο. πλείους γοῦν ὑπὸ τῶν ἰδίων, ἢ τῶν πολεμίων ἐτρώθησαν, ἕως ἡμέρας γενομένης ὄψει τὸ λοιπὸν ἡ μάχη διεκρίνετο· καὶ κατὰ φάλαγγα διαστάντες, τοῖς τε βέλεσιν εὐτάκτως ἐχρῶντο [h] καὶ ταῖς ἀμύναις. οὐδ' ἕτεροι δὲ οὔτ' εἶκον οὔτ' [i] ἐκοπίων. ἀλλ' οἱ μὲν, ὡς ἐφορῶντος [k] Τίτου, κατ' ἄνδρα καὶ κατὰ συντάξεις ἤριζον ἀλλήλοις, καὶ προκοπῆς ἕκαστος ἐκείνην αὐτῷ τὴν ἡμέραν ἄρξειν ὑπελάμβανεν, εἰ γενναίως ἀγωνίσαιτο. Ἰουδαίοις δ' ἐβράβευε τὰς τόλμας, ὅ, τε περὶ σφῶν αὐτῶν καὶ τοῦ ἱεροῦ φόβος, καὶ ὁ τύραννος ἐφεστὼς, καὶ τοὺς μὲν παρακαλῶν, τοὺς δὲ μαστιγῶν καὶ διεγείρων ἀπειλαῖς. συνέβαινε δὲ τὸ μὲν πλεῖστον [l] σταδιαίαν εἶναι τὴν μάχην, ἐν ὀλίγῳ δὲ καὶ ταχέως ἀντιστρέφεσθαι τὰς ῥοπάς. οὐδ' ἕτεροι γὰρ οὔτε φυγῆς οὔτε διώξεως μῆκος εἶχον. ἀεὶ δὲ πρὸς τὸ συμβαῖνον [m] οἰκεῖος ἀπὸ τῆς Ἀντωνίας ὁ θόρυβος ἦν, θαρρεῖν δὲ καὶ κρατοῦσι τοῖς σφετέροις [n] ἐπεβόων, καὶ μένειν τρεπομένοις· ἦν δ' ὥσπερ τι πολέμου θέατρον. οὐδὲν γὰρ οὔτε Τίτον, οὔτε τοὺς περὶ αὐτὸν ἐλάνθανε τῶν κατὰ τὴν μάχην. τὸ δὲ πέρας δεξάμενοι τῆς νυκτὸς [o] ἐνάτης ὥρας, [p] ὑπὲρ πέμπτην τῆς ἡμέρας διελύθησαν, ἀφ' οὗπερ ἤρξαντο τόπου τῆς συμβολῆς, μηδ' ἕτεροι βεβαίως κλίναντες τοὺς ἑτέρους, ἀλλὰ τὴν νίκην μέσην ἐν [q] ἀγχωμάλῳ τῇ παρατάξει καταλιπόντες. καὶ Ῥωμαίων μὲν [r] ἐπισήμως ἠγωνίσαντο πολλοί· Ἰουδαίων δ' ἐκ μὲν τῶν [s] περὶ Σίμωνα Ἰούδας ὁ τοῦ [t] Μέρτωνος, καὶ Σίμων ὁ τοῦ [u] Ἰωσίου, τῶν δὲ Ἰδουμαίων Ἰάκωβος καὶ Σίμων, [x] Καθλᾶ μὲν οὗτος παῖς, Σωσᾶ δὲ ὁ Ἰάκωβος, τῶν δὲ μετὰ Ἰωάννου [y] Γυφθαῖος καὶ Ἀλεξᾶς, τῶν δὲ ζηλωτῶν Σίμων υἱὸς [z] Ἰαείρου.

ζ. Ἐν τούτῳ δ' ἡ λοιπὴ τῶν Ῥωμαίων δύναμις, ἡμέραις ἑπτὰ καταστρεψαμένη τοὺς τῆς Ἀντωνίας θεμελίους, μέχρι τοῦ ἱεροῦ πλατεῖαν ἄνοδον [a] εὐτρεπίσατο. πλησιάσαντα δὲ τῷ πρώτῳ περιβόλῳ τὰ τάγματα [b] κατήρχετο χωμάτων τὸ μὲν ἄντικρυς τῆς [c] τοῦ εἴσω ἱεροῦ γωνίας, ἥτις ἦν κατ' ἄρκτον καὶ δύσιν, τὸ δὲ κατὰ τὴν βόρειον ἐξέδραν, ἣ μεταξὺ τῶν δύο πυλῶν ἦν, τῶν δὲ λοιπῶν δύο, θάτερον μὲν κατὰ τὴν ἑσπέριον στοὰν τοῦ ἔξωθεν ἱεροῦ, τὸ δὲ ἕτερον ἔξω κατὰ τὴν βόρειον. προὔκοπτε μέντοι μετὰ πολλοῦ καμάτου καὶ ταλαιπωρίας αὐτοῖς τὰ ἔργα, καὶ τὴν ὕλην ἀφ' ἑκατὸν σταδίων συγκομιζόντων. ἐκακοῦντο δ' ἔσθ' ὅτε καὶ [d] κατ' ἐπιβου-

illos ſequerentur in agmen proprium incidebant, multiſque ſuorum velut hoſtibus utebantur. Nam voce quidem ſuorum agnitionem confuſus utriuſque partis clamor, oculis vero quo minus diſcernerentur nox omnino impediebat: ac præterea quibuſdam cæcitatem injiciebat furor, aliis timor. idcirco obvium quemque ſine diſcrimine feriebant. Et Romanis quidem, ſcutorum conjunctione ſeptis, & per globos proſilientibus, ignoratio minus nocebat: teſſeræ enim ſuæ quiſque meminerat. Judæi vero ſemper disjecti, & tam impetus quam receſſus temere facientes, ſibi invicem hoſtium ſpeciem ingerebant: nam revertentem ſuum quiſque per tenebras quaſi Romanum aggredientem excipiebat. Qua re factum ut plures à ſuis quam ab hoſtibus ſauciarentur, donec orto die viſu deinceps pugna diſcerneretur, & in acie ex adverſo ſtantes bono ordine hoſtes telis peterent atque propulſarent. Neutri vero cedebant, neque labore fatigabantur. Sed Romani quidem & ſigillatim & multi ſimul veluti in conſpectu Titi ſtrenue concertabant: illumque diem ſibi quiſque promotionis initium fore putabat, ſi fortiter dimicaſſet. Judæis autem miniſtrabat audaciam & proprium cujuſque periculum, & quod templo metuerent, quodque tyrannus inſtaret, alios quidem obſecrans, alios vero verberans, & minis *ad pugnam* incitans. Verum accidebat ut maxima ex parte ſtataria eſſet pugna; atque in exiguo ſpatio & celeriter * huc illuc inclinaret acies. neutra enim pars prolixum fugiendi vel perſequendi ſpatium habebat. Semper autem prout res *utrinque* eveniebat ex Antonia tumultus erat, ad ſuos clamantium, ſi ſuperarent, ut bono animo eſſent, ſin vero fugerent, ut fugam ſiſterent: eratque veluti quoddam belli theatrum. nec enim vel Titum, vel alios qui cum eo erant, quicquam latebat eorum, quæ in pugna gerebantur. Poſtremo nona noctis hora cœpto prælio, non niſi poſt quintam diei horam diremptum eſt; cum neutri eo loco unde pugnam inière certa fuga ceſſiſſent, verum mediam in ancipiti acie victoriam reliquiſſent. Et Romanorum quidem plurimi egregie dimicabant: Judæorum vero, ex parte Simonis, Judas Mertonis filius, & Simon Joſiæ; ex Idumæis, Jacobus & Simon, hic Cathlæ filius, Jacobus autem Soſæ; atque ex Joannis factione, Gyphthæus & Alexas; & ex Zelotis, Simon filius Jairi.

Marte ancipiti pugnatur.

Dubia victoria.

7. Interea autem reliqua Romanorum manus, ſeptem diebus Antoniæ fundamentis everſis, latum ad templum aſcenſum muniverunt. Et legiones cum primo muro appropinquaſſent, aggeres moliri cœperunt: unum quidem contra interioris templi angulum, qui ad ſeptentrionem orientemque ſpectabat; alterum vero ad exedram ſeptentrionalem, quæ inter duas portas erat; aliorum vero duorum unum contra porticum occidentalem templi exterioris; alterum vero contra ſeptentrionalem. Veruntamen opera illis procedebant magno cum labore & gravi difficultate, materiemque à centeſimo uſque ſtadio comportarunt. Interdum autem inſidiis ipſi lædebantur, utpote mi-

Aggeres quatuor à regione templi conſtructi.

[f] Τὴν μὲν γὰρ διὰ βοῆς] Καὶ τὴν μὲν διὰ β. Big.
[g] Τὴν δὲ ὀμμάτων] Τὴν δὲ δι' ὀμμάτων Vat. & L. B.
[h] Καὶ ταῖς ἀμύναις.] Καὶ τοῖς ἀμυνομένοις Big.
[i] Ἐκοπίων.] Conf. infr. c. 3. §. 4. SPANH.
[k] Τίτου.] Καίσαρος Voſſ. Lugd. Bat. & Bod.
[l] Σταδιαίαν] σταδιαῖος. Statarius Gloſſæ veteres. Rel.
[m] Οἰκεῖος] Οἰκείοις Vat. vocem non agnoſcit Big.
[n] Ἐπεβόων.] Ἐπεβοῶντο Big.
[o] Ἐνάτης ὥρας.] Conf. ſupr. §. 5. SPANH.
[p] Ὑπὲρ πέμπτην] Εἰς πέμπτην Zonar. ὑπὲρ πέμπτης Big.
[q] Ἀγχωμάλῳ] ἀγχώμαλος & ἀγχώμαλον Thucyd. l. II. p. 201. & 544. C. Schol. ἴσα. SPANH.
[r] Ἐπισήμως] ἐπίσημοι L. B.

[s] Περὶ Σίμωνα] [illegible] Ref.
[t] Μέρτωνος] Μαρσέωνος L. B. & Ref.
[u] Ἰωσίου,] Ὀσαίου L. B. & Ref.
[x] Καθλᾶ] Σωσᾶ L. B.
[y] Γυφθαῖος] Γεφθαῖος L. B.
[z] Ἰαείρου.] Ἄρου L. B. Ἀρῶ Ref.
[a] Εὐτρεπίσατο.] Ηὐτρεπίσατο Big.
[b] Κατήρχετο χωμάτων] Κατῆρξε τῶν χωμάτων Big.
[c] Τοῦ εἴσω ἱεροῦ γωνίας,] Τοῦ ἔσω ἱεροῦ Big.
[d] Κατ' ἐπιβουλὰς αὐτοί,] Καὶ κατ' ἐπιβουλὰς, αὐτοὶ γὰρ διὰ legiſſe & diſtinxiſſe videtur Ref.

* Al. qui vertit, repellerentur momenta.

o Ἐκ

minus cauti quod *inſidiatores* facile ſuperare ſe poſſe putarint, atque Judæos propter deſperationem ſalutis audaciores haberent. Nonnulli enim equitum, quoties ad lignum ſive fœnum colligendum exiiſſent, interea dum id facerent, equos ſuos frenis exutos paſci ſinebant, quos Judæi per cuneos erumpentes rapiebant. Itaque cum id crebro fieret. Cæſar ratus, id quod verum erat, negligentia ſuorum magis, quam Judæorum virtute rapinas contingere, triſti animadverſione cæteros ad equorum cuſtodiam revocare ſtatuit; unoque militum qui equum perdiderat morte damnato, *eo* metu equos ſuos cæteris conſervavit. nunquam enim eos poſthac ad paſcendum dimittebant, ſed tanquam natura his connexi ad neceſſaria egrediebantur. Et illi quidem templum oppugnabant, & aggeres erigebant.

Romanorum equos Judæi rapiunt.

8. Altera vero die poſt eorum aſcenſum, multi ſeditioſorum, quos rapinæ jam defecerant & fames urgebat, congregati, in præſidia Romanorum juxta Olivarum montem, circa undecimam diei horam, impetum faciunt: ſperantes primo quidem inopinatos, deinde corporis curandi cauſa quieſcentes, facile perrupturos eſſe. Verum Romani cum illorum eruptionem præſenſiſſent, concurſumque feciſſent ex propinquis cuſtodiis, obſtabant eis murum tranſcendere & vi perrumpere conantibus. Acri autem pugna conſerta, & alia multa fortiter utrinque geſta erant; cum Romani quidem præter fortitudinem etiam bellandi peritia, Judæi vero immoderato impetu & effrenatis animis uterentur. illos autem pudor quidem urgebat, hos vero neceſſitas. Tunc enim dimittere Judæos, velut reti comprehenſos, Romanis turpiſſimum videbatur; & illi unam ſpem ſalutis, ſi murum perrumpere poſſent, habebant. Et quidam ex ala equitum, Pedanius nomine, Judæis in fugam verſis, atque in vallem coactis, equo à latere incitato prætervectus, corripit unum ex hoſtibus fugientem, juvenem, & alias corpore validum, & armis undique ſeptum, talo comprehenſum. tantum quippe ſe inclinavit equo currente, tantamque dextræ vim, & reliqui corporis, itemque equeſtris peritiæ oſtendit. Et ille quidem, tanquam pretioſi aliquid rapuiſſet, captivum ſecum adducens ad Cæſarem venit. Titus autem vires illius, qui eum ceperat, admiratus, & captivo, quia murum aggreſſus eſt, ſupplicio tradito, ipſe templi oppugnationem curabat, atque aggeribus erigendis inſtabat.

Pugna ad Montem Olivarum.

Pedanii fortitudo.

9. Interim Judæi in conflictibus peſſundati, paulatim ſemper aſcendente bello & in templum etiam ſerpente, ſicuti in corpore putreſcente, membra in quæ jam invaſerat abſcindebant, priuſquam ulterius graſſaretur. Nam cum porticus partem quæ à ſeptentrione & occaſu conjuncta erat Antoniæ incendiſſent, poſtea ad viginti cubitos abruperunt, ſuis manibus ſacra adyta urere aggreſſi. Biduo autem poſt, viceſimo & quarto menſis prædicti die, vicinam porticum incenderunt Romani; flammaque ad cubitos xv. progreſſa, Judæi ſimiliter tectum abſcindunt: & ab operibus [illegible] non omnino avertentes, quicquid inter ipſos

Judæi templi porticus incendunt.

λὰς αὐτοὶ, διὰ τὴν ἐξουσίαν τοῦ κρατεῖν ὄντες ἀδεέστεροι, καὶ δι' ἀπόγνωσιν [e] ἤδη σωτηρίας χρώμενοι τολμηροτέροις τοῖς Ἰουδαίοις. τῶν γὰρ ἱππέων τινὲς, ὁπότε προέλθοιεν ἐπὶ ξυλείαν ἢ χόρτου συλλογὴν, τὸν τῆς κομιδῆς χρόνον ἀνιέσαν βόσκεσθαι τοὺς ἵππους ἀποχαλινοῦντες, [f] οὓς οἱ Ἰουδαῖοι κατὰ στῖφος ἐκπηδῶντες ἥρπαζον. καὶ τούτου συνεχῶς γινομένου, νομίσας Καῖσαρ, ὅπερ ἦν, ἀμελείᾳ τῶν σφετέρων πλέον, ἢ τῇ Ἰουδαίων ἀνδρείᾳ γίνεσθαι τὰς ἁρπαγὰς, ἔγνω σκυθρωπότερον τοὺς λοιποὺς πρὸς φυλακὴν [g] τῶν ἱππέων ἐπιστρέψαι· καὶ κελεύσας [h] ἀπαχθῆναι [i] τὸν ἐπὶ θάνατον τῶν ἀπολεσάντων στρατιωτῶν [k] ἕνα, φόβῳ τοῖς ἄλλοις ἐτήρησε τοὺς ἵππους. οὐκέτι γὰρ [l] εἴων νέμεσθαι, καθάπερ [m] δὲ συμπεφυκότες αὐτοῖς ἐπὶ τὰς χρείας ἐξῄεσαν. οἱ μὲν οὖν προσεπολέμουν τῷ ἱερῷ, καὶ τὰ χώματα [n] διήγειραν.

η. Μετὰ δὲ μίαν ἡμέραν αὐτῶν τὴν ἄνοδον, πολλοὶ τῶν στασιαστῶν, οἷς ἁρπαγαί τε [o] ἐπέλειπον ἤδη, καὶ ὁ λιμὸς ἤπειγε, συνελθόντες [p] ταῖς κατὰ τὸ Ἐλαιῶν ὄρος Ῥωμαίων φυλακαῖς ἐπιτίθενται, περὶ ὥραν [q] ἑνδεκάτην τῆς ἡμέρας, οἰόμενοι πρῶτον μὲν ἀδοκήτων, ἔπειτα πρὸς θεραπείαις ἤδη τοῦ σώματος ὄντων, ῥᾳδίως [r] διεκπεσεῖν. προαισθόμενοι δὲ τὴν ἔφοδον αὐτῶν οἱ Ῥωμαῖοι, καὶ ταχέως ἐκ τῶν πλησίον φρουρίων συνδραμόντες, εἶργον ὑπερπηδᾶν καὶ διακόπτειν τὸ περιτείχισμα βιαζομένους. γενομένης δὲ καρτερᾶς τῆς συμβολῆς, ἄλλα τε πολλὰ παρ' ἑκατέρων γενναίως ἐπράχθη, Ῥωμαίων μὲν μετὰ τῆς ἰσχύος ἐμπειρίᾳ τοῦ πολεμεῖν χρωμένων, Ἰουδαίων δ' ἀφειδέσι ταῖς ὁρμαῖς καὶ τοῖς θυμοῖς ἀκατασχέτοις. ἐστρατήγει δὲ τῶν μὲν αἰδὼς, τῶν δ' ἀνάγκη. τότε γὰρ ἐξαφεῖναι Ἰουδαίους, ὥσπερ ἄρκυσιν ἐνειλημμένους, Ῥωμαίοις αἴσχιστον ἐδόκει. κἀκεῖνοι μίαν ἐλπίδα σωτηρίας εἶχον, εἰ βιασάμενοι ῥήξειαν τὸ τεῖχος. καὶ τῶν ἀπὸ [s] σπείρας τις ἱππέων, Πεδάνιος τοὔνομα, τρεπομένων ἤδη τῶν Ἰουδαίων, καὶ κατὰ τῆς φάραγγος συνωθουμένων, ῥόθιον ἐκ πλαγίου παρελαύνων τὸν ἵππον, ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων, νεανίαν, στιβαρόν τε ἄλλως τὸ σῶμα, καὶ καθωπλισμένον, δραξάμενος ἐκ τοῦ σφυροῦ. τοσοῦτον μὲν ἑαυτὸν [t] ἐκτρέχοντος ἐπέκλινε τοῦ ἵππου, τοσοῦτον δ' ἐπεδείξατο τῆς τε δεξιᾶς τὸν τόνον, καὶ τοῦ λοιποῦ σώματος, ἔτι δ' ἐμπειρίας ἱππικῆς. ὁ μὲν οὖν ὥσπερ τι κειμήλιον ἁρπασάμενος ἧκε φέρων Καίσαρι τὸν αἰχμάλωτον. Τίτος δὲ τὸν μὲν λαβόντα τῆς δυνάμεως θαυμάσας, τὸν δὲ ληφθέντα τῆς περὶ τὸ τεῖχος ἐπιχειρήσεως κολάσαι κελεύσας, αὐτὸς ἐν ταῖς περὶ τὸ ἱερὸν [v] διαμάχαις ἦν, καὶ τὰ χώματα κατήπειγεν.

θ. Ἐν δὲ τούτῳ Ἰουδαῖοι κακούμενοι ταῖς συμβολαῖς, ἀεὶ κατ' ὀλίγον κορυφουμένου τοῦ πολέμου καὶ τῷ ναῷ προσέρποντος, καθάπερ σηπομένου σώματος, ἀπέκοπτον τὰ προειλημμένα [x] μέλη, φθάνοντες τὴν εἰς τὸ πρόσω νομήν. τῆς γὰρ βορείου καὶ κατὰ δύσιν στοᾶς τὸ συνεχὲς πρὸς τὴν Ἀντωνίαν ἐμπρήσαντες, ἔπειτα ἀπέρρηξαν ὅσον πήχεις εἴκοσι, ταῖς ἰδίαις χερσὶν ἀρξάμενοι καίειν τὰ ἅγια. μετὰ δ' ἡμέρας δύο, [y] τετάρτῃ καὶ εἰκάδι τοῦ προειρημένου μηνὸς, τὴν πλησίον στοὰν [z] ὑποπιμπρᾶσι Ῥωμαῖοι, καὶ μέχρι πεντεκαίδεκα πηχῶν προελθόντος τοῦ πυρὸς, ἀποκόπτουσιν ὁμοίως Ἰουδαῖοι τὴν ὀροφὴν, μήτε καθάπαξ ἐξιστάμενοι τῶν ἔργων, καὶ τὸ πρὸς αὐ-

e Ἤδη σωτηρίας χρώμενοι] Illud ἤδη non agnoſcit Big.
f Οὓς οἱ Ἰουδαῖοι] Οἷς Ἰουδαῖοι Big.
g Τῶν ἱππέων] τῶν ἵππων L. B.
h Ἀπαχθῆναι] *Strangulari.* Rel.
i Τὸν ἐπὶ θάνατον] Τὸν ἐπὶ θανάτῳ Vat. L. B. Raſ. & Big.
k Ἕνα, φόβῳ] τοῖς ἐν ἀφόβῳ L. B.
l Εἴων νέμεσθαι,] Εἶον νέμεσθαι Big.
m Δὲ συμπεφυκότες αὐτοῖς] Δὲ Big.
n Διήγειραν] Διήγειρον Big. & L. B.
o Ἐπέλειπον ἤδη,] Ἐπέλειπεν Big.

p Ταῖς] Abeſt a Raſ.
q Ἑνδεκάτην] Ita Big. Voſſ. Lipſ. & Raſ. antea erat δεκάτην.
r Διεκπεσεῖν,] Διεκπαίειν Big. & L. B.
s Σπείρας τις ἱππέων,] Ita Voſſ. & Vat. σπεῖρα in *cæteris.*
t Ἐκτρέχοντος ἐπέκλινε τοῦ ἵππου,] Forſan ἐκ τρέχοντος. Confer Suidam in voce Τίτος & v. ῥόθιον.
v Διαμάχαις ἦν,] Διαμαχίαις Big.
x Μέλη,] Μέρη Big.
y Τετάρτῃ] Τετράδι Vat. Voſſ. & Big.
z Ὑποπιμπρᾶσι] Conf. infr. c. 3. §. 1. Spanh.

τῆς Ἀντωνίας [a] συναφὰς αὐτῶν διαιροῦντες [b] καὶ παρὸν κωλύειν [c] ὑποπιμπράντας. οἱ δὲ, πρὸς τὴν ἐμβολὴν τοῦ πυρὸς ἠρεμήσαντες, τὴν νομὴν [d] ἐμέτρησαν αὐτῷ σφίσι χρησίμως. περὶ μὲν δὴ τὸ ἱερὸν οὐ [e] διέλιπον αἱ συμβολαὶ, συνεχὴς δ' ἦν κατὰ μέρος ἐκθεόντων ἐπ' ἀλλήλους ὁ πόλεμος.

ι. Τῶν Ἰουδαίων δέ τις, κατὰ [f] ταύτας ἡμέρας, ἀνὴρ τό, τε σῶμα βραχὺς καὶ τὴν ὄψιν εὐκαταφρόνητος, γένους τε ἕνεκα καὶ τῶν ἄλλων ἄσημος, Ἰωνάθης ἐκαλεῖτο, προελθὼν [g] κατὰ τὸ [h] τοῦ ἀρχιερέως Ἰωάννου μνημεῖον, ἄλλα τε πολλὰ πρὸς τοὺς Ῥωμαίους ὑπερηφάνως ἐφθέγγετο, καὶ τὸν ἄριστον αὐτῶν εἰς μονομαχίαν προὐκαλεῖτο. τῶν δὲ ταύτῃ παρατεταγμένων οἱ πολλοὶ μὲν ὑπερηφάνουν, ἦσαν δ' οἳ κατὰ τὸ εἰκὸς ἐδεδοίκεσαν· ἥπτετο γε μήν τινων καὶ λογισμὸς οὐκ ἀσύνετος, [i] θανατῶντι μὴ συμπλέκεσθαι. τοὺς γὰρ ἀπεγνωκότας τὴν σωτηρίαν τάτ' ἄλλα καὶ τὰς ὁρμὰς ἀταμιεύτους ἔχειν, καὶ τὸ θεῖον [k] ἀδυσώπητον· τό, τε παραβάλλεσθαι [l] πρὸς οὓς καὶ τὸ νικᾶν οὐ μέγα, καὶ μεθ' αἰσχύνης τὸ [m] ληφθῆναι σφαλερὸν, οὐκ ἀνδρείας, ἀλλὰ θρασύτητος εἶναι. μηδενὸς δ' ἐπιπολὺ προϊόντος, καὶ τοῦ Ἰουδαίου πολλὰ καταχερτομοῦντος αὐτοὺς εἰς δειλίαν, ἀλαζὼν γάρ τις ἦν [n] ἑαυτοῦ σφόδρα καὶ τῶν Ῥωμαίων ὑπερήφανος, Πούδης τις [o] ὄνομα, τῶν ἐκ τῆς ἴλης ἱππέων, βδελυξάμενος αὐτοῦ τά τε ῥήματα, καὶ τὸ αὔθαδες, εἰκὸς δὲ καὶ πρὸς τὴν βραχύτητα τοῦ σώματος αὐτοῦ ἀσκέπτως ἐπαρθεὶς, προπηδᾷ· καὶ τὰ μὲν ἄλλα περιῆν συμβαλὼν, προεδόθη δ' ὑπὸ τῆς τύχης. πεσόντα γὰρ αὐτὸν ὁ Ἰωνάθης ἀποσφάττει προσδραμὼν, ἔπειτα [p] ἐπιβὰς τοῦ νεκροῦ, τό, τε ξίφος ᾑμαγμένον [q] ἀνέσειε καὶ τῇ λαιᾷ τὸν θυρεὸν, ἐπηλάλαξέ τε τῇ στρατιᾷ πολλὰ, καὶ πρὸς τὸν πεσόντα κομπάζων, καὶ τοὺς ὁρῶντας Ῥωμαίους ἐπισκώπτων, ἕως αὐτὸν, ἀνασκιρτῶντα καὶ ματαΐζοντα, Πρίσκος τις ἑκατοντάρχης τοξεύσας διήλασε βέλει. πρὸς ὃ τῶν τε Ἰουδαίων καὶ τῶν Ῥωμαίων, κραυγὴ συνεξήρθη διάφορος. [r] ὁ δὲ δινηθεὶς [s] ἐκ τῶν ἀλγηδόνων ἐπὶ τὸ σῶμα τοῦ πολεμίου κατέπεσεν, ὠκυτάτην ἀποφήνας ἐν πολέμῳ τὴν ἐπὶ [t] τοῖς ἀλόγως εὐτυχοῦσι νέμεσιν.

eras & Antoniam diruunt; etiam cum liceret eis incendium prohibere. Illi autem cum primum ignis injiceretur, otioſi, ejus curſum pro ſua utilitate metiebantur. Qua re ſiebat, ut circa templum quidem acie confligere non deſinerent; ſed frequens erat ſingulorum contra ſe invicem excurrentium pugna.

Curſum ignis otioſi metiuntur Judæi.

10. Iiſdem autem diebus, quidam ex Judæis, vir & corpore brevis & vultu deſpicabilis, tamque genere quam rebus aliis ignobilis, Jonathas nomine, progreſſus ad Joannis pontificis monumentum, cum alia multa ſuperbe ad Romanos proloquutus eſt, tum quem fortiſſimum haberent ad ſingulare certamen provocavit. At eorum qui in acie ex adverſo inſtructa ſteterе, multi quidem dedignabantur: erant autem inter eos (ut veriſimile) etiam qui timerent: cæterum quoſdam non inconſulta movebat ratio, cum mortis cupido non confligendum eſſe. nam qui de ſalute deſperaſſent, eos præter alia temerario impetu ferri, Deumque non reſpicere: & cum his in diſcrimen venire, quos neque vincere magnum ſit, & vinci cum dehoneſtamento periculoſum, non fortitudinis ſed ferocitatis videri. Cum autem diu nemo procederet, multaque Judæus eorum timiditati illuderet, ut qui in ſe valde arrogans eſſet & Romanorum contemptor, Pudens quidem nomine, ex ala equitum, & verba illius & inſolentiam deteſtatus, fortaſſe autem etiam corporis brevitate inconſiderate ſublatus, proſiliit; & cætera quidem ſuperior erat in conflictu, ſed à fortuna proditus erat. Ipſum enim Jonathas cum cecidiſſet accurrens interficit; deinde pede ſupra mortuum poſito, & gladium cruentum quatiebat lævaque ſcutum, atque multis acclamavit exercitui, & cæſo inſultans, & Romanis ſpectantibus obtrectans, donec eum tripudiantem & vana jactantem Priſcus quidam centurio ſagitta transfixit. quo facto & Judæorum & Romanorum clamor varius excitatus eſt. Ille autem, vertigine ex dolore correptus, in corpus hoſtis decidit; oſtenditque in bello velociſſimam ultionem ſequi immerito fortunatos.

Jonathas Romanos ad ſingulare certamen provocat.

Pudens cum eo congreditur & interficitur.

Priſcus ſagitta transfigit Jonatham.

ΚΕΦ. γ'.

Περὶ τοῦ ἐπινοηθέντος παρὰ τῶν Ἰουδαίων δόλου, ὃ πολλοὺς Ῥωμαίων ἐνέπρησεν. ἄλλη τοῦ λιμοῦ δεινοτάτου ἔκφρασις.

ΟΙ δ' ἀνὰ τὸ ἱερὸν στασιασταὶ φανερῶς τ' οὐκ ἀνίεσαν τοὺς ἐπὶ τῶν χωμάτων σταθέντας ἀμυνόμενοι καθ' ἑκάστην ἡμέραν, καὶ τοῦ προειρημένου μηνὸς [v] ἑβδόμῃ καὶ εἰκάδι δόλον ἐνσκευάζονται τοιόνδε. τῆς ἑσπερίου στοᾶς τὸ μεταξὺ τῶν δοκῶν καὶ τῆς [x] ὑπ' αὐτῆς ὀροφῆς, ὕλης

CAP. III.

VI.

De dolo à Judæis excogitato, quo Romanorum multos exuſſerunt. Altera famis graviſſima deſcriptio.

4. Eandem circa diem Izatæ regis & filii & fratres, cumque his multi nobiles indigenæ illic congregati, ſupplicarunt Cæſari ut dextram ſibi darent. Ille vero, quamvis omnibus qui ſupererant valde iratus, à moribus ſuis non receſſit, ſed eos ſuſcipit. Et tunc quidem omnes in cuſtodia habebat: Regis autem filios & propinquos poſtea vinctos Romam perduxit, obſidum fidem præſtituros.

ῶ. ἐκαίοντο δ' οἵτε ϛενωποὶ, ϗ αἱ οἰκίαι νεκρῶν ὑπὸ τοῦ λιμοῦ διεφθαρμένων πλήρεις.

δ'. Καλὰ ταύτην τ ἡμέραν, [i] οἵ, τε [k] Ἰζάτου βασιλέως υἱοὶ ϗ ἀδελφοὶ, πρὸς οἷς πολλοὶ τ ἐπισήμων δημοτῶν ἐκεῖ συνελθόντες, [l] ἱκέτευσαν Καίσαρα δοῦναι δεξιὰν αὐτοῖς. ὁ δὲ, καίτοι πρὸς πάντας τοὺς ὑπολοίπους διωργισμένος, οὐκ ἤλλαξε τὸ ἦθος, δέχεται δὲ τοὺς ἄνδρας. ϗ τότε μὲν ἐν φρουρᾷ πάντας εἶχε· τοὺς δὲ τοῦ βασιλέως παῖδας ϗ συγγενεῖς δήσας, ὕϛερον εἰς Ῥώμην ἀνήγαγε, πίϛιν ὁμήρων παρέξοντας.

XIV. CAP. VII. ΚΕΦ. ζ.

Quænam deinceps acciderunt ſeditioſis, mala multa facientibus & patientibus: & quomodo urbem ſuperiorem occupat Cæſar.

Τίνα ἑξῆς συνέβη τοῖς ϛασιαϛαῖς, κακὰ πολλὰ δρῶσι ϗ παθοῦσι· ϗ ὡς τ ἄνω πόλεως ἐγκρατὴς γίνεται Καῖσαρ.

Tyranni confugiunt in palatium.

Seditioſi autem, facto in regiam impetu, ubi ob loci munitionem multi facultates ſuas depoſuerant, & Romanos inde pellunt, & cœtu plebis ibi congregatæ, ad octo millia & quadringentos, omni interfecto, pecuniam diripuerunt. Vivos autem duos *milites* Romanos ceperunt, unum equitem, alterum peditem. & peditem quidem trucidatum ſtatim per omnem traxere civitatem, quaſi in uno corpore omnes Romanos ulciſcerentur. eques vero, ſe aliquid illis quod ſaluti foret ſuggeſturum dicens, ad Simonem deducitur: cui cum nihil haberet quod diceret, Ardalæ cuidam è ducibus traditur puniendus. Qui cum eum, revinctis poſt tergum manibus, oculiſque faſcia obſtrictis, in conſpectum Romanorum veluti capite cæſurus produxiſſet: is, dum gladium Judæus educeret, occupat fugam maturare ad Romanos. Hunc ab hoſtibus elapſum, occidere quidem non ſuſtinuit Titus, militem vero eſſe ratus Romanis indignum, quia vivus fuerat captus, armis ablatis eum agmine pepulit; quæ res viro pudenti morte gravior.

Supplicii capitalis modus.

ΟΙ ϛασιαϛαὶ δ' ἐπὶ τ [m] βασιλικὴν ὁρμήσαντες αὐλὴν, εἰς ἣν διὰ ὀχυρότητα πολλοὶ τὰς κτήσεις [n] ἀπέθεντο, τούς τε Ῥωμαίους [o] ἀπ' αὐτῆς τρέπονται, ϗ τὸ συνηθροισμένον αὐτόθι τ δήμου πᾶν φονεύσαντες, ὄντας εἰς ὀκτακισχιλίους ϗ τετρακοσίους, τὰ χρήματα διήρπασαν. ἐζώγρησαν δὲ ϗ [p] Ῥωμαίων δύο, τ μὲν ἱππέα, τ δὲ πεζόν. ϗ τ μὲν πεζὸν ἀποσφάξαντες εὐθέως [q] ἔσυραν περὶ [r] ὅλην τ πόλιν, ὥσπερ [s] ἐν ἑνὶ σώματι πάντας Ῥωμαίους ἀμυνόμενοι. ὁ δὲ ἱππεὺς, ὠφέλιμόν τι αὐτοῖς πρὸς σωτηρίαν [t] ὑποθήσεσθαι λέγων, ἀνάγεται πρὸς Σίμωνα· παρ' ᾧ μηδὲν εἰπεῖν ἔχων, [v] Ἀρδάλᾳ τινὶ τ ἡγεμόνων παραδίδοται κολασθησόμενος. ὁ δ' αὐτοῦ ὀπίσω [x] τὼ χεῖρε δήσας, ϗ ταινίᾳ τοὺς ὀφθαλμοὺς, ἀντικρὺ τ Ῥωμαίων προήγαγεν ὡς καρατομήσων· φθάνει δ' ἐκεῖνος εἰς τοὺς Ῥωμαίους διαφυγὼν, ἐν ὅσῳ τὸ ξίφος ἐσπάσατο ὁ Ἰουδαῖος. τοῦτον [y] διαφυγόντα ἐκ τ πολεμίων ἀνελεῖν μὲν οὐχ ὑπέμεινε Τίτος, ἀνάξιον δὲ Ῥωμαίων εἶναι ϛρατιώτην κρίνας ὅτι ζῶν ἐλήφθη, τά, τε ὅπλα ἀφείλετο, ϗ τ τάγματος ἐξέβαλεν, ὅπερ ἦν αἰσχυνομένῳ θανάτου χαλεπώτερα.

Incendium urbis inferioris.

2. Poſtridie autem Romani latronibus ex inferiore urbe profligatis, etiam ad Siloam uſque omnia incenderunt. & urbem quidem flammis abſumi gaudebant, rapinis vero excidebant; quoniam ſeditioſi, exhauſtis prius omnibus, in ſuperiorem civitatem ſe receperant. Illos enim malorum quidem minime pœnitebat: ſed arroganter adeo ſe gerebant, ac ſi res bene cecidiſſent. Itaque cum urbem ardere viderent, hilari vultu mortem ſe exſpectare dicebant, ut qui perempto populo, incenſo templo, & conflagrante urbe, nihil hoſtibus *diripiendum* reliquerint. * Non tamen Joſephus in extremis ceſſabat eos obſecrare pro reliquiis civitatis. Sed multa quidem in eorum crudelitatem atque impietatem loquutus, multis vero pro ſalute *eos* adhortatus, nihil amplius quam ut irrideretur aſſequutus eſt. Quoniam vero neque Romanis ſe dedere propter jusjurandum volebant, neque pugnare cum Romanis ex æquo jam poterant, arcta quippe obſidione circumdati, cædibuſque inſuper

Joſephi pietas in patriam.

β'. Τῇ δ' ἑξῆς Ῥωμαῖοι, τρεψάμενοι τοὺς λῃϛὰς ἐκ τ κάτω πόλεως, τὰ μέχρι τ [z] Σιλωὰμ πάντα ἐνέπρησαν. ϗ τ μὲν ἄϛεος ἥδοντο δαπανωμένου, τῶν δὲ ἁρπαγῶν διημάρτανον, ἐπειδὴ πάνθ' οἱ ϛασιαϛαὶ προκενοῦντες ἀνεχώρουν εἰς τ ἄνω πόλιν. ἦν γὰρ αὐτοῖς μετάνοια μὲν οὐδεμία τ κακῶν, ἀλαζονεία δ' ὡς ἐπ' ἀγαθοῖς. καιομένην γοῦν ἀφορῶντες τ πόλιν, ἱλαροῖς τοῖς προσώποις εὔθυμοι τ τελευτὴν προσδέχεσθαι ἔλεγον, πεφονευμένου μὲν τ δήμου, κεκαυμένου δὲ τ ναοῦ, φλεγομένου δὲ τ ἄϛεος, μηδὲν καταλιπόντες τοῖς πολεμίοις. οὐ μὴν ὅ, γε Ἰώσηπος ἐν ἐσχάτοις ἱκετεύων αὐτοὺς ὑπὲρ τ λειψάνων τ πόλεως ἔκαμνεν. ἀλλὰ πολλὰ μὲν πρὸς τ ὠμότητα ϗ τ ἀσέβειαν εἰπὼν, πολλὰ δὲ συμβουλεύσας πρὸς σωτηρίαν, οὐδὲν τ χλευασθῆναι πλέον ἀπηνέγκατο. ἐπεὶ δ' οὔτε παραδοῦναι διὰ τ ὅρκον ἑαυτοὺς ὑπέμενον, οὔτε πολεμεῖν ἐξ ἴσου Ῥωμαίοις ἔθ' οἷοί τε ἦσαν, ὥσπερ εἱρκτῇ περιειλημμένοι, [a] τό, τε τ φονεύειν ἔθος ἐκίνει τὰς

i Οἵ, τε] Conf. ſupr. lib. 2. c. 19. §. 2. Spanh.
k Ἰζάτου βασιλέως υἱοὶ ϗ ἀδελφοὶ,] Ἰζᾶ τοῦ βασ. in aliquot MSS.
l Ἱκέτευσαν Καίσαρα] Ἱκέτευον Big.
m Βασιλικὴν] Οἰκίαν poſt βασιλικὴν addit Big.
n Ἀπέθεντο,] [illegible]
o Ἀπ' αὐτῆς τρέπονται,] Ita Big. Vat. Lipſ. Lugd. Bat. & Ruf. [illegible] ἐπ' αὐτῆς in [illegible]
p Ῥωμαίων δύο,] [illegible] Lugd. & Ruf.
q Ἔσυραν] Ἔσυρον Big. [illegible]
r Ὅλην τὴν πόλιν,] Ita Big. & Ruf. in cæteris deeſt ὅλην.
s Ἐν ἑνὶ σώματι] Illud ἐν è Cod. Big.
t Ὑποθήσεσθαι] Ὑποθέσθαι Big.
v Ἀρδάλᾳ] Ἀρδάλῳ Bod. Ἀρδάλῳ Ruf. & Lugd. Bat.
x Τὼ χεῖρε] Τὰς χεῖρας Bod.
y Διαφυγόντα] Antea erat διαφυγόντα μὲν. verum μὲν delevi auctoritate Codd. MSS.
z Σιλωὰμ] Sic MSS. Σιλωᾶ in Editis. Conf. ſupr. l. 5. c. 4. §. 1. Spanh.
a Τό, τε τ φονεύειν] Τὸ δὲ Big.

* Sed tamen Joſephus in extremis eorum rebus pro reliquiis civitatis obſecrando laborabat, Ruf.

τὰς δεξιὰς, σκιδνάμενοι κατὰ τὰ ἔμπροσθεν τῆς πόλεως, τοῖς ἐρειπίοις ὑπελόχων τοὺς αὐτομολεῖν ὡρμημένους. ἡλίσκοντο δὲ πολλοὶ, καὶ πάντας ἀποσφάττοντες, [b] ὑπὸ γὰρ ἐνδείας οὐδὲ [c] φυγεῖν ἴσχυον, ἐρρίπτουν αὐτῶν κυσὶ τοὺς νεκρούς. ἐδόκει δὲ πᾶς τρόπος ἀπωλείας τοῦ λιμοῦ κουφότερος, ὥστε καὶ Ῥωμαίοις, ἀπηλπικότες ἤδη τὸν ἔλεον, ὅμως προσέφευγον, καὶ φονεύουσι τοῖς στασιασταῖς ἑκόντες ἐνέπιπτον. τόπος τε ἐπὶ τῆς πόλεως οὐδεὶς γυμνὸς ἦν, [d] ἀλλὰ ἅπας [e] ἢ λιμοῦ νεκρὸν εἶχεν ἢ στάσεως, [f] καὶ πεπλήρωτο νεκρῶν ἢ διὰ στάσιν ἢ διὰ λιμὸν ἀπολωλότων.

γ΄. Ἔθαλπε δὲ τούς τε τυράννους, καὶ τὸ σὺν αὐτοῖς λῃστρικὸν, [g] ἐλπὶς ἐσχάτη περὶ τῶν ὑπονόμων, εἰς οὓς καταφεύγοντες οὐ προσεδόκων ἐρευνηθήσεσθαι. μετὰ δὲ τὴν παντελῆ τῆς πόλεως ἅλωσιν, ἀναζευξάντων [h] τῶν Ῥωμαίων προελθόντες, ἀποδράσεσθαι ἐπεχείρουν. τὸ δ' ἦν ἄρα ὄνειρος αὐτοῖς· οὔτε γὰρ τὸν Θεὸν, οὔτε Ῥωμαίους λήσειν ἔμελλον. τηνικαῦτα γε μὴν τοῖς ὑπογείοις πεποιθότες, αὐτοὶ πλείονα τῶν Ῥωμαίων [i] ἐνεπίπρασαν. καὶ τοὺς ἐκ τῶν καιομένων καταφεύγοντας εἰς τὰς [k] διώρυχας ἔκτεινόν τε [l] ἀναιδῶς καὶ ἐσύλων. [m] κἂν εἴ τινος εὕροιεν τροφὴν ἁρπάζοντες, αἵματι πεφυρμένην κατέπινον. ἦν δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς ἁρπαγαῖς ἤδη πόλεμος αὐτοῖς. δοκοῦσι δ' ἄν μοι, μὴ [n] φθασθέντες ὑπὸ τῆς ἁλώσεως, δι' ὑπερβολὴν ὠμότητος γεύσασθαι καὶ τῶν νεκρῶν.

assuetis familiare erat dextras movere, ante urbem diſperſi in ruinis transfugere cupientibus inſidiabantur. Multos autem capiebant, omneſque interficientes (nam propter inediam fugere non valebant) illorum cadavera canibus projiciebant. Omne autem pereundi genus fame levius videbatur: adeo ut ad Romanos, licet jam deſperata miſericordia, tamen fugerent; atque in ſeditioſos, à cæde non ceſſantes, ſponte inciderent. nullusque in urbe locus erat vacuus, ſed omnis aut fame aut ſeditione peremptos habebat, & cadaveribus eorum oppletus erat, qui aut ſeditione aut alimentorum penuria perierunt. *Tyrannorum crudelitas.*

3. Tyrannos autem, factionemque latronum, qui cum illis erant, fovebat ſpes ultima cuniculorum: in quos ſi confugerent, ſe non indagatum iri putabant: ſed peracto excidio, poſt Romanorum digreſſum prodire & aufugere cogitabant. Id autem plane illis erat ſomnium: nec enim vel Deum vel Romanos fuerant latituri. Porro tunc ſubterraneis freti, plura quam Romani concremabant: & qui ex incendiis fugientes in foſſas deſcenderant, eos improbe necabant itemque ſpoliabant. Quinetiam cibum ſicubi repeririſſent, ſanguine *licet* concretum, rapientes devorabant. Inter ipſos autem de rapinis jam bellum gerebatur: eoſque putaverim, niſi excidio præventos, nimia crudelitate etiam mortuorum corpora deguſtaturos. *Tyrannorum ſpes vana evadendi per cuniculos.*

ΚΕΦ. η΄.

Ὅπως πόλιν τὴν ἄνω χώμασι διαλαμβάνει ὁ Καῖσαρ· ἐπιτελεσθέντων τὰς μηχανὰς προσάγεσθαι κελεύει, καὶ ἐγκρατὴς τῆς ὅλης πόλεως ἐγένετο.

Καῖσαρ δὲ, ὡς ἀμήχανον ἦν ἐξελεῖν δίχα [o] χωμάτων τὴν ἄνω πόλιν περίκρημνον οὖσαν, διανέμει τοῖς ἔργοις τὴν δύναμιν Λώου μηνὸς εἰκάδι. χαλεπὴ δ' ἦν τῆς ὕλης ἡ κομιδὴ, πάντων, ὡς ἔφην, τῶν περὶ τὴν πόλιν ἐφ' ἑκατὸν σταδίους ἐψιλωμένων εἰς τὰ πρότερον χώματα. τῶν μὲν οὖν τεσσάρων ταγμάτων ἠγείρετο τὰ ἔργα κατὰ τὸ πρὸς δύσιν κλίμα τῆς πόλεως, ἄντικρυς τῆς βασιλικῆς αὐλῆς· τὸ δὲ συμμαχικὸν πλῆθος, καὶ ὁ λοιπὸς ὄχλος κατὰ [p] τὸν ξυστὸν, ἐξ οὗ καὶ τὴν γέφυραν, καὶ τὸν Σίμωνος πύργον, ὃν ᾠκοδόμησε πρὸς Ἰωάννην πολεμῶν ἑαυτῷ φρούριον.

β΄. Κατὰ ταύτας τὰς ἡμέρας, οἱ τῶν Ἰδουμαίων ἡγεμόνες, κρύφα συνελθόντες, ἐβουλεύσαντο περὶ προδοσίας σφῶν αὐτῶν, καὶ πέμψαντες ἄνδρας πέντε πρὸς Τίτον, ἱκέτευον δοῦναι δεξιὰν αὐτοῖς. ὁ δὲ, καὶ τοὺς τυράννους ἐνδώσειν ἐλπίσας, ἀποσπασθέντων τῶν Ἰδουμαίων, οἳ πολὺ τοῦ πολέμου μέρος ἦσαν, βραδέως μὲν, ἀλλ' οὖν κατανεύει τε [q] τὴν σωτηρίαν αὐτοῖς, καὶ τοὺς ἄνδρας ἀπέπεμψε. παρασκευαζομένων δ' ἀποχωρεῖν αἰσθάνεται Σίμων, καὶ πέντε μὲν τοὺς ἀπελθόντας πρὸς Τίτον ἀ-

CAP. VIII.

Quomodo Cæſar contra urbem ſuperiorem aggeres erigit: quibus perfectis machinas adduci jubet, & totam urbem cepit.

CÆſar autem, cum urbs ſuperior, in loco præcipiti ſita, ſine aggeribus capi non poſſet, copiis opus diſtribuit viceſimo die menſis Loi. Erat autem materiæ advectio difficilis; omnibus, ut dictum eſt, circa civitatem ad ſtadium uſque centeſimum, in aggerum priorum exſtructionem detonſis. Et quatuor quidem legionum opera in parte civitatis occidentali ex adverſo aulæ regiæ erigebantur: auxiliarium vero manus & cætera multitudo xyſtum verſus *occupabatur*, ac pontem, & Simonis turrim, quam cum Joanne bellum gerens pro caſtello ſibi ædificaverat. XV. *Auguſti XX. incipiunt Romani aggeres erigere contra urbem ſuperiorem.*

2. Iis diebus Idumæorum duces, clam congregati, conſilium de ſui traditione inierunt; viriſque quinque ad Titum miſſis, ut dextram ſibi daret ſupplices petebant. Ille vero, tyrannos, Idumæis avulſis qui belli pars magna erant, pertinaciam abjecturos ſperans, tarde quidem, veruntamen illis incolumitatem promittit, viroſque remiſit. Dum autem diſceſſum pararent, rem intelligit Simon, & quinque quidem, qui ad Titum per- *Idumæi deditionem tentant.*

b Ὑπὸ γὰρ] ὑπὸ γὰρ Roſſ.
c Φυγεῖν ἴσχυον,] Φυγεῖν & mox δ' ἐρρίπτουν in Cod. Big.
d Ἀλλὰ ἅπας] Ἀλλὰ πᾶς Big.
e Ἢ λιμοῦ νεκρὸν εἶχεν] Illud ἢ ex *Zonara* additum.
f Καὶ πεπλήρωτο νεκρῶν——ἀπολωλότων. Delet hæc *Lugd. Bat.*
g Ἐλπὶς ἐσχάτη] Ἐλπὶς ἐσχάτη ἡ π. *Big.*
h Τῶν Ῥωμαίων προελθόντες,] Illud τῶν è *Codd. MSS.* ut & mox infra v. 43.
i Ἐνεπίπρασαν] Ὑπενεπίμπρασαν *Big.* ἐνεπίμπρασαν *Vat.*
k Διώρυχας] Conf. de Vita §. 31. & ſupr. c. 1. 3. Spanh.
l Ἀναιδῶς] Ita *Big.* antea erat ἀνιδῶν. Quæ vox ſit huic loco accommodatior, aliorum eſto judicium.
m Κἂν] καὶ *L. B.*
n Φθασθέντες] *Big. Roſſ. L. B.* φθαρθέντες *Vat.* & *Lipſ.*

o Χωμάτων] *Aggeres* reddunt. Non repugno. Antea etiam χαρακωμάτων meminit, & χάρακος quo urbem Titus cinxit. Videtur vallum fuiſſe ex ſtipitibus ligneis ſtructum: ὕλη enim erat, qua ſpoliabatur omnis regio circa Hieroſolymas. Chriſtus id prædixit Luc. 19, 43. fore ut χάρακα circa Hieroſolymas ſtruerent, eaſque circumvallarent. Adeoque licet id in animo ante non habuerit Titus, ut dicto Chriſti veritas conſtaret, fieri debuit: qui etiam prædixit fore ut urbs a Romanis caperetur, etiamſi virtute humana id fieri nequaquam poſſe videretur, uti ipſe Titus agnovit, mox cap. 16. σὺν Θεῷ ἐπολεμήσαμεν, & manus humanæ nil efficere poſſunt adverſus has turres. Rel.
p Τὸν ξυστὸν,] τὸ ξυστὸν *L. B.*
q Τὴν σωτηρίαν] Abeſt τὴν a *Lugd. Bat.*

perrexerant, ſtatim occidit, duces vero, quorum nobiliſſimus erat Jacobus Soſæ filius, correptos in carcerem compingit. Idumæorum autem multitudinem, quod privati eſſent ducibus, conſilii inopem, obſervari jubet, & mœnia præſidiis accuratioribus muniebat. Non tamen cuſtodes transfugientibus obſtare valebant: ſed quamvis plurimi necarentur, multo *tamen* plures erant qui diffugerent. Omnes autem ſuſcipiebantur à Romanis, & quod Titus lenitate ſua præcepta priora inſuper habuerat, & ipſi *milites* ſatietate lucrique ſpe cæde abſtinuerant. Nam ſolis plebejis relictis, cæteram multitudinem cum uxoribus & liberis, minimo quemque pretio venundabant, ob mancipiorum magnum numerum & emptorum paucitatem. Quanquam autem voce præconis edixiſſet, ne quis ſolus transfugeret, ut familias *ſuas ſecum* educerent, tamen hos quoque recipiebat, appoſitis qui ab illis ſepararent quotquot pœna digni viderentur. Et quidem eorum qui venditi ſunt infinita erat multitudo; è plebejis vero ultra XL. millia ſunt conſervati, quos Cæſar, prout gratum unicuique erat, dimiſit.

Idumæi evadunt Cæſaris permiſſu.

Jeſus ſacerdos ſacra quædam vaſa tradit Cæſari.

3. In iiſdem diebus, quidam à ſacerdotibus, Thebuthi filius, nomine Jeſus, jurejurando pacta ſibimet à Cæſare incolumitate; ea lege ut de ſacris inſtrumentis quædam traderet, egreditur, ac tradit ex fani pariete candelabra duo, his quæ poſita erant in templo ſimilia, menſaſque & crateras & phialas, omnia ex ſolido auro & graviſſimo facta. necnon & aulæa, & pontificias veſtes cum lapidibus, & multa alia vaſa ſacro miniſterio comparata tradit. Quin & ſacri theſauri cuſtos, nomine Phineas, comprehenſus, tunicas, & cingula ſacerdotum oſtendit, multamque purpuram & coccum, quæ in aulæa adhibenda ſervabantur: cum quibus & multum cinnamomi erat, & caſſia, & aromatum aliorum vis ingens, quæ commiſcentes Deo quotidie adolebant. Traditæ ſunt etiam ab eo & multæ aliæ res pretioſæ, & ſacra ornamenta non pauca; quæ ipſi, *licet* vi capto, veniam transfugis datam conciliabant.

Phineas gazophylax comprehenſus veſtes ſacras aliaque res indicat.

XVI. *Septembris VIIo. Romani machinas admovent urbi ſuperiori.*

4. Jam vero, die ſeptimo menſis Gorpiæi aggeribus intra octodecim dies confectis, Romani quidem machinas admovebant: ſeditioſorum autem alii, qui tum de civitate deſperaverant, muris relictis in Acram recedebant: alii ſe in cuniculos abdebant, multique ordine diſpoſiti eos propugnabant qui helepoles adducebant. Hos vero multitudine ac vi ſuperabant Romani, quodque maximum eſt, læti mœſtos atque jam debiles. Cum autem muri pars quædam abrupta eſſet, nonnullæque turres arietibus pulſatæ ceſſiſſent, ſtatim quidem propugnatores diffugiebant, tyranniſque etiam metus inceſſit vehementior quam pro neceſſitate. nam priuſquam tranſilirent hoſtes, torpore tenebantur & ad fugiendum ſuſpenſi erant. Cernere autem erat paulo ante ſuperbos & impiis facinoribus gloriantes, ita tunc dejectos & tremebundos, ut miſeranda eſſet, quanquam in nequiſſimis, tanta mutatio. Et conati quidem ſunt, factis in munitiones excurſibus cuſtodes pellere, illiſque perruptis evadere. Cum autem eos, quorum fideli opera prius uſi fuerant, nuſquam viderant,

Tyranni, Joannes & Simon, terrori incipiunt.

εὐθέως ἀναιρεῖ, τοὺς δ' ἡγεμόνας, ὧν ἐπισημότατος ἦν ὁ τοῦ Σωσᾶ Ἰάκωβος, συλλαβὼν εἵργνυσι· τὸ δὲ πλῆθος τῶν Ἰδουμαίων, ἀμηχανοῦν διὰ τὴν ἀφαίρεσιν τῶν ἡγεμόνων, οὐκ ἀφύλακτον εἶχε, καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις διελάμβανεν. οὐ μὴν ἀντέχειν οἱ φρουροὶ πρὸς [r] τὰς αὐτομολίας ἴσχυον· ἀλλὰ καίτοι πλείστων φονευομένων, πολὺ πλείους οἱ διαφεύγοντες ἦσαν. ἐδέχοντο δὲ Ῥωμαῖοι πάντας, τότε Τίτου διὰ πραότητα τῶν προτέρων ἀμελήσαντος παραγγελμάτων, καὶ αὐτοὶ [s] κόρῳ τοῦ κτείνειν ἀπεχόμενοι, καὶ κέρδους ἐλπίδι. τοὺς γὰρ δημοτικοὺς καταλιπόντες μόνους, τὸν ἄλλον ὄχλον ἐπώλουν σὺν γυναιξὶ καὶ τέκνοις, ἐλαχίστης τιμῆς ἕκαστον, πλήθει τε τῶν πιπρασκομένων, καὶ ὀλιγότητι τῶν ὠνουμένων. καίτοι δὲ προκηρύξας μηδένα μόνον αὐτομολεῖν, ὅπως [t] καὶ γενεὰς ἐξαγάγωσιν, ὅμως καὶ τούτους ἐδέχετο. ἐπέστησε μέντοι τοὺς [u] διακρινοῦντας ἀπ' αὐτῶν, εἴ τις εἴη κολάσεως ἄξιος. καὶ τῶν μὲν ἀπεμποληθέντων [v] ἄπειρον τὸ πλῆθος ἦν· οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους, οὓς διαφῆκε Καῖσαρ, ᾗ φίλον ἦν ἑκάστῳ.

γ'. Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις, καὶ τῶν ἱερέων τις [x] Θεβουθὶ παῖς, Ἰησοῦς ὄνομα, λαβὼν περὶ σωτηρίας ὅρκους παρὰ Καίσαρος, ἐφ' ᾧ παραδώσει τινὰ τῶν ἱερῶν κειμηλίων, ἔξεισι, καὶ παραδίδωσιν ἀπὸ τοῦ τοίχου τοῦ ναοῦ λυχνίας δύο [y] ταῖς κατὰ τὸν ναὸν κειμέναις παραπλησίας, τραπέζας τε καὶ κρατῆρας καὶ φιάλας, πάνθ' ὁλόχρυσα καὶ στιβαρώτατα. παραδίδωσι δὲ καὶ τὰ καταπετάσματα, καὶ τὰ ἐνδύματα τῶν ἀρχιερέων σὺν τοῖς λίθοις, καὶ πολλὰ τῶν πρὸς τὰς ἱερουργίας σκευῶν ἄλλα. συλληφθεὶς δὲ καὶ ὁ γαζοφύλαξ τοῦ ἱεροῦ Φινέας ὄνομα, τούς τε χιτῶνας καὶ τὰς ζώνας ἐπέδειξε τῶν ἱερέων, πορφύραν τε πολλὴν καὶ κόκκον, ἃ [z] πρὸς χρείας ἀπέκειτο τοῦ καταπετάσματος, σὺν οἷς [a] κιννάμωμόν τε πολὺ καὶ κασσίαν, καὶ πλῆθος ἑτέρων ἀρωμάτων, ἃ συμμίσγοντες ἐθυμίων ὁσημέραι τῷ Θεῷ. παρεδόθη δὲ ὑπ' αὐτοῦ πολλὰ καὶ τῶν ἄλλων κειμηλίων, κόσμος θ' ἱερὸς οὐκ ὀλίγος, ἅπερ αὐτῷ βίᾳ ληφθέντι τὴν τῶν αὐτομόλων συγγνώμην ἔδωκε.

δ'. Συντετελεσμένων δ' ἤδη καὶ τῶν χωμάτων ἑβδόμῃ Γορπιαίου μηνός, ἐν ὀκτωκαίδεκα ἡμέραις, Ῥωμαῖοι μὲν προσῆγον τὰς μηχανάς. τῶν δὲ στασιαστῶν οἱ μὲν, ἀπεγνωκότες ἤδη τὴν πόλιν, ἀνεχώρουν τοῦ τείχους εἰς τὴν Ἄκραν. οἱ δ' [b] ἐγκατεδύοντο τοῖς ὑπονόμοις, πολλοὶ δὲ διαστάντες ἠμύνοντο τοὺς προσάγοντας τὰς ἑλεπόλεις. ἐκράτουν δὲ καὶ τούτων Ῥωμαῖοι, πλήθει τε καὶ βίᾳ, καὶ τὸ μέγιστον, εὐθυμοῦντες ἀθύμων ἤδη καὶ παρειμένων. ὡς δὲ περιερράγη μέρος τι τοῦ τείχους, καί τινες τῶν πύργων τυπτόμενοι τοῖς κριοῖς ἐνέδοσαν, φυγὴ μὲν ἦν εὐθέως τῶν ἀμυνομένων, δέος δὲ καὶ τοῖς τυράννοις ἐμπίπτει σφοδρότερον τῆς ἀνάγκης. πρὶν γὰρ ὑπερβῆναι τοὺς πολεμίους, ἐνάρκων τε καὶ μετέωροι πρὸς φυγὴν ἦσαν. ἦν δ' ἰδεῖν τοὺς πάλαι σοβαροὺς καὶ τοῖς ἀσεβήμασιν ἀλαζόνας, τότε ταπεινοὺς καὶ τρέμοντας, ὡς ἐλεεινὴν εἶναι καίτοι ἐν πονηροτάτοις τὴν μεταβολήν. ὥρμησαν μὲν οὖν, ἐπὶ τὸ περιτείχισμα δραμόντες, ὤσασθαί τε τοὺς φρουροὺς, καὶ διακόψαντες ἐξελθεῖν. ὡς δὲ τοὺς μὲν πάλαι πιστοὺς ἑώρων οὐδαμοῦ, διέφυγον γὰρ ὅπῃ τινὶ συνε-

r Τὰς αὐτομολίας ἴσχυον] Τοὺς αὐτομολοῦντας Big. τοὺς αὐτομόλους Zonar.

s Κόρῳ τοῦ κτείνειν ἀπεχόμενοι,] Κόρῳ Big. unde διὰ quis excidiſſe ſuſpicaretur.

t Καὶ γενεὰς ἐξαγάγωσιν,] Καὶ τὰς γενεὰς Big. & mox ἐξάγωσιν Vat.

u Διακρινοῦντας ἀπ' αὐτῶν,] Διακρίνοντας Big.

v Ἄπειρον τὸ πλῆθος ἦν] Ita Big. & Vat. ἄπειρόν τι πλ. in Editis, Zonara, Aliiſque.

x Θεβουθί] Ita cum Rufino legendum cenſeo. Θεμουθί in Editis, forſan pro Θεβουθί quod habet Cod. Vat. Lugd. Bat. & Roſ. Ζεβουθί Big.

y Ταῖς κατὰ τὸν ναὸν κειμέναις] Τῶν κατὰ τὸν ναὸν κειμένων Big. Vat. Voſſ. Roſ. & Bod.

z Πρὸς χρείας ἀπέκειτο] Πρὸς τὰς χρείας Vat.

a Κιννάμωμόν τε πολὺ καὶ κασσίαν,] Cinnamomum, Caſſia ad ſuffitus in Templo. Vid. II. Reg. XXXIX. 2. Spanh. Hinc diſcimus plura aromata quam quatuor quorum Moſes meminit, in pulvere ſuffitus fuiſſe, quod & Talmudici teſtantur, [illegible] *cinnamomum & caſiam* diſerte memorantes. Rel.

b Ἐγκατεδύοντο τοῖς ὑπονόμοις,] Διαδὺς τῶν ὑπονόμων infr. lib 7. c. 6. §. 5. Spanh.

c Πρὸς

συνελαύνοι ἡ ἀνάγκη, [c] προθέοντες δέ, [d] οἱ μὲν ὅλον ἀνατετράφθαι τὸ πρὸς δύσιν τεῖχος ἤγγελλον, οἱ δ' [e] ἐμβεβληκέναι τοὺς Ῥωμαίους, οἱ δ' [f] ἤδη τε πλησίον εἶναι ζητοῦντας αὐτούς, ἕτεροι δ' ἀφορᾶν ἐπὶ τῶν πύργων πολεμίους ἔλεγον, πλαζομένου τὰς ὄψεις τοῦ δέους, [g] ἐπὶ στόμα πεσόντες, [h] ἀνῴμωξαν τὴν ἑαυτῶν φρενοβλάβειαν, καὶ καθάπερ ὑποκεκομμένοι τὰ νεῦρα τῆς φυγῆς ἠπόρουν. ἔνθα δὴ μάλιστ' ἄν τις καταμάθοι, τήν τε τοῦ Θεοῦ δύναμιν ἐπὶ τοῖς ἀνοσίοις, καὶ τὴν Ῥωμαίων τύχην. οἱ μὲν γὰρ τύραννοι, τῆς ἀσφαλείας ἐγύμνωσαν ἑαυτούς, καὶ τῶν πύργων κατέβησαν ἑκόντες, [i] ἐφ' ὧν βίᾳ μὲν οὐδέποτ' ἁλῶναι, μόνῳ δ' ἐδύναντο λιμῷ. Ῥωμαῖοι δὲ τοσαῦτα περὶ τοῖς ἀσθενεστέροις τείχεσι καμόντες παρέλαβον τύχῃ τὰ μὴ δυνατὰ τοῖς ὀργάνοις. [k] παντὸς γὰρ ἰσχυρότεροι μηχανήματος ἦσαν οἱ τρεῖς πύργοι, περὶ ὧν ἀνωτέρω δεδηλώκαμεν.

ε'. Καταλιπόντες δὴ τούτους, μᾶλλον δ' ὑπὸ τοῦ Θεοῦ καταβληθέντες ἀπ' αὐτῶν, παραχρῆμα μὲν εἰς τὴν [l] ὑπὸ [m] Σιλωὰμ φάραγγα καταφεύγουσιν. αὖθις δ' ὀλίγον ἀνακύψαντες ἐκ τοῦ δέους, ὥρμησαν ἐπὶ τὸ ταύτῃ παρατείχισμα. χρησάμενοι δὲ ταῖς τόλμαις ἀγεννεστέραις τῆς ἀνάγκης, κατέαγησαν γὰρ ἤδη τὴν ἰσχὺν ἅμα τῷ δέει καὶ ταῖς συμφοραῖς, ὑπὸ τῶν φρουρῶν ἀνωθοῦνται, καὶ σκεδασθέντες [n] ὑπ' ἀλλήλων, κατέδυσαν εἰς τοὺς ὑπονόμους. Ῥωμαῖοι δὲ τῶν τειχῶν κρατήσαντες, τάς τε σημαίας ἔστησαν ἐπὶ τῶν πύργων, καὶ μετὰ κρότου καὶ χαρᾶς ἐπαιάνιζον ἐπὶ τῇ νίκῃ, πολὺ τῆς ἀρχῆς κουφότερον τοῦ πολέμου τὸ τέλος εὑρηκότες. ἀναιμωτὶ γοῦν τοῦ τελευταίου τείχους ἐπιβάντες ἠπίστουν, καὶ μηδένα βλέποντες ἀντίπαλον, ἀληθῶς ἠπόρηντο. εἰσχυθέντες δὲ τοῖς στενωποῖς ξιφήρεις, τούς τε καταλαμβανομένους ἐφόνευον [o] ἀνέδην, καὶ τῶν συμφευγόντων τὰς οἰκίας αὐτάνδρους [p] ὑπεπίπρασαν. πολλὰς δὲ κεραΐζοντες, ὁπότ' ἔνδον παρέλθοιεν ἐφ' ἁρπαγὴν γενεὰς ὅλας νεκρῶν κατελάμβανον, καὶ τὰ δωμάτια πλήρη τῶν τοῦ λιμοῦ πτωμάτων. ἔπειτα πρὸς τὴν ὄψιν πεφρικότες, κεναῖς χερσὶν ἐξῄεσαν. οὐ μὴν οἰκτείροντες τοὺς οὕτως ἀπολωλότας, ταὐτὸ καὶ πρὸς τοὺς ζῶντας ἔπασχον. ἀλλὰ τὸν [q] ἐντυχόντα διελαύνοντες, ἀπέφραξαν μὲν τοὺς στενωποὺς [r] νεκροῖς, αἵματι δ' ὅλην τὴν πόλιν κατέκλυσαν, ὡς πολλὰ τῶν φλεγομένων σβεσθῆναι τῷ φόνῳ. καὶ οἱ μὲν κτείνοντες ἐπαύσαντο πρὸς ἑσπέραν, ἐν δὲ τῇ νυκτὶ τὸ πῦρ ἐπεκρατεῖτο. φλεγομένοις δ' ἐπανέτειλεν Ἱεροσολύμοις ἡμέρα Γορπιαίου μηνὸς ὀγδόη, πόλει τοσαύταις χρησαμένῃ συμφοραῖς κατὰ τὴν πολιορκίαν, ὅσοις ἀπὸ τῆς κτίσεως ἀγαθοῖς κεχρημένη πάντως ἂν ἐπίφθονος ἔδοξεν, οὐ μὴν ἀξία κατ' ἄλλο τι τῶν τηλικούτων ἀτυχημάτων, ἢ τὸ γενεὰν τοιαύτην ἐνεγκεῖν, ὑφ' ἧς [s] ἀνετράπη.

(nam diſperſi erant quò quenquam fugere ſuadebat neceſſitas) & præcurſorum alii totum ab occidente murum ſubverſum eſſe nunciarent, alii Romanos ingreſſos eſſe, alii jam in propinquo eſſe qui ipſos quærebant, aliique ſe videre hoſtes in turribus affirmarent, faciente metu ut errarent oculi, in faciem prolapſi vecordiam ſuam deplorarunt, ac veluti ſucciſi eſſent nervi fugere non poterant. Unde igitur maxime quis & Dei potentiam in ſceleratos intelligat, & fortunam Romanorum. Nam tyranni quidem ſecuritate ſemetipſos exuerunt, atque ultro è turribus deſcenderunt, in quibus vi quidem nunquam, ſola vero fame expugnari poterant. Romani autem, qui adeo circa mœnia infirmiora laboraverant, fortuna ea ceperunt, adverſus quæ nihil valebant organa. Omnibus enim machinis validiores erant tres turres, de quibus ſupra memoravimus.

Tyranni mente privati divinitus muniſſima loca Romanis permittunt.

5. His itaque relictis, aut magis ex illis Dei voluntate dejecti, confeſtim quidem in vallem infra Siloam confugerunt. Verum cum ad ſe rurſum ex metu rediiſſent, munitionem illic ſtructam petiere. Uſi autem audacia minus virili quam neceſſitas poſtulabat (jam enim vires eorum metus & calamitas fregerat) repulſi erant à cuſtodibus, & per diverſa disjecti cuniculos ſubierunt. At Romani muris potiti, & ſigna in turribus poſuere, & victoriam cum plauſu & lætitia celebrabant, quod bellum multo levius ſub finem quam ſub initium invenerant. Itaque cum citra ſanguinem in murum extremum aſcendiſſent, ſupra quam cuique credibile eſt videbatur; neminemque ſibi adverſum videntes, præter morem quo ſe verterent dubitabant. In anguſtias autem vicorum ſtrictis gladiis effuſi deprehenſos ad ſatietatem uſque trucidabant; domoſque totas, cum omnibus qui eò confugerant, incenderunt. Multas vero vaſtantes, cum prædæ cauſa eas penetraſſent, integras defunctorum familias & tecta plena mortuis, quos fames confecerat, offendebant. Dein cum iſta intuerentur horreſcentes vacuis manibus egreſſi ſunt. Non tamen eo modo peremptos miſerantes, idem etiam circa vivos patiebantur: ſed unumquemque obvium transfigentes, anguſtias vicorum cadaveribus obſtruxerunt, & totam civitatem ſanguine obruerunt, ut pleraque incenſorum ſanguine cæſorum exſtinguerentur. Et occidentes quidem ad veſperam deſierunt, nocte vero ignis prævalebat. Ardentibus autem Hieroſolymis illuxit dies Gorpiæi menſis octavus, ubi *quidem*, tot calamitates cum obſideretur expertæ, quot bonis ſi floruiſſet ex quo fuerat condita, plane invidenda ipſa eſſet; non tamen aliàs tantis infelicitatibus digna, quam quod talem progeniem edidit, à qua ſubverſa eſt.

Romani ſigna in turribus ponunt.

Cædes varia & incendium Urbis.

Urbs conflagrat XVIII°. menſis Septembris, à paſſione Domini anno XLIII.

c Προθέοντες] προστίθεντες L. B.
d Οἱ μὲν ὅλον ἀνατετράφθαι] Οἱ καὶ μὲν Vat.
e Ἐμβεβληκέναι] ἐμβεβηκέναι L. B.
f Ἤδη] Delet το L. B.
g Ἐπὶ στόμα πεσόντες,] Abeſt a Raſ.
h Ανῴμωξαν τὴν ἑαυτῶν φρενοβλάβειαν,] Ita cum *Zonara*. ἀνῴμωξαν in *Joſephi* libris hodiernis. Conf. ſupr. lib. 1. c. 27. §. 5. ἐκ τοσαύτης φρενοβλαβείας & lib. 2. c. 7. §. 1. προελθεῖν εἰς τοσαύτην φρενοβλάβειαν Spanh.
i Ἐφ' ὧν βίᾳ] Ἀφ' ὧν βίᾳ μὲν οὐδέποτε ἁλῶναι ἐδύναντο λιμῷ δὲ μόνῳ *Zonar.*
k Παντὸς γὰρ ἰσχυρότεροι — ἀνωτέρω δεδηλώκαμεν.] Conf. ſupr. lib. 5. c. 17. §. 8. & infr. lib. 7. c. 1. §. 1. Spanh.
l Τὴν] Εἰς τὴν τοῦ Σιλωὰμ φάρ. *Zonar.* εἰς τὴν ὑπὸ τῇ Σιλ. L. B.
m Σιλωὰμ φάραγγα] Σιλωὰμ φάραγξ ſupr. lib. 5. c. 12. §. 2. Spanh.
n Ὑπ' ἀλλήλων,] ἀπ' ἀλλήλων L. B.
o Ἀνέδην,] Ἀνειδὴν *Big.* Vide *Suidam* voce ἀνέδην.
p Ὑπεπίπρασαν.] Ὑπενεπίπρασαν *Big.*
q Ἐντυχόντα] ἐντυγχάνοντα L. B.
r Νεκροῖς,] Νεκρῶν *Big.*
s Ἀνετράπη.] Ita *Big. Lugd. Bat.* & *Vat.* [illegible] in Editis *aliiſque*.

CAP. IX.

Quænam Cæſar intro ingreſſus fieri imperavit. Numerus eorum qui capti erant & perierunt. deque iis qui in cuniculos confugerunt : in quibus Simon & Joannes tyranni.

UBI autem intraſſet Titus, inter alia miratus eſt urbem ob firma opera & turres, quas per vecordiam tyranni deſeruerant. deinde conſiderans ſolidam earum altitudinem & ſingulorum lapidum magnitudinem, & exactiſſimam coagmentationem, tum qua latitudine eſſent qua longitudine, „ Deo, inquit, favente bellavimus, Deus eſt qui Judæos ex iſtis munimentis detraxit; nam humanæ manus & machinæ quid contra tales turres valeant? „ Et tunc quidem multa ejuſmodi cum amicis collocutus eſt: vinctos vero à tyrannis in caſtellis relictos ſolvit. Cum autem iterum urbem alibi deleret & mœnia everteret, eas turres monumentum reliquit fortunæ ſuæ, qua commilitante iis potitus eſt quæ expugnari non poterant.

Titus fatetur Dei virtute urbem cepiſſe.

Quænam Cæſar de captis decrevit.

2. Quandoquidem autem milites cædibus quidem defatigati erant, ingens vero multitudo ſupereſſe viſa eſt, eos quidem ſolos qui in armis eſſent manibuſque reſiſterent occidi jubet Cæſar, reliquam vero multitudinem vivam capi. Illi autem, cum his, quos interficere juſſi erant, etiam ſenes ac debiles trucidabant; at ætate florentes ac uſui idoneos, in templum compulſos, in deſtinatum mulieribus ambitum incluſerunt: & cuſtodem quidem his appoſuit Cæſar unum ex libertis, Frontonem vero ex amicis, qui fortunam quam quiſque meritus eſſet *illis* decerneret. Ille vero ſeditioſos quidem omnes atque latrones, mutuo indicio damnatos, occidit: juvenes autem lectos, qui proceritate & forma cæteris præſtarent, triumpho ſervabat. Ex reliqua autem multitudine, annis XVII. majores vinctos ad metalla exercenda in Ægyptum miſit; plurimos etiam per provincias diſtribui Titus, in theatris ferro & beſtiis conſumendos. Quicunque vero infra XVII. annum *ætatis* erant, *ſub corona* venditi ſunt. Iiſdem autem diebus, dum à Frontone ſecernebantur, ex inedia perierunt XII. millia, partim ex cuſtodum in illos odio nihil habentes quod comedant, partim accipere recuſantes quod datum erat. Præ multitudine autem erat frumenti etiam penuria.

De captivis Judæis.

XVII. Captivorum, eorumque qui bello perierunt, numerus.

3. Et captivorum quidem omnium, qui totius belli tempore capti ſunt, numerus erat ad nonaginta ſeptem millia: totius autem obſidionis tempore undecies centena *hominum* millia perierunt. Horum major pars ejuſdem quidem gentis erat, * non vero ejuſdem regionis. nam qui è tota regione ad Azymorum feſtum convenerant, derepente bello circundati erant. adeo ut primo quidem ex loci anguſtia in illos invaderet peſtis,

ΚΕΦ. Θ'.

Οἷα Καῖσαρ εἴσω παρελθὼν προσέταξε. τῶν ἁλόντων καὶ ἀπολλυμένων ἀριθμός. περί τε τῶν εἰς ὑπονόμους καταφυγόντων· ἐν οἷς Σίμων καὶ Ἰωάννης τύραννοι.

ΠΑρελθὼν δὲ Τίτος εἴσω, τά τ' ἄλλα τῆς ὀχυρότητος τὴν πόλιν καὶ τῶν πύργων ἀπεθαύμασεν, οὓς οἱ τύραννοι κατὰ φρενοβλάβειαν ἀπέλιπον. κατιδὼν γοῦν τό, τε [s] ναστὸν αὐτῶν ὕψος, καὶ τὸ μέγεθος ἑκάστης πέτρας, τήν τε ἀκρίβειαν τῆς ἁρμονίας, καὶ ὅσοι μὲν εὖρος, ἡλίκοι δὲ ἦσαν τὴν [t] ἀνάτασιν, „ σὺν Θεῷ γ' ἐπολεμήσαμεν, ἔφη. καὶ Θεὸς ἦν ὁ τῶνδε τῶν ἐρυμάτων Ἰουδαίους καθελὼν, ἐπεὶ χεῖρές τε ἀνθρώπων ἢ μηχαναὶ τί πρὸς [x] τούτους τοὺς πύργους δύνανται; " τότε μὲν οὖν πολλὰ τοιαῦτα [y] διελέχθη πρὸς τοὺς φίλους. τοὺς δὲ τῶν τυράννων δεσμώτας οἳ κατελήφθησαν ἐν τοῖς φρουρίοις ἀνῆκεν. αὖθις δὲ τὴν ἄλλην ἀφανίζων πόλιν, καὶ τὰ τείχη κατασκάπτων, τούτους τοὺς πύργους κατέλιπε μνημεῖον εἶναι τῆς αὐτοῦ τύχης, ᾗ συστρατιώτιδι χρησάμενος ἐκράτησε τῶν ἁλῶναι μὴ δυναμένων.

β. Ἐπεὶ δ' οἱ στρατιῶται μὲν ἔκαμνον ἤδη φονεύοντες, [z] πολὺ δέ τι πλῆθος τῶν περιόντων ἀνεφαίνετο, κελεύει Καῖσαρ, μόνους μὲν τοὺς ἐνόπλους καὶ χεῖρας ἀντισχόντας κτείνειν, τὸ δὲ λοιπὸν πλῆθος ζωγρεῖν. οἱ δὲ μετὰ τῶν παρηγγελμένων τό, τε γηραιὸν καὶ τοὺς ἀσθενεῖς ἀνῄρουν· τὸ δ' ἀκμάζον καὶ χρήσιμον εἰς τὸ ἱερὸν συνελάσαντες, ἐγκατέκλεισαν τῷ τῶν γυναικῶν περιτειχίσματι· καὶ φρουρὸν μὲν ἐπέστησε Καῖσαρ ἕνα τῶν ἀπελευθέρων, Φρόντωνα δὲ τῶν φίλων, ἐπικρινοῦντα τὴν ἀξίαν ἑκάστῳ τύχην. ὁ δὲ τοὺς μὲν στασιώδεις καὶ λῃστρικοὺς [a] πάντας, ὑπ' ἀλλήλων ἐνδεικνυμένους, ἀπέκτεινε· τῶν δὲ νέων τοὺς ὑψηλοτάτους [b] καὶ καλοὺς ἐπιλέξας ἐτήρει τῷ θριάμβῳ. τοῦ δὲ λοιποῦ πλήθους τοὺς ὑπὲρ ἑπτακαίδεκα ἔτη δήσας [c] ἔπεμψεν εἰς τὰ κατ' Αἴγυπτον ἔργα, πλείστους δ' εἰς τὰς ἐπαρχίας διεδωρήσατο Τίτος, φθαρησομένους ἐν τοῖς θεάτροις σιδήρῳ καὶ θηρίοις. οἱ δ' ἐντὸς ἑπτακαίδεκα ἐτῶν [d] ἐπράθησαν. ἐφθάρησαν δ' αὐτῶν ἐν αἷς διέκρινεν ὁ Φρόντων ἡμέραις ὑπ' [e] ἐνδείας, χίλιοι πρὸς τοῖς μυρίοις, οἱ μὲν ὑπὸ μίσους τῶν φυλάκων μὴ μεταλαμβάνοντες τροφῆς, οἱ δ' οὐ προσιέμενοι διδομένην. πρὸς δὲ τὸ πλῆθος ἦν ἔνδεια καὶ σίτου.

γ. Τῶν μὲν οὖν αἰχμαλώτων πάντων, ὅσα καθ' ὅλον ἐλήφθη τὸν πόλεμον, ἀριθμὸς [f] ἐννέα μυριάδες καὶ ἑπτακισχίλιοι συνήχθη· [g] τῶν δ' [h] ἀπολλυμένων κατὰ πᾶσαν τὴν πολιορκίαν, μυριάδες ἑκατὸν καὶ δέκα. τούτων τὸ πλέον [i] ὁμόφυλον μὲν, ἀλλ' οὐκ ἐπιχώριον. ἀπὸ γὰρ τῆς χώρας ὅλης ἐπὶ τὴν τῶν Ἀζύμων ἑορτὴν συνεληλυθότες, ἐξαπίνης τῷ πολέμῳ περιεσχέθησαν, ὥστε τὸ μὲν πρῶτον αὐτοῖς τὴν στενοχωρίαν γενέσθαι λοιμώδη φθοράν,

s Ναστὸν αὐτῶν ὕψος,] Conf. ſupr. lib. 5. c. 4. §. 3. Spanh.
t Ἀνάτασιν,] Ἀνάστασιν *Big.* & *Vat.*
x Τούτους τοὺς πύργους] τούτοις ἔφη τοῖς πύργοις *Roſt.*
y Διελέχθη πρὸς τοὺς φίλους] Ita *Big.* διελέχθη in *Editis Aliiſque.*
z Πολὺ δέ τι πλῆθος τῶν περιόντων ἀνεφαίνετο,] Πολὺ δ' ἔτι πλ. τῶν π. ἐφαίνετο *Big.*
a Πάντας,] Illud πάντας non agnoſcit *Big.* neque *Euſeb.* qui locum hunc affert in *Eccl. Hiſt.* l. 3. c. 7.
b Καὶ καλοὺς ἐπιλέξας] Καὶ κάλλει σώματος διαφέροντας *Euſeb.*
c Ἔπεμψεν εἰς τὰ κατ' Αἴγυπτον ἔργα,] Nempe ad agros ibi colendos. Spanh.
d Ἐπράθησαν.] Ἐπράχθησαν *Big.* Confer *Euſeb.* in *Eccl. Hiſt.* l. 3. c. 7. p. 81. B.
e Ἐνδείας,] Ἐνδείᾳ σίτου *Rhod.*
f Ἐννέα μυριάδες] Ἐννακόσια ſcripſiſſe *Joſephum* cenſet *Villalpandus*, tom. 3. p. 123. Sequentia uſque ſecundum μυριάδες omiſſa ſunt in *Roſt.*
g Τῶν δ'] τῶν δὲ ἀπολ. vid. apud *Euſeb. H. Eccl. l. III. cap. VII. p.* 81. A. Spanh.
h Ἀπολλυμένων] Ἀπολωλότων *Big.*
i Ὁμόφυλον] *Contribules.* Judæi nim. licet non indigenæ, ſed multi ex aliis regionibus. *Helleniſtæ. Barlæus.*

* *Al.* non vero indigenæ.

ρὰν, αὖθις δὲ καὶ λιμὸν ὠκύτερον. ὅτι δ' ἐχώρει τοσούτους ἡ πόλις, δῆλον ἐκ τῶν ἐπὶ Κεστίου συναριθμηθέντων, ὃς, τὴν ἀκμὴν τῆς πόλεως διαδηλῶσαι Νέρωνι βουλόμενος καταφρονοῦντι τοῦ ἔθνους, παρεκάλεσε τοὺς ἀρχιερεῖς, [k] εἴπως δυνατὸν εἴη τὸ πλῆθος [l] ἐξαριθμήσασθαι· οἱ δ' ἐνστάσης [m] ἑορτῆς, Πάσχα καλεῖται, [n] καθ' ἣν θύουσι μὲν [o] ἀπὸ ἐνάτης ὥρας μέχρι ἑνδεκάτης, [p] ὥσπερ δὲ [q] φρατρία περὶ ἑκάστην γίνεται [r] θυσίαν, οὐκ ἐλάσσων ἀνδρῶν δέκα, μόνοις γὰρ οὐκ ἔξεστι δαίνυσθαι, πολλοὶ δὲ καὶ σὺν εἴκοσιν ἀθροίζονται. τῶν μὲν [s] οὖν θυμάτων [t] εἴκοσι πέντε μυριάδας ἠρίθμησαν, [v] πρὸς δὲ ἑξακισχίλια καὶ πεντακόσια. γίνονται δ' ἀνδρῶν, ἵν' ἑκάστου δέκα δαιτυμόνας θῶμεν, μυριάδες [x] ἑβδομήκοντα καὶ διακόσιαι, καθαρῶν ἁπάντων καὶ ἁγίων. οὔτε γὰρ λεπροῖς, οὔτε γονορροίοις, οὔτε γυναιξὶν ἐπεμμήνοις, οὔτε τοῖς [y] ἄλλως μεμιασμένοις ἐξὸν τῆσδε τῆς θυσίας μεταλαμβάνειν· ἀλλ' οὐδὲ τοῖς [z] ἀλλοφύλοις, ὅσοι κατὰ θρησκείαν παρῆσαν.

δ'. Πολὺ δὲ [a] τοῦτο πλῆθος ἔξωθεν συλλέγεται· τότε γε μὴν ὥσπερ εἰς εἱρκτὴν ὑπὸ τῆς εἱμαρμένης πᾶν συνεκλείσθη τὸ ἔθνος, καὶ [b] ναστὴν ὁ πόλεμος τὴν πόλιν ἀνδρῶν ἐκυκλώσατο. πᾶσαν γοῦν ἀνθρωπίνην καὶ δαιμόνιον φθορὰν ὑπερβάλλει [c] τὸ πλῆθος τῶν ἀπολωλότων. ἐπὶ γοῦν τῶν φανερῶν, οὓς μὲν ἀνεῖλον, οὓς δ' ᾐχμαλωτίσαντο Ῥωμαῖοι, [d] οὓς δ' ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων, καὶ τοὔδαφος ἀναρρηγνύντες, ὅσοις μὲν ἐνετύγχανον [e] ἔκτεινον. εὑρέθησαν δὲ κἀκεῖ νεκροὶ πλείους δισχιλίων, οἱ μὲν ὑπὸ σφῶν αὐτῶν, οἱ δ' ὑπ' ἀλλήλων, τὸ πλέον δ' ὑπὸ τοῦ λιμοῦ διεφθαρμένοι. δεινὴ δ' ὑπήντα τοῖς [f] ἐπεισπίπτουσιν ὀδμὴ τῶν σωμάτων, ὡς πολλοὺς μὲν ἀναχωρεῖν εὐθέως, τοὺς δὲ ὑπὸ πλεονεξίας εἰσδύεσθαι, νεκροὺς σεσωρευμένους ἐμπατοῦντας. πολλὰ γὰρ τῶν κειμηλίων ἐν ταῖς διώρυξιν [g] εὑρίσκετο, καὶ πᾶσαν [h] θεμιτὴν [i] τὴν ὁδὸν ἐποίει τὸ κέρδος. ἀνήγοντο δὲ καὶ δεσμῶται πολλοὶ τῶν τυράννων. οὐδὲ γὰρ ἐν ἐσχάτοις ἐπαύσαντο τῆς ὠμότητος. ἀπετίσατό γε μὴν ὁ Θεὸς ἀμφοτέρους ἀξίως. καὶ Ἰωάννης μὲν, λιμώττων μετὰ τῶν ἀδελφῶν ἐν τοῖς ὑπονόμοις, ἣν πολλάκις ὑπερηφάνησε [k] δεξιὰν παρὰ Ῥωμαίων λαβεῖν ἱκέτευε· Σίμων δὲ, πολλὰ διαμαχήσας πρὸς τὴν ἀνάγκην, ὡς διὰ τῶν ἑξῆς δηλώσομεν, ἑαυτὸν παρέδωκεν. ἐφυλάχθη δ' ὁ μὲν τῷ [l] θριάμβῳ σφάγιος, ὁ δ' Ἰωάννης δεσμοῖς αἰωνίοις. Ῥωμαῖοι δὲ [m] τάς τε ἐσχατιὰς τοῦ ἄστεος ἐνέπρησαν, καὶ τὰ τείχη κατέσκαψαν.

ac deinde citius fames. Quod autem tantam multitudinem caperet civitas, manifeſtum ex illis qui ſub Ceſtio fuerant enumerati. Is enim integræ ætatis viros in civitate Neroni, gentem contemnenti, ſignificare cupiens, à pontificibus petiit, ut, ſi quo modo poſſent, multitudinem numerarent. Illi autem, cum feſtum adeſſet, (*quod* Paſcha vocatur), in quo à nona quidem hora uſque ad undecimam hoſtias mactant, quaſi vero ſodalitas circa unamquamque victimam habebatur, ex hominibus nunquam paucioribus decem, ſolum enim epulari non licet, ſæpe etiam viginti conveniunt: hoſtiarum quidem ducenta & quinquaginta ſex millia & quingentas numeravêre. virorum autem erant purorum & mundorum, ut denos epulatores ſingulis victimis demus, vicies ſepties centena millia. nec enim leproſis, nec quibus genitura flueret, nec menſtruis mulieribus, neque alio modo inquinatis licebat de ſacris iſtis participare: ſed nec alienigenis quidem, qui religionis ergo eò venerant. *Paſchatis celebrandi modus.*

4. Ingens autem hæc multitudo aliis è locis congregata erat: verum tunc quaſi in carcerem tota gens fato concluſa erat, & urbem viris refertam circumvallaverat bellum. Itaque omnem humanam & à Deo immiſſam peſtem ſuperat numerus peremptorum. nam ex manifeſtis, alios quidem occidêre, alios vero cepêre Romani, alios etiam cuniculis *deliteſcentes* indagabant, perruptoque ſolo obvios quoſque trucidarunt. Sed & ibi mortuorum ultra duo millia ſunt reperti, quorum alii quidem manu ſua, alii vero mutuis vulneribus, pluresque fame perempti erant. Teter autem cadaverum fœtor introëuntibus occurrebat, ut ſtatim quidem multi recederent, alii vero præ avaritia ſubirent, mortuorum cumulos calcantes. nam in iis cavernis multæ res pretioſæ reperiebantur, atque omnis lucri captandi via honeſta habebatur. Quin & multi educebantur & dimittebantur, quos tyranni captivos tenuerant. non enim in extremis aliquid de crudelitate remiſerunt. Cæterum utrumque prout meruerunt ultus eſt Deus. Et Joannes quidem, cum fratribus in cavernis eſuriens, dextram, quam ſæpe deſpexerat, à Romanis ſupplex petiit: Simon vero, multa vi cum neceſſitate luctatus, ſicut infra declarabimus, ſemet tradidit. Servatus eſt alter quidem triumpho in cædem, Joannes autem vinculis ſempiternis. Romani vero extremas urbis partes incenderunt, & mœnia funditus everterunt.

Mirandum Dei judicium, quî ita è diverſiſſimis locis coëgit in unum quos voluit perdere Judæos.

Exitus tyrannorum Joannis & Simonis.

k Εἴπως δυνατὸν] Judæi enim putabant illicitum eſſe ſe, i. e. populum Iſraeliticum per capita numerari, quod eſſent futuri ſicut arena maris, cujus numerus iniri nequit Hoſ. 1. 10. & quia Davidi tam male ceſſerat, quod populum numeraſſet. Rel.

l Ἐξαριθμήσασθαι.] In Echa Rabbeti fol. 61. 2. dicitur Rex Agrippa ex numero renum agnorum Paſchalium deprehendiſſe numerum Judæorum. Erat id jam antiquiſſimis temporibus in uſu ut hoc modo populus numeraretur, ſi illis credimus qui putant 2 Sam. 3. 12. [illegible] ſignificare agnos paſchales uti Targumiſta, qui illic habet [illegible] & *numeravit eos per agnos paſchales.* Rel.

m Ἑορτῆς,] τῆς ἑορτῆς L. B.

n Καθ' ἣν θύουσι μὲν] Conf. Antt. lib. 16. c. 6. §. 2. Spanh.

o Ἀπὸ ἐνάτης] ἀπὸ τῆς ἐνάτης L. B.

p Ὥσπερ δὲ] Antt. lib. 16. c. 6. §. 2. Spanh.

q Φρατρία] Φρατρίαν L. B.

r Θυσίαν,] Θυσία L. B.

s Οὖν θυμάτων] Illud οὖν è *Cod. Big.*

t Εἴκοσι πέντε μυριάδας] Eſt qui legit, *εἴκοσι πάντως μυριάδας ἠρίθμησαν πρὸς ἑπτά, viginti omnino myriadas numeraverunt ſupra ſeptem*, ſive 270000. qui numerus, per *decem* ductus, convenit cum eo qui ſequitur, *myriadum ſeptuaginta & ducentarum*, & optime convenit cum eo qui eſt ſupra p. . . . *trecentarum myriadum*, ſive 3000000. ſi accedant *impuri*. Hæc nos aliquando illuſtrabimus, cum numerum agnorum Paſchalium hujus diei conferemus cum eo qui legitur Codice *Peſachim* in *Gemara Babylonica*; ac docebimus atrium templi capax fuiſſe omnino 100000. ac ſimul totidem Paſcharum, i. e. agnorum vel hœdorum.

v Πρὸς δὲ ἑξακισχίλια καὶ πεντακόσια.] Ita cum *Cod. Big.* & *Ruffino*. antea erat, πρὸς δὲ πεντακισχίλια καὶ ἑξακόσια, *quinque millia & ſexcentas.*

x Ἑβδομήκοντα καὶ διακόσιαι,] Πεντακόσιαι malit *Villalpandus*, tom. 3. p. 124.

y Ἄλλως μεμιασμένοις] Ἄλλοις *Big.* & *Ruf.* ἄλλως in *Editis Aliiſque*. μεμιασμένοις mox *L. B.*

z Ἀλλοφύλοις, ὅσοι] Ἀλλοφύλοις δὲ *Big.* ἀλλοφύλοις, οἱ μὴ ὅσοι legiſſe videtur *Ruf.* qui vertit, *niſi qui*. Leg. μὴ ὅσοι, & [illegible] *Ruffinus* Spanh.

a Τοῦτο πλῆθος ἔξωθεν] Τούτων *Big.*

b Ναστὸν ὁ πόλεμος] Μεστὸν *Zonar.*

c Τὸ πλῆθος τῶν ἀπολωλότων.] Numerum eorum qui per ſeptennium interierunt nobis ex *Juſto Lipſio* exhibet *Uſſerius* ſub finem *Annalium*.

d Οὓς δ' ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων,] Τοὺς δ' ἐν *Big.*

e Ἔκτεινον.] Ἔκτειναν, ἐφόνευον *Big.*

f Ἐπεισπίπτουσιν ὀδμὴ] Ἐπεισπίπτουσιν *Big.* ἐπεισπίπτουσιν vel ἐπεισιοῦσιν *Zonar.*

g Εὑρίσκετο,] Ηὑρίσκετο *Big.*

h Θεμιτὴν] Ita reſcripſi ex *Codd. Pariſ.* θεμιτὸν vulgati. Hav.

i Τὴν ὁδὸν] Artic. τὴν abeſt a *L. B.*

k Δεξιὰν παρὰ Ῥωμαίων λαβεῖν ἱκέτευε] Hoc ordine *Big.* antea erat παρὰ Ῥωμαίων δεξιὰν λ. ἱκ.

l Θριάμβῳ σφάγιος,] Triumpho victima *Gr.* inf. lib. 7. c. 2. §. 1. Spanh. & Rel.

m Τάς τε ἐσχατιὰς τοῦ ἄστεος] Τὰς ἐσχατιὰς *Big.* & *Ruf.*

CAP.

XVIII.

CAP. X.

Quod urbs Hierosolymorum, quinquies prius capta, tunc iterum vaſtata erat. Conciſa hiſtoria.

Urbs capta ſecundo anno Veſpaſiani, Septembris die VIII.

ITA quidem capta erant Hieroſolyma ſecundo anno principatus Veſpaſiani, Gorpiæi menſis die octavo. Quinquies autem prius capta, tunc iterum vaſtata erant. Nam Ægyptiorum quidem rex Aſochæus, & poſt eum Antiochus, deinde Pompejus, & poſt hos cum Herode Soſius captam urbem ſervavere. Ante hos vero rex Babyloniorum expugnatam ad vaſtitatem redegit, poſt annos ab illius conditu mille trecentos ſexaginta octo, atque menſes ſex. Primus autem conditor ejus erat Chananæorum dynaſta, qui patria lingua appellatus eſt rex juſtus. Nam erat profecto talis. Propterea que primus ſacerdos erat Deo, cumque templum primus ædificaſſet civitatem Hieroſolyma appellavit, quæ antea Solyma vocabatur. Sane Judæorum quidem rex Davides, populo Chananæorum inde ejecto, ſuo incolendam dedit: atque anno poſt ipſum quadringenteſimo ſexageſimo ſeptimo cum ſex menſibus à Babyloniis everſa eſt. A rege autem Davide, qui primus Judæorum in ea regnavit, uſque ad everſionem à Tito factam, anni mille centum ſeptuaginta & novem. A primo autem illius conditu uſque ad extremum excidium, anni bis mille centum & ſeptuaginta ſeptem. Sed enim neque antiquitas, neque profundæ divitiæ, neque * gentis fama per univerſum terrarum orbem diffuſa, neque magna religionis gloria quidquam juvit quo minus periret. Sane ejuſmodi quidem finis erat obſidionis Hieroſolymorum.

ΚΕΦ. ι.

Ὅτι πολλάκις πρότερον ἁλούσης τῆς πόλεως, τοῦτο δεύτερον ἠρημώθη. σύντομος αὐτῆς ἱστορία.

ΕΑλω μὲν οὕτως Ἱεροσόλυμα ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, Γορπιαίου μηνὸς ὀγδόῃ. ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις, τοῦτο δεύτερον ἠρημώθη. [n] Ἀσωχαῖος [o] μὲν γὰρ ὁ τῶν Αἰγυπτίων βασιλεὺς, καὶ μετ' αὐτὸν Ἀντίοχος, ἔπειτα [p] Πομπήιος, ἐπὶ τούτοις σὺν Ἡρώδῃ Σόσσιος ἑλόντες ἐτήρησαν τὴν πόλιν. πρὸ δὲ τούτων ὁ τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτὴν μετὰ ἔτη τῆς κτίσεως χίλια τετρακόσια ἑξήκοντα ὀκτὼ, [q] μῆνας ἕξ. [r] ὁ δὲ [s] πρῶτος κτίσας ἦν Χαναναίων δυνάστης, ὁ τῇ πατρίῳ γλώσσῃ κληθεὶς [t] βασιλεὺς δίκαιος. ἦν γὰρ δὴ τοιοῦτος. διὰ τοῦτο [v] ἱεράσατό τε τῷ Θεῷ πρῶτος, καὶ τὸ ἱερὸν [w] πρῶτος δειμάμενος, [x] Ἱεροσόλυμα τὴν πόλιν προσηγόρευσε, Σόλυμα καλουμένην πρότερον. τὸν μὲν δὴ τῶν Χαναναίων λαὸν ἐκβαλὼν ὁ τῶν Ἰουδαίων βασιλεὺς Δαυίδης, κατοικίζει τὸν ἴδιον· καὶ [y] μετ' αὐτὸν ἔτεσι τετρακοσίοις ἑβδομήκοντα καὶ ἑπτὰ, μησὶν ἕξ, ὑπὸ Βαβυλωνίων κατασκάπτεται. ἀπὸ δὲ Δαυίδου τοῦ βασιλέως, ὃς πρῶτος αὐτῆς ἐβασίλευσεν Ἰουδαῖος, μέχρι τῆς ὑπὸ Τίτου γενομένης κατασκαφῆς, ἔτη χίλια καὶ [z] ἑκατὸν ἑβδομήκοντα ἐννέα. ἀπὸ δὲ τῆς πρώτης κτίσεως ἔτη μέχρι τῆς ἐσχάτης ἁλώσεως δισχίλια ἑκατὸν, ἑβδομήκοντα καὶ ἑπτά. ἀλλὰ γὰρ [a] οὔθ' ἡ ἀρχαιότης, οὔθ' ὁ βαθὺς πλοῦτος, οὔτε τὸ διαπεφοιτηκὸς ὅλης τῆς οἰκουμένης [b] ἔθνος, οὔθ' ἡ μεγάλη δόξα τῆς θρησκείας [c] ἤρκεσέ τι πρὸς ἀπώλειαν αὐτῇ. [d] τοιοῦτον μὲν δὴ τὸ τέλος τῆς [e] Ἱεροσολύμων πολιορκίας.

n Ἀσωχαῖος] In ſacris litteris 2 *Regum*, c. 14. v. 25. Σεσωγχις dicitur. HUDS. Is Ptolemæus Lagus Antt. lib. XII. cap. 1. COCC.

o Μὲν γὰρ] μὲν abeſt a *L. B.*

p Πομπήιος,] ὁ Πομπήιος *L. B.*

q Μῆνας ἕξ.] Juxta *Rufinum* legendum, μῆνας δυὸ, ἡμέρας ἕξ.

r Ὁ δὲ] Tot σφάλματα quot verba in hac perioche, inquit *Bochartus*, l. 2. *de Phœnicum Coloniis*, c. 4. Quam vere, aliorum eſto judicium.

s Πρῶτος κτίσας] Illud πρῶτος è *Cod. Big.* & *Rufini* verſione. HUDS. πρῶτος. Ideo ἀγενεαλόγητος in epiſt. ad Hebr. REL.

t Βασιλεὺς δίκαιος.] Nempe Melchiſedecus Conf. Antt. l. 1. c. 10. §. 2. SPANH.

u Ἱεράσατό τε] ἱεράσατο τότε *L. B.*

w Πρῶτος δειμάμενος,] Illud πρῶτος è *Cod. Big.* & *Rufini* verſione.

x Ἱεροσόλυμα τὴν πόλιν—πρότερον.] Vide *Maſium* in *Joſuam*, cap. 10. p. 178. *Bochartum* (ſupra citatum) & *Beveregium* in *Annott.* ad Canones, p. 60. & *Iſ. Voſſium* in *Epiſtola* ad *Colvium*, p. 395. 396. Conf. lib. VII. c. 3 §. 2. Antiq. Jud. SPANH. Lib. 1. c. 11. Antiq. dicit non Melchiſedecum ſed poſterioris temporis homines urbem Hieroſolymam appellaſſe. Adeoque hæc Τὸ ἱερὸν δειμάμενος &c. ad Davidem aut Solomonem referenda videntur: niſi dicere velimus Joſephum ſibi aperte contradixiſſe. REL.

y Μετ' αὐτὸν] Ita *Big.* μετὰ τοῦτον in *Editis Aliiſque.*

z Ἑκατὸν] Abeſt a *Ruf.*

a Οὔθ' ἡ ἀρχαιότης,—πλοῦτος, οὔτε] ὅτε—ὅτε—ὅτε &c. *L. B.*

b Ἔθνος,] Pro ἔθνος Rufin. κλέος videtur legiſſe. SPANH.

c Ἤρκεσέ τι πρὸς ἀπώλειαν αὐτῇ.] Iterum cum *Cod. Big.* antea erat ἤρκεσεν πρὸς ἀπ. *S. Petitus* (tom. 3. p. 341. *Animadv.* ἀνεκδότων in *Joſephum*) poſt hæc verba excidiſſe ſuſpicatur quæ Joſepho adſcribit *Euſeb.* in *Hiſt. Eccl.* l. 2. c. 23. & ex eo *D. Hieronymus* in *Catalogo Scriptorum* &c. Ταῦτα δὲ συμβέβηκεν Ἰουδαίοις, κατ' ἐκδίκησιν Ἰακώβου τοῦ δικαίου, ὃς ἦν ἀδελφὸς Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ· ἐπειδήπερ δικαιότατον αὐτὸν ὄντα οἱ Ἰουδαῖοι ἀπέκτειναν. *Hæc omnia contigerunt Judæis propter Jacobum Juſtum, fratrem Jeſu qui dicitur Chriſtus. Qui cum eſſet omnium conſenſu juſtiſſimus, nihilominus à Judæis necatus fuerat.*

d Τοιοῦτον] Τοιοῦτο *Big.*

e Ἱεροσολύμων] *Epiphanius de Ponderib. de Hadriano*, qui Hieroſolymas adiit. SPANH.

* Ita tranſtuli ac ſi lectum eſſet ἔθνος κλέος.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΒΔΟΜΩ ΛΟΓΩ

ΤΩΝ ΙΩΣΗΠΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΗΣ ΙΟΥΔΑΙΚΗΣ ΑΛΩΣΕΩΣ.

JOSEPHI LIBRO SEPTIMO

HISTORIARUM EXCIDII JUDAICI

HÆC CONTINENTUR.

α΄. Ὅπως, πάντων Ἰουδαίων φονευθέντων ἢ καὶ ληφθέντων, τὰ μὲν ἄλλα Ῥωμαῖοι κατέσκαψαν, κατέλιπον δὲ πύργους τέ τινας καὶ μοίρας τοῦ τείχους, πρὸς ἐπίδειξιν τοῦ προτέρου κάλλους τοῖς μετ' ἔπειτα.

β΄. Δημηγορία Τίτου Καίσαρος πρὸς τοὺς στρατιώτας, ὑπερεπαινοῦντος αὐτούς.

γ΄. Ὅπως ἀξίως ἕκαστον αὐτῶν ἐτίμησεν, ἆθλα καὶ γέρα διανείμας αὐτοῖς.

δ΄. Ὅπως διαθεὶς καλῶς τοῖς τάγμασιν εἰς Καισάρειαν ἀφικνεῖται, κἀκεῖ τὴν πᾶσαν τοῦ πολέμου λείαν ἐναπέθετο.

ε΄. Περὶ Οὐεσπασιανοῦ Καίσαρος, ὅπως ἀπ' Ἀλεξανδρείας τὴν ἐπὶ Ῥώμην πορείαν ἐποιήσατο.

ϛ΄. Ὅπως Τίτος εἰς τὴν Φιλίππου καταβὰς Καισάρειαν, καὶ θεωρίας ἐπιτελῶν, πολλοὺς τῶν αἰχμαλώτων ἐν αὐταῖς ἀπέκτεινεν.

ζ΄. Περὶ Σίμωνος τοῦ τυράννου, ὅπως ἑάλω, καὶ εἰς τὸν θρίαμβον Ῥώμης ἐτηρήθη.

η΄. Ὅπως Τίτος, τὴν γενέθλιον ἡμέραν τἀδελφοῦ καὶ πατρὸς ἄγων, πολλοὺς τῶν Ἰουδαίων ἀνάλωσεν.

θ΄. Περὶ τῶν ἐν Ἀντιοχείᾳ κινδυνευσάντων Ἰουδαίων, ἀπὸ τῆς τοῦ Ἰουδαίου Ἀντιόχου παραβάσεώς τε καὶ ἀσεβείας.

ι΄. Ὅπως ἀπεδέξαντο οἱ ἐν ταῖς ἄλλαις τε πόλεσι καὶ ἐν τῇ Ῥώμῃ τὸν Οὐεσπασιανόν.

ια΄. Ὅπως ἀποστάντες Γερμανοὶ Ῥωμαίων αὖθις ὑπετάγησαν.

ιβ΄. Ὅπως οἱ Σαρμάται, καταδραμόντες Μυσίαν, δίκην τε ἔδοσαν, καὶ ἠναγκάσθησαν πολλοὺς καταλιπόντες εἰς τὰ ἴδια ὑποστρέψαι.

ιγ΄. Ὅπως ἀπὸ Βηρυτοῦ Τίτος ὑποστρέφων, πολλοὺς Ἰουδαίους ἐν ταῖς θεωρίαις ἀνῄρει· ἐν ᾧ περὶ τοῦ λεγομένου Σαββατικοῦ ποταμοῦ παράδοξον.

ιδ΄. Ὅπως Ἀντιοχεῖς κατ' Ἰουδαίων προσελθόντες Τίτῳ παρῃτήθησαν.

ιε΄. Ὡς ἐπαναστρέφων εἰς Ἱεροσόλυμα Τίτος, ᾤκτειρε τῆς ἐρημίας τὴν πόλιν· καὶ εἰς Ἀλεξάνδρειαν παραγενόμενος, ἐντεῦθεν εἰς Ῥώμην κατέπλευσεν.

ιϛ΄. Ὅπως εἰς Ἰταλίαν κατέπλευσεν, καὶ ὡς ἐδέχθη τε καὶ ἐπόμπευσε, τῶν δύο Καισάρων ὁμοῦ θριαμβευσάντων.

ιζ΄. Ἔκφρασις τοῦ θριάμβου, καὶ τῶν ἐν αὐτῷ λαφύρων, ὅσα τε καὶ ὁποῖα ἦσαν.

ιη΄. Περὶ τῆς ἀναιρέσεως τοῦ τυράννου Σίμωνος ἐν τῷ θριάμβῳ γεγονυίας.

1. *Quomodo, Judæis omnibus occiſis aut etiam captis, alia quidem Romani diruerunt, turres vero nonnullas & muri partem reliquerunt, ut ſeris poſteris oſtenderetur prior urbis pulchritudo.*

2. *Titi Cæſaris ad milites oratio, qua ipſos miris laudibus extollit.*

3. *Quomodo eorum ſingulos pro merito cohoneſtavit præmiis & muneribus.*

4. *Quomodo legionibus bene remuneratis Cæſaream venit, & illic omnes belli manubias repoſuit.*

5. *De Veſpaſiano Cæſare, quomodo ab Alexandria profectus Romam iter fecit.*

6. *Quomodo Titus, cum Cæſaream Philippi deſcendiſſet & ſpectacula celebraſſet, magnam captivorum multitudinem in illis interfecit.*

7. *De Simone tyranno, quomodo captus erat, & triumpho Romæ agendo ſervatus erat.*

8. *Quomodo Titus, cum diem natalem fratris patriſque celebraret, multos Judæorum conſumpſit.*

9. *De Judæis in periculum apud Antiochiam adductis ex Judæi Antiochi iniqua legum violatione.*

10. *Qualiter Veſpaſianus exceptus erat in aliis civitatibus & Romæ præcipue.*

11. *Quomodo Germani, cum à Romanis defectionem fecerant, iterum ſubjugantur.*

12. *Quomodo Sarmatæ, ob excurſionem in Myſiam factam, pœnas dederunt; & coacti erant, multis trucidatis, domum refugere.*

13. *Quomodo Titus, dum Beryto reverteretur, Judæorum multos in ſpectaculis interficiendos dabat: itemque mirandum quiddam de fluvio qui Sabbaticus dicitur.*

14. *Quomodo Antiocheni, Tito ſupplicantes contra Judæos, repulſam paſſi ſunt.*

15. *Titus Hieroſolyma revertens urbem deſolatam miſeratus eſt; cumque Alexandriam perveniſſet, inde Romam verſus navigavit.*

16. *Qualiter, navigatione in Italiam peracta, ſuſceptus erat & cum pompa deductus, duobus Cæſaribus uno triumpho honoratis.*

17. *Deſcriptio triumphi & ſpoliorum in eo, quæque & qualia erant.*

18. *De interfectione Simonis tyranni in triumpho.*

19. *Quod in templo pacis, poſt triumphum à Veſpaſiano exſtructo, ab ipſo omnia in eo repoſita erant belli ſpolia.*

20. *Quomodo Baſſus, cum in Judæam veniſſet, & caſtellum Herodion deditione cepiſſet, ad Macheruntem etiam caſtellum expugnandum aggreſſus eſt.*

21. *De ſitu Macheruntis.*

22. *De ruta in Macheruntis regia.*

23. *De altera planta, & mira de illa.*

24. *De aquis illic loci calidis.*

25. *Qualiter Baſſus, propter Eleazarum caſu quodam mirabili captum, urbem validiſſimam ad deditionem redegit.*

26. *Quomodo etiam eos, qui ad ſaltum Jardem vocatum confugerant, bello appetens, omnes interfecit.*

27. *Quomodo Baſſus & Liberius à Cæſare omnem Judæorum terram vendere juſſi ſunt; & Judæis ubicunque degentibus tributum indicere, ut quotannis binas quiſque drachmas in Capitolium inferat, quemadmodum prius in templum conferebant.*

28. *De Antiocho rege Commagenorum, qualem in calamitatem incidit.*

29. *De Alanis, quæ & quanta Medis & Armenis mala intulerunt.*

30. *De Maſada, ejuſque munitione, & ſicariis qui eam occupaverant; itemque reſumptio narrationis de aliis ſicariis & tyrannis urbis Hieroſolymorum.*

31. *Quomodo Silva ad oppugnationem Maſadæ converſus eſt; ubi etiam illius urbis deſcriptio eſt.*

32. *De armorum & victus apparatu intus repoſito, ab Herodis regis temporibus, quando, ob inimicitias Cleopatræ, illic iſta repoſuit propter metum Antonii.*

33. *Quomodo Romanorum dux Maſada expugnata, muroque igne abſumpto, decreto hoſtes prima luce aggredi, nocte vigilias accuratiores fecit.*

34. *Quomodo Eleazarus, ſicariorum princeps, omnes qui ipſi ſuberant orationibus ad perſuadendum accommodatis eò adduxit, ut ſemet cum familiis ſuis interficerent.*

35. *Quomodo ii qui in caſtello erant, verbis Eleazari perſuaſi, omnes, præter duas mulieres & quinque pueros, ſibi mortem conſcivere.*

36. *Quod Romani & Silva, exſpectantes multo cum labore urbe potiri, ſine pugna eam ceperunt.*

37. *Quomodo apud Alexandriam multi ſicariorum, qui eo confugerant, diſcrimen adierunt: propterea que templum, illic olim exſtructum ab Onia pontifice, deſtructum erat.*

38. *Quomodo etiam Jonathas quidam, unus è ſicariis, arte textor, Judæos Cyrenenſes ad turbas ciendas commovit, unde & multi perierunt.*

39. *Quomodo à Jonatha, prout ei ſuggeſſerat præſes Catullus, falſo inter alios accuſatus erat ſcriptor Joſephus.*

40. *Quod veritate à Veſpaſiano deprehenſa, Jonathas quidem vivus exuſtus eſt, Catullus vero evaſit, & poſtea ex plagis à Deo immiſſis, quod falſo delatos injuſte peremerat, vitam abrupit.*

ιθʹ. Ὡς μετὰ τὸν θρίαμβον τέμενος εἰρήνης Οὐεσπασιανὸς κατασκευάσας, ἐν αὐτῷ πάντα τὰ τοῦ πολέμου ἀνέθηκε λάφυρα.

κʹ. Ὅπως Βάσσος εἰς Ἰουδαίαν ἀφικόμενος, καὶ τὸ φρούριον τὸ ἐν Ἡρωδείῳ προσαγαγόμενος, ἐπεχείρησε καὶ τὸ ἐν Μαχαιροῦντι παραστήσασθαι.

καʹ. Περὶ τῆς θέσεως Μαχαιροῦντος.

κβʹ. Περὶ τοῦ ἐν τοῖς βασιλείοις Μαχαιροῦντος φύντος πηγάνου.

κγʹ. Περὶ τῆς ἑτέρας βοτάνης παραδόξου.

κδʹ. Περὶ τῶν αὐτόθι θερμῶν ὑδάτων.

κεʹ. Ὅπως Βάσσος, τύχῃ τινὶ παραδόξῳ διὰ τὴν Ἐλεαζάρου κατάσχεσιν, ὀχυρωτάτην οὖσαν τὴν πόλιν ῥᾳδίως παρέλαβεν.

κϛʹ. Ὅπως καὶ τοὺς συμφυγόντας ἐπὶ τὸν Ἰάρδην καλούμενον δρυμὸν καταπολεμήσας, πάντας ἀπέκτεινεν.

κζʹ. Ὅπως Καῖσαρ ἐπέστειλε Βάσσῳ καὶ Λιβερίῳ τὴν γῆν Ἰουδαίων πᾶσαν ἀποδόσθαι, καὶ τοὺς ἁπανταχοῦ Ἰουδαίους φόρον τελεῖν εἰς τὸ Καπετώλιον δύο δραχμὰς ἕκαστον, ὥσπερ πρότερον εἰς τὸν ναὸν συνετέλουν.

κηʹ. Περὶ Ἀντιόχου τοῦ Κομμαγηνῶν βασιλέως, οἵᾳ συμφορᾷ περιέπεσεν.

κθʹ. Περὶ τῶν Ἀλανῶν ὁπόσα Μήδοις τε καὶ Ἀρμενίοις κακὰ διεπράξαντο.

λʹ. Περὶ Μασάδας καὶ τῆς ὀχυρότητος αὐτῆς, καὶ τῶν αὐτὴν κατασχόντων σικαρίων. ἐν ᾧ καὶ περὶ τῶν ἄλλων λῃστῶν καὶ τυράννων τῆς πόλεως Ἱεροσολύμων ἐπανάληψις.

λαʹ. Ὅπως Σίλβας εἰς τὴν πολιορκίαν Μασάδας ἐτράπετο, ἔνθα καὶ σχηματογραφία τῆς αὐτῆς πόλεως.

λβʹ. Περὶ τῶν ἔνδον ἀποκειμένων ὅπλων τε καὶ τροφῶν, ἀπὸ τῶν Ἡρώδου τοῦ βασιλέως χρόνων, [a] ὅτε, διὰ τὴν πρὸς Κλεοπάτραν διαφορὰν, ἐνταῦθα ταῦτα ἀποτέθεικε φοβούμενος Ἀντώνιον.

λγʹ. Ὅπως ὁ τῶν Ῥωμαίων ἡγεμὼν ἐκπολιορκήσας Μασάδαν, καὶ τὸ τεῖχος πυρὶ διαφθείρας, μεθ' ἡμέραν ἐπιχειρεῖν τοῖς πολεμίοις ἐγνωκὼς, τὰς φυλακὰς νύκτωρ ἐπιμελέστερον ἐποιήσατο.

λδʹ. Ὅπως Ἐλεάζαρος ὁ τῶν σικαρίων ἄρχων, τοὺς ὑφ' αὐτὸν πάντας δημηγορίαις πιθανωτάταις παρέπεισεν, ἑαυτοὺς πανγενῇ καταχρήσασθαι.

λεʹ. Ὅπως οἱ κατὰ τὸ φρούριον πεισθέντες τοῖς λόγοις Ἐλεαζάρου, πλὴν δύο γυναικῶν καὶ παιδίων πέντε, πάντες ἑαυτοὺς ἀπέσφαξαν.

λϛʹ. Ὅτι Ῥωμαῖοι καὶ Σίλβας, προσδοκῶντες πόνῳ πολλῷ τὴν πόλιν κρατῆσαι, ἀμαχητὶ ταύτην παρέλαβον.

λζʹ. Ὅπως καὶ κατὰ τὴν Ἀλεξάνδρειαν τῶν σικαρίων συμφυγόντων πολλοὶ μὲν ἐκινδύνευσαν, κατελύθη δὲ διὰ τοῦτο, καὶ ὁ παρὰ τοῦ ἀρχιερέως Ὀνίου κτισθεὶς πάλαι ναὸς ἐκεῖσε.

ληʹ. Ὅπως καὶ τοὺς ἐν Κυρήνῃ Ἰουδαίους, Ἰωνάθης τις, τῶν σικαρίων εἷς, τὴν τέχνην ὑφάντης, ἀνέπεισε στασιάσαι, καὶ πολλοὶ ἐκ τούτου ἀπώλοντο.

λθʹ. Ὅπως, ὑποθήκαις τοῦ ἡγεμόνος Κατύλλου, παρὰ Ἰωνάθου ἐσυκοφαντήθη μετὰ τῶν ἄλλων καὶ Ἰώσηπος ὁ συγγραφεύς.

μʹ. Ὡς Οὐεσπασιανοῦ τἀληθὲς εὑρόντος, Ἰωνάθης μὲν πυρὶ παρεδόθη, Κάτυλλος δὲ διαφυγὼν, ὕστερον θεηλάτοις πληγαῖς, διότι ἀδίκως τοὺς συκοφαντηθέντας ἀπέκτεινε, τὴν ψυχὴν ἀπέρρηξεν.

a Ὅτε,] Ὅτι in Editis & MSS.

Φ Λ.

ΦΛ. ΙΩΣΗΠΟΥ
ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ,
Η
ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ
ΛΟΓΟΣ ζ.

FLAVII JOSEPHI
DE BELLO JUDAICO,
SIVE
JUDAICÆ HISTORIÆ DE EXCIDIO,
LIBER VII.

ΚΕΦ. α.

Ὡς κατεσκάφη πᾶσα ἡ πόλις Ἱεροσολύμων, πλὴν τριῶν πύργων· καὶ ὡς Τίτος ἐν δημηγορίᾳ ἐπαινεῖ τοὺς στρατιώτας, καὶ γέρα αὐτοῖς ἐπένειμε, πολλούς τε διαφίησιν.

Ἐπεὶ δ' οὔτε φονεύειν, οὔτε διαρπάζειν εἶχεν ἡ στρατιὰ, πάντων τοῖς θυμοῖς ἐπιλειπόντων. οὐ γὰρ δή γε φειδοῖ τινὸς ἔμελλον ἀφέξασθαι δρᾶν ἔχοντες· κελεύει Καῖσαρ ἤδη τήν τε πόλιν ἅπασαν καὶ τὸν νεὼν κατασκάπτειν, πύργους μὲν ὅσοι τῶν ἄλλων ὑπερανεστήκεσαν καταλιπόντας, [a] Φασάηλον, Ἱππικὸν, Μαριάμμην, [b] τεῖχος δ' ὅσον ἦν ἐξ ἑσπέρας τὴν πόλιν περιέχον. τοῦτο μὲν, ὅπως εἴη τοῖς ὑπολειφθησομένοις [c] φρουροῖς στρατόπεδον· τοὺς πύργους δὲ, ἵνα [d] τοῖς ἔπειτα σημαίνωσιν, οἵας, πόλεως, καὶ τινὰ τρόπον ὀχυρᾶς [e] οὕτως, ἐκράτησεν ἡ Ῥωμαίων ἀνδραγαθία. τὸν δ' ἄλλον ἅπαντα τῆς πόλεως περίβολον οὕτως ἐξωμάλισαν οἱ κατασκάπτοντες, ὡς μηδὲ πώποτ' οἰκηθῆναι πίστιν ἂν ἔτι παρασχεῖν τοῖς προσελθοῦσι. τοῦτο μὲν οὖν τέλος, ἐκ τῆς τῶν νεωτερισάντων ἀνοίας, Ἱεροσολύμοις ἐγένετο, λαμπρᾷ τε πόλει καὶ παρὰ πᾶσιν ἀνθρώποις διαβοηθείσῃ.

CAP. I.

Quomodo tota Hieroſolymorum urbs plane diruta eſt præter tres turres: atque Titus in concione extollit milites, & præmia illis diſtribuit, multoſque dimittit.

POSTQUAM vero neque quos occiderent, neque quod raperent, habebat exercitus, quòd iratis animis omnia deerant (neque enim ut alicui parceretur, ſi eſſet quod agerent, abſtinuiſſent) jubet eos Cæſar totam funditus jam evertere civitatem & templum: relictis quidem turribus, quæ præter alias eminebant, Phaſäëlo, Hippico, Mariamne; eaque tantummodo muri parte quæ civitatem ab occidente cingeret. illam quidem, ut caſtra eſſent militibus illic præſidii cauſa relinquendis: turres autem, ut poſteris indicarent, qualem civitatem & qualiter munitam Romanorum virtus obtinuerat. Totum vero reliquum civitatis ambitum ita ſolo æquavere qui eum diruebant, ut ne quidem unquam habitatam fuiſſe vix fidem amplius faceret eò accedentibus. Et hic quidem, ex illorum dementia qui res novas moliti ſunt, finis erat Hieroſolymorum, ſplendidæ civitatis, ſummæque apud omnes homines celebritatis.

Urbs Hieroſolymorum ſolo æquata tota exceptis tribus turribus & parte occidua murorum.

2. Cæ-

[a] Φασάηλον, Ἱππικὸν, Μαριάμμην,] Conf. ſupr. lib. 2. c. 17. §. 8. & lib. 6 c. 8. §. 4. Spanh.
[b] Τεῖχος δ' ὅσον ἦν] Τείχους Big.
[c] Φρουροῖς στρατόπεδον] Φρουρῶν Big.
[d] Τοῖς ἔπειτα σημαίνωσι,] Τοῖς μετέπειτα Big.
[e] Οὕτως,] Illud οὕτως non agnoſcit Big. & commode abeſſe poteſt.

XIX.

Titus gratias agit exercitui & præmia dividit.

2. Cæſar autem præſidio quidem illic ſtatuit relinquere decimam legionem, nonnullaſque alas equitum & peditum cohortes. Cumque jam omnes belli partes adminiſtraſſet, geſtiebat & univerſum laudare exercitum ob res præclare geſtas, & debita viris fortibus præmia perſolvere. Facto igitur ſibi in medio priorum caſtrorum magno tribunali, cum in eo conſtitiſſet cum ducum eminentiſſimis, ut ab omni exercitu poſſet audiri dicebat, „ magnam quidem illis ſe gratiam habere „ quod benevolentiam erga ipſum præſtare perſeverarint. Laudabat autem *eos* quod ipſi per „ omne belli tempus obtemperarint, idque in multis magniſque periculis cum egregia fortitudine, „ patriæ quidem etiam per ſe amplificantes imperium, omnibus vero hominibus abunde teſtatum facientes, neque hoſtium multitudinem, „ neque regionum munimenta, neque civitatum „ magnitudinem, neque adverſantium audaciam „ temerariam, & barbaram immanitatem poſſe unquam Romanorum vires effugere, quamvis in „ multis nonnulli fortunam opitulantem habuerint. Et pulchrum quidem eſſe, ajebat, illos „ etiam bello finem imponere, quod tam diu duraverat. nec enim optaſſe *eos* his quicquam melius, „ cum id ingrederentur. Hoc autem pulchrius atque præclarius illis accidiſſe, quod duces & adminiſtratores imperii Romani, ab illis creatos & „ in patriam præmiſſos, libenter omnes ſuſtipiant; „ quodque ab illis decretum fuerit æquiſſimo „ animo ferant, gratiam illis habentes qui ſibi imperaturos elegerint. Et mirari quidem ſe, ajebat, eos omnes, atque diligere, * ut qui norit, „ nemini, quamprimum res fieri potuit, ad aggrediendum defuiſſe alacritatem. Cæterum illos, „ qui pro majore vi clarius dimicaſſent, vitamque ſuam factis egregiis condecoraſſent, & rebus præclare geſtis militiam ſuam nobiliorem „ feciſſent, pronunciabat, ſe & præmia & honores confeſtim redditurum; nec ullum eorum, „ qui plus alio laborare voluiſſet, juſtam remunerationem non conſequuturum. Maximæ enim „ hanc rem ſibi curæ fore, ut qui magis vellet „ virtutes commilitonum honore proſequi, quam „ † delinquentes pœnis afficere.

Mos Romanorum egregius.

3. Confeſtim ergo juſſit eos, quibus datum erat id negotii, indicare, quinam in bello præclari aliquid geſſerint. Ac nominatim eos appellans, & præſentes collaudabat, ut qui ex propriis bene feliciterque geſtis valde lætaretur, & coronas eis aureas imponebat, atque torquibus aureis, & haſtis longis aureis, ſigniſque ex argento factis *eos* donabat, & uniuſcujuſque ordinem mutabat in melius. Quin & ex manubiis aurum & argentum, itemque veſtes, & ex reliqua præda largiter eis diſtribuit. Omnibus autem ita honoratis, prout ipſe unumquemque meritum eſſe judicavit, ‡ univerſo exercitui *fauſta omnia* precatus cum multis & lætis acclamationibus deſcendebat, ſeque ad ſacra pro victoria facienda convertit: cum-

Præmia militaria.

Sacrificia & epula.

β΄. Καῖσαρ δὲ φυλακὴν μὲν αὐτόθι καταλιπεῖν ἔγνω τῶν ταγμάτων τὸ δέκατον, καί τινας ἴλας ἱππέων καὶ λόχους πεζῶν. πάντα δὲ ἤδη τὰ τοῦ πολέμου διῳκηκὼς, ἐπαινέσαι τε σύμπασαν ἐπόθει στρατιὰν ἐπὶ τοῖς κατορθωμένοις, καὶ τὰ προσήκοντα γέρα τοῖς ἀριστεύσασιν ἀποδοῦναι. ποιηθέντος οὖν αὐτῷ μεγάλου κατὰ μέσην τὴν πρότερον παρεμβολὴν βήματος, καταστὰς [f] ἐπὶ τούτου μετὰ τῶν [g] ἡγεμονικωτάτων, [h] εἰς ἐπήκοον ἁπάσῃ τῇ στρατιᾷ ἔλεγε, „ [i] χάριν μὲν πολλὴν ἔχειν αὐτοῖς τῆς πρὸς αὐτὸν εὐνοίας, ἣν „ χρώμενοι διατελοῦσιν. ἐπῄνει δὲ τῆς ἐν παντὶ πολέμῳ πειθαρχίας, ἣν ἐν πολλοῖς καὶ μεγάλοις κινδύνοις ἅμα τῇ κατὰ σφᾶς ἀνδρείᾳ παρέσχον, τῇ μὲν „ πατρίδι καὶ δι᾽ αὐτῶν τὸ κράτος αὔξοντες, [k] φανερὸν δὲ πᾶσιν ἀνθρώποις [l] καθιστάντες, ὅτι μήτε „ πλῆθος πολεμίων, μήτε χωρίων ὀχυρότητες, ἢ „ μεγέθη πόλεων, ἢ τῶν ἀντιτεταγμένων ἀλόγιστοι „ [m] τόλμαι, καὶ θηριώδεις ἀγριότητες, δύναιντ᾽ ἄν ποτε „ τὴν Ῥωμαίων ἀρετὴν διαφυγεῖν, κἂν [n] εἰς πολλά „ τινες τὴν τύχην [o] εὕρωνται συναγωνιζομένην. καλὸν μὲν „ οὖν, ἔφη, καὶ τῷ πολέμῳ τέλος αὐτοὺς ἐπιθεῖναι, „ [p] πολλῷ χρόνῳ γενομένῳ. μηδὲ γὰρ εὔξασθαί τι τούτων ἄμεινον, ὅτ᾽ εἰς αὐτὸν καθίσταντο. τούτου δὲ κάλλιον αὐτοῖς, καὶ λαμπρότερον ὑπάρχειν, ὅτι τοὺς „ ἡγησομένους καὶ [q] τῆς Ῥωμαίων ἀρχῆς ἐπιτροπεύσοντας, „ αὐτῶν χειροτονησάντων, εἴς τε τὴν πατρίδα προπεμψάντων ἄσμενοι πάντες [r] προσίενται, καὶ τοῖς ὑπ᾽ „ αὐτῶν ἐγνωσμένοις ἐμμένουσι, χάριν ἔχοντες τοῖς „ ἑλομένοις. θαυμάζειν μὲν οὖν, ἔφη, πάντας καὶ ἀγαπᾶν, εἰδὼς ὅτι τοῦ δυνατοῦ τῆς προθυμίας οὐδεὶς ἔσχε „ βραδυτέραν. τοῖς μέντοι διαπρεπέστερον ἀγωνισαμένοις, ὑπὸ ῥώμης πλείονος, καὶ τὸν μὲν [s] ἑαυτῶν „ βίον ἀριστείαις κεκοσμηκόσι, τὴν δ᾽ αὐτοῦ στρατείαν ἐπιφανεστέραν διὰ τῶν κατορθωμάτων πεποιηκόσιν, ἔφη, „ τὰ γέρα, καὶ τὰς τιμὰς εὐθὺς ἀποδώσειν, καὶ μηδένα „ τῶν πλέον [t] πονεῖν ἑτέρου θελησάντων τῆς δικαίας „ ἀμοιβῆς ἁμαρτήσεσθαι. πλείστην γὰρ αὐτῷ τούτου „ [v] γενήσεσθαι τὴν ἐπιμέλειαν, ἐπεὶ καὶ μᾶλλον ἐθέλειν „ τὰς ἀρετὰς τιμᾶν τῶν συστρατευομένων, ἢ κολάζειν τοὺς ἁμαρτάνοντας.

γ΄. [x] Εὐθέως οὖν ἐκέλευσεν ἀναγινώσκειν τοῖς ἐπὶ τούτῳ τεταγμένοις, ὅσοι τι λαμπρὸν ἦσαν ἐν τῷ πολέμῳ κατωρθωκότες. καὶ κατ᾽ ὄνομα καλῶν, ἐπῄνει τε [y] παριόντας, ὡς ἂν [z] ὑπερευφραινόμενός τις ἐπ᾽ οἰκείοις κατορθώμασι, καὶ στεφάνους [a] ἐπετίθει χρυσοῦς, περιαυχένιά τε χρυσᾶ, καὶ δοράτια [b] μακρὰ χρυσᾶ, καὶ σημαίας ἐδίδου πεποιημένας ἐξ ἀργύρου, καὶ τὴν ἑκάστου τάξιν ἤλλαττεν εἰς τὸ κρεῖττον. οὐ μὴν, ἀλλὰ καὶ ἐκ τῶν λαφύρων ἄργυρον, καὶ χρυσὸν, ἐσθῆτάς τε, καὶ τῆς ἄλλης αὐτοῖς λείας δαψιλῶς ἀπένειμε. πάντων δὲ τετιμημένων ὅπως ἂν [c] αὐτὸς ἕκαστον ἠξίωσε, τῇ συμπάσῃ στρατιᾷ ποιησάμενος εὐχὰς, [d] ἐπὶ πολλῇ κατέβαινεν εὐφημίᾳ, τρέπεταί τε πρὸς θυσίας ἐπινικίους· [e] καὶ πλ-

f Ἐπὶ τούτου] Ἐπὶ τοῦτο *Big.*
g Ἡγεμονικωτάτων,] Ita cum *Col. Big.* & *Ruf.* antea erat ἡγεμόνων.
h Εἰς ἐπήκοον ἁπάσῃ] Nempe ἐν ἐπηκόῳ εἶναι Conf. ſupr. lib. 3. c. 9. §. 2. &c. SPANH.
i Χάριν μὲν πολλὴν ἔχειν] Χάριν μὲν ἔφη π. *Big.*
k Φανερὸν δὲ] φανερὸν γὰρ *Ruf.*
l Καθιστάντες,] καθιστῶντες *L. B.*
m Τόλμαι,] Ita *Big.* & *Ruf.* ῥῶμαι in *Editis Aliiſque*,
n Εἰς πολλά τινες] Illud εἰς deeſt *Big.*
o Εὕρωνται συναγωνιζομένην.] Εὕρωνται συναγωνιζομένην *Big.*
p Πολλῷ χρόνῳ γενομένῳ.] Πολλῷ γε χρ. *Big.*
q Τῆς Ῥωμαίων ἀρχῆς] Τῆς Ῥωμαίων ἀρχῆς *Big.*
r Προσίενται,] Προΐενται *Vat.*
s Ἑαυτῶν] Αὐτῶν *Big. Voſſ. Ruf.* & *Bod.*
t Πονεῖν] πονεῖν *Ruf.*

v Γενήσεσθαι τὴν ἐπιμέλειαν,] Γενέσθαι *Big.*
x Εὐθέως] Εὐθὺς *Big.*
y Παριόντας,] Ita *Ruf.* παρόντας in *cæteris*.
z Ὑπερευφραινόμενος] Εὐφραινόμενος *Bod.*
a Ἐπετίθει χρυσοῦς,] Περιετίθει *Big.*
b Μακρὰ χρυσᾶ,] Μακρὰ & χρυσᾶ *Big.*
c Αὐτὸς ἕκαστον ἠξίωσε,] Ἕκαστος αὐτὸν *Big.* in *Rufini* verſione, *ut quiſque ſe meritum præbuerat.*
d Ἐπὶ πολλῇ κατέβαινεν εὐφημίᾳ] ἐπὶ πολλῶν κατέβαινεν εὐφημιῶν *Big.*
e Καὶ πολλῶν βοῶν—παρεστηκότος,] Πολὺ βοῶν πλῆθος παρεστηκότων *Big.*

* Quia nemo viribus alacritatem habuit tardiorem, *Ruf.*
† Delinquentes] Peccata *Gelen.* delinquentes. SPANH.
‡ Votis cum univerſo exercitu factis, *Ruf.*

f Δε-

πολλοῦ βοῶν πλήθους τοῖς βωμοῖς παρεστηκότος, καταθύσας ἅπαντας, τῇ στρατιᾷ [f] διαδίδωσιν εἰς εὐωχίαν. αὐτὸς δὲ τοῖς ἐν τέλει τρεῖς ἡμέρας συνεορτάσας, τὴν μὲν ἄλλην στρατιὰν διαφίησιν, ᾗ καλῶς [g] εἶχεν ἑκάστους ἀπιέναι· τῷ δεκάτῳ δὲ τάγματι τὴν τῶν Ἱεροσολύμων ἐπέτρεψε φυλακὴν, [h] οὐκέτ' αὐτοὺς ὑπὸ τὸν Εὐφράτην ἀποστείλας, ἔνθα πρότερον ἦσαν. μεμνημένος δὲ τοῦ δωδεκάτου τάγματος, ὅτι Κεστίου στρατηγοῦντος ἐνέδωκαν τοῖς Ἰουδαίοις, τῆς μὲν Συρίας αὐτὸ παντάπασιν ἐξήλασεν, ἦν γὰρ τὸ παλαιὸν ἐν [i] Ῥαφαναίαις, εἰς δὲ τὴν [k] Μελιτηνὴν καλουμένην ἀπέστειλε, παρὰ τὸν Εὐφράτην ἐν μεθορίοις τῆς Ἀρμενίας [l] ἐστὶ καὶ Καππαδοκίας. δύο δ' ἠξίωσεν [m] αὐτῶν μέχρι τῆς εἰς Αἴγυπτον ἀφίξεως, τὸ πέμπτον καὶ τὸ πεντεκαιδέκατον, παραμένειν. καὶ καταβὰς ἅμα τῷ στρατῷ [n] πρὸς τὴν ἐπὶ [o] τῇ θαλάττῃ Καισάρειαν, εἰς ταύτην τό,τε πλῆθος τῶν λαφύρων ἀπέθετο, καὶ τοὺς αἰχμαλώτους προσέταξεν ἐν αὐτῇ φυλάττεσθαι. τὸν γὰρ εἰς τὴν Ἰταλίαν πλοῦν ὁ χειμὼν [p] ἐκώλυε.

que magna boum multitudo ad aras adſtitiſſet, omnibus mactatis, exercitui *eos* dividit ad epulas. Ille vero, per triduum cum illis in conviviis verſatus, reliquum exercitum, quò quemque ire conveniret, dimittit: decimæ autem legioni Hieroſolymorum cuſtodiam conceſſit; neque ad Euphratem, ubi pridem fuerat, eam remiſit. Duodecimam vero legionem, memor quod Ceſtio duce Judæis ceſſerat, totam quidem Syria repulit, (erat enim olim apud Raphanæas) ad Melitenen autem, quæ ſic vocatur, *eam* miſit, ad Euphraten in confinio Armeniæ & Cappadociæ ſitam. duas vero ſecum permanere volebat, donec ad Ægyptum perveniret, quintam *ſcilicet* & decimam quintam. Cumque ad Cæſaream maritimam cum exercitu deſcendiſſet, in *eam* & *reliquam* manubiarum vim repoſuit, captivoſque ibi adſervari præcepit. nam ad Italiam navigare hyemis tempus prohibebat. *Legionum ordinatio.*

ΚΕΦ. β'.

CAP. II. XX.

Ὡς Τίτος ἐν Καισαρείᾳ Φιλίππου παντοίας θεωρίας ἐπιτελεῖ. περὶ Σίμωνος τοῦ τυράννου, ὅπως ἑάλω, καὶ εἰς τὸν θρίαμβον ἐτηρήθη.

Quomodo Titus Cæſarea Philippi varia edit ſpectacula. De Simone tyranno, quo modo captus erat & triumpho ſervatus.

[q] ΚΑΘ' ὃν δὲ καιρὸν Τίτος Καῖσαρ [r] τοῖς Ἱεροσολύμοις πολιορκῶν προσήδρευεν, [s] ἐν τούτῳ νεὼς φορτίδος Οὐεσπασιανὸς ἐπιβὰς, ἀπὸ τῆς Ἀλεξανδρείας [t] εἰς Ῥόδον διέβαινε. ἐντεῦθεν δὲ [u] πλέων ἐπὶ τριηρῶν, καὶ πάσας τὰς ἐν τῷ παράπλῳ πόλεις ἐπελθὼν, εὐκταίως αὐτὸν δεχομένας, ἀπὸ τῆς Ἰωνίας εἰς τὴν Ἑλλάδα περαιοῦται, κἀκεῖθεν [x] ἀπὸ Κερκύρας ἐπ' ἄκρας Ἰαπυγίας, ὅθεν ἤδη κατὰ γῆν ἐποιεῖτο τὴν πορείαν. Τίτος δ' ἀπὸ τῆς ἐπὶ [y] θαλάττῃ Καισαρείας ἀναζεύξας εἰς [z] τὴν Φιλίππου καλουμένην Καισάρειαν ἧκε, [a] συχνόν τ' ἐν αὐτῇ χρόνον ἐπέμεινε, παντοίας θεωρίας ἐπιτελῶν. καὶ πολλοὶ τῶν αἰχμαλώτων ἐνταῦθα διεφθάρησαν, οἱ μὲν θηρίοις παραβληθέντες, οἱ δὲ κατὰ πλῆθος [b] ἀλλήλοις ἀναγκαζόμενοι χρήσασθαι πολεμίοις. ἐνταῦθα καὶ τὴν Σίμωνος τοῦ Γιώρα σύλληψιν ἐπύθετο, τοῦτον γενομένην τὸν τρόπον. Σίμων οὗτος, [c] Ἱεροσολύμων πολιορκουμένων, ἐπὶ τῆς ἄνω πόλεως ὢν, ἐπεὶ τῶν τειχῶν ἐντὸς ἡ Ῥωμαίων στρατιὰ γενομένη πᾶσαν ἐπόρθει τὴν πόλιν, τότε τῶν φίλων τοὺς πιστοτάτους παραλαβὼν, καὶ σὺν αὐτοῖς λιθοτόμους τε καὶ τὸν πρὸς τὴν ἐργασίαν ἐπιτήδειον τούτοις σίδηρον, τροφήν τε διαρκεῖν εἰς πολλὰς ἡμέρας δυναμένην, σὺν ἐκείνοις ἅπασι καθίησιν ἑαυτὸν εἴς τινα τῶν ἀφανῶν ὑπονόμων. καὶ μέχρι μὲν ἦν τὸ παλαιὸν ὄρυγμα, προὐχώρουν δι' αὐτοῦ. τῆς στερεᾶς δὲ γῆς ὑπαντώσης, ταύτην ὑπενόμευον, ἐλπίδι τοῦ πορρωτέρω δυνήσεσθαι προελθόντες, [d] ἐν ἀσφαλεῖ ποιησάμενοι τὴν ἀνάδυσιν, ἀποσώζεσθαι. ψευδῆ δὲ τὴν ἐλπίδα διήλεγχεν ἡ πεῖρα τῶν ἔργων. ὀλίγον τε γὰρ

QUO autem tempore Hieroſolyma obſidere perſeverabat Titus Cæſar, in eo Veſpaſianus, navi oneraria aſcenſa, Alexandriâ Rhodum trajiciebat. Hinc autem vectus triremibus, cum omnes quas ſubter-navigavit urbes inviſiſſet, ipſum cum votis excipientes, in Græciam ex Ionia tranſit, atque inde Corcyra ſolvens appulit promontorium Japygium, unde jam terra iter agebat. Titus autem, ex Cæſarea maritima profectus, in Cæſaream venit, quæ Philippi vocatur; & diutius in ea commorabatur, omne genus ſpectacula exhibens: multique illic captivi conſumpti erant, alii quidem beſtiis objecti, alii vero catervatim inter ſe depugnare coacti. Hîc loci Simonem etiam Gioræ filium hoc modo comprehenſum eſſe accepit. Simon iſte, cum Hieroſolyma obſiderentur, in ſuperiore urbe degens, poſtquam Romanorum exercitus mœnia intraſſet & urbem omnem devaſtaſſet, tunc aſſumptis amicorum fidiſſimis, unaque lapicidis & ferro eorum operi idoneo, & alimentis quæ multis diebus ſufficere poſſent, cum iſtis omnibus in quandam cavernam obſcuram ſe demiſit; & quoad vetus foſſa pateret, per eam quidem progrediebantur. Cum autem terra firma occurriſſet, illam excavabant, ſperantes poſſe ulterius progreſſos tuto loco emergere, atque *ita* ſervari. Sed vanam eſſe hanc ſpem arguebat operis experimentum. Vix enim paululum foſſo- *Veſpaſiani iter Romam verſus.* *Simon Gioræ captus.*

f Διαδίδωσιν εἰς εὐωχίαν.] Δίδωσιν Big. Voſſ. & Raf.
g Εἶχεν] Εἶχεν Vat. Lugd. Bat. & Gall.
h Οὐκέτ' αὐτοὺς] Οὐκέτι τούτους ἐπὶ Big.
i Ῥαφαναίαις.] Conf. infr. c. 5. §. 1. SPANH.
k Μελιτηνὴν καλουμένην] Μελίτην Big. Lugd. Bat. Roſſ. Bod. & Raf. perperam.
l Ἐστὶ καὶ Καππαδοκίας.] Ita Big. Voſſ. Roſſ. & Raf. ἐστὶ in Editis Aliiſque. niſi quod ἐστὶ non agnoſcat Gall.
m Αὐτῶν] Αὐτῷ Voſſ. Roſſ. Gall. & Bod.
n Πρὸς τὴν ἐπὶ] Conf. *alibi*. lib. 1. c. 3. §. 5. SPANH.
o Τῇ θαλάττῃ Καισάρειαν,] τῆς θαλάττης Roſſ.
p Ἐκώλυε.] Ἐκώλυσε Big.
q ΚΑΘ' ὃν δὲ καιρὸν] Ita Big. καθ' ὃ δὲ καιρῷ in Editis. καθ' ὃ καιρῷ legendum conjiciebat *Caſaubonus*.
r Τοῖς Ἱεροσολύμοις] Illud τοῖς deeſt Voſſ.
s Ἐν τούτῳ νεὼς] Καὶ νεὼς Big. atque ita, ut videtur, Raf.
t Εἰς Ῥόδον διέβαινεν.] Εἰς τὴν Ῥόδον διέβαλεν Big.
u Πλέων ἐπὶ τριηρῶν,] Quales nempe multæ Rhodi. SPANH.
x Ἀπὸ Κερκύρας] Ἀπὸ Κερκύρας ἀνήχθη ἐπ'. Big. in Ruffini verſione, *egreſſus deinde Corcyra in Japygiam delatus eſt.*
y Θαλάττῃ Καισαρείας] Θαλάττης Big.
z Τὴν Φιλίππου καλουμένην Καισάρειαν] Conf. ſupr. lib. 3. c. 8. §. 7. SPANH.
a Συχνόν τ' ἐν αὐτῇ χρόνον] Καὶ συχνὸν ἐν αὐτῇ χρόνον ἐπιμείνας Big.
b Ἀλλήλοις] Ita cum Cl. *Lowthio* legendum cenſui. antea erat ἄλλοις.
c Ἱεροσολύμων πολιορκουμένων,] Τῶν Ἱεροσολύμων Big.
d Ἐν ἀσφαλεῖ ποιησάμενοι] Ἐν ἀσφαλείᾳ Big.

foſſores proceſſerant, jamque alimenta, quamvis parce his uterentur, eos defectura eſſe videbantur. Tunc igitur, quaſi Romanis ſtuporem incutiendo poſſet eos fallere, candida indutus tunica & chlamyde purpurea infibulatus, eo in loco è terra emerſit ubi templum dudum fuerat. Ac primum quidem obſtupuêre, qui eum viderunt, locisque ſuis manebant: deinde propius acceſſerunt, interrogantes quis eſſet? & id quidem Simon illis non indicabat, ducem autem vocari jubebat. Cumque ad eum è veſtigio cucurriſſent, veniebat Terentius Rufus; namque is exercitui præfectus relictus erat. Ac poſtquam ab eo omnia quæ vera eſſent accepiſſet, ipſum quidem vinctum adſervabat; Cæſari vero quemadmodum eſſet comprehenſus ſignificabat. Et Simonem quidem in ultionem crudelitatis erga cives, quibus ſeſe amarum tyrannum præbuerat, infenſiſſimis hoſtibus Deus in manum tradidit, non vi ſubactum, ſed ipſo ſe conjiciente ſponte ſua in pœnam; propterea quod multos ipſe crudeliter interfecerat, falſas criminationes intendens defectionis ad Romanos. Neque enim poteſt iram Dei effugere nequitia, neque infirma fieri poteſt juſtitia: ſed tandem ulciſcitur ſui temeratores, & gravius ſupplicium ſumit de malis, quod ſe ab eo liberatos crediderint, quando non illico pœnas dederunt. Id etiam Simon didicit, poſtquam in iras Romanorum incidit. Illius autem ex terra emerſio in cauſa fuit, ut cæterorum etiam ſeditioſorum magna turba iiſdem diebus in cuniculis inveniretur. Ad Cæſarem autem, Cæſaream maritimam reverſum, Simon vinctus adductus eſt: & illum quidem triumpho, quem Romæ agere parabat, ſervari juſſit.

Terentius Rufus cum exercitu Hieroſolymis relictus.

[e] μόλις προὔβαινον οἱ μεταλλεύοντες, ἡ τροφὴ, καίτοι ταμιευομένοις, ἔμελλεν [f] ἐπιλείψειν. τότε δὴ τοίνυν, ὡς δι' ἐκπλήξεως ἀπατῆσαι τοὺς Ῥωμαίους δυνησόμενος, λευκοὺς [g] ἐνδιδύσκει χιτωνίσκους, καὶ πορφυρᾶν ἐμπερονησάμενος [h] χλανίδα, κατ' αὐτὸν ἐκεῖνον τὸν τόπον ἐν ᾧ τὸ ἱερὸν ἦν πρόσθεν [i] ἐκ γῆς ἀνεφάνη. τὸ μὲν οὖν πρῶτον τοῖς ἰδοῦσι θάμβος προσέπεσε, καὶ κατὰ χώραν ἔμενον· ἔπειτα δ' ἐγγυτέρω [k] προσελθόντες, ὅς τις εἴη ἤροντο. καὶ τοῦτο μὲν οὐκ ἐδήλου Σίμων αὐτοῖς, καλεῖν δὲ τὸν ἡγεμόνα προσέταττεν. καὶ ταχέως πρὸς αὐτὸν δραμόντων, ἧκε [l] Τερέντιος Ῥοῦφος· οὗτος γὰρ ἄρχων τῆς στρατιᾶς [m] καταλέλειπτο. πυθόμενός τε παρ' αὐτοῦ πᾶσαν τὴν ἀλήθειαν, τὸν μὲν ἐφύλαττε δεδεμένον, [n] Καίσαρι δὲ ὅπως [o] τ' εἴη συνειλημμένος ἐδήλου. Σίμωνα μὲν οὖν εἰς δίκην τῆς κατὰ τῶν πολιτῶν ὠμότητος, ὧν πικρῶς αὐτὸς ἐτυράννησεν, ὑπὸ τοῖς μάλιστα μισοῦσι πολεμίοις ἐποίησεν ὁ Θεὸς, οὐ βίᾳ γενόμενον αὐτοῖς ὑποχείριον, [p] ἀλλ' ἑαυτὸν ἑκουσίως εἰς τὴν τιμωρίαν [q] περιβαλόντα, δι' ὃ πολλοὺς αὐτὸς ὠμῶς ἀπέκτεινε, ψευδεῖς αἰτίας ἐπιφέρων τῆς πρὸς Ῥωμαίους μεταβολῆς. οὐ γὰρ [r] διαφεύγει πονηρία Θεοῦ χόλον, [s] οὐδὲ ἀσθενὴς ἡ δίκη· χρόνῳ δὲ μέτεισι τοὺς εἰς αὐτὴν παρανομήσαντας, καὶ χείρω τὴν τιμωρίαν ἐπιφέρει τοῖς πονηροῖς, ὅτι καὶ προσεδόκησαν αὐτῆς ἀπηλλάχθαι, μὴ παραυτίκα κολασθέντες. ἔγνω τοῦτο καὶ Σίμων εἰς τὰς Ῥωμαίων ὀργὰς ἐμπεσών. ἡ δὲ ἐκείνου γῆθεν ἄνοδος πολὺ καὶ τῶν ἄλλων στασιαστῶν πλῆθος, ὑπ' ἐκείνας τὰς ἡμέρας, ἐν τοῖς ὑπονόμοις φωραθῆναι παρεσκεύασε. Καίσαρι δὲ, [t] εἰς τὴν παράλιον [v] ἐπανελθόντι Καισάρειαν, Σίμων προσήχθη δεδεμένος· κἀκεῖνον μὲν, εἰς ὃν ἐπιτελεῖν ἐν Ῥώμῃ [x] παρεσκευάζετο θρίαμβον, [y] προσέταξε φυλάττειν.

CAP. III.

Quomodo Titus, cum diem natalem fratris patriſque celebraret, multos Judæorum conſumpſit. De Judæis in periculum apud Antiochiam adductis ex Antiochi Judæi iniqua legum violatione.

IBI autem moratus fratris ſui natalem diem ſplendide celebrabat, magnam partem Judæorum morte mulctandorum ejus honori attribuens. Numerus enim eorum qui cum beſtiis depugnarunt, quique ignibus cremati ſunt, & inter ſe digladiantes periêre, ſupra duo millia erat & quingentos. Iſta tamen omnia Romanis videbantur, licet illi mille modis conſumerentur, pœna levior *quam commeruerant*. Poſtea Cæſar Berytum veniebat (hæc autem in Phœnicia eſt urbs, Romanorum colonia) atque diutius demoratus eſt, majori adhibito ſplendore dum patris diem natalem celebrat, tam ſpectaculorum magnificen-

Ludi ad celebrandum natalem fratris à Tito editi.

Natalis Veſpaſiani aliis ludis celebratur.

ΚΕΦ. γ'.

Ὅπως Τίτος, τὴν γενέθλιον ἡμέραν τἀδελφοῦ καὶ πατρὸς ἄγων, πολλοὺς τῶν Ἰουδαίων ἀνάλωσεν. Περὶ τῶν ἐν Ἀντιοχείᾳ κινδυνευσάντων Ἰουδαίων, ἀπὸ τῆς τοῦ Ἰουδαίου Ἀντιόχου παραβάσεώς τε καὶ ἀσεβείας.

[z] ΔΙατρίβων δ' αὐτόθι τὴν [a] τἀδελφοῦ γενέθλιον ἡμέραν ἐπιφανῶς ἑώρταζε, πολὺ καὶ τὸ τῶν Ἰουδαίων κολασθέντων εἰς τὴν ἐκείνου τιμὴν ἀναθείς. ὁ γὰρ ἀριθμὸς τῶν εἴτε ταῖς πρὸς τὰ θηρία μάχαις, καὶ τῶν [b] καταπιμπραμένων, εἴτε ταῖς ἀλληλοκτονίαις ἀναιρουμένων, πεντακοσίους ἐπὶ τοῖς δισχιλίοις ὑπερέβαλε. πάντα μέντοι Ῥωμαίοις ἐδόκει ταῦτα, μυρίοις αὐτῶν ἀπολλυμένων τρόποις, ἐλάττων κόλασις εἶναι. μετὰ τοῦτο Καῖσαρ εἰς [c] Βηρυτὸν ἧκεν· ἡ δὲ ἐστιν ἐν τῇ Φοινίκῃ πόλις, Ῥωμαίων ἄποικος· κἀνταῦθα χρονιωτέραν ἐποιήσατο τὴν ἐπιδημίαν, πλείονι χρώμενος τῇ λαμπρότητι, περὶ τὴν τοῦ πατρὸς ἡμέραν [d] γενέθλιον, εἴτε ταῖς τῶν θεωριῶν πολυ-

e Μόλις προὔβαινον] Illud μόλις non agnoſcit *Big.*
f Ἐπιλείψειν.] Ἀπολείψειν *Big. Roſ.* & *Voſſ.*
g Ἐνδιδύσκει χιτωνίσκους,] Ἐνδιδύσκεται *Voſſ. Roſ.* & *Bod.* ἐνδύς *Zonar.*
h Χλανίδα,] Χλαμύδα *Big.* & *Zonar.*
i Ἐκ γῆς ἀνεφάνη.] Ἐκ τῆς γῆς *Big.* & *Voſſ.*
k Προσελθόντες,] Προσιόντες ὅς τις εἴη ἤροντο *Zonar.*
l Τερέντιος Ῥοῦφος] Hic eſt qui Talmudicis Tinnius Rufus audit, quique Sionem ut agrum araſſe dicitur. Rel.
m Καταλέλειπτο.] Καταλέλειπτο *Big.*
n Καίσαρι] Καίσαρί τε *Big.*
o Τ' εἴη] ſic deleto τ' *L. B.*
p Ἀλλ' ἑαυτὸν ἑκουσίως] Ἀλλ' αὐτὸν *Big.* & *Voſſ.*
q Περιβαλόντα,] Παραβαλόντα, δι' ὃ *Big. Voſſ. Roſ.* & *Bod.*
r Διαφεύγει] Διαφεύγειν *L. B.*
s Οὐδὲ ἀσθενὴς ἡ δίκη] Οὐδὲ ἀσθενὴς ἡ δίκη *Big. L. B. Roſ.*

t Εἰς τὴν παράλιον] Conf. ſup. lib. 1. c. 3. §. 5. Spanh.
v Ἐπανελθόντι Καισάρειαν,] Παρελθόντι *Big.*
x Παρεσκευάζετο θρίαμβον,] Conf. ſupr. lib. 6. c. 9. §. 4. Spanh.
y Προσέταξε φυλάττειν.] Ἔταξε *Big.*
z Διατρίβων δ' αὐτόθι &c.] Conf. infr. c. 5. §. 1. Spanh.
a Τἀδελφοῦ γενέθλιον ἡμέραν] *Sc.* Domitiani, cujus dies natalis in 30. Decembris incurrit. *Uſſerius* in *Annalium* parte poſteriore ad *A. M.* 4074.
b Καταπιμπραμένων,] Καταπιμπραμένων *Big.*
c Βηρυτὸν] Berytus Colonia Romanorum. Hinc in Nummis: COL. JUL. AUG. FEL. BER. Huds. & Spanh.
d γενέθλιον,] Imperii *ſcilicet*, quem Kalendis Julii obſervari ſolitum, ex *Suetonio* & *Tacito* docuimus. *Uſſerius* in *Annalibus* ad A. M. 4074.

πολυτελείαις, καὶ κατὰ τὴν ἄλλην ἐπίνοιαν τῶν ἄλλων ἀναλωμάτων. τὸ δὲ τῶν αἰχμαλώτων πλῆθος τὸν αὐτὸν τρόπον ὡς πρόσθεν ἀπώλλυτο.

β'. Γενέσθαι δὲ συνέβη, [e] περὶ τὸν καιρὸν τοῦτον, καὶ τοῖς ἐν Ἀντιοχείᾳ τῶν Ἰουδαίων [f] ὑπολειπομένοις ἐγκλήματα καὶ κίνδυνον ὀλέθρου, τῆς πόλεως ἐπ' αὐτοὺς τῶν Ἀντιοχέων ἐκταραχθείσης, διά τε τὰς ἐν τῷ παρόντι διαβολὰς αὐτοῖς ἐπενεχθείσας, καὶ διὰ τὰ [g] προϋπηργμένα χρόνῳ πρόσθεν οὐ πολλῷ. περὶ ὧν ἀναγκαῖόν ἐστι διὰ συντόμων προειπεῖν, ἵνα καὶ τῶν μετὰ ταῦτα πραχθέντων εὐπαρακολούθητον ποιήσωμαι τὴν διήγησιν.

γ'. Τὸ γὰρ Ἰουδαίων γένος [h] πολὺ μὲν [i] κατὰ πᾶσαν τὴν οἰκουμένην παρέσπαρται τοῖς ἐπιχωρίοις πλεῖστον δὲ [k] τῇ Συρίᾳ κατὰ τὴν γειτνίασιν [l] ἀναμεμιγμένον, ἐξαιρέτως δ' ἦν ἐπὶ τῆς Ἀντιοχείας πολὺ, διὰ τὸ τῆς πόλεως μέγεθος, μάλιστα δ' αὐτοῖς ἄδειαν τῆς ἐκεῖ κατοικήσεως οἱ μετ' Ἀντίοχον βασιλεῖς παρέσχον. Ἀντίοχος μὲν γὰρ, ὁ κληθεὶς Ἐπιφανὴς, Ἱεροσόλυμα πορθήσας, [m] τὸν ναὸν ἐσύλησεν· οἱ δὲ μετ' αὐτὸν τὴν βασιλείαν παραλαβόντες, τῶν ἀναθημάτων ὅσα χαλκᾶ [n] πεποίητο, πάντα τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις [o] ἀπέδοσαν, εἰς τὴν συναγωγὴν αὐτῶν ἀναθέντες, καὶ συνεχώρησαν αὐτοῖς ἐξ ἴσου τῆς πόλεως τοῖς Ἕλλησι μετέχειν. τὸν αὐτὸν δὲ τρόπον, καὶ τῶν μετὰ ταῦτα βασιλέων αὐτοῖς προσφερομένων, εἴς τε τὸ πλῆθος ἐπέδωκαν, καὶ τῇ κατασκευῇ, καὶ [p] τῇ πολυτελείᾳ τῶν ἀναθημάτων [q] τὸ ἱερὸν ἐξελάμπρυναν. ἀεί τε προσαγόμενοι ταῖς θρησκείαις πολὺ πλῆθος Ἑλλήνων, κἀκείνους τρόπῳ τινὶ μοῖραν αὐτῶν πεποίηντο. καθ' ὃν δὲ καιρὸν ὁ πόλεμος ἀνακεκήρυκτο, νεωστὶ δ' εἰς τὴν Συρίαν Οὐεσπασιανὸς καταπεπλεύκει, τὸ δὲ κατὰ τῶν Ἰουδαίων παρὰ πᾶσιν ἤκμαζε μῖσος, τότε δή τις Ἀντίοχος εἷς ἐξ αὐτῶν τὰ μάλιστα διὰ τὸν πατέρα τιμώμενος, ἦν γὰρ [r] ἄρχων τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων, τοῦ δήμου τῶν Ἀντιοχέων [s] ἐκκλησιάζοντος, εἰς τὸ θέατρον παρελθὼν, τόν τε πατέρα [t] τὸν αὐτοῦ καὶ τοὺς ἄλλους ἐνεδείκνυτο κατηγορῶν, ὅτι νυκτὶ μιᾷ καταπρῆσαι τὴν πόλιν ἅπασαν διεγνώκεισαν, καὶ παρεδίδου ξένους Ἰουδαίους τινὰς, ὡς κεκοινωνηκότας τῶν βεβουλευμένων. ταῦτα δ' ἀκούων ὁ δῆμος, τὴν ὀργὴν οὐ κατεῖχεν, ἀλλ' ἐπὶ μὲν τοὺς παραδοθέντας, πῦρ [v] εὐθὺς ἐκέλευον κομίζειν, καὶ παραχρῆμα πάντες ἐπὶ τοῦ θεάτρου κατεφλέγησαν. [x] ἐπὶ δὲ τὸ πλῆθος ὥρμηντο τῶν Ἰουδαίων, ἐν τῷ τάχιον ἐκείνους τιμωρήσασθαι περιβαλεῖν τὴν αὐτῶν πατρίδα σώζειν νομίζοντες. Ἀντίοχος [y] δὲ προσεπέτεινε τὴν ὀργὴν, περὶ μὲν τῆς αὐτοῦ μεταβολῆς, καὶ τοῦ μεμισηκέναι τὰ τῶν Ἰουδαίων ἔθη, τεκμήριον [z] ἐμπαρέχειν οἰόμενος τὸ ἐπιθύειν, ὥσπερ νόμος ἐστὶ τοῖς Ἕλλησιν· ἐκέλευε δὲ καὶ τοὺς ἄλλους [a] ταυτὸ ποιεῖν ἀναγκάζειν, φανεροὺς γὰρ [b] γενήσεσθαι

ria, quam ſumptibus aliis alium in modum excogitatis. Captivorum autem *ingens* multitudo ſimiliter ac antea cecidit.

2. Accidit autem per idem tempus, ut Judæi, qui apud Antiochiam reliqui erant, accuſationes ſubirent & interitus periculum, concitata in eos Antiochenſium civitate, tam propter criminationes eis in præſentia intentatas quam propter ea quæ fuerant non multo ante commiſſa. De quibus neceſſe habeo paucis præfari, ut eorum quæ poſtea geſta erant * narrationem faciam intellectu faciliorem. XXI.

Judæorum periculum Antiochiæ.

3. Nam multum quidem Judaicæ gentis per totum terrarum orbem indigenis erat interſperſum: maxima autem pars Syriæ propter vicinitatem erat immiſta, & præcipue apud Antiochiam multi ex illis verſabantur, ob urbis amplitudinem, maximeque propter liberam ibi habitandi facultatem ab Antiochi ſucceſſoribus impetratam. Nam Antiochus quidem, dictus Epiphanes, vaſtatis Hieroſolymis templum ſpoliavit: qui vero poſt eum regnum aſſequuti ſunt, quicquid æneum in donariis reperiretur Judæis Antiochiam degentibus reddidére, in eorum ſynagoga reponendum: eiſque conceſſerunt, ut ex æquo cum Græcis participes urbis eſſent. A regibus etiam qui eos deinceps exceperunt eodem modo tractati, & in magnam multitudinem excreverunt, & *omni* apparatu donariorumque magnificentia illuſtratum dederunt templum: & multis ſubinde Græcis ad *ſuam* religionem perductis, etiam illos quodammodo ſui partem fecêre. Cæterum quo tempore bellum fuerat indictum, & recens in Syriam appulerat Veſpaſianus, atque omnes Judæorum flagrabant odio, tunc unus eorum Antiochus quidam, cui præcipue patris cauſa plurimum deferebatur (erat enim Judæorum princeps apud Antiochiam) cum Antiochenſium populus in concionem congregatus eſſet, in theatrum progreſſus & patrem ſuum & alios deferebat, inſimulans *eos*, quod una nocte totam urbem incendere ſtatuiſſent: & peregrinos quoſdam Judæos, ut ejus conſilii conſcios, tradidit. Cum autem iſta audiret populus, iram cohibere non poterant: ſed in eos quidem qui traditi fuerant ignem ſtatim afferri juſſerunt, confeſtimque omnes in theatro exuſti erant. In multitudinem vero Judæorum irruere properabant, eos ſi celeriter ulti eſſent, patriam ſuam ſervatum iri exiſtimantes. Verum Antiochus iracundiam *eorum* magis adhuc accendebat, ſuæ quidem voluntatis mutatæ argumentum, quodque Judæorum mores odiſſet, exhibere ſe credens, ſi more Græco immolaret; imperabatque *populo* ut cæteros etiam idem facere

Filius Judæi ethnarchæ apud Antiochiam patrem defert.

e Περὶ τὸν καιρὸν τοῦτον,] Κατὰ τὸν κ. Voſſ.
f Ὑπολειπομένοις] Ὑπολειπομένοις Big. & Voſſ.
g Προϋπηργμένα] ὑπηργμένα L. B.
h Πολὺ μὲν] Πολὺ μὲν γὰρ ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὸ Ἰουδαίων ἔθνος κατέσπαρται &c. Zonar.
i Κατὰ πᾶσαν τὴν οἰκουμένην] Judæi jam tum diſperſi per orbem totum. Rel.
k Τῇ Συρίᾳ] Hinc eſt quod Syriam Talmudici in nonnullis rebus æqualem conſtituerint ipſi terræ Iſraeliticæ, ſic ut non haberetur uti reliquæ regiones [illegible] *extra terram ſuam* Rel.
l Ἀναμεμιγμένον,] Ἐγκαταμεμιγμένον juxta Zonaram.
m Τὸν ναὸν ἐσύλησεν.] Ita Big. & Ruf. τὸν ναὸν Voſſ. τὸ λαὸν in Editis.
n Πεποίητο,] Πεποίητο Big. & Voſſ.
o Ἀπέδοσαν,] Ἀπέδωκαν Big.
p Τῇ πολυτελείᾳ] Abeſt τῇ a L. B.
q Τὸ ἱερὸν ἐξελάμπρυναν] Manifeſtum quidem eſt ἱερὸν templum hic dici, quod ante vocaverat συναγωγήν, ob magnificentiam nimirum & ſplendorem ædificii ad templi formam & ſimilitudinem exſtructi.
r Ἄρχων τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων,] Judæis Antiochiam (ut & Alexandriam habitantibus) inductum erat à regibus Græcis, & poſtmodum ab imperatoribus Romanis, ut delectum haberent ex ſua gente præſidem, cui parerent, exempti juriſdictione & poteſtate præſidis regii ac imperatorii. Hic magiſtratus nonnunquam ἄρχων dicitur, alias ἐθνάρχης, & ἀλαβάρχης. Vide Fullerum in Miſcell. SS. l. 4. c. 16.
s Ἐκκλησιάζοντος,] Ἐκκλησιαζόντων Big.
t Τὸν αὐτοῦ] τὸν ἑαυτοῦ L. B.
v Εὐθὺς] εὐθέως Roſt.
x Ἐπὶ δὲ τὸ πλῆθος ὥρμηντο τῶν Ἰουδαίων,] Ita Big. ἐπὶ δὲ τὸ πλῆθος ὥρμησε τῶν Ιουδ. Vat. Lugd. Bat. & Ruf. cum aliis. ἐπὶ δὲ τὸ πλῆθος ὥρμησε μετὰ τῶν Ιουδ. Baſ. ἐπὶ δὲ τὸ πλ. ὥρμησε κατὰ τῶν Ιουδ. Gen. κατὰ δὲ τῶν λοιπῶν Ἰουδαίων ὥρμησε τιμωρήσασθαι [illegible] Zonar.
y Δὲ προσεπέτεινε τὴν ὀργὴν,] Illud δὲ è Codd. Big. Vat. & Voſſ. quod etiam agnoſcit verſio Rufini.
z Ἐμπαρέχειν οἰόμενος τὸ ἐπιθύειν,] Παρέχειν Big.
a Ταυτὸ ποιεῖν ἀναγκάζειν,] Τὸ αὐτὸ Big. & Voſſ.
b Γενήσεσθαι τοὺς μὴ θέλοντας] Γενήσεσθαι Big. [illegible] Zonar.

* Conſequenti narratione referam, Ruf.

Τοῖς

facere cogerent : quippe inſidiatores recuſando fore manifeſtos. Ejus rei cum Antiocheni periculum feciſſent, pauci quidem * conſenſerunt, qui vero renuerunt interfecti erant. Antiochus autem, acceptis à Romanorum præſide militibus, atrociter inſtabat ſuis civibus, otium diei ſeptimi eos agere non permittens, ſed omnia cogens facere quæ aliis diebus facere ſolebant : tamque validam illis afferebat neceſſitatem, ut non Antiochiæ duntaxat ſeptimi diei feriæ abrogarentur, ſed ab ea facto rei initio, in aliis ſimiliter urbibus, ad breve tempus.

Sabbati obſervatio tollitur.

4. Judæis autem apud Antiochiam, eo tempore mala hujuſcemodi perpeſſis, altera denuo calamitas acceſſit : de qua cum narrationem facere inſtituiſſemus, hæc quoque perſequuti ſumus. Quoniam enim accidit, ut quadratum urbis forum, prætoriaque & tablina cremarentur, itemque baſilicæ; vixque inhiberetur ignis, quin urbem univerſam magna cum vi peragraret, hujus facti Antiochus Judæos accuſabat; & Antiochenos, ſi his infeſti jam ante non fuiſſent, recenti tamen ex incendii tumultu facile calumnia perpuliſſet, multo magis ex anteactis fidem dictis ſuis habere induxiſſet, quaſi tantum non vidiſſent ignem illis injectum à Judæis, & tanquam furore correpti magno cum impetu omnes in accuſatos irruerant. Vix autem motus eorum reprimere potuit Cneus quidam Collega, legatus, poſtulans permitti ut ad Cæſarem de rebus geſtis referretur. præſidem namque Syriæ Cæſennium Pætum jam quidem Veſpaſianus ad eam miſerat; accidit autem ut nondum adeſſet. Re vero diligenter inquiſita Collega reperiebat veritatem, & eorum quidem Judæorum quos Antiochus accuſaverat neminem conſcium fuiſſe, omnis autem facinoris auctores exſtitiſſe homines quoſdam improbos ob æris alieni neceſſitatem, ratos, ſi curias & publica tablina incendiſſent, fore neminem à quo appellarentur. Et Judæi quidem, ex ſuſpenſis criminationibus futura adhuc exſpectantes, magno timore fluctuabant.

Incendii Antiochiæ accuſantur Judæi.

Illo crimine liberantur.

τοῦ μὴ θέλειν τοὺς ἐπιβεβουλευκότας. χρησάμενοι δὲ τῇ πείρᾳ τῶν Ἀντιοχέων, ὀλίγοι μὲν [c] ὑπέμειναν. οἱ δὲ μὴ βουληθέντες, ἀνῃρέθησαν. Ἀντίοχος δὲ, στρατιώτας παρὰ τοῦ Ῥωμαίων ἡγεμόνος λαβὼν, χαλεπὸς [d] ἐφειστήκει τοῖς αὐτοῦ πολίταις, ἀργεῖν τὴν ἑβδόμην οὐκ ἐπιτρέπων, ἀλλὰ βιαζόμενος πάντα πράττειν, ὅσα δὴ καὶ ταῖς ἄλλαις ἡμέραις· οὕτω τε τὴν ἀνάγκην ἰσχυρὰν ἐποίησεν, ὡς μὴ μόνον ἐν Ἀντιοχείᾳ καταλυθῆναι τὴν ἑβδομάδα [e] ἀργὸν ἡμέραν, ἀλλ᾽ ἐκεῖθεν ἀρξαμένου τοῦ πράγματος, [f] καὶ ταῖς ἄλλαις πόλεσιν ὁμοίως, βραχύν τινα χρόνον.

δʹ. Τοιούτων δὴ [g] τοῖς ἐπὶ τῆς Ἀντιοχείας Ἰουδαίοις τῶν καθ᾽ ἐκεῖνον τὸν καιρὸν κακῶν γεγενημένων, δευτέρα πάλιν συμφορὰ προσέπεσε· περὶ ἧς ἀφηγεῖσθαι ἐπιχειρήσαντες, καὶ ταῦτα διεξήλθομεν. ἐπεὶ γὰρ συνέβη καταπρησθῆναι τὴν τετράγωνον ἀγορὰν, ἀρχεῖά τε καὶ [h] γραμματοφυλάκιον, καὶ τὰς βασιλικὰς, μόλις τε τὸ πῦρ ἐκωλύθη μετὰ πολλῆς βίας ἐπὶ πᾶσαν τὴν πόλιν περιφερόμενον, ταύτην Ἀντίοχος τὴν πρᾶξιν Ἰουδαίων κατηγόρει. καὶ τοὺς Ἀντιοχεῖς, εἰ καὶ μὴ πρότερον εἶχον πρὸς αὐτοὺς ἀπεχθῶς, [i] τάχιστα τῇ διαβολῇ διὰ τὴν ἐκ τοῦ συμβεβηκότος ταραχὴν ὑπαχθέντας, πολὺ μᾶλλον ἐκ τῶν προϋπηργμένων τοῖς ὑπ᾽ αὐτοῦ λεγομένοις, πιστεύειν παρεσκεύασεν, ὡς μόνον οὐκ ἐπ᾽ αὐτοὺς τὸ πῦρ ἐνιέντας ὑπὸ τῶν Ἰουδαίων ἑωρακότας, καὶ καθάπερ ἐμμανεῖς γεγενημένοι μετὰ πολλοῦ [k] τινὸς οἴστρου πάντες ἐπὶ τοὺς διαβεβλημένους ὥρμηντο. μόλις δ᾽ αὐτῶν ἠδυνήθη τὰς ὁρμὰς ἐπισχεῖν, [l] Κνέος Κολλήγας τις, πρεσβευτὴς, ἀξιῶν ἐπιτρέψαι Καίσαρι δηλωθῆναι περὶ τῶν γεγονότων. τὴν γὰρ ἡγεμονίαν τῆς Συρίας [m] Καισέννιον Παῖτον ἤδη μὲν Οὐεσπασιανὸς ἐξαπεστάλκει, συνέβαινε δὲ παρεῖναι μηδέπω. ποιούμενος δ᾽ ἐπιμελῆ τὴν ζήτησιν ὁ Κολλήγας, ἐξεῦρε τὴν ἀλήθειαν, καὶ τῶν μὲν τὴν αἰτίαν ὑπ᾽ Ἀντιόχου λαβόντων Ἰουδαίων, οὐδεὶς οὐδ᾽ ἐκοινώνησεν, ἅπαν δὲ τοὔργον ἔπραξαν ἄνθρωποί τινες ἀλιτήριοι, διὰ χρεῶν [n] ἀνάγκας, νομίζοντες, εἰ τὴν ἀγορὰν καὶ τὰ δημόσια καταπρήσειαν [o] γράμματα, τὴν [p] ἀπαιτήσεως ἀπαλλαγὴν ἕξειν. Ἰουδαῖοι μὲν οὖν, ἐπὶ μετεώροις ταῖς αἰτίαις τὸ μέλλον ἔτι καραδοκοῦντες, ἐν φόβοις χαλεποῖς [q] ἐπεσάλευον.

XXII.

CAP. IV.

Quomodo Veſpaſianum urbs Roma ſuſcipiebat. Et quo pacto Germani poſt defectionem à Romanis iterum ſubjugati erant : & Sarmatæ, poſt incurſionem in Myſiam, ſedes ſuas repetere compulſi erant.

ΚΕΦ. δʹ.

Ὅπως Οὐεσπασιανὸν ἐδέξατο ἡ Ῥώμη. καὶ ὡς Γερμανοὶ Ῥωμαίων ἀποστάντες αὖθις ὑπετάγησαν· καὶ οἱ Σαρμάται, καταδραμόντες Μυσίαν, εἰς τὰ ἴδια ὑποστρέψαι ἠναγκάσθησαν.

Titus autem Cæſar, de patre ſibi allato nuncio, quod univerſis quidem Italiæ civitatibus gratus optatuſque veniſſet, maxime vero quod Roma multa cum alacritate & ſplendore eum ſuſcepiſſet, magna lætitia animique voluptate perfunditur, curis de eo quam ſuaviſſime liberatus. Veſpa-

Veſpaſiani in Italiam adventus.

Τίτος δὲ Καῖσαρ τῆς περὶ τοῦ πατρὸς ἀγγελίας αὐτῷ κομισθείσης, ὅτι πάσαις μὲν ποθεινὸς [r] ταῖς κατὰ τὴν Ἰταλίαν πόλεσιν ἐπῆλθε, μάλιστα δ᾽ ἡ Ῥώμη μετὰ πολλῆς αὐτὸν ἐδέξατο προθυμίας καὶ λαμπρότητος, εἰς πολλὴν χαρὰν καὶ θυμηδίαν ἐτράπετο, τῆς περὶ αὐτοῦ φροντίδος ὡς ἥδιστον [s] ἦν ἀπηλλαγμένος. Οὐεσπασια-

c Ὑπέμειναν] Ὑπέμενον Zonar.
d Ἐφειστήκει τοῖς αὐτοῦ πολίταις,] Ἐφειστήκει Big.
e Ἀργὸν ἡμέραν,] Ἀργοῦ Big.
f Καὶ ταῖς ἄλλαις] Καὶ ταῖς ἄλλαις π. Big. Vat. & Voſſ.
g Τοῖς ἐπὶ τῆς Ἀντιοχείας Ἰουδαίοις] Τοῖς ἐν Ἀντιοχείᾳ Voſſ.
h Γραμματοφυλάκιον.] Χαρτοφυλάκιον Big. & Zonar.
i Τάχιστα τῇ διαβολῇ] Τάχιστα ἂν τῇ δ. Big.
k Τινὸς οἴστρου πάντες] Τινὲς Big.
l Κνέος Κολλήγας τις,] Ita ex conjectura. in libris [illegible] Κολλέγας vel Κολλῆγας.
m Καισέννιον Παῖτον] Sic legendum ex veteri nummo, cujus meminit Cl. Spanhemius in Diſſert. de Præſt. num. p. 570. antea erat Κεσέννιον Πέτον. Huds. Καισέννιον Παῖτον Gen. leg. Καισεννίου Παίτου, ut in Veteri nummo de eodem Proconſule Aſiæ ſub Domitiano: ΑΝΘΥ. ΚΑΙϹΕΝ. ΠΑΙΤΟΥ. &c. Unde hunc Joſephi locum olim emendavi Diſſ. de Præſt. Num. p. 570. Conf. Infr. c. 7. §. 1. Spanh.
n Ἀνάγκας,] Ita Big. Vat. Voſſ. & Zonar. ἀνάγκαις in Editis Aliiſque.
o Γράμματα,] Γραμματεῖα Zonar.
p Ἀπαιτήσεως ἀπαλλαγὴν ἕξειν.] Εἰσπράξεως Zonar.
q Ἐπεσάλευον,] Ἀπεσάλευον Voſſ. Raf. S. Zonar.
r Ταῖς κατὰ τὴν Ἰταλίαν] Ταῖς περὶ τὴν Ἰταλίαν Big.
s Ἦν ἀπηλλαγμένος.] Illud ἦν non agnoſcit Voſſ.

* Al. *id facere ſuſtinuerunt.*

Πολ.

ποθεινὸν γάρ, ἔτι μὲν καὶ μακρὰν ἀπόντα, πάντες οἱ κατὰ τὴν Ἰταλίαν ἄνθρωποι ταῖς γνώμαις περιεῖπον ὡς ἥκοντα, τὴν προσδοκίαν ἐκ τοῦ πάνυ θέλειν ἄφιξιν αὐτοῦ νομίζοντες, καὶ πάσης ἀνάγκης ἐλευθέραν τὴν πρὸς αὐτὸν ἔχοντες εὔνοιαν. τῇ τε γὰρ βουλῇ κατὰ μνήμην τῶν γεγενημένων ἐν ταῖς τῶν ἡγεμόνων μεταβολαῖς συμφορῶν, εὐκταῖον ἦν ἀπολαβεῖν ἡγεμόνα, γήρως σεμνότητι καὶ πράξεων ἀκμῇ [t] πολεμικῶν κεκοσμημένον, ᾧ τὴν [v] ὑπεροχὴν, πρὸς μόνην ἠπίσταντο τὴν τῶν ἀρχομένων σωτηρίαν ἐσομένην. καὶ μὴν ὁ δῆμος ὑπὸ τῶν ἐμφυλίων κακῶν [x] τετρυχωμένος ἔτι μᾶλλον ἐλθεῖν αὐτὸν ἔσπευδε· τότε δὴ βεβαίως μὲν ἀπαλλαγήσεσθαι τῶν συμφορῶν [y] ὑπολαμβάνων, ἀπολήψεσθαι δὲ τὴν ἄδειαν μετὰ τῆς εὐετηρίας πεπιστευκώς. ἐξαιρέτως δὲ τὸ στρατιωτικὸν εἰς αὐτὸν ἀφεώρα· μάλιστα γὰρ οὗτοι τῶν [z] κατωρθωμένων αὐτῷ πολέμων, ἐγίνωσκον τὸ μέγεθος. τῆς ἀπειρίας δὲ τῶν ἄλλων ἡγεμόνων καὶ τῆς ἀνανδρίας πεπειραμένοι, πολλῆς μὲν αἰσχύνης αὑτοὺς ἐπεθύμουν ἀπηλλάχθαι, τὸν μόνον δὲ καὶ σώζειν αὐτοὺς καὶ κοσμεῖν δυνάμενον ἀπολαβεῖν ηὔχοντο. τοιαύτης δ᾽ εὐνοίας ἐξ ἁπάντων ὑπαρχούσης, τοῖς μὲν κατὰ τὰς ἀξιώσεις προύχουσι τῶν ἀνδρῶν οὐκ ἔτ᾽ ἀνεκτὸν ἦν ἀναμένειν, ἀλλὰ πορρωτάτω τῆς Ῥώμης αὐτῷ προεντυχεῖν ἔσπευδον. οὐ μὴν οὐδὲ τῶν ἄλλων τις ἠνείχετο τῆς ἐντεύξεως τὴν ἀναβολήν, ἀλλ᾽ οὕτως ἐξεχέοντο πάντες ἀθρόοι, καὶ πᾶσιν εὐπορώτερον καὶ ῥᾷον ἐδόκει τοῦ μένειν τὸ ἀπιέναι, ὡς καὶ τὴν πόλιν αὐτὴν τότε πρῶτον ἐν ἑαυτῇ λαβεῖν [a] ὀλιγανθρωπίας αἴσθησιν [b] ἡδίαν. ἦσαν γὰρ ἐλάττους τῶν ἀπιόντων οἱ μένοντες. ἐπεὶ δὲ προσιὼν ἠγγέλλετο, καὶ τὴν ἡμερότητα τῆς ἐντεύξεως αὐτοῦ τὴν πρὸς ἑκάστους ἐδήλουν οἱ [c] προελθόντες, ἅπαν ἤδη τὸ λοιπὸν πλῆθος ἅμα γυναιξὶ καὶ παισὶν ἐπὶ ταῖς παρόδοις [d] ἐξεδέχετο, καὶ καθ᾽ οὓς γένοιτο παριὼν πρὸς τὴν ἡδονὴν τῆς θέας καὶ τὸ μειλίχιον αὐτοῦ τῆς ὄψεως παντοίας ἠφίεσαν φωνάς, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον ἄξιον ἡγεμόνα τῆς Ῥώμης [e] ἀποκαλοῦντες. ἅπασα δ᾽ [f] ἡ πόλις ὡς ναὸς ἦν, στεφανωμάτων καὶ θυμιαμάτων ἀνάπλεως. μόλις δ᾽ ὑπὸ πλήθους τῶν περὶ αὐτὸν ἱσταμένων διωσθεὶς εἰς τὸ βασίλειον ἐλθεῖν, αὐτὸς μὲν [g] τοῖς ἔνδον θεοῖς, θυσίας τῆς ἀφίξεως χαριστηρίους ἐπετέλει. [h] τρέπεται δὲ τὰ πλήθη πρὸς εὐωχίαν, καὶ κατὰ φυλὰς, καὶ γένη, καὶ γειτονίας ποιούμενοι τὰς ἑστιάσεις, ηὔχοντο τῷ Θεῷ σπένδοντες, [i] αὐτόν τ᾽ ἐπὶ πλεῖστον χρόνον Οὐεσπασιανὸν ἐπιμεῖναι τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ παισὶν αὐτοῦ, καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γινομένοις, φυλαχθῆναι τὸ κράτος ἀνανταγώνιστον. ἡ μὲν [k] οὖν Ῥωμαίων πόλις, οὕτως Οὐεσπασιανὸν ἐνδεξαμένη προθύμως, εὐθὺς εἰς πολλὴν εὐδαιμονίαν ἐπεδίδου.

β. Πρὸ δὲ τούτων [l] ἔτι τῶν χρόνων, ἐν οἷς Οὐεσπασιανὸς μὲν περὶ Ἀλεξάνδρειαν ἦν, Τίτος δὲ τῇ τῶν Ἱεροσολύμων προσήδρευε πολιορκίᾳ, πολὺ μέρος Γερμανῶν ἐκινήθη πρὸς ἀπόστασιν, οἷς καὶ Γαλατῶν οἱ πλησίον [m] συμφρονήσαντες, κοινῇ μεγάλας ἐλπίδας αὐτοῖς συνέθεσαν, ὡς καὶ τῆς Ῥωμαίων ἀπαλλαξόμενοι δεσποτείας. ἐπῆρε δ᾽ αὐτοὺς Γερμανοὺς ἅψασθαι τῆς

ſianum enim, etiam cum longe abeſſet, omnes per Italiam homines, tanquam venientem, animo complectebantur, exſpectationem *illius* ex vehementi deſiderio pro adventu habentes, nullaque neceſſitate adacti ſuam erga ipſum benevolentiam præſtantes. Nam & ſenatus, memor calamitatum, quas ex principum mutatione acceperat, expetebat imperatorem ſuſcipere, ſenectutis gravitate bellicorumque geſtorum maturitate decoratum, cujus eminentiam ſolummodo ſubditis in ſalutem fore noverat. Quin & populus, malis inteſtinis attritus, magis adhuc ſtudebat ejus adventui: tunc fore exiſtimans ut à calamitatibus quidem pro certo liberaretur, ſecuritatem vero cum opulentia recepturum eſſe perſuaſus. At præcipue milites ad eum reſpiciebant; ut qui maxime bellorum ab eo præclare geſtorum magnitudinem cognoverant. imperitiam vero aliorum ducum atque ignaviam experti, magna quidem ſe turpitudine liberari expetebant; eum vero, qui ſe & ſervare & cohoneſtare ſolus poſſet, recipere precabantur. Cum autem tanta benevolentia eum proſequerentur omnes, viris quidem dignitatis eminentioris non amplius tolerandum erat *eum* exſpectare, ſed longiſſime à Roma prius ſe obviam ei dare properabant. Nec tamen aliorum quiſquam moras ejus conveniendi ferebat; ſed ita ſimul omnes effundebantur, & univerſis expeditius & facilius ire quam manere videbatur, ut etiam urbs ipſa tunc primum experiretur jucundam in ſe hominum infrequentiam. nam qui manebant pauciores erant abeuntibus. Ubi autem eum appropinquare nunciaretur, & humanum manſuetumque ejus cum ſingulis congreſſum indicarent ii qui præceſſerant, omnis jam reliqua multitudo cum conjugibus ac liberis ad viam eum excipiebant; & ad quos in tranſitu adveniſſet, iſti ad jucundum illius intuitum & blandum ejus aſpectum omne genus voces ediderunt, benefactorem, & ſervatorem, ſolumque qui Romæ imperet dignum appellantes. Tota vero civitas templi inſtar erat, ſertis atque odoribus plena. Cum autem vix per circumſtantem multitudinem in palatium venire potuiſſet, ipſe quidem Diis penatibus adventus ſui gratulatoria ſacra celebrabat. Vertunt autem ſe ad epulas turbæ, perque tribus & cognationes & vicinias convivia agitantes, cum libationibus Deum precabantur, ut & ipſi *Veſpaſiano*, functo longiſſima ſtatione mortali, imperium conſervaretur; utque filiis ejus eorumque poſteris nullis viribus expugnabilis maneret principatus. Et urbs quidem Romana, cum Veſpaſianum tanta alacritate excepiſſet, ſtatim in magnam felicitatem proficiebat.

Studium omnium ordinum erga Veſpaſianum.

Urbs deſeritur, civibus Veſpaſiano obviam euntibus.

2. Jam vero ante hæc tempora, quibus Veſpaſianus quidem apud Alexandriam erat, Titus vero Hieroſolymorum obſidioni incumbebat, magna pars Germanorum ad defectionem incitata eſt: quibuſcum etiam Gallorum proximi una conſpirantes, magnam in commune ſpem illis afferebant, fore ut Romanorum dominatu liberarentur. Ipſos autem Germanos ad defectionem mo-

XXIII. *Germani rebellant.*

t Πολεμικῶν κεκοσμημένον,] Ita *Big. Voſſ.* & *Ruf.* πολεμικῶς in *Editis Aliiſque.*
v Ὑπεροχὴν,] Eminentiam, faſtigium. Spanh.
x Τετρυχωμένος] Conf. ſupr. lib. 1. c. 14. §. 3. & Antt. l. 14. c. 14. §. 3. Spanh.
y Ὑπολαμβάνων,] Ὑπελάμβανον *Big.* ὑπελάμβανεν *Vat.* & *Bod.*
z Κατωρθωμένων αὐτῷ πολέμων,] *Al.* κατορθωμένων.
a Ὀλιγανθρωπίας] Conf. Antt. lib. XI. c. 5. §. 8. hominum penuriam. Spanh.
b Ἡδίαν.] Ita cum *Ruf.* ἰδίας *Voſſ.* ἰδίαν in *Editis Aliiſque.*
c Προελθόντες.] Ita *Big.* προσελθόντες in *cæteris.*
d Ἐξεδέχετο.] Ἐξεδέχοντο *Voſſ.*
e Ἀποκαλοῦντες.] Ἀνακαλοῦντες *Big.* & *Lipſ.* & *Ruf.*
f Ἡ πόλις ὡς—θυμιαμάτων ἀνάπλεως.] De Thebis Sophocl. Oed. Tyr. v. 4. πόλις δ᾽ ὁμοῦ μὲν θυμιαμάτων γέμει ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. Spanh.
g Τοῖς ἔνδον θεοῖς,] οἱ ἔνδον θεοί, Dii Penates; iidem θεοὶ *μύχιοι* Dionyſ. Halicarn. Antiq. lib. 1. p. 54.
h Τρέπεται δὲ τὰ πλήθη] Προτρέπεται *Bod. Lugd. Bat.* & *Ruf.*
i Αὐτόν τ᾽ ἐπὶ πλεῖστον] Αὐτόν τε πλεῖστον χρόνον *Big.*
k Οὖν Ῥωμαίων πόλις,] Illud οὖν non agnoſcit *Big.* nec legiſſe videtur *Ruf.*
l Ἔτι τῶν χρόνων,] Ἔτι deeſt *Big. Voſſ.* & *Ruf.*
m Συμφρονήσαντες,] Συμφρονοῦντες *Big.*

molirendam bellumque inferendum extulit natura quidem primo, bonis conſiliis vacua, & parva cum ſpe ad periclitandum projecta; deinde vero & odium adverſus dominantes, quoniam ſolis ſciunt gentem ſuam vi coactam ſervire Romanis. Veruntamen maxime omnium tempus eis fiduciam dedit. Nam cum viderent Romanorum imperium ex crebris imperatorum mutationibus inteſtina ſeditione turbatum, omnemque his ſubditam orbis terrarum partem pendere ac nutare inaudirent, hoc ſibi optimum tempus ex illorum rebus adverſis atque diſcordiis oblatum eſſe putaverunt. Hujus autem conſilii auctores erant, & hujuſmodi ſpe eos efferebant Claſſicus quidam & Vitellius, principes inter illos; quos olim quidem hoc rerum novarum deſiderio teneri manifeſtum erat, ea opportunitate autem ad audendum inducti, animi *ſui* ſententiam palam fecerunt: jamque multitudinis alacritate geſtientis periculum facturi erant. Verum cum magna pars Germanorum ad defectionem conſenſiſſet, & cæteri ab illis non diſſenſiſſent, Veſpaſianus, quaſi divina providentia, ad Petilium Cerealem, qui prius Germaniam imperio rexerat, literas mittit, quibus eum conſulem declaravit, juſſitque ad Britannias adminiſtrandas proficiſci. Igitur dum ille quò juſſus erat abire pararet, audita rebellione Germanorum, eos jam congregatos acie inſtructa adortus eſt, & magnum illorum numerum in pugna interficit, & ad ſobrietatem depoſita amentia compulit. Sed etiamſi ille ad ea loca non citius perveniſſet, tamen haud multo poſt ſupplicia erant luituri. Nam ut primum defectionis eorum nuncium acceperant Romæ, Domitianus Cæſar hoc audito, non ſicut alter illa in ætate (nam adoleſcentulus admodum erat) rem tantæ magnitudinis aggredi dubitabat: ſed à patre habens ingenitam fortitudinem, & ſupra ætatem exercitatus, illico in barbaros expeditionem faciebat. Illi vero, ad rumorem de incurſu conſternati, præ metu ſe ſubmiſerunt, lucrum *hoc ex ea re maximum* nacti, quod ſine clade *& calamitate* priſtino jugo ſubjicerentur. Omnibus itaque circa Galliam ita ut oportuit, à Domitiano ordinatis, ut non facile unquam res illic iterum turbarentur, clarus atque inſignis, rebus quidem præclare geſtis ætatem ſuperantibus, patris vero gloriæ convenientibus, Romam reverſus eſt.

Præcipue rebellionis auctores Claſſicus & Vitellius.

Petilius Cerealis Germanos comprimit.

Domitiani contra Germanos expeditio.

3. Simul autem iiſdem diebus cum ſupradicta Germanorum defectione fama Scythici auſûs ad Romanos perlata eſt. Nam qui è Scythis appellantur Sarmatæ, magna multitudine, clam quidem Iſtrum tranſgreſſi ſunt in Myſiam; deinde vero

Sarmatarum in provinciam Romanorum irruptio.

3. In ipſa quoque regia olim fuerat ruta mirandæ magnitudinis. à nulla enim ficu vel altitudine vel craſſitudine ſuperabatur. Ferebant etiam eam ab Herodis duraſſe temporibus, & longiſſimo forſan tempore manſiſſet: ſed à Judæis, qui locum illum occuparant, exciſa erat. Vallis autem, qua civitas à ſeptentrione cingitur, locus quidam Baaras appellatur, gignitque radicem ejuſdem nominis. Illa colore quidem flammæ aſſimulari viſa eſt, circa veſperam vero jubar quoddam ejaculari. Accedentibus eamque evellere cupientibus captu haud facilis eſt; ſed refugit, nec prius ſe ſiſtit, quam quis urinam mulieris aut ſanguinem menſtruum affuderit: ac tum iis qui eam attigerint indubia mors imminet, niſi quis forte illam ipſam radicem ferat de manu ſuſpenſam. Capitur etiam & alio modo ſine periculo, qui talis eſt. Undique eam circumfodiunt, ut radicis quam minimum terra tegatur: deinde canem ei alligant, qui cum eum, à quo ligatus eſt, comitari cupit, illa quidem facile evellitur, canis vero continuo moritur, tanquam vice ejus à quo herba tollenda erat traditus. Accipientibus vero eam pòſt nihil eſt metûs. Expetitur autem propter unam virtutem tantis periculis. Nam quæ dæmonia vocantur (hæc autem malorum hominum ſpiritus ſunt) & viventes intrant, eoſque necant quibus nihil auxilii præſto eſt, ipſa ſtatim, ſi modo ægrotantibus admoveatur, abigit. Fluunt autem ex eo loco aquarum quoque calidarum fontes, multum inter ſe ſapore diverſi. Nam alii quidem amari ſunt, alii vero nihil dulcedinis deſiderant. Multæ etiam aquarum frigidarum eruptiones non modo in humilioribus locis non longe à ſe invicem fiunt; ſed, quod amplius quis miretur, in proximo quædam ſpelunca cernitur, non quidem magnæ profunditatis, ſaxo autem prominente tecta. Super hoc duæ quaſi * mammæ eminent inter ſe paululum diſtantes; & ex altera quidem frigidiſſimus fons ſcaturit, altera vero calidiſſimum fundit: qui mixti lavacrum ſuaviſſimum præbent, morbis curandis, omnium vero maxime nervis roborandis idoneum. Habet etiam locus & ſulphuris & aluminis metalla.

Baaras planta, & mira de illa.

Δαιμόνια.

Mira aquarum.

4. Baſſus autem, caſtellum undique contemplatus, acceſſum parare ſtatuit, vallem orientalem terra aggeſta complens: operique ſe admovebat, properans quam celerrime aggeres erigere, perque eos facilem ad oppugnationem viam ſternere. Judæi autem qui intus erant obſeſſi, cum ſe à peregrinis ſeparaſſent, illos quidem inane vulgus eſſe exiſtimantes, in urbe inferiore manere coëgerunt ac pericula priores excipere. Superius autem caſtellum ipſi occupatum tenebant, & propter munitionis firmitatem, & ut ſaluti ſuæ conſulerent. impetraturos enim ſe veniam opinabantur,

Baſſus obſidet Machæruntem.

p Καὶ] Illud καὶ è Codd. MSS.

q Πήγανον,] E virgultis ſemper Ruta mirabilis & diuturna Majoris Græciæ & Siciliæ incolis. Vide *Salmas. Præf. de Homonym.* p. 4. *Ariſtoph.* Veſp. p. 462. οὐδ' ἐν [illegible] ἐν πηγάνῳ [illegible].

r Ἄξιον τοῦ μεγέθους θαυμάσαι.] Ἄξιον διὰ μέγεθος θαυμασθῆναι *Zonar.*

s Ἀπελείπετο.] ἐλείπετο *Ruff.*

t Βαάρας ὀνομάζεται] Βαας *Big.* & *Zonar.*

u Φύει τε] καὶ φύεται *L. B.*

x Ῥίζαν ὁμωνύμως λεγομένην] Vide *J. Bodæum à Stapel* in *Commentariis ad Theophraſti Hiſt. de Plantis*, p. 1043. & *Relandum in Palæſtina I.* p. 881.

y Αὕτη φλογὶ] Videſis *Lambecium* in Comm. de Bibb. *Vindob.* l. 2. c. 7. p. 566. Huds. Ideo Baaras dicitur: nam בער *Baar* eſt *arſit*. Rel.

z Τοῖς δ' ἐπιοῦσι καὶ] Τοῖς ἐπιοῦσι *Voſſ.* & *Vat.*

a Χέῃ κατ' αὐτῆς] Καταχέῃ αὐτῆς *Zonar.*

b Ἐπενεγκάμενος τὴν ῥίζαν] Ἀπενεγκάμενος *Zonar.*

c Ἀπηρτημένην.] ἀπηρτημένον *Ruff.*

d Φόβος δ' οὐδεὶς] Ita cum *Zonara*. antea erat φόβος γὰρ οὐδείς.

e Δαιμόνια,] Hic diſcimus quid Joſephus intellexerit per dæmoniacos, qui obſidentur a ſpiritibus hominum mortuorum & necantur, niſi juventur. Rel.

f Τυγχάνοντας,] Τυχόντας *Big.*

g Παραλλήλους ἔχουσιν] Παρ' ἀλλήλων *Voſſ.* παραλλήλως *Big.*

h Σπήλαιόν τι πλησίον] Antea erat σπήλαιον γάρ τι πλ. Verum γὰρ expunctum eſſe volui, quod non agnoſcatur à *Rufino*.

i Σκεπόμενον,] Σκεπαζόμενον *Big.*

k Πάντη περισκεψάμενος] Πάντη deeſt *Big.* & *Voſſ.*

l Καὶ τῶν ἔργων εἴχετο,] Καὶ τῶν ἄλλων ἔργων εἴχετο *Big.*

m Τὰ χώματα,] Τὸ χῶμα *Big.* & *Ruf.*

n Δι' αὐτῶν ῥᾳδίαν ποιῆσαι] Δι' αὐτοῦ *Big.*

o Οἱ δ' ἔνδον ἀπειλημμένοι τῶν] Οἱ δὲ ἐγκαταλελειμμένοι v. l. ἔνδον καὶ τῶν ξένων διακριθέντες *Zonar.*

p Καθ' ἑαυτοὺς] Καθ' αὐτοὺς *Big.*

q Καταλαβόντες εἶχον,] Καταλαμβάνοντες *Big.*

r Τεύξεσθαι γὰρ ἀφέσεως] Τεύξεσθαι *Big.*

* De voce μαστοὶ *mamma* vide Ill. *Spanhem.* ad *Callim.* pag. 559.

tur, ſi caſtellum Romanis traderent. Periculo autem facto prius volebant ſpem arguere, quam de obſidione declinanda habuerunt. ideoque alacri animo quotidianas eruptiones fecerunt; &, cum obviis congreſſi, multi quidem perierunt, Romanorum vero multos occiderunt. Semper autem utriſque plus victoriæ ex tempore tribuebatur: Judæis quidem cum minus cautos & imparatos adorirentur: in aggeribus autem poſitis, ſi proviſum excurſum eorum bene ſepti armis exciperent. Sed non is futurus erat obſidionis finis. Res autem quædam fortuita inopinatam caſtelli tradendi neceſſitatem impoſuit Judæis. *Elcazarus vir fortis capitur à Rufo.* Erat inter obſeſſos juvenis, audacia ferox, & manu ſtrenuus, nomine Eleazarus. is autem fuerat in excurſionibus conſpicuus, plurimoſque ut exirent & aggeris exſtructionem prohiberent hortari ſolebat, & in præliis multas graveſque Romanis clades inferebat. Quin & illis qui ſecum excurſiones facere audebant, primam quidem impreſſionem facilem, viam vero receptui tutam reddebat, noviſſimus recedendo. Aliquando autem prælio dirempto & utrinque diſceſſione facta, ille, tanquam deſpiciens *omnes*, & exiſtimans neminem tunc hoſtium ad prælium laceſſiturum eſſe *quemquam*, extra portas remanſit, & in muro ſtantes alloquebatur, omni cogitatione in illos defixus. Hanc autem opportunitatem animadvertit Rufus quidam Romanus miles, genere Ægyptius; &, cum nemo exſpectaret, ſubito accurrens illum cum ipſis armis ſublatum, dum hoc viſo ſtantes in muro ſtupor teneret, celeriter hominem in caſtra Romanorum transfert. Quem cum dux comprehenſum nudari præcepiſſet, & planiſſime conſpectui civium expoſitum flagris cædi juſſiſſet, vehementer Judæos confudit caſus adoleſcentis, & univerſa civitas ingemuit, majorque erat lamentatio quam pro unius viri calamitate. *Baſſi ſtratagema.* Quod ubi Baſſus animadvertit, adverſus hoſtes cœpit ſtratagema adhibere, cumque vellet eorum miſerationem ita augere, ut pro ſalute viri cogerentur caſtelli traditionem facere, de ſpe non decidit. Nam ipſe quidem crucem defigi ſtatuit, quaſi Eleazarum ſtatim ſuſpenſurus. Quo conſpecto, ii qui in caſtello erant, magis doluerunt, maximis ſuſpiriis editis, non ferendam eſſe calamitatem vociferantes. Tunc igitur Eleazarus eos rogabat, ne ipſum mortem miſerrimam ſubire finerent, & ſuæ ipſorum ſaluti conſulentes Romanorum viribus & fortunæ cederent, omnibus jam ſubactis. Illi autem, & Eleazari verbis fracti & multorum in caſtello pro eo deprecantium precibus (erat enim ex magna & populoſa familia) præter indolem ſuam miſericordiæ ceſſerunt: & quibuſdam ſtatim miſſis eos alloquebantur, ſe velle caſtelli deditionem facere, ſi accepto Eleazaro ſalvis *Machæruntis dedunt* diſcedere liceret. Quam conditionem ubi Ro-

εἰ τὸ χωρίον Ῥωμαίοις ἐγχειρίσειαν. πεῖραν δὲ πρότερον [s] ἐβούλοντο τὰς ὑπὲρ τοῦ [t] διαφεύξεσθαι τὴν πολιορκίαν ἐλπίδας ἐλέγξαι. διὰ τοῦτο καὶ προθύμως ἐποιοῦντο τὰς ἐξόδους ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς τυχοῦσι συμπλεκόμενοι, πολλοὶ μὲν ἔθνησκον, πολλοὺς δὲ τῶν Ῥωμαίων ἀνῄρουν. ἀεὶ δὲ τοῦ κρατεῖν ὁ καιρὸς ἐβράβευεν [u] ἑκατέροις τὸ πλέον. τοῖς μὲν Ἰουδαίοις, εἰ πρὸς [x] ἀφυλακτοτέρους προσπέσοιεν. τοῖς δὲ [y] ἐπὶ τῶν χωμάτων, [z] εἰ προειδόμενοι τὴν ἐκδρομὴν αὐτῶν δέχοιντο πεφραγμένοι. ἀλλ᾽ οὐκ ἐν τούτοις ἔμελλε γενήσεσθαι τὸ πέρας τῆς πολιορκίας. ἔργον δέ τι πραχθὲν [a] ἐκ συντυχίας παράλογον τὴν περὶ παραδόσεως τοῦ φρουρίου τὴν ἀνάγκην ἐπέστησε τοῖς Ἰουδαίοις. ἦν ἐν τοῖς πολιορκουμένοις νεανίας [b] τολμῆσαί τε θρασὺς καὶ κατὰ χεῖρα δραστήριος, Ἐλεάζαρος ὄνομα. ἐγεγόνει δ᾽ [c] οὗτος ἐν ταῖς ἐκδρομαῖς ἐπιφανής, τοὺς πολλοὺς ἐξιέναι καὶ κωλύειν τὴν χῶσιν παρακαλῶν, καὶ κατὰ τὰς μάχας πολλὰ καὶ δεινὰ τοὺς Ῥωμαίους διαθείς. τοῖς δὲ σὺν αὐτῷ τολμῶσιν ἐπεκτρέχειν ῥᾳδίαν μὲν τὴν προσβολὴν τιθέμενος, ἀκίνδυνον δὲ παρέχων τὴν ἀναχώρησιν, τῷ τελευταῖος [d] ἀπιέναι. καὶ δή ποτε τῆς μάχης διακριθείσης, καὶ γεγονυίας ἀμφοτέρων ἀναχωρήσεως, αὐτὸς ἅτε δὴ περιφρονῶν, καὶ νομίζων οὐκ ἂν ἔτι τῶν πολεμίων οὐδένα τότε μάχης ἄρξειν, μείνας τῶν πυλῶν ἔξω, τοῖς ἐπὶ τοῦ τείχους [e] διελάλει, καὶ πᾶς [f] πρὸς ἐκείνους τὴν διάνοιαν ἦν. [g] ὁρᾷ δὲ τὸν καιρὸν τοῦ Ῥωμαϊκοῦ τις στρατοπέδου Ῥοῦφος, γένος Αἰγύπτιος, καὶ μηδενὸς ἂν προσδοκήσαντος ἐξαίφνης ἐπιδραμών, [h] σὺν αὐτοῖς ἀράμενος αὐτὸν τοῖς ὅπλοις, ἕως κατεῖχε τοὺς ἀπὸ τῶν τειχῶν ἰδόντας ἔκπληξις, φθάνει τὸν ἄνδρα μεταθεὶς [i] πρὸς τὸ Ῥωμαίων στρατόπεδον. τοῦ δὲ στρατηγοῦ κελεύσαντος γυμνὸν διαλαβεῖν αὐτόν, καὶ [k] καταστήσαντας εἰς τὸ φανερώτατον τοῖς ἐκ τῆς πόλεως ἀποβλέπουσι μάστιξιν αἰκίζεσθαι, σφόδρα τοὺς Ἰουδαίους [l] τὸ περὶ τὸν νεανίαν πάθος συνέχεεν, [m] ἀθρόα δ᾽ ἡ πόλις ἀνῴμωξε, καὶ θρῆνος ἦν μείζων ἢ καθ᾽ ἑνὸς ἀνδρὸς συμφοράν. τοῦτο συνιδὼν ὁ Βάσσος [n] κατὰ τῶν πολεμίων ἀρχὴν ἐποιήσατο στρατηγήματος, καὶ βουληθεὶς αὐτῶν ἐπιτεῖναι τὸ περιαλγές, ἵνα βιασθῶσιν ἀντὶ τῆς σωτηρίας τἀνδρὸς ποιήσασθαι τοῦ φρουρίου παράδοσιν, τῆς ἐλπίδος οὐ διήμαρτεν. ὁ μὲν γὰρ προσέταξε [o] καταπήγνυσθαι σταυρόν, [p] ὡς αὐτίκα [q] κρεμῶν τὸν Ἐλεάζαρον. τοῖς δ᾽ ἀπὸ τοῦ φρουρίου τοῦτο θεασαμένοις ὀδύνη τε πλείων προσέπεσε, καὶ διαλύγιον ἀνῴμωζον, οὐκ ἀνασχετὸν εἶναι τὸ πάθος βοῶντες. ἐνταῦθα δὴ τοίνυν Ἐλεάζαρος ἱκέτευεν αὐτούς, μήτ᾽ αὐτὸν περιιδεῖν ὑπομείναντα [r] θάνατον τὸν οἴκτιστον, καὶ σφίσιν αὐτοῖς τὴν σωτηρίαν παρασχεῖν τῇ Ῥωμαίων εἴξαντας ἰσχύϊ καὶ τύχῃ, μετὰ πάντας ἤδη κεχειρωμένους. οἱ δέ, καὶ πρὸς τοὺς ἐκείνου λόγους κατακλώμενοι, καὶ πολλῶν ἔνδον ὑπὲρ αὐτοῦ δεομένων, ἦν γὰρ ἐκ μεγάλης καὶ σφόδρα πολυανθρώπου συγγενείας, παρὰ τὴν αὐτῶν φύσιν εἰς οἶκτον ἐνέδωκαν. καί τινας ἐξαποστείλαντες κατὰ τάχος, διελέγοντο ποιεῖσθαι τὴν παράδοσιν τοῦ φρουρίου, ἀξιοῦντες ἵνα ἀδεεῖς ἀπαλλάττωνται, κομισάμενοι τὸν Ἐλεάζαρον. δεξαμένων δὲ τῶν Ῥωμαίων

s Ἐβούλοντο τὰς ὑπὲρ] Ἐβούλευοντο Big. & Lugd. Bat. προεβούλευοντο Bod.

t Διαφεύξεσθαι τὴν πολιορκίαν] Διαφεύξεσθαι Big. & Vat.

u Ἑκατέροις τὸ πλέον] Ἐν ἑκατέροις Big.

x Ἀφυλακτοτέρους προσπέσοιεν] Ἀφυλακτοτέροις Big.

y Ἐπὶ τῶν χωμάτων,] Illud ἐπὶ adjectum eſſe volui è Codd. Big. Voſſ. & Bod.

z Εἰ προειδόμενοι τὴν] Ita Big. & Ruf. προειδομένοις εἰ τὴν in Editis Aliiſque. προειδόμενοι, εἰ τὴν L. B.

a Ἐκ συντυχίας παράλογον] Antea diſtinctum erat ἐκ συντυχίας παράλογον, τὴν παρ. ſequutus ſum Rufinum qui diſtinguit poſt συντυχίας, & non poſt παράλογον.

b Τολμῆσαι] Τόλμῃ τε θρ. Big. & Zonar.

c Οὗτος ἐν ταῖς ἐκδρομαῖς ἐπιφανής,] Αὐτὸς Big.

d Ἀπιέναι,] Ita Big. & Cocceius, ἀπιὼν in cæteris.

e Διελάλει,] Ὡμίλει Zonar.

f Πρὸς ἐκείνους] Πρὸς ἑαυτοὺς Big.

g Ὁρᾷ δὲ τὸν καιρὸν] Ita Big. Vat. Voſſ. Reſſ. & Ruf. ὁρᾷ δὲ αὐτὸν in cæteris.

h Σὺν αὐτοῖς ἀράμενος] Καὶ σὺν αὐτοῖς Voſſ.

i Πρὸς τὸ Ῥωμαίων στρατόπεδον.] Εἰς τὸ Ῥωμ. Big.

k Καταστήσαντας εἰς τὸ φανερώτατον] Ita in Editis & pleriſque MSS. καταστήσαντος Big.

l Τὸ περὶ τὸν νεανίαν πάθος συνέχεεν,] Τότε Big.

m Ἀθρόα δ᾽ ἡ πόλις] Ἀθρόα τε ἡ π. Big. & Vat.

n Κατὰ τῶν] Τὸ κατὰ τῶν Reſſ.

o Καταπήγνυσθαι σταυρὸν,] Ita Big. & Zonar. καταπηγνύειν in reliquis.

p Ὡς αὐτίκα] Sic Big. Voſſ. & Zonar. antea erat ἕως.

q Κρεμῶν τὸν Ἐλεάζαρον.] Κρεμῶντι Big. Κρεμάσων Zonar.

r Θάνατον τὸν οἴκτιστον,] Θανάτῳ Voſſ. & Vat.

μαίων καὶ τοῦ στρατηγοῦ ταῦτα, τὸ πλῆθος τὸ ἐν τῇ κάτω πόλει, τὴν γεγενημένην ἰδίᾳ τοῖς Ἰουδαίοις πυθόμενοι σύμβασιν, αὐτοὶ κατὰ νύκτα λαθόντες ἔγνωσαν ἀποδρᾶναι. τὰς πύλας δ' αὐτῶν ἀνοιξάντων, παρὰ τῶν τὴν ὁμολογίαν πεποιημένων πρὸς τὸν Βάσσον ἧκε μήνυσις, εἴτ' οὖν τῆς σωτηρίας [s] αὐτοῖς φθονησάντων, εἴτε [t] καὶ διὰ δέος μὴ τὴν αἰτίαν αὐτοὶ λάβωσι τῆς ἐκείνων ἀποδράσεως. οἱ μὲν οὖν ἀνδρειότατοι τῶν ἐξιόντων ἔφθασαν [v] διεκπαίσασθαι, καὶ [x] διέφυγον· τῶν δ' ἔνδον καταληφθέντων, ἄνδρες μὲν ἀνῃρέθησαν, ἐπὶ τοῖς χιλίοις ἑπτακόσιοι, γύναια δὲ καὶ παῖδες ἠνδραποδίσθησαν. τὰς δὲ πρὸς τοὺς παραδόντας τὸ φρούριον ὁμολογίας οἰόμενος δεῖν ὁ Βάσσος διαφυλάττειν, αὐτούς τ' ἀφίησι καὶ τὸν Ἐλεάζαρον ἀπέδωκεν.

ε'. Ταῦτα δὲ [y] διοικησάμενος, ἠπείγετο τὴν στρατιὰν ἄγειν ἐπὶ τὸν προσαγορευόμενον [z] Ἰάρδην [a] δρυμόν· πολλοὶ γὰρ εἰς αὐτὸν ἠγγέλθησαν ἠθροῖσθαι, τῶν κατὰ τὰς πολιορκίας πρότερον ἐκ Ἱεροσολύμων καὶ Μαχαιροῦντος ἀποδράντων. ἐλθὼν οὖν ἐπὶ τὸν τόπον, καὶ γνοὺς τὴν ἀγγελίαν οὐκ ἐψευσμένην, πρῶτον μὲν τοῖς ἱππεῦσιν ἅπαν κυκλοῦται τὸ χωρίον, ὅπως τοῖς [b] διεκπαίεσθαι τολμῶσι τῶν Ἰουδαίων ἄπορος ἡ φυγὴ [c] γίνηται διὰ τοὺς ἱππέας· τοὺς δὲ πεζοὺς [d] ἐκέλευσε δενδροτομεῖν τὴν ὕλην, εἰς ἣν καταπεφεύγεισαν. καθίσταται δὴ διὰ τοῦτο πρὸς ἀνάγκην οἱ Ἰουδαῖοι τοῦ δρᾶν τι γενναῖον, ὡς [e] ἐκπαραβόλως [f] ἀγωνισάμενοι τάχα ἂν καὶ διαφύγοιεν. ἀθρόοι δή, καὶ μετὰ βοῆς ἀΐξαντες, ἐνέπιπτον [g] τοῖς κεκυκλωμένοις. οἱ δ' αὐτοὺς ἐδέχοντο καρτερῶς, καὶ πολλῇ τῶν μὲν ἀπονοίᾳ, τῶν δὲ φιλονεικίᾳ χρωμένων, χρόνος μὲν οὐκ ὀλίγος διὰ τοῦτο τῇ μάχῃ προὔβη, τέλος δ' [h] αὐτοῖς οὐχ ὅμοιον ἀπέβη τοῖς ἀγωνισαμένοις. Ῥωμαίων μὲν γὰρ δώδεκα τοὺς πάντας συνέβη πεσεῖν, ὀλίγους τε τρωθῆναι· τῶν Ἰουδαίων δ' ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν, [i] ἀλλ' ὄντες οὐκ ἐλάττους τρισχιλίων πάντες ἀπέθανον, καὶ στρατηγὸς αὐτῶν Ἰούδας [k] ὁ [l] Ἰαείρου παῖς, περὶ οὗ πρότερον εἰρήκαμεν, ὅτι τάξεως ἡγεμὼν τινὸς ἐν τῇ πολιορκίᾳ τῶν Ἱεροσολύμων, κατά τινας διεξόδους τῶν ὑπονόμων ἔλαθεν [m] ἀποδράς.

ς'. Περὶ δὲ τὸν αὐτὸν καιρὸν ἐπέστειλε Καῖσαρ Βάσσῳ, καὶ Λιβερίῳ Μαξίμῳ, οὗτος δ' ἦν ἐπίτροπος, κελεύων [n] πᾶσαν γῆν ἀποδόσθαι τῶν Ἰουδαίων. οὐ γὰρ κατῴκισεν ἐκεῖ πόλιν, ἰδίαν [o] αὐτῷ τὴν χώραν φυλάττων· ὀκτακοσίοις δὲ μόνοις, ἀπὸ τῆς στρατιᾶς [p] διαφειμένοις, χωρίον ἔδωκεν εἰς κατοίκησιν, ὃ καλεῖται μὲν [q] Ἀμμαοῦς, ἀπέχει δὲ τῶν Ἱεροσολύμων σταδίους [r] ἑξήκοντα. φόρον δὲ τοῖς ὅπου δήποτ' οὖσιν Ἰουδαίοις [s] ἐπέβαλε, [t] δύο δραχμὰς ἕκαστον κελεύσας ἀνὰ πᾶν ἔτος εἰς τὸ Καπετώλιον φέρειν, ὥσπερ πρότερον εἰς

mani & dux *illorum* acceperant, qui inferiorem urbem magno numero tenebant, audita Judæorum privata pactione, ipſi clam nocte fugam capeſſere ſtatuerunt. Cum autem illi portas aperuiſſent, ab iis qui *cum Baſſo* pepigerant, ad Baſſum veniebat rei indicium, ſive quod illis inviderint, ſive metuerint ne ſi illi aufugerent ipſi crimen ſuſtinerent. Et fortiſſimi quidem exeuntium viam ſibi facere occupant & evaſerunt: ex iis vero, qui intus relicti erant, occiſi ſunt ad mille DCC, mulierculæ & pueri in ſervitium ducti. Sponſiones vero cum his factas, qui caſtellum dedere promittebant, Baſſus *religioſe* ſervandas ratus, & ipſos dimittit & Eleazarum reddidit. *[...] ſe pro ſalute Eleazari.*

5. His autem adminiſtratis, in ſaltum qui Jardes appellatur, exercitum ducere properabat; multi enim illic congregati eſſe nunciabantur, qui pridem tempore obſidionum ex Hieroſolymis & Machærunte profugerant. Ergo cum ad locum veniſſet, neque falſum fuiſſe nuncium comperiſſet, primo quidem locum equitibus undique circundat, ut Judæi, ſi qui perrumpere auderent, propter equites fugiendi copiam non haberent: pedites vero ſylvam ſuccidere juſſit, in quam confugerant. Hoc modo ad neceſſitatem adducti ſunt Judæi fortiter aliquid agendi, velut ex audaci certamine fortaſſe fugam etiam reperirent. Itaque conferti, & cum clamore impetu facto, in eos, à quibus cincti fuerant, irruunt. Illi autem fortiter eos excipiebant; multâque his quidem audacia, illis vero contentione uſis, non parum quidem temporis in pugna tractum eſt, ſed eventus ejus adverſis partibus non ex æquo reſpondit. Nam ex Romanis quidem duodecim tantum contigit occumbere, & non multos vulnerari: Judæorum vero ex illo prælio nullus evaſit; cumque non eſſent infra tria millia, omnes perierunt, unaque eorum dux Judas Jairi filius, de quo ſupra diximus, quòd ordinis cujuſdam ductor in Hieroſolymorum obſidione, cum quendam cuniculorum ſubiiſſet, clam effugerit.

XXVI. Saltus Jardes obſeſſus.

Obſeſſorum fortitudo.

Magna Judæorum, è ſaltu erumpentium, clades.

6. Eodem vero tempore Cæſar * ad Baſſum & Liberium Maximum ſcripſit (is enim procurator erat) jubens ut omnem Judæorum terram venderent. non enim civitatem in ea condidit, proprium ſervans ſibi eorum agrum: ſed octingentis duntaxat emeritis locum incolendum dedit, qui vocatur quidem Ammaus, diſtat autem ab Hieroſolymis † ſexaginta ſtadiis. Tributum vero Judæis ubicunque degentibus indixit, & quotannis binas quemque drachmas in Capitolium inferre juſſit, quemadmodum in

Judæam vendunt Lucilius Baſſus & Liberius Maximus procurator.

s Αὐτοῖς φθονησάντων,] Αὐτῶν Big.
t Καὶ διὰ δέος] Illud καὶ non agnoſcunt Voſſ. & Vat.
v Διεκπαίσασθαι,] Διεκπαίσασθαι Big. & Lugd. Bat. Vulgatum διεκπίσασθαι retinui, quod Suidas διεκπίσαντες interpretetur, διαδράντες, διεκδραμόντες, *qui per aliquem locum elapſi ſunt.* διεκπαίσειν Zonar. qua quidem voce uti & διεκπαίειν frequenter utitur *Joſephus*. confer *Suidam* in v. διεξέπεσε.
x Διέφυγον] διαφυγεῖν Big. Roſſ. & Voſſ.
y Διοικησάμενος,] Διαπραξάμενος Zonar.
z Ἰάρδην] Conf. ſup. de Ant. Jud. lib. VII. cap. 10. § 2. SPANH.
a Δρυμόν] i. e. Sylvam. SPANH.
b Διεκπαίεσθαι] διεκπαίεσθαι Gen. διεκπαίεσθαι ed. Baſil. (ut & L. B. & Roſſ.) *Athenæus* l. III. p. 100. E. è Dioxipp. τῶν ... SPANH.
c Γίνηται διὰ τοὺς ἱππέας] Ita Big. γένηται in cæteris.
d Ἐκέλευσε δενδροτομεῖν] Iterum cum Big. ἐκέλευε in reliquis.
e Ἐκπαραβόλως,] Ἐκ παραβόλου Big. & Vat. & Roſſ. in τοῦ παραβόλου Voſſ. ἐκ παραβόλου, ἐκ παρακινδυνεύματος Heſychius. SPANH.
f Ἀγωνισάμενοι τάχα ἂν καὶ διαφύγοιεν.] Ita lego ex Ruffini verſione. antea erat ἀγωνισάμενοι, τάχα ἂν καὶ διαφυγόντες ἀθρόοι δὴ καὶ &c.
g Τοῖς κεκυκλωμένοις,] Κυκλωσαμένοις αὐτοὺς Zonar.
h Αὐτοῖς οὐχ ὅμοιον] Αὐτοῖς Big. Vat. & Voſſ. αὐτῇ Zonar.

i Ἀλλ' ὄντες] Ἀλλ' ὄντες Big. & Zonar.
k Ὁ Ἰαείρου παῖς] Ita cum Ruf. & *Joſepho ipſo* l. VI. c. 8. § 4.
ὁ τοῦ Ἀρι παῖς Big. ὁ τοῦ Ἀρει παῖς in Editis Aliiſque.
l Ἰαείρου,] Ἀρεῖ Gen. Ἀρει L. B.
m Ἀποδράς,] ὑποδρὰς Roſſ.
n Πᾶσαν γῆν ἀποδόσθαι] Gen. πᾶσαν ἀποδ. ſed ſcribe π. γῆν ἀποδ. Ita Ed. Baſ. SPANH.
o Αὐτῷ τὴν χώραν φυλάττων] Ita Big. & Voſſ. αὐτῶν in Editis Aliiſque.
p Διαφειμένοις,] Sic Big. Voſſ. & Zonar. antea erat διαφειμένοις.
q Ἀμμαοῦς,] Alius ab eo loco, de quo *Luc.* XXIV. 13. HUDS. Hæc Emmaus eadem ac quæ Luc. 24. 13. memoratur. diſtincta eſt ab Emmaunte quæ Nicopolis fuit: de qua re alibi. REL.
r Ἑξήκοντα.] Τριακοντα Big. Bod. Voſſ. Roſſ. & Ruf. Vide *Lud. Cappellum* in *Spicilegio* ad *Luc.* c. XXIV. 13. HUDS. Ita & Lucas c. 24. 13. REL.
s Ἐπέβαλε,] Ἐπέταξε Zonar.
t Δύο δραχμὰς] Id eſt ſemiſiclum, nam δίδραχμον pendebat unuſquiſque Judæus quotannis & in Templum Hieroſ. inferebatur. REL.

* Ad Baſſum & Liberium] Excluſi à *Gelen.* SPANH.
† Sexaginta ſtadiis.] *Triginta ſtadiis Gelen.* Quem interpretis errorem tangit etiam Bochart. de Col. Ph. p. 898. SPANH.

in templum Hieroſolymitanum prius conferebant. Et res quidem Judæorum illo tempore hunc ſtatum habebant.

τῷ ἐν Ἱεροσολύμοις ναῷ συνετέλουν. καὶ τὰ μὲν Ἰουδαίων τότε τοιαύτην εἶχε κατάστασιν.

XXVII.

CAP. VII.

De calamitate Antiochi regis Commagenorum. deque Alanis, qui mala multa Medis & Armenis intulerunt.

ΚΕΦ. ζ'.

Περὶ συμφορᾶς Ἀντιόχου τοῦ Κομμαγηνῶν βασιλέως. περί τε τῶν Ἀλανῶν, οἳ κακὰ πολλὰ διεπράξαντο Μήδους τε καὶ Ἀρμένιους.

Antiochus rex Commagenes.

JAM vero quarto anno imperii Veſpaſiani, accidit ut Antiochus rex Commagenes in maximas clades cum tota domo incideret, ex cauſa hujuſmodi. Cæſennius Pætus, tunc Syriæ præſes conſtitutus, ſive vera dicens, ſive propter inimicitias inter ipſum & Antiochum (nam liquido res non conſtabat) literas ad Cæſarem miſit, indicans „ Antiochum cum filio Epiphane decreviſſe à Romanis defectionem facere, pactione inita cum rege Parthorum: propterea que oportere illos ante capere, ne, ſi priores novas res adorti eſſent, totum Romanorum imperium bello perturbarent. * Non debere autem Cæſarem hujuſmodi nuncium ad ſe perlatum negligere. nam vicinitas regum faciebat, ut negotium majori cura dignum haberetur. quippe Samoſata, Commagenes maximam civitatem, ad Euphratem ſita eſſe, adeoque Parthis (ſi quid ejuſmodi cogitaverint) facillimum quidem tranſitum eſſe, tutum vero receptaculum." Fide igitur habita Pæto, ac poteſtate ipſi facta agendi quod expedire videretur, nihil cunctatus eſt: verum derepente, Antiocho ſuiſque nihil tale exſpectantibus, ingreſſus eſt Commagenem, ex legionibus quidem ſextam ducens, & inſuper quaſdam cohortes alaſque equitum. Quin & auxilio ei erant reges, † Chalcidicæ quidem dictæ, Ariſtobulus, Emeſæ vero Soëmus nomine. Introitus autem illis erat ſine certamine. nam indigenarum nemo volebat lacertos contra movere. Antiochus autem, inſperato accepto nuncio, de bello quidem adverſus Romanos nequiit animum ad cogitandum inducere: decrevit autem, toto regno in eo quo erat ſtatu relicto, cum conjuge ac liberis egredi; hoc facto ſe Romanis purum à ſuſpicione criminis ſibi illati probaturum eſſe ratus. Cumque ex ‡ urbe egreſſus eſſet centum & triginta ſtadiis in planiciem, illic tabernaculum poſuit.

Expeditio Pæti in Commagenem.

Antiochi regis fuga miſerabilis.

Pætus occupat Samoſata.

2. Pætus autem *de ſuis aliquot* ad Samoſata quidem occupanda mittit, & per eos civitatem tenebat: ille vero cum aliis copiis Antiochum verſus contendebat. Non tamen rex vel ipſe neceſſitate adductus eſt adverſus Romanos aliquid bellicum gerere; ſed de fortuna ſua querens quicquid oporteret pati ſuſtinuit: filiis autem ejus, adoleſcentibus, bellique peritis, & corporis robore præſtantibus, haud facile erat ſine pugna calamitatem perferre. Itaque ad dimicandum ſe conferebant Epiphanes & Callinicus. Vehementi autem

ΗΔΗ [w] δ' ἔτος τέταρτον Οὐεσπασιανοῦ διέποντος τὴν ἡγεμονίαν, συνέβη τὸν βασιλέα τῆς [x] Κομμαγηνῆς Ἀντίοχον μεγάλαις συμφοραῖς [y] πανοικεσίᾳ περιπεσεῖν, ἀπὸ τοιαύτης αἰτίας. [z] Καισέννιος Παῖτος, ὁ τῆς Συρίας ἡγεμὼν τότε καθεστηκώς, εἴτ' οὖν ἀλήθειαν, εἴτε καὶ διὰ τὴν πρὸς Ἀντίοχον ἔχθραν, οὐ σφόδρα γὰρ τὸ σαφὲς ἠλέγχθη, γράμματα πρὸς Καίσαρα διεπέμψατο, λέγων „ τὸν Ἀντίοχον μετὰ τοῦ παιδὸς Ἐπιφανοῦς διεγνωκέναι Ῥωμαίων ἀφίστασθαι, συνθήκας πρὸς τὸν βασιλέα [a] τῶν Πάρθων πεποιημένον· δεῖν οὖν προκαταλαβεῖν αὐτούς, μὴ φθάσαντες τῶν πραγμάτων ἄρξασθαι πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πολέμῳ συνταράξωσιν. ἔμελλε δὲ Καῖσαρ τοιούτου μηνύματος αὐτῷ προσπεσόντος μὴ περιορᾶν· καὶ γὰρ ἡ γειτνίασις τῶν βασιλέων ἐποίει τὸ πρᾶγμα μείζονος ἄξιον προνοίας. τὰ γὰρ [b] Σαμόσατα, τῆς Κομμαγηνῆς μεγίστη πόλις, κεῖται παρὰ τὸν Εὐφράτην, ὥστ' εἶναι τοῖς Πάρθοις, εἴ τι [c] τοιοῦτον διενενόηντο, ῥᾴστην μὲν τὴν διάβασιν, βεβαίαν δὲ τὴν ὑποδοχήν." πιστευθεὶς οὖν [d] ὁ Παῖτος, καὶ λαβὼν ἐξουσίαν πράττειν ἃ δοκεῖ συμφέρειν, οὐκ ἐμέλλησεν· ἐξαίφνης δὲ τῶν περὶ τὸν Ἀντίοχον οὐδὲ προσδοκώντων, εἰς τὴν Κομμαγηνὴν ἐνέβαλε, τῶν μὲν ταγμάτων ἄγων τὸ ἕκτον, καὶ πρὸς τοῦτο λόχους καί τινας ἴλας ἱππέων. συνεμάχουν δὲ καὶ βασιλεῖς αὐτῷ, τῆς μὲν Χαλκιδικῆς λεγομένης Ἀριστόβουλος, τῆς Ἐμέσης δὲ καλούμενος [e] Σόεμος. ἦν δ' αὐτοῖς τὰ περὶ τὴν εἰσβολὴν ἀνανταγώνιστα. τῶν γὰρ κατὰ τὴν χώραν οὐδεὶς ἤθελε χεῖρας ἀνταίρειν. Ἀντίοχος δέ, [f] ἀγγελίας ἀδοκήτως προσπεσούσης, πολέμου μὲν οὐδ' ἐπίνοιαν πρὸς Ῥωμαίους ἔσπασεν· ἔγνω δέ, πᾶσαν τὴν βασιλείαν ὡς εἶχεν ἐπὶ σχήματος καταλιπών, μετὰ γυναικὸς καὶ τέκνων ὑπεξελθεῖν, οὕτως ἂν οἰόμενος καθαρὸν Ῥωμαίοις [g] ἑαυτὸν ἀποδεῖξαι τῆς ἐπενηνεγμένης αἰτίας. καὶ προελθὼν ἀπὸ τῆς [h] πόλεως ἑκατὸν [i] σταδίους πρὸς τοῖς εἴκοσιν εἰς τὸ πεδίον, ἐν αὐτῷ καταυλίζεται.

β'. Παῖτος δ' ἐπὶ μὲν τὰ Σαμόσατα τοὺς καταληψομένους ἀποστέλλει, καὶ δι' ἐκείνων εἶχε τὴν πόλιν· αὐτὸς δὲ μετὰ τῆς ἄλλης δυνάμεως ἐπ' Ἀντίοχον ἐποιεῖτο τὴν ὁρμήν. οὐ μὴν ὁ βασιλεὺς οὐδ' ὑπὸ τῆς ἀνάγκης προήχθη πρᾶξαί τι πρὸς Ῥωμαίους πολεμικόν, ἀλλὰ τὴν αὑτοῦ τύχην ὀδυρόμενος ὅτι δέοι παθεῖν ὑπέμενεν· νέοις δέ, καὶ πολέμων ἐμπείροις, καὶ ῥώμῃ σωμάτων διαφέρουσιν, οὐ ῥᾴδιον ἦν τοῖς παισὶν αὐτοῦ τὴν συμφορὰν ἀμαχεὶ καρτερεῖν. τρέπονται οὖν πρὸς ἀλκὴν Ἐπιφανής τε καὶ Καλλίνικος. σφοδρᾶς δὲ τῆς μά-

w Δ' ἔτος] δὲ καὶ ἔτος L. B. & Ruf.
x Κομμαγηνῆς Ἀντίοχον] Conf. Antt. lib. 18. c. 3. §. 5. Spanh.
y Πανοικεσίᾳ] Conf. Antt. lib. 19. c. 2. §. 2. Spanh.
z Καισέννιος Παῖτος,] Κεσέννιος Πετος Gen. Vel Καισ. Παῖτος supr. c. 3. §. 4. Spanh.
a Τῶν Πάρθων] Τῶν abest a L. B.
b Σαμόσατα, τῆς Κομμαγηνῆς] Nummi ΦΛΑ. CAMO. MHTPO. KOM. Spanh.
c Τοιοῦτον διενενόηντο,] Ταῦτα Big.
d Ὁ Παῖτος,] Ita Big. articulus deest aliis.
e Σόεμος,] Σόαιμος Big.
f Ἀγγελίας ἀδοκήτως προσπεσούσης,] Τῆς ἀγγελίας Big. Lugd. Bat. & Vat.
g Ἑαυτὸν ἀποδεῖξαι] Αὐτὸν Big. & Vat.
h Πόλεως] Nempe *Samoſatis*. Spanh.
i Σταδίους] Σταδίοις Big. & Voſſ.

* Non erat autem Cæſar hujuſmodi nuncium neglecturus, *Ruf.*
† Chalcidicæ Ariſtobulum, Emeſæque Sohemum, *Ruf.*
‡ Urbe] Nempe *Samoſatis*. Spanh.

ὁ Πα-

μάχης καὶ παρ' ὅλην τὴν ἡμέραν γενομένης, αὐτοὶ τὴν ἀνδρείαν διαπρεπῆ [k] παρέσχον, καὶ μηδὲν ἐλαττωθεῖσαν τῇ σφετέρᾳ δυνάμει, [l] ἑσπέρας διελύθησαν. Ἀντιόχῳ δ' οὐδ' ἐπὶ τῇ μάχῃ τοῦτον [m] κεχωρηκυίᾳ τὸν τρόπον, μένειν ἀνεκτὸν [n] ἐδόκει· λαβὼν δὲ τὴν γυναῖκα [o] καὶ τὰς θυγατέρας, μετ' ἐκείνων ἐποιεῖτο φυγὴν εἰς Κιλικίαν, καὶ τοῦτο πράξας τὰ φρονήματα τῶν οἰκείων στρατιωτῶν κατέκλασεν. ὡς γὰρ [p] ἀπεγνωσμένης ὑπ' αὐτοῦ τῆς βασιλείας ἀπέστησαν, καὶ πρὸς τοὺς Ῥωμαίους μετεβάλλοντο, καὶ [q] πάντων πρόδηλος ἦν ἀπόγνωσις. πρὶν οὖν [r] τελείως [s] ἐρημωθῆναι τῶν συμμάχων, τοῖς περὶ τὸν Ἐπιφανῆ σώζειν αὐτοὺς ἐκ τῶν πολεμίων ἦν ἀναγκαῖον. καὶ γίνονται δέκα σύμπαντες ἱππεῖς οἱ μετ' αὐτοῦ τὸν Εὐφράτην [t] διαβάντες, ὅθεν ἤδη μετ' ἀδείας πρὸς τὸν βασιλέα τῶν Πάρθων [v] Βολογέσην κομισθέντες, οὐχ ὡς φυγάδες ὑπερηφανήθησαν, ἀλλ' ὡς ἔτι τὴν παλαιὰν ἔχοντες εὐδαιμονίαν, πάσης τιμῆς ἠξιώθησαν.

γ'. Ἀντιόχῳ δὲ εἰς Ταρσὸν ἀφιγμένῳ τῆς Κιλικίας, ἑκατοντάρχην [x] Παῖτος [y] ἐπιπέμψας, δεδεμένον αὐτὸν εἰς Ῥώμην ἀπέστειλεν. Οὐεσπασιανὸς δ' οὐχ ὑπέμεινεν οὕτω πρὸς αὐτὸν ἀναχθῆναι τὸν βασιλέα, τῆς παλαιᾶς ἀξιῶν φιλίας μᾶλλον αἰδῶ λαβεῖν, ἢ διὰ τὴν τοῦ πολέμου πρόφασιν ἀπαραίτητον ὀργὴν διαφυλάττειν. κελεύει δὴ καθ' ὁδὸν [z] ἔτ' ὄντος αὐτοῦ τῶν δεσμῶν [a] ἀφαιρεθέντα, καὶ παρέντα τὴν [b] εἰς τὴν Ῥώμην ἄφιξιν, τὸ νῦν ἐν Λακεδαίμονι διάγειν· [c] δίδωσί τε μεγάλας αὐτῷ προσόδους χρημάτων, ὅπως μὴ μόνον ἄφθονον ἀλλὰ καὶ βασιλικὴν ἔχοι τὴν δίαιταν. ταῦτα τοῖς περὶ τὸν Ἐπιφανῆ πυθομένοις, πρότερον σφόδρα περὶ τοῦ πατρὸς δεδιόσιν, [d] ἀνέθησαν αἱ ψυχαὶ μεγάλης καὶ δυσδιαθέτου φροντίδος. ἐλπὶς δὲ καὶ αὐτοῖς τῶν παρὰ Καίσαρος διαλλαγῶν [e] ἐγένετο, Βολογέσου περὶ αὐτῶν ἐπιστείλαντος. οὐδὲ γὰρ εὐδαιμονοῦντες ὑπέμενον ἔξω τῆς Ῥωμαίων ζῆν ἡγεμονίας. δόντος δὲ Καίσαρος ἡμέρως αὐτοῖς τὴν ἄδειαν, εἰς Ῥώμην παρεγένοντο, τοῦ τε πατρὸς ὡς αὐτοὺς ἐκ τῆς Λακεδαίμονος εὐθὺς ἐλθόντος, πάσης ἀξιούμενοι τιμῆς κατέμενον ἐνταῦθα.

δ'. Τὸ δὲ τῶν Ἀλανῶν ἔθνος, ὅτι μέν εἰσι Σκύθαι περὶ τὸν Τάναϊν καὶ τὴν Μαιῶτιν λίμνην κατοικοῦντες [f] πρότερον δήπου δεδηλώκαμεν, κατὰ τούτους δὲ τοὺς χρόνους διανοηθέντες εἰς τὴν [g] Μηδίαν, καὶ προσωτέρω ταύτης ἔτι καθ' ἁρπαγὴν [h] ἐμβαλεῖν, τῷ βασιλεῖ τῶν Ὑρκανῶν διαλέγονται· τῆς παρόδου γὰρ οὗτος δεσπότης ἐστίν, ἣν ὁ βασιλεὺς Ἀλέξανδρος πύλαις σιδηραῖς κλειστὴν ἐποίησε. κἀκείνου τὴν εἴσοδον αὐτοῖς παρασχόντος, ἀθρόοι καὶ μηδὲν προϋποπτεύουσι τοῖς Μήδοις ἐπιπεσόντες, χώραν πολυάνθρωπον καὶ παντοίων ἀνάμεστον βοσκημάτων διήρπαζον, [i] μηδενὸς αὐτοῖς τολμῶντος ἀνθίστασθαι. καὶ γὰρ ὁ βασιλεύων τῆς χώρας Πάκορος ὑπὸ δέους εἰς τὰς δυσχωρίας ἀναφυγών, τῶν μὲν ἄλλων ἁπάντων παρακεχω-

pugna & per totum diem habita, ipſi ſe fortitudine conſpicuos præſtabant; nullaque parte ſuarum copiarum imminuta, nocte appetente diremptum eſt prælium. Antiocho vero neque pugna hoc modo finita ferendum videbatur ut maneret; ſed ſumpta conjuge cum filiabus, illis eum comitantibus in Ciliciam fugit. atque hoc facto militum ſuorum animos fregit. nam veluti deſperato ab eo regno defecere, & Romanis ſe dediderunt, atque ab omnibus palam deſperatum erat. itaque prius quam penitus deſtituerentur auxiliis, Epiphani cum ſuis ſervare ſe ex hoſtibus erat neceſſarium. atque omnes erant equites *numero* decem, qui cum eo Euphratem tranſgreſſi, atque inde ſine metu profecti ad Vologeſem regem Parthorum, non quaſi profugi deſpectui erant; ſed, haud ſecus ac ſi priſtinam felicitatem adhuc retinuiſſent, omni honore digni cenſebantur.

Epiphanes cum [illegible] ad pugnam ſe comparant.

Antiochus fugit in Ciliciam.

Epiphanes fugit ad Parthorum regem.

3. Antiochum vero ipſum, ubi Tarſum Ciliciæ venit, miſſo centurione Pætus vinctum Romam mittendum curavit. Veſpaſianus autem ita regem ad ſe deduci non paſſus eſt, ad veterem amicitiam potius reſpectum habere æquum cenſens, quam belli occaſione inexorabilem iracundiam ſervare. Itaque jubet ei iter agenti auferri vincula, intermiſſaque interim profectione ad Romam, in præſens apud Lacedæmonem degere: magnos etiam ei pecuniæ reditus dat; ut victus non modo largus ei ſuppeditaretur, ſed & regius *& magnificus*. Ubi Epiphanes & qui cum eo erant iſta acceperant, qui patri ante valde metuebant, liberati erant magna & difficili mentis anxietate & ſolicitudine. inſuper & ſpem conceperunt redeundi in gratiam cum Cæſare, cum Vologeſes de illis literas ſcripſiſſet: nec enim quamvis feliciter agerent, extra Romanum imperium vivere ſuſtinebant. Cumque Cæſar illis humaniter ſecuritatem dediſſet, Romam ſe contulerunt; patreque ad eos ex Lacedæmone ſtatim advecto, omni honore excepti illic manebant.

Veſpaſiani humanitas in Antiochum regem captivum.

4. Alanorum autem gens, quod quidem Scythæ ſint, juxta flumen Tanaim & paludem Mæotidem ſedes habentes, alicubi jam ante memoravimus; his vero temporibus molientes in Mediam & ulterius prædandi cauſa penetrare, cum rege Hyrcanorum colloquuntur. is enim eſt tranſitûs *illius* dominus, quem rex Alexander portis ferreis muniverat. Cumque is aditum iſtis aperuiſſet, conſertim Medos, nihil tale ſuſpicantes, adorti, regionem virorum plenam & omne genus pecore abundantem diripiebant, nemine illis audente reſiſtere. etenim Pacorus qui *tum* iſti regioni imperabat, in loca difficiliora præ metu ſe recipiens,

Alani.

Hyrcaniæ clauſtra & fores ferreæ.

Pacorus rex Medorum.

k Παρέσχον,] Παρεῖχον Big. & Voſſ.
l Ἑσπέρας διελύθησαν.] Ἑσπέρᾳ Big. & Voſſ.
m Κεχωρηκυίᾳ τὸν τρόπον,] Ita Big. Vat. & Voſſ. κεχωρηκὼς in Editis Aliiſque.
n Ἐδόκει.] Hic jam deſinit præſtantiſſimus Cod. Lugd. Bat. Ita ut verba λαβὼν δὲ τ. γ. manu recentiori (neque plura) ſint adſcripta in nova pagina, ſed quæ conſtat ex ſimili charta, qua totus liber, atque prioribus etiam pagellis adhæret, ut appareat, numquam in hoc exemplari plura exſtitiſſe, neque illa quæ reſtant unquam adjecta codici huic fuiſſe. Hav.
o Καὶ τὰς θυγατέρας,] καὶ τοὺς παῖδας Ruf.
p Ἀπεγνωσμένης] καταγνωσμένης Ruf.
q Πάντων] τοῦτο Ruf.
r Τελείως] Ita Big. Vat. & Voſſ. τελείους in Editis Aliiſque.
s Ἐρημωθῆναι] ἐξερημωθῆναι Ruf.
t Διαβάντες,] Sic Big. & Voſſ. antea erat διαβαίνοντες.
v Βολογέσην] Al. Οὐολογέσην & Οὐολόγησον.
x Παῖτος] Gen. ubique Παιτ-.
y Ἐπιπέμψας,] Ἀποπέμψας Big. & Voſſ.

z Ἐτ' ὄντος αὐτοῦ τῶν δεσμῶν] Illud ἔτ' non agnoſcunt Big. & Voſſ.
a Ἀφαιρεθέντα,] Ἀφαιρεθῆναι Big. & Voſſ.
b Εἰς τὴν Ῥώμην ἄφιξιν,] Εἰς Ῥώμην Big.
c Δίδωσί τε μεγάλας αὐτῷ προσόδους] Δίδωσι δὲ μεγ. Big. & Voſſ.
d Ἀνέθησαν αἱ ψυχαί] Ἀνέθησαν Big. & Voſſ.
e Ἐγένετο, Βολογέσου περὶ αὐτῶν ἐπιστείλαντος] Ἐγένετο. Βολογέσου δὲ καὶ π. legiſſe videtur Ruf. qui vertit. *Cum autem etiam Vologeſes de his ſcripſiſſet — & tum Cæſar* &c.
f Πρότερον δήπου δεδηλώκαμεν,] Πρότερον δὲ δεδ. Big. & Voſſ. πρότερον που προεδηλ. Bod.
g Μηδίαν,] Ita cum Big. & Voſſ. Strabone Aliiſque. Μηδαίαν in Joſephi.
h Ἐμβαλεῖν,] Ἐμβάλλειν Big. & Voſſ.
i Μηδενὸς αὐτοῖς τολμῶντος ἀνθίστασθαι.] Μηδένα αὐτοῖς ἀνθιστάμενον Bod. & Ruf. μηδενὸς τολμῶντος αὐτοῖς ἀντίστασθαι in Editis Aliiſque.

piens, cæteris quidem omnibus ceſſerat: vix autem ab illis conjugem ac concubinas ſuas captas, datis centum talentis redemit. Magna ergo facilitate & ſine pugna rapinas exercentes, uſque ad Armeniam vaſtantes omnia proceſſere. Ejus autem Teridates rex erat, qui cum illis obviam iviſſet pugnamque commiſiſſet, parum aberat quin vivus in illo conflictu caperetur. procul enim quidam *miſſo in eum* laqueo circundatum tracturus erat, niſi celeriter gladio abſcidiſſet funem, & fugere occupaſſet. Illi autem, pugna multo magis efferati, terram quidem depopulati ſunt: magnam vero hominum multitudinem, aliamque abigentes prædam ex utroque regno, iterum domum ſuam ſe receperunt.

Teridates rex Armeniæ.

ρικῇ, μόλις δὲ παρ' αὐτῶν ἐῤῥύσατο τήν τε γυναῖκα καὶ τὰς παλλακὰς αἰχμαλώτους γενομένας ἑκατὸν δοὺς τάλαντα. μετὰ πολλῆς οὖν ῥᾳστώνης ἀμαχεὶ ποιούμενοι τὰς ἁρπαγὰς, μέχρι τῆς Ἀρμενίας [k] προῆλθον, πάντα λεηλατοῦντες. [l] Τηριδάτης δ' αὐτῆς ἐβασίλευεν, ὃς ὑπαντιάσας αὐτοῖς, καὶ ποιησάμενος μάχην, παρὰ μικρὸν ἦλθεν ἐπ' αὐτῆς ζωὸς ἁλῶναι τῆς παρατάξεως. βρόχον γὰρ αὐτῷ τις πόῤῥωθεν [m] περιβαλὼν ἔμελλεν ἐπισπάσειν, εἰ μὴ τῷ ξίφει θᾶττον ἐκεῖνος τὸν τόνον κόψας, ἔφθη [n] διαφυγεῖν. οἱ δὲ, καὶ διὰ τὴν μάχην ἔτι μᾶλλον ἀγριωθέντες, τὴν μὲν χώραν ἐλυμήναντο· πολὺ δὲ πλῆθος ἀνθρώπων, καὶ τῆς ἄλλης λείας ἄγοντες ἐξ ἀμφοῖν τῶν βασιλειῶν, πάλιν εἰς τὴν [o] οἰκείαν ἐκομίσθησαν.

XXVIII.

CAP. VIII.

De Maſada & ſicariis qui eam occupaverant. & quomodo Silva ad caſtelli oppugnationem ſe convertebat. Eleazari concio.

ΚΕΦ. η'.

Περὶ Μασάδας καὶ τῶν αὐτὴν κατασχόντων σικαρίων· καὶ ὅπως Σίλβας εἰς τὴν φρουρίου πολιορκίαν ἐτράπετο. Ἐλεαζάρου δημηγορία.

Flavius Silva legatus.

DEfuncto autem Baſſo in Judæa, Flavius Silva præfecturam ſuſcipit: & cæteram quidem *terram* omnem bello ſubactam videns, unum vero adhuc caſtellum in defectione perſiſtere, univerſis iſtorum locorum copiis collectis eas in illud eduxit. Caſtellum autem appellatur quidem Maſada, ei vero præerat vir potens ſicariorum à quibus occupatum fuerat, *nomine* Eleazarus, è poſteris Judæ, qui Judæorum non paucis perſuaſerat, ut ante diximus, ne cenſum agi ſinerent, quando Quirinius cenſitor in Judæam miſſus eſt. Tunc enim ſicarii conſpirarunt in eos, qui Romanis dicto audientes eſſe volebant, omnique modo his quaſi hoſtibus utebantur, diripiendo quidem & abigendo eorum bona, ignem vero domibus eorum injiciendo. Nihil enim illos ab alienigenis differre dicebant, qui libertatem à Judæis * magnopere expetendam ita degeneres prodiderunt, profeſſique ſunt ſe malle Romanis in ſervitutem ſe tradere. Erat autem *totum* hoc plane prætextus, ac dicebatur ab iis ut crudelitatem atque avaritiam ſuam tegerent. id quod rebus ipſis palam fecerunt. Nam iſti quidem & defectionis cum illis ſocii erant, & belli adverſus Romanos participes; facinora vero auſi ſunt in Romanos pejora *quam alii.* cumque convicti eſſent mendacii ex iis quæ antea præ ſe ferebant, multo magis eos male tractabant, qui nequitiam illis juſta ſui defenſione exprobrabant. Erat enim quodammodo illud tempus omne genus ſceleris apud Judæos fœcundiſſimum; ut nullum malitiæ negotium infectum relinqueretur; neque ſi quis cogitatione aliquid ſibi fingere voluiſſet, novi quidpiam invenire potuerit. Ita & privatim & communiter omnes vitio laborarunt, & exſuperare alius

Maſada receptaculum Sicariorum, quorum dux Eleazarus.

Sicariorum facinora.

Ilias malorum in Judæa.

ΕΠΙ δὲ τῆς Ἰουδαίας Βάσσου τελευτήσαντος, [p] Φλαούιος Σίλβας διαδέχεται τὴν ἡγεμονίαν· καὶ τὴν μὲν ἄλλην ἅπασαν ὁρῶν τῷ πολέμῳ κεχειρωμένην, ἓν δὲ μόνον ἔτι φρούριον ἀφεστηκὸς, ἐστράτευσεν ἐπὶ τοῦτο πᾶσαν [q] τὴν ἐν τοῖς τόποις δύναμιν συναγαγών. καλεῖται δὲ τὸ μὲν φρούριον Μασάδα, προειστήκει δὲ τῶν κατειληφότων αὐτὸ σικαρίων δυνατὸς ἀνὴρ Ἐλεάζαρος, ἀπόγονος Ἰούδα τοῦ πείσαντος Ἰουδαίους οὐκ ὀλίγους, ὡς [r] πρότερον δεδηλώκαμεν, μὴ [s] ποιεῖσθαι [t] τὰς ἀπογραφὰς, [v] ὅτε Κυρήνιος τιμητὴς εἰς τὴν Ἰουδαίαν ἐπέμφθη. τότε γὰρ οἱ σικάριοι συνέστησαν ἐπὶ τοὺς ὑπακούειν Ῥωμαίων θέλοντας, καὶ πάντα τρόπον ὡς πολεμίοις προσεφέροντο, [x] τὰς μὲν κτήσεις ἁρπάζοντες, [y] καὶ περιελαύνοντες, ταῖς δ' οἰκήσεσιν αὐτῶν πῦρ ἐνιέντες. οὐδὲν γὰρ ἀλλοφύλων αὐτοὺς [z] ἔφασκον διαφέρειν, οὕτως ἀγεννῶς τὴν περιμάχητον Ἰουδαίοις ἐλευθερίαν [a] προϊεμένους, καὶ δουλείαν αἱρεῖσθαι τὴν ὑπὸ [b] Ῥωμαίοις ἀνωμολογηκότας. ἦν δ' ἄρα τοῦτο πρόφασις εἰς παρακάλυμμα τῆς ὠμότητος καὶ τῆς πλεονεξίας ὑπ' αὐτῶν λεγόμενον. σαφὲς δὲ διὰ τῶν ἔργων ἐποίησαν. οἱ μὲν γὰρ αὐτοῖς τῆς ἀποστάσεως ἐκοινώνησαν, καὶ τοῦ πρὸς Ῥωμαίους συνήραντο πολέμου, [c] τὰ παρ' ἐκείνων δὲ τολμήματα χείρω πρὸς αὐτοὺς ἐγίνετο. [d] κἀπὶ τῷ ψεύδεσθαι πάλιν τὴν πρόφασιν ἐξελεγχόμενοι, μᾶλλον ἐκάκουν τοὺς τὴν πονηρίαν αὐτῶν διὰ τῆς δικαιολογίας ὀνειδίζοντας. ἐγένετο γάρ πως ὁ χρόνος ἐκεῖνος παντοδαπῆς ἐν τοῖς Ἰουδαίοις πονηρίας πολύφορος, ὡς μηδὲν κακίας ἔργον ἄπρακτον [e] καταλιπεῖν, μηδ' εἴ τις [f] ἐπινοίᾳ διαπλάττειν ἐθελήσειεν ἔχειν ἄν τι καινότερον ἐξευρεῖν. οὕτως ἰδίᾳ τε καὶ κοινῇ πάντες [g] ἐνόσησαν, καὶ πρὸς ὑπερβαλεῖν ἀλλή-

k Προῆλθον,] Ita Big. & forſan Ruf. qui vertit *proceſſere.* προςῆλθον in *Editis Aliiſque.*
l Τηριδάτης.] *Al.* Τιριδάτης.
m Περιβαλὼν] Ἐκβαλὼν *Big.* & *Voſſ.*
n Διαφυγεῖν.] Διαφυγὼν *Roſſ.*
o Οἰκείαν ἐκομίσθησαν.] Οἰκίαν *Big.* & *Voſſ.*
p Φλαούιος] Ita *Big. Bod.* & *Voſſ.* Φλαῦιος *Zonar.* Φλάβιος *Roſſ.* Φούλβιος *Fulvius* in *Editis Aliiſque.*
q Τὴν ἐν τοῖς τόποις δύναμιν συναγαγών.] Illud τὴν à *Codd. MSS.*
r Πρότερον δεδηλώκαμεν,] Vide Antt. l. 18. c. 1. §. 1.
s Ποιεῖσθαι] Ποιεῖσθαι τὰς ἀπογραφὰς *Zonar.*
t Τὰς ἀπογραφὰς,] Conf Antt. lib. 17. c. 15. §. 5. & l. 18. c. 1. §. 1. Spanh.
v Ὅτε Κυρήνιος τιμητὴς] Ergo Cyrenius ſemel tantum in Judæa cenſum egit. Rel.
x Τὰς μὲν κτήσεις ἁρπάζοντες,] Ita *Big. Voſſ.* & *Ruf.* antea erat κ. τάς.
y Καὶ περιελαύνοντες,] Illa καὶ περιελαύνοντες non agnoſcunt *Big.* & *Voſſ.*
z Ἔφασκον διαφέρειν,] Ἔφασαν *Big.* & *Voſſ.*
a Προϊεμένους,] Προεμένους *Big.* & *Voſſ.*
b Ῥωμαίοις ἀνωμολογηκότας.] Ῥωμαίων *Big.* & *Voſſ.*
c Τὰ παρ' ἐκείνων] Ita cum *Big.* & *Voſſ.* non diſſentiente *Rufino.* ὁ παρ' ἐκείνων in *Editis Aliiſque.*
d Κἀπὶ τῷ ψεύδεσθαι] Καὶ ἐπὶ τὸ ψ. *Big. Voſſ.* & *Bod.*
e Καταλιπεῖν,] παραλιπεῖν *MS. Lipſ.* & *Roſſ.*
f Ἐπινοίᾳ διαπλάττειν] Ita *Bod.* & *Ruf.* ἐπίνοιαν *in cæteris.*
g Ἐνόσησαν,] Ἐνόσουν *Big.*

* Pugnâ etiam petendam. *Ruf.* Qui libertatem Judæis defendendam tanta ignavia prodidiſſent, *Al.*

b Εἰ

ἀλλήλους ἔν τε ταῖς πρὸς τὸν Θεὸν ἀσεβείαις, καὶ ταῖς [h] εἰς τοὺς πλησίον ἀδικίαις, ἐφιλονίκησαν· [i] οἱ μὲν δυνατοὶ τὰ πλήθη κακοῦντες, [k] οἱ πολλοὶ δὲ τοὺς δυνατοὺς ἀπολλύναι σπεύδοντες. ἦν γὰρ ἐκείνοις μὲν ἐπιθυμία τοῦ τυραννεῖν, τοῖς δὲ τοῦ βιάζεσθαι καὶ τὰ τῶν εὐπόρων διαρπάζειν. πρῶτοι μὲν οὖν οἱ σικάριοι τῆς παρανομίας, καὶ τῆς πρὸς τοὺς συγγενεῖς [l] ἤρξατο ὠμότητος, μήτε λόγον ἄρρητον εἰς ὕβριν, μήτ' ἔργον ἀπείραστον εἰς ὄλεθρον τῶν [m] ἐπιβουλευθέντων [n] παραλείποντες. ἀλλὰ καὶ τούτους [o] Ἰωάννης ἀπέδειξεν [p] ἑαυτοῦ μετριωτέρους. οὐ γὰρ μόνον ἀνῄρει πάντας, ὅσοι τὰ δίκαια καὶ συμφέροντα συνεβούλευον, καθάπερ [q] ἐχθίστοις μάλιστα δὴ τῶν πολιτῶν τοῖς τοιούτοις προσφερόμενος· ἀλλὰ καὶ κοινῇ τὴν πατρίδα μυρίων ἐνέπλησε κακῶν, [r] ὁποῖα πράξειν ἔμελλεν [s] ἄνθρωπος ἤδη καὶ τὸν Θεὸν ἀσεβεῖν τετολμηκώς. τράπεζάν τε γὰρ ἄθεσμον παρετίθετο, καὶ τὴν νενομισμένην καὶ πάτριον ἐξεδιῄτησεν ἁγνείαν, ὥστε μηκέτι θαυμαστὸν εἰ τὴν πρὸς ἀνθρώπους ἡμερότητα καὶ κοινωνίαν οὐκ ἐτήρησεν, ὁ τῆς πρὸς Θεὸν [t] ἀσεβείας οὕτω καταμανείς. πάλιν τοίνυν [u] ὁ Γιώρα Σίμων, τί κακὸν οὐκ ἔδρασεν; ἢ ποίας ὕβρεως ἐλευθέρων ἀπέσχετο σωμάτων, οἳ τοῦτον ἀνέδειξαν τύραννον; ποία δὲ αὐτοὺς φιλία, ποία δὲ συγγένεια πρὸς τοὺς ἐφ' ἑκάστης ἡμέρας φόνους οὐχὶ [x] θρασυτέρους ἐποίησε; τὸ μὲν γὰρ τοὺς ἀλλοτρίους κακῶς ποιεῖν ἀγεννοῦς ἔργον εἶναι πονηρίας [y] ὑπελάμβανον, λαμπρὰν δὲ φέρειν ἐπίδειξιν ἡγοῦντο τὴν ἐν τοῖς οἰκειοτάτοις ὠμότητα. παρημιλλήσατο δὲ καὶ τὴν τούτων ἀπόνοιαν [z] ἡ τῶν [a] Ἰδουμαίων. ἐκεῖνοι γὰρ οἱ μιαρώτατοι τοὺς ἀρχιερέας κατασφάξαντες, ὅπως μηδὲ [b] μέρος τι τῆς πρὸς Θεὸν εὐσεβείας διαφυλάττηται, πᾶν ὅσον ἦν λείψανον ἔτι πολιτικοῦ σχήματος ἐξέκοψαν, καὶ τὴν τελεωτάτην εἰσήγαγον διὰ πάντων ἀνομίαν. ἐν ᾗ τὸ τῶν ζηλωτῶν κληθέντων γένος [c] ἤκμαζεν, οἳ τὴν προσηγορίαν τοῖς ἔργοις ἐπηλήθευσαν. πᾶν γὰρ κακίας ἔργον ἐξεμιμήσαντο, [d] μηδ' εἴ τι πρότερον προϋπαρχθὲν ἡ μνήμη παραδέδωκεν αὐτοὶ παραλιπόντες ἄζηλον· καίτοι τὴν προσηγορίαν αὐτοῖς, ἀπὸ τῶν ἐπ' ἀγαθῷ ζηλουμένων ἐπέθεσαν, ἢ κατειρωνευόμενοι τῶν ἀδικουμένων, διὰ τὴν αὐτῶν θηριώδη φύσιν, ἢ τὰ μέγιστα τῶν κακῶν ἀγαθὰ νομίζοντες. τοιγαροῦν [e] προσῆκον ἕκαστοι τὸ τέλος εὕροντο, τοῦ Θεοῦ τὴν ἀξίαν ἐπὶ πᾶσιν αὐτοῖς τιμωρίαν βραβεύσαντος. ὅσας γὰρ ἀνθρώπου δύναται φύσις κολάσεις ὑπομεῖναι, πᾶσαι κατέσκηψαν εἰς αὐτούς, μέχρι καὶ τῆς ἐσχάτης τοῦ βίου τελευτῆς, ἣν ὑπέμειναν ἐν πολυτρόποις αἰκίαις ἀποθανόντες. οὐ μὴν ἀλλὰ [f] καὶ φαίη τις ἂν αὐτοὺς ἐλάττω παθεῖν ὧν ἔδρασαν. τὸ γὰρ δικαίως ἐπ' αὐτῶν οὐ προσῆν. τοὺς δὲ ταῖς ἐκείνων ὠμότησι περιπεσόντας, οὐ τοῦ παρόντος ἂν εἴη καιροῦ κατ' ἀξίαν ὀδύρεσθαι. πάλιν οὖν ἐπάνειμι πρὸς τὸ καταλειπόμενον μέρος τῆς διηγήσεως.

β'. Ἐπὶ γὰρ τὸν Ἐλεάζαρον, καὶ τοὺς κατέχοντας σὺν αὐτῷ τὴν Μασάδαν σικαρίους, ὁ τῶν Ῥωμαίων στρατηγὸς [g] ἧκε, τὰς δυνάμεις ἄγων. καὶ τῆς μὲν χώρας ἁπάσης εὐθὺς, ἐκράτει, φρουρὰς ἐν τοῖς ἐπικαιροτάτοις αὐτῆς μὲν-

alium tam impietate in Deum quam iniquitate in proximos certarunt, potentes quidem multitudinem male tractando, multitudo vero ad potentium interitum properando. Illis enim erat dominandi quidem cupiditas; his vero vim faciendi, bonaque locupletum diripiendi. Et primo quidem ſicarii iniquitatis auctores erant & crudelitatis in proximos: neque verbum ullum, quod non dixerint ad injuriam, neque facinus, quod non tentarint ad exitium eorum quibus inſidiarentur, prætermittentes. Verum & hos Joannes ſemet moderatiores eſſe oſtendit. non ſolum enim omnes interficiebat, qui juſta & utilia ſuadebant, tanquam inimiciſſimos maxime cives ejuſmodi impetens: ſed & patriam communiter malis innumeris cumulavit, qualiter facturus erat homo, qui Deum quoque jam auſus eſſet impietate contemnere. nam & menſa nefaria veſcebatur, & à conſueta & patria puritate diſceſſit; ut jam ſit minime mirum quod vitæ manſuetioris & communitatis cum hominibus officia non ſervarit, qui perdite adeo deperiit impietatem in Deum. Rurſus igitur Simon Gioræ quid mali non commiſit? quave corporum liberorum ab injuria temperavit, qui eum creavere tyrannum? Quæ vero eos amicitia, quæve cognatio ad quotidianas cædes non ferociores effecit? nam alienos quidem male tractare timidæ nequitiæ opus eſſe arbitrabantur, glorioſam vero oſtentationem eſſe crudelitatem in familiariſſimos exiſtimabant. Horum autem furoris æmuli etiam Idumæi exſtitere. illi enim ſceleratiſſimi cum pontifices jugulaſſent, ne qua pars conſervaretur pietatis in Deum, totum, quod ex civitatis facie ſupererat, abſcidêre, ſummamque per omnia iniquitatem induxerunt. in qua illud hominum genus, qui zelotæ appellati erant, excellebant, qui nomen factis verum probaverunt. Omne enim malitiæ facinus æmulati ſunt, nullo quod ipſi non imitando expreſſerunt relicto, quodcunque ante commiſſum eſſe memoriæ proditum erat: quamvis nomen ſibi ex bonorum æmulatione indidiſſent, in eos aut cavillati quos læſerant propter efferam ſui naturam, aut malorum maxima pro bonis haberi volentes. Itaque debitum vitæ finem ſinguli invenêre, Deo illis omnibus quam commeruerunt pœnam tribuente. Quæcunque enim ſupplicia ferre valet natura humana, ea omnia in eos inciderunt uſque dum mortem oppeterent, quam inter varios cruciatus obierunt. Veruntamen dixerit forſan aliquis, minora eos quam pro factis perpeſſos eſſe. haud enim erat ut merita pœna afficerentur. Illos autem, in quibus ſuam exercebant crudelitatem, non eſſet hujus temporis digne lamentari. Rurſum igitur ad eam narrationis partem redeo, unde digreſſus ſum.

2. Veniebat enim dux Romanorum, contra Eleazarum exercitum ducens & ſicarios qui cum eo Maſadam tenebant. & regione quidem omni ſtatim potitus, præſidia in locis ejus opportunis-

Joannes Giſchalenſis.

Simon Gioræ filius.

Idumæi ſceleratiſſimi.

Zelotæ.

Romanorum expeditio contra ſicarios qui erant Maſadæ.

h Εἰς τοὺς] εἰς τὸν Roſſ.
i Οἱ μὲν δυνατοὶ] Ita MSS. οἱ μὲν οὖν in Editis.
k Οἱ πολλοὶ δὲ τοὺς δυνατοὺς] πολλοὶ & δυνατοὶ opponuntur. Rel.
l Ἤρξατο ὠμότητος,] Ἤρξαν Big. & Voſſ. ἤρξαντο Roſſ.
m Ἐπιβουλευθέντων] ἐπιβουλευομένων Roſſ.
n Παραλείποντες.] Sic Big. & Voſſ. παραλιπόντες in cæteris.
o Ἰωάννης] Joannes à Giſcalis. Conf. ſupr. lib. 2. c. 21. §. 1. & lib. 4. c. 2. §. 1. SPANH.
p Ἑαυτοῦ μετριωτέρους.] Αὐτοῦ Big. & Voſſ.
q Ἐχθίστοις μάλιστα] Ἐχθροῖς τοῖς μ. Big. & Voſſ.
r Ὁποῖα πράξειν ἔμελλεν] Οἷα Big. Bod. & Voſſ.
s Ἄνθρωπος ἤδη] Ita cum Big. Bod. Rhod. & Voſſ. ἀνθρώποις in Editis Aliiſque.
t Ἀσεβείας οὕτω καταμανείς.] Ita Rhod. & Roſſ. εὐσεβείας in cæteris.

u Ὁ Γιώρα Σίμων,] Simon Giora ſupr. lib. 4. c. 9. §. 3. SPANH.
x Θρασυτέρους] Θρασυτέρων Roſſ.
y Ὑπελάμβανον,] Ὑπελάμβανεν Big. & Voſſ.
z Ἡ τῶν] Conf. ſupr. lib. 4. c. 4. §. 1. & ſeq. SPANH.
a Ἰδουμαίων......κατασφάξαντες,] Ἰδουμαίων μανία Big. Vat. & Voſſ. Ἰουδαίων μανία Roſſ.
b Μέρος τι τῆς πρὸς Θεὸν εὐσεβείας] Μηδὲ μέρος ὅτι τὸ πρὸς τὸν Θεὸν εὐσ. Big. & Voſſ.
c Ἤκμαζεν,] Ἤκμασεν Big. & Voſſ.
d Μηδ' εἴ τι πρότερον] Μηδ' ὅ, τι πρότερον πρ. Big. & Voſſ.
e Προσῆκον ἕκαστοι τὸ τέλος εὕροντο,] Προσῆκεν τὸ τέλος ἕκαστοι εὕροντο Big. & Voſſ.
f Καὶ φαίη τις] Illud καὶ non agnoſcunt Big. Vat. & Voſſ.
g Ἧκε,] Ἧκεν Big. & Voſſ.

h δυν-

tuniſſimis collocavit. Caſtellum autem muro circundedit, ne quis obſeſſorum facile inde aufugeret, & diſtribuere cuſtodes inſtituit. ipſe vero caſtris locum occupat, ad obſidionem quidem maxime idoneum, quem delegerat; qua parte caſtelli rupes monti proximo conjungebantur, cæterum difficilem ad neceſſariorum copiam ſuppeditandam. Non ſolum enim commeatus è longinquo advehebatur, & cum labore Judæorum maximo, quibus id negotii datum erat: verum etiam potus *aliunde* in caſtra ducebatur, loco nullam *aquæ dulcis* fontem ſuppeditante. Itaque cum hæc prius diſpoſuiſſet Silva, ad obſidionem ſe convertebat, quæ multum ſolertiæ & ardui laboris poſtulabat, propter firmitatem caſtelli, cujus natura hujuſmodi eſt.

Situs urbis Maſada & caſtelli.

3. Petram ambitu non exiguam, & longitudine excelſam, undique circundant valles adeo profundæ ut illarum terminus conſpici nequeat, præruptæ *admodum* & omnium animalium greſſibus inacceſſæ, niſi quod locis duobus petra in aſcenſum non facilem cedit. Eſt autem via quidem una à lacu Aſphaltite ad ſolis ortum, altera vero ab occidente, qua minori cum negotio inceditur. Vocatur autem prior coluber, ex anguſtia crebriſque flexibus capta ſimilitudine. circa enim præcipitiúm eminentias fractura eſt, & ſæpe in ſe revertens paulatimque rurſum producta vix tangit id quod ulterius eſt. Oportet autem alternos figat pedes qui hac via graditur. quin & certa pernicies eſt, ſi quis labatur. nam alta præcipitia utrinque dehiſcunt, quæ horrore quemvis vel audaciſſimum terrere poſſunt. Per ejuſmodi viam cum quis XXX. ſtadiis aſcenderit, quod reſtat vertex eſt, non in finem acutum deſinens, ſed in ſummitate planitiem habens. Super hoc primus quidem Jonathas pontifex caſtellum ædificavit & appellavit Maſadam. Pòſt autem Herodi regi ſtudio fuit locum ſtructuris occupare. Nam & murum circa omnem verticis ambitum erexit, per ſtadia ſeptem, è candido quidem lapide exſtructum, altitudine vero XII. cubitos altum, latumque VIII, & XXXVII. turres quinquagenorum cubitorum in eo ſtabant; ex quibus aditus erant in ædes circa omnem murum intus ædificatas. nam verticem, utpote fœcundum & omni planicie molliorem, culturæ dedit rex; ut ſi quando alimenti externi *& adventitii* eſſet inopia, ne hac quidem laborarent, qui ſalutem ſuam caſtello crediderant. Quin & regiam illic ædificavit, ab occidentalis partis aſcenſu, intra mœnia quidem arcis poſitam, ad ſeptentrionem vero vergentem. Regiæ autem murus erat magnæ celſitudinis & validus, quatuor turres ſexagenorum cubitorum in angulis habens. Conclavium etiam intus & porticuum itemque balnearum varia erat & ſumptuoſa conſtructio, columnis quidem è ſingularibus ſaxis undique ſuppoſitis, parietibus autem ſoloque in conclavibus variis lapidibus ſtrato. Ad ſingula vero habitacula, & in ſummo & circa regiam & ante murum, multos magnoſque puteos è ſcopulis exſcidit ad aquam conſervandam, machinatus tantum aquæ ſuppeditandum, quan-

Caſtelli deſcriptio.

μασιν ἐγκαταστήσας. τεῖχος δὲ περιέβαλε κύκλῳ περὶ πᾶν τὸ φρούριον, ὅπως μηδενὶ τῶν πολιορκουμένων ᾖ ῥᾴδιον διαφυγεῖν, καὶ [h] διανέμει τοὺς [i] φυλάξοντας. αὐτὸς δὲ καταστρατοπεδεύει [k] τόπον, ὡς μὲν πρὸς τὴν πολιορκίαν [l] ἐπιτηδειότατον ἐκλαβών, καθ' ὃν αἱ τοῦ φρουρίου πέτραι τῷ πλησίον ὄρει συνήγγιζον, ἄλλως δὲ πρὸς ἀφθονίαν τῶν ἐπιτηδείων δύσκολον. οὐ γὰρ ἡ τροφὴ μόνον πόρρωθεν ἐκομίζετο, καὶ σὺν μεγάλῃ ταλαιπωρίᾳ τῶν [m] ἐπὶ τοῦτο τεταγμένων Ἰουδαίων. ἀλλὰ καὶ τὸ ποτὸν ἦν ἀγώγιμον εἰς τὸ στρατόπεδον, τοῦ τόπου μηδεμίαν ἐγγὺς πηγὴν ἀναδιδόντος. ταῦτ' οὖν προοικονομησάμενος ὁ Σίλβας ἐπὶ τὴν πολιορκίαν ἐτράπετο, πολλῆς ἐπιτεχνήσεως καὶ [n] ταλαιπωρίας δεομένην, διὰ τὴν ὀχυρότητα τοῦ φρουρίου τοιοῦδε τὴν φύσιν ὑπάρχοντος.

γ'. Πέτραν οὐκ ὀλίγην τῇ περιόδῳ καὶ μήκει ὑψηλήν, πανταχόθεν περιερρώγασι βαθεῖαι φάραγγες κάτωθεν ἐξ ἀοράτου τέρματος, [o] κρημνώδεις, καὶ πάσῃ βάσει ζώων ἀπρόσιτοι, πλὴν ὅσον κατὰ δύο τόπους τῆς πέτρας, εἰς ἄνοδον οὐκ εὐμαρῆ παρεικούσης. ἔστι δὲ τῶν ὁδῶν, ἡ μὲν ἀπὸ τῆς Ἀσφαλτίτιδος λίμνης πρὸς ἥλιον ἀνίσχοντα, καὶ πάλιν ἀπὸ τῆς δύσεως ᾗ ῥᾷον πορευθῆναι. καλοῦσι δὲ τὴν ἑτέραν ὄφιν, τῇ στενότητι προσεικάσαντες καὶ τοῖς συνεχέσιν ἑλιγμοῖς. κλᾶται γὰρ περὶ τὰς τῶν κρημνῶν ἐξοχάς, καὶ πολλάκις εἰς αὐτὴν [p] ἀναστρέφουσα, καὶ κατὰ μικρὸν αὖθις ἐκμηκυνομένη μόλις ψαύει τοῦ πρόσω. δεῖ δὲ παραλλὰξ τὸν δι' αὐτῆς βαδίζοντα τὸν ἕτερον [q] τοῖν ποδοῖν ἐρείδεσθαι. ἔστι δὲ [r] καὶ τῷ παρολισθάνειν πρόδηλος ὄλεθρος. ἑκατέρωθεν γὰρ βάθος κρημνῶν ὑποκέχηνε, τῇ φοβερότητι πᾶσαν εὐτολμίαν ἐκπλῆξαι δυνάμενον. διὰ τοιαύτης οὖν ἐλθόντι σταδίους τριάκοντα κορυφὴ τὸ λοιπόν ἐστιν, οὐκ εἰς ὀξὺ τέρμα συνηγμένη, ἀλλ' ὡς εἶναι κατ' ἄκρας [s] ἐπίπεδος. ἐπὶ ταύτῃ πρῶτος μὲν ὁ ἀρχιερεὺς ᾠκοδομήσατο φρούριον Ἰωνάθης, καὶ προσηγόρευσε Μασάδαν. ὕστερον δ' Ἡρώδῃ τῷ βασιλεῖ διὰ πολλῆς ἐγένετο σπουδῆς [t] ἡ τοῦ χωρίου κατασκευή. τεῖχός τε γὰρ ἤγειρε περὶ πάντα τὸν κύκλον τῆς κορυφῆς ἑπτὰ σταδίων ὄντα, λευκοῦ μὲν λίθου πεποιημένον, ὕψος δὲ δώδεκα, καὶ πλάτος ὀκτὼ πήχεις ἔχον, τριάκοντα δ' αὐτῷ καὶ ἑπτὰ πύργοι πεντηκονταπήχεις [u] ἀνειστήκεισαν, ἐξ ὧν ἦν εἰς [x] οἰκήματα διελθεῖν περὶ πᾶν τὸ τεῖχος ἔνδον ᾠκοδομημένα. τὴν γὰρ κορυφὴν πίονα, καὶ πεδίου παντὸς οὖσαν μαλακωτέραν, ἀνῆκεν εἰς γεωργίαν ὁ βασιλεύς, ἵν' εἴποτε τῆς ἔξω τροφῆς ἀπορία γένοιτο, μηδὲ ταύτῃ κάμωσιν οἱ τὴν αὐτῶν σωτηρίαν τῷ φρουρίῳ πεπιστευκότες. καὶ βασίλειον δὲ κατεσκεύασεν ἐν αὐτῷ, κατὰ τὴν ἀπὸ τῆς ἑσπέρας ἀνάβασιν, ὑποκάτω μὲν τῶν τῆς ἄκρας τειχῶν, πρὸς [y] δὲ τὴν ἄρκτον ἐγκλῖνον. τοῦ δὲ βασιλείου τὸ τεῖχος ἦν, ὕψει μέγα καὶ καρτερόν, πύργους ἔχον ἑξηκονταπήχεις ἐγγωνίους τέτταρας. ἥ, τε τῶν οἰκημάτων ἔνδον καὶ στοῶν καὶ βαλανείων κατασκευὴ παντοία καὶ πολυτελὴς ἦν, κιόνων μὲν ἁπανταχοῦ μονολίθων ὑφεστηκότων, τοίχων δὲ καὶ [z] τῶν ἐν τοῖς οἰκήμασιν ἐδαφῶν λίθων στρώσει πεποικιλμένων. πρὸς ἕκαστον δὲ τῶν οἰκουμένων τόπων ἄνω τε καὶ περὶ τὸ βασίλειον, καὶ [a] πρὸ τοῦ τείχους πολλοὺς καὶ μεγάλους ἐτετμήκει λάκκους ἐν ταῖς πέτραις, φυλακτῆρας ὑδάτων, μηχανώ-

h Διανέμει] Ita Big. & Voſſ. διαμένειν in Editis Aliiſque, nec aliter legiſſe videtur Rufinus, qui vertit, atque cuſtodes perſeverarent.
i Φυλάξοντας.] Διαφυλάξοντας Ruf.
k Τόπον,] Τὸν τόπον Big. & Voſſ.
l Ἐπιτηδειότατον ἐκλαβών,] Ita Big. Vat. & Voſſ. ἐπιτηδειότατα in Editis Aliiſque.
m Ἐπὶ τοῦτο τεταγμένων Ἰουδαίων.] Ἐπὶ τοῦτο Big. & Voſſ.
n Ταλαιπωρίας] Ærumnæ Spanh.
o Κρημνώδεις,] Ita cum MSS. & Ruf. antea erat κρημνώδους δ' οἷαι ἢ πάσῃ &c.
p Ἀναστρέφουσα,] Ἀνατρέχουσα Big. & Voſſ.
q Τοῖν ποδοῖν ἐρείδεσθαι.] Τῶν ποδῶν Big. Bod. Vat. & Voſſ.
r Καὶ τῷ παρολισθάνειν] Illa καὶ τῷ παρολισθάνειν non agnoſcunt Big. Bod. Vat. Ruf. & Voſſ.
s Ἐπίπεδος.] Ἐπίπεδον, i. e. πρῶτον Big. & Bod.
t Ἡ τοῦ χωρίου κατασκευή.] Articulum ἡ deſiderat Big.
u Ἀνειστήκεισαν,] Ἀνειστήκεσαν Big. & Voſſ.
x Οἰκήματα διελθεῖν] Οἰκοδομήματα Big. & Voſſ.
y Δὲ τὴν ἄρκτον] Illud δὲ e Codd. MSS. & Ruf.
z Τῶν ἐν τοῖς οἰκήμασιν ἐδαφῶν] Illud τῶν e Codd. MSS.
a Πρὸ τοῦ τείχους πολλοὺς] Πρὸ τῶν πύργων legiſſe videtur Ruf.

b Τῶν

χανώμενος εἶναι χορηγίαν, ὅση ᵇ τῶν ἐκ πηγῶν ἐπιχρωμένοις. ὀρυκτὴ δ' ὁδὸς ἐκ τοῦ βασιλείου πρὸς ἄκραν τὴν κορυφὴν ᶜ ἀνεφέρετο, τοῖς ἔξωθεν ἀφανής. οὐ μὴν οὐδὲ ταῖς φανεραῖς ὁδοῖς ἦν οἷόν τε χρήσασθαι ῥᾳδίως πολεμίους. ἡ μὲν γὰρ ἑῴα διὰ τὴν φύσιν, ὡς προείπομεν, ἐστὶν ἄβατος. τὴν δ' ἀπὸ τῆς ἑσπέρας μεγάλῳ κατὰ τὸ στενότατον πύργῳ διετείχισεν, ἀπέχοντι τῆς ἄκρας πήχεων οὐκ ἔλαττον διάστημα χιλίων, ὃν οὔτε παρελθεῖν δυνατὸν ἦν, οὔτε ῥᾴδιον ἑλεῖν. δυσέξοδος δ' ἦν καὶ τοῖς μετ' ἀδείας βαδίζουσιν ἐπεποίητο. οὕτω μὲν οὖν πρὸς τὰς τῶν πολεμίων ἐφόδους, φύσει τε καὶ χειροποιήτως τὸ φρούριον ὠχύρωτο.

δ. Τῶν δ' ἔνδον ᵈ ἀποκειμένων παρασκευῶν ἔτι μᾶλλον ἄν τις ἐθαύμασε τὴν λαμπρότητα καὶ τὴν διαμονήν. σῖτός τε γὰρ ἀπέκειτο ᵉ πολὺς καὶ πολὺν χρόνον ᶠ ἀρκεῖν ἱκανώτατος, οἶνός τε πολὺς ἦν καὶ ἔλαιον, ἔτι δὲ παντοῖος ὀσπρίων καρπὸς καὶ φοίνικες ᵍ ἐσεσώρευντο. πάντα δ' εὗρεν ὁ Ἐλεάζαρος τοῦ φρουρίου μετὰ τῶν σικαρίων ἐγκρατὴς δόλῳ ʰ γενόμενος, ἀκμαῖα καὶ μηδὲν τῶν νεωστὶ κειμένων ἀποδέοντα. καίτοι σχεδὸν ἀπὸ τῆς παρασκευῆς εἰς τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν, ⁱ ἑκατὸν ἦν χρόνος ἐτῶν. ἀλλὰ καὶ Ῥωμαῖοι τοὺς ᵏ περιλειφθέντας τῶν καρπῶν εὗρον ἀδιαφθόρους. αἴτιον δ' οὐκ ἂν ἁμάρτοι τις ὑπολαμβάνων εἶναι τὸν ἀέρα τῆς διαμονῆς, ὕψει τῷ περὶ τὴν ἄκραν, πάσης ὄντα γεώδους καὶ θολερᾶς ἀμιγῆ κράσεως. εὑρέθη δὲ καὶ παντοίων πλῆθος ὅπλων ὑπὸ τοῦ βασιλέως ˡ ἀποτεθησαυρισμένων, ὡς ἀνδράσιν ἀρκεῖν μυρίοις· ἀργός τε σίδηρος, καὶ χαλκός, ἔτι δὲ καὶ μόλυβδος, ἅτε δὴ τῆς παρασκευῆς ἐπὶ μεγάλαις αἰτίαις γενομένης. λέγεται γὰρ ᵐ ἑαυτῷ τὸν Ἡρώδην τοῦτο τὸ φρούριον εἰς ⁿ ἀποφυγὴν ἑτοιμάζειν, διπλοῦν ὑφορώμενον κίνδυνον. τὸν μὲν παρὰ τοῦ πλήθους τῶν Ἰουδαίων, μὴ καταλύσαντες ἐκεῖνον, τοὺς πρὸ αὐτοῦ βασιλέας ἐπὶ τὴν ἀρχὴν καταγάγωσι· ᵒ τὸν μείζω δὲ καὶ χαλεπώτερον ἐκ τῆς βασιλευούσης Αἰγύπτου Κλεοπάτρας. αὕτη γὰρ τὴν αὑτῆς γνώμην οὐκ ἐπεῖχεν, ἀλλὰ πολλάκις Ἀντωνίῳ λόγους προσέφερε, τὸν μὲν Ἡρώδην ἀνελεῖν ἀξιοῦσα, χαρίσασθαι δ' αὐτῇ τὴν βασιλείαν τῶν Ἰουδαίων ᵖ δεομένη. καὶ μᾶλλον ἄν τις ἐθαύμασεν, ὅτι μηδέπω τοῖς προστάγμασιν Ἀντώνιος ὑπήκουσε, κακῶς ὑπὸ τοῦ πρὸς αὐτὴν ἔρωτος δεδουλωμένος, οὐχ ὅτι περὶ τοῦ μὴ χαρίσασθαι προσεδόκησε. διὰ τοιούτους μὲν φόβους Ἡρώδης Μασάδαν κατασκευασάμενος, ἔμελλε Ῥωμαίοις ἀπολείψειν ἔργον τοῦ πρὸς Ἰουδαίους πολέμου τελευταῖον.

ε. Ἐπεὶ γὰρ ἔξωθεν ἤδη περιτετειχίκει πάντα τὸν τόπον ὁ τῶν Ῥωμαίων, ὡς ᵠ προείπομεν, ἡγεμών, καὶ τοῦ μή τινα ἀποδρᾶναι πρόνοιαν ἐπεποίητο τὴν ἀκριβεστάτην, ἐνεχείρει τῇ πολιορκίᾳ, μόνον εὑρὼν ἕνα τόπον, ἐπιβολὴν χωμάτων δέξασθαι δυνάμενον. μετὰ γὰρ τὸν διατειχίζοντα πύργον τὴν ἀπὸ τῆς δύσεως ὁδὸν ἄγουσαν εἴς τε τὸ βασίλειον καὶ τὴν ἀκρώρειαν, ἦν τις ἐξοχὴ πέτρας εὐμεγέθης τῷ πλάτει καὶ πολὺ προκύπτουσα, τοῦ δ' ὕψους τῆς Μασάδας τριακοσίους πήχεις ὑποκάτω. Λευκὴν δὲ αὐτὴν ὠνόμαζον. ἐπὶ ταύτην οὖν ἀναβάς, καὶ καταλαβὼν αὐτὴν ὁ Σίλβας ἐκέλευσε τὸν στρατὸν χοῦν ἐπιφέρειν. τῶν δὲ προθύμως καὶ μετὰ πολλῆς χειρὸς ʳ ἐρ-

tum haberent qui fontibus utuntur. Via autem foſſa è regia in verticem ſummum ducebat, forinſecus non apparens. Sed nec viæ manifeſtæ facile uſui erant hoſtibus. Nam orientalis quidem, natura, ut ſupra memoravimus, eſt inacceſſa: occidentalem vero magna in anguſtia poſita turri interſepſit, non minore mille cubitorum ſpatio ab arce diſtante, quæ neque tranſiri potuit, neque facile capi. Inſuper & iis qui ſine metu incederent exitu erat difficilis. Atque ita quidem adverſus hoſtiles impetus natura pariter ac manuum opera munitum erat caſtellum.

4. Intus autem repoſiti apparatus magis adhuc miranda eſt copia luculenta ejuſque diuturnitas. Nam & frumenti multum erat reconditum & quod in longum tempus ſufficeret; vinumque multum erat & oleum: quin & cujuſque leguminis fructus, & palmulæ coacervatæ. Univerſa autem reperiebat Eleazarus, cum ſicariis caſtello per dolum potitus, matura, nihilque recens depoſitis deteriora, quanquam fere ex quo parata erant ad excidium à Romanis illatum centum annorum tempus agebatur. Quinetiam Romani fructuum reliquias incorruptas offendêre. Si quis autem cauſam diuturnitatis auram eſſe exiſtimet, *profecto* non erraverit, quòd arcis altitudine ab omni terrena ac fœculenta mixtura ſit remota. Inſuper & omne genus armorum vis ingens inventa eſt, à rege recondita, quæ x. virorum millibus ſufficerent, ferrumque infectum, & æs, prætereaque plumbum: ſcilicet ut magnis de cauſis factum crederes apparatum. Ajunt enim Herodem id ipſum caſtellum ſibi ad refugium paraviſſe, duplex periculum ſuſpicantem: unum quidem à Judæorum populo, ne ſe depoſito illos qui antea reges fuerant ad principatum reduceret: alterum vero majus & atrocius à Cleopatra regina Ægypti. illa enim voluntatem ſuam non celabat, ſed cum Antonio ſæpe verba faciebat, poſtulans ut Herodes interficeretur, ſibique regnum Judæorum donari obſecrans. Et magis quis miraretur, quod nunquam ejus imperio paruerit Antonius, *male* ipſi præ amore mancipatus, quam non donaturum eſſe *crederet & exſpectaret*. Propter hujuſmodi quidem timores cum Herodes *ita* exſtruxiſſet Maſadam, ea re fiebat ut Romanis id bello contra Judæos opus extremum relinqueret.

Annona in annum centeſimum conſervata.

Herodis pericula.

Belli Judaici finis.

5. Quum enim *Silva* dux Romanorum foris jam locum omnem muro circundediſſet, ſicut ſupra diximus, & ne quis effugeret diligentiam & curam maximam adhibuiſſet, oppugnationi manum admovebat, uno tantum loco reperto qui aggerem excitari ſineret. Nam poſt eam turrim, quæ iter ab ocidente, quod ad regiam ſummumque verticem duceret, præcludebat, erat quædam ſaxi eminentia bene magna latitudine & ſimul * prominens, celſitudine autem Maſadæ trecentis cubitis inferior. illam vero Leucen appellabant. Hanc igitur Silva ubi aſcendit & occupavit, milites terram aggerere & *exſtruere* juſſit. Illis autem alacri animo & magna manu operanti-

Silva obſidet Maſadam.

b Τῶν ἐκ πηγῶν] Τοῖς ἐκ τῶν Big. Forſan τοῖς ἐκ π.

c Ἀνεφέρετο,] Ἀνέφερε Big.

d Ἀποκειμένων παρασκευῶν] Παρακειμένων Big. & Voſſ.

e Πολὺς & πολὺν] Illa πολὺς & è Codd. MSS. & Rufini verſione.

f Ἀρκεῖν] αὐτὸ Ruff.

g Ἐσεσώρευντο,] Ita cum MSS. ἐσωρεύοντο in Editis. ſi quis malit ἐσεσώρευντο, per me licet.

h Γενόμενος,] [illegible] Big.

i Ἑκατὸν ἦν χρόνος ἐτῶν.] Ἑκατονταετὶς Big. *Plin. lib. XI.* jecur maximè vetuſtatis patiens, centum durare annos obſidionum exempla oſtendunt. *Philo Belon.* VII. l. V, p. 86. ... &c. vid. *Epiſt. de loco Plinii explicato*, poſt *veteres Tacticos* è Typ. Reg. p. 365. Spanh.

k Περιλειφθέντας] Ita in *MSS.* & *Ruf.* ἀπολειφθέντας in Editis.

l Ἀποτεθησαυρισμένων,] Ἀποτεθησαυρισμένον Big. & Voſſ.

m Ἑαυτῷ] Αὐτῷ Big. & Voſſ.

n Ἀποφυγὴν ἑτοιμάζειν,] Ita in *MSS.* & *Rufini* verſione. antea erat ὑποδοχήν.

o Τὸν μείζω δὲ] Τὸ μεῖζον Big.

p Δεομένη.] Sic MSS. δεομένης in Editis.

q Προείπομεν,] Προειρήκαμεν Big. & Voſſ.

r Ἐργαζομένων,] Ἐργαζόμενοι Big. & Voſſ.

* Porrecta, Ruf.

rantibus, ſolidus ad cubitos CC. erectus eſt agger, non tamen ſpatii modus aut ſatis firmus aut ſufficiens aſcenſus machinis videbatur: ſed ſuper eum tribunal, conſtructis ſaxis ingentibus, factum eſt, altum itemque latum cubitis L. Erat autem & aliarum machinarum fabrica illis aſſimilis, quas primo quidem Veſpaſianus, poſtea vero Titus ad oppida oppugnanda excogitavit: & turris LX. cubitorum effecta eſt, tota ferro munita, unde Romani multis ſcorpionibus & baliſtis cito eos repulere qui è muro pugnabant, & capita exſerere prohibuerunt. Simul autem ingenti etiam ariete fabricato, Silva crebro murum pulſari jubet: ac vix quidem illum, licet partem ejus perfregerit, funditus evertit. Occupant autem ſicarii alium intus murum idque celeriter ædificare, qui nihil ſimile à machinis paſſurus erat. illum enim ut mollis eſſet & ictuum impetum vehementem poſſet laxare, in hunc modum conſtruxerunt. * Trabes ingentes perpetuas in longitudinem, alias aliis quà ſectæ erant conjungebant. Bini autem ordines erant paribus intervallis diſtantes inter ſe tantum, quanta eſſet muri latitudo; inque medium ſpatium terram ingerebant. Ne vero creſcente cumulo terra defflueret, aliis tranſverſis trabibus *priores* in longitudinem poſitas revinciebant. Erat ergo iſtiuſmodi opus quidem ædificio non abſimile. Machinarum vero ictus ei quod cedebat illati debilitabantur, & ex concuſſione deſidente materia firmiorem reddebant fabricam. Cum hoc animadvertiſſet Silva, igne facilius murum captum iri exiſtimavit, militibuſque præcepit ut crebras faces ardentes jacularentur. Tum murus, quippe magna ex parte ligneus, ignem cito concepit; & uſque ad imum ſui laxitate accenſus magnam flammam edidit. Et principio quidem cum ignis erumperet, boreas ſpirans Romanis erat horribilis: ſuperne enim ſe deflectens flammam in eos ferebat. adeo ut *de rebus ſuis* fere deſperarint, quaſi jam conflagraturæ eſſent machinæ. Poſtea vero flatu derepente mutato veluti divina providentia, auſter excitatus multa vi flammam ad murum rejecit, jamque totus à ſummo ad imum ardebat. Et Romani quidem Dei freti auxilio ad caſtra læti revertuntur; eo animo ut hoſtes poſtridie aggrederentur: & nocte vigilias cura majori agebant, ne quis eorum clam aufugeret.

Eleazari ad ſuos oratio, qua ſuadet illis ut ſe ſuis manibus conficiant, priuſquam capiantur à Romanis.

6. Veruntamen neque ipſe Eleazarus de fuga cogitabat, neque alii cuiquam permiſſurus erat ut fuga evaderet. Murum autem igne quidem conſumptum videns, alium vero nullum ſalutis modum neque virtutis excogitans; ſed his quæ Romani in ſe liberoſque ſuos & conjuges facturi eſſent, ſi viciſſent, ante oculos poſitis, de morte omnium deliberavit. idque ex præſentibus potiſſimum ratus, validioris animi ſociis *veſperi* congregatis, hujuſmodi verbis ad facinus eos incitabat. „ Cum olim nos ſtatuerimus, „ viri fortes, neque Romanis neque cuiquam

γασαμένων, στερεὸν εἰς διακοσίους πήχεις ὑψώθη τὸ χῶμα, οὐ μὴν οὔτε βέβαιον οὔτε αὔταρκες ἐδόκει τοῦτο τὸ μέτρον εἶναι τοῖς μηχανήμασιν εἰς [s] ἐπιβάθραν, ἀλλ' ἐπ' αὐτοῦ [t] βῆμα λίθων μεγάλων [v] συνηρμοσμένον ἐποιήθη, πεντήκοντα πηχῶν εὖρός τε καὶ ὕψος. ἦν δὲ ἄλλων τε μηχανημάτων ἡ κατασκευὴ παραπλησία ταῖς ὑπὸ μὲν Οὐεσπασιανοῦ πρότερον, μετὰ ταῦτα δ' ὑπὸ Τίτου πρὸς τὰς πολιορκίας [x] ἐπινοηθεῖσι, καὶ πύργος ἑξηκοντάπηχυς [y] συνετέθη, σιδήρῳ καταφραγμένος ἅπας, ἐξ οὗ πολλοῖς ὀξυβελέσι καὶ πετροβόλοις βάλλοντες οἱ Ῥωμαῖοι τοὺς ἀπὸ τοῦ τείχους μαχομένους ταχέως ἀνέστειλαν, καὶ [z] προκύπτειν ἐκώλυσαν. ἐν ταὐτῷ δὲ καὶ κριὸν ὁ Σίλβας μέγαν κατασκευασάμενος, συνεχεῖς ποιεῖσθαι κελεύσας τῷ τείχει τὰς ἐμβολάς, μόλις μέν, ἀλλ' οὖν ἀναρρήξας τι μέρος αὐτοῦ, κατήρειψε. φθάνουσι δ' οἱ σικάριοι ταχέως ἔνδοθεν οἰκοδομησάμενοι τεῖχος ἕτερον, ὃ μηδ' ὑπὸ τῶν μηχανημάτων ἔμελλεν ὅμοιόν τι πείσεσθαι· μαλακὸν γὰρ αὐτὸ καὶ τὴν σφοδρότητα τῆς ἐμβολῆς ὑπεκλύειν δυνάμενον, τοιῷδε τρόπῳ κατεσκεύασαν. δοκοὺς μεγάλας ἐπὶ μῆκος [a] προσεχεῖς ἀλλήλαις κατὰ τὴν τομὴν συνέθησαν. δύο δ' [b] ἦσαν στίχοι παράλληλοι τοσοῦτον διεστῶτες, ὅσον εἶναι πλάτος τείχους, καὶ μέσον ἀμφοῖν τὸν χοῦν [c] ἐνεφόρουν. ὅπως δὲ μὴ ὑψουμένου τοῦ χώματος ἡ γῆ διαχέοιτο, πάλιν ἑτέραις δοκοῖς [d] ἐπικαρσίαις τὰς κατὰ μῆκος κειμένας διέδεον. ἦν οὖν ἐκείνοις μὲν οἰκοδομίᾳ τὸ ἔργον παραπλήσιον. τῶν μηχανημάτων δ' αἱ πληγαὶ φερόμεναι πρὸς [e] εἶκον ἐξελύοντο, καὶ τῷ σάλῳ συνιζάνον ἐποίουν αὐτὸ στεριφώτερον. τοῦτο συνιδὼν ὁ Σίλβας, πυρὶ μᾶλλον αἱρήσειν [f] ἐνόμισε τὸ τεῖχος, καὶ τοῖς στρατιώταις προσέταττε λαμπάδας αἰθομένας ἀθρόους εἰσακοντίζειν. τὸ δ', οἷα δὴ ξύλων τὸ πλέον πεποιημένον, ταχὺ τοῦ πυρὸς ἀντελάβετο, καὶ τῇ χαυνότητι πυρωθὲν διὰ βάθους φλόγα πολλὴν ἐξεπύρσευσεν. ἀρχομένου μὲν [g] οὖν ἔτι τοῦ πυρὸς βορρᾶς ἐμπνέων τοῖς Ῥωμαίοις φοβερὸς ἦν· ἄνωθεν γὰρ ἀποστρέφων ἐπ' ἐκείνους ἤλαυνε τὴν φλόγα. καὶ σχεδὸν ἤδη τῶν μηχανημάτων ὡς συμφλεγησομένων, ἀπεγνώκεισαν. ἔπειτα δ' αἰφνίδιον νότος μεταβαλὼν καθάπερ ἐκ δαιμονίου προνοίας, καὶ πολὺς ἐναντίος πνεύσας, τῷ τείχει φέρων αὐτὴν προσέβαλε, καὶ πᾶν ἤδη διὰ βάθους ἐφλέγετο. Ῥωμαῖοι μὲν οὖν τῇ παρὰ τοῦ Θεοῦ συμμαχίᾳ κεχρημένοι, χαίροντες εἰς τὸ στρατόπεδον ἀπηλλάττοντο, μεθ' ἡμέραν ἐπιχειρεῖν τοῖς πολεμίοις διεγνωκότες· καὶ τὰς φυλακὰς νύκτωρ ἐπιμελεστέρας ἐποιήσαντο, μή τινες αὐτῶν λάθωσιν ἀποδράντες.

ϛ'. Οὐ μὴν οὔτ' αὐτὸς Ἐλεάζαρος ἐν νῷ δρασμὸν ἔλαβεν, οὔτ' ἄλλῳ τινὶ τοῦτο ποιεῖν ἔμελλεν ἐπιτρέψαι. ὁρῶν δὲ τὸ μὲν τεῖχος ὑπὸ τοῦ πυρὸς ἀνακαιόμενον, ἄλλον δ' οὐδένα σωτηρίας τρόπον οὐδ' ἀλκῆς ἐπινοῶν, ἃ δὲ ἔμελλον Ῥωμαῖοι δράσειν αὐτοὺς καὶ τέκνα καὶ γυναῖκας αὐτῶν, εἰ κρατήσειαν, ὑπ' ὀφθαλμοὺς [h] αὐτῶν τιθέμενος, θάνατον κατὰ πάντων ἐβουλεύσατο. καὶ [i] τοῦτο κρίνας ἐκ τῶν παρόντων ἄριστον, τοὺς ἀνδρωδεστάτους τῶν ἑταίρων συναγαγών, τοιούτοις ἐπὶ τὴν πρᾶξιν λόγοις παρεκάλει. „ Πάλαι διεγνωκότας ἡμᾶς, „ ἄνδρες ἀγαθοί, μήτε Ῥωμαίοις, μήτ' ἄλλῳ τινὶ δου-

„ λεύειν

s Ἐπιβάθραν,] Vide Ill. Ez. *Spanhemium* ad *Callimachi* Hymnum *in Delum*, v. 22. HUDS. *ἄστ' ἐπιβάθρην Callimach. Hymn. in Del.* v. 22. Vid. infr. c. 9. §. 2. SPANH.

t Βῆμα] Abeſt a *Roſ.*

v Συνηρμοσμένον ἐποιήθη,] Ita *Big. Voſſ.* & *Roſ.* συνηρμοσμένων in *cæteris*.

x Ἐπινοηθεῖσι,] Ita *Big. Bod.* & *Voſſ.* ἐπινοηθεῖσαι in *Editis aliiſque*.

y Συνετέθη,] [illegible] *Vat.* & *Rhed.* [illegible] *Roſ.*

z Προκύπτειν] προκύπτειν *Roſ.*

a Προσεχεῖς] Διηνεκεῖς vel συνεχεῖς. Confer *Joſephum* in l. 3. *de bello*, c. 7. §. 19. poſt νέρρας τε & *Caſarem* in *Commentariis*. l. 7. c. 23.

b Ἦσαν στίχοι παράλληλοι] Ἦσαν τοῦτον στίχοι *Big. Vat* & *Voſſ.*

c Ἐνεφόρουν.] Ita *Big. Vat.* & *Voſſ.* ἀνεφόρουν in *Editis*. συνεφόρουν *Zonar.*

d Ἐπικαρσίαις] Conf. ſupr. lib. 3. c. 7. §. 1. ſeq. SPANH.

e Εἶκον ἐξελύοντο,] Forſan εἶκον, aut εἴκειν.

f Ἐνόμισε] Ἐνόμιζε *Big. Vat. Rhed.* & *Voſſ.*

g Οὖν ἔτι] Illud οὖν non agnoſcunt *Big.* & *Voſſ.*

h Αὐτῶν τιθέμενος,] Ita cum MSS. αὐτῷ in *Editis*.

i Τοῦτο κρίνας] Ita *Big. Voſſ.* & *Roſ.* τοῦτον in *reliquis*.

* Trabes proceritate magnas & qua ſectæ ſunt continenter compoſuêre. *Roſ.*

Ol.

λοιπὸν ἢ Θεῷ, μόνος γὰρ [k] οὗτος ἀληθής ἐστι καὶ δίκαιος ἀνθρώπων δεσπότης, ἥκει νῦν καιρὸς, ἐπαληθεῦσαι κελεύων τὸ φρόνημα τοῖς ἔργοις. πρὸς ὃν [l] ἑαυτοὺς μὴ καταισχύνωμεν, πρότερον μηδὲ δουλείαν ἀκίνδυνον ὑπομείναντες, νυνὶ δὲ μετὰ δουλείας ἑλόμενοι τιμωρίας ἀνηκέστους, εἰ ζῶντες ὑπὸ Ῥωμαίοις ἐσόμεθα. πρῶτοί τε γὰρ πάντων ἀπέστημεν, καὶ πολεμοῦμεν αὐτοῖς τελευταῖοι. νομίζω δὲ καὶ παρὰ Θεοῦ ταύτην ἡμῖν δεδόσθαι χάριν, τοῦ δύνασθαι καλῶς καὶ ἐλευθέρως ἀποθανεῖν, ὅπερ ἄλλοις οὐκ ἐγένετο παρ' ἐλπίδα κρατηθεῖσιν. ἡμῖν δὲ πρόδηλος μέν ἐστιν ἡ γενησομένη μεθ' ἡμέραν ἅλωσις· ἐλευθέρα δ' ἡ τοῦ γενναίου θανάτου μετὰ τῶν φιλτάτων αἵρεσις. οὔτε γὰρ [m] τοῦτο ἀποκωλύειν οἱ πολέμιοι δύνανται, πάντως εὐχόμενοι ζῶντας ἡμᾶς παραλαβεῖν, οὔθ' ἡμεῖς ἐκείνους ἔτι νικᾶν μαχόμενοι. ἔδει μὲν γὰρ εὐθὺς, ἴσως ἐξ ἀρχῆς, ὅτε τῆς ἐλευθερίας ἡμῖν ἀντιποιεῖσθαι θελήσασι πάντα καὶ παρ' ἀλλήλων ἀπέβαινε χαλεπὰ καὶ παρὰ τῶν πολεμίων χείρω, τῆς τοῦ Θεοῦ γνώμης στοχάζεσθαι, καὶ γινώσκειν ὅτι τὸ πάλαι φίλον αὐτῷ φῦλον Ἰουδαίων [n] ἀπωλείᾳ κατέγνωστο. μένων γὰρ εὐμενὴς ἢ μετρίως γοῦν ἡμῖν ἀπηχθημένος, οὐκ ἂν τοσούτων μὲν ἀνθρώπων περιεῖδεν ὄλεθρον, προήκατο δὲ τὴν ἱερωτάτην [o] αὐτοῦ πόλιν πυρὶ καὶ κατασκαφαῖς πολεμίων. ἡμεῖς δ' ἄρα καὶ μόνοι τοῦ παντὸς Ἰουδαίων γένους ἠλπίσαμεν περιέσεσθαι τὴν ἐλευθερίαν [p] φυλάξαντες, ὥσπερ ἀναμάρτητοι πρὸς τὸν Θεὸν γενόμενοι, καὶ μηδεμιᾶς μετασχόντες [q] ἁμαρτίας, οἳ καὶ τοὺς ἄλλους ἐδιδάξαμεν; τοιγαροῦν ὁρᾶτε πῶς ἡμᾶς ἐλέγχει μάταια προσδοκήσαντας, κρείττονα τῶν ἐλπίδων τὴν ἐν τοῖς δεινοῖς ἀνάγκην [r] ἐπαγαγών. οὔτε γὰρ ἡμᾶς ἡ τοῦ φρουρίου φύσις ἀνάλωτος οὖσα πρὸς σωτηρίαν [s] ὠφέληκεν, ἀλλὰ καὶ τροφῆς ἀφθονίαν καὶ πλῆθος ὅπλων, καὶ τὴν ἄλλην ἔχοντες παρασκευὴν περιττεύουσαν, ὑπ' αὐτοῦ περιφανῶς τοῦ Θεοῦ τὴν ἐλπίδα τῆς σωτηρίας ἀφῃρήμεθα. τὸ γὰρ πῦρ, εἰς τοὺς πολεμίους φερόμενον, οὐκ αὐτομάτως ἐπὶ τὸ κατασκευασθὲν τεῖχος ὑφ' ἡμῶν [t] ἀνέστρεφεν· ἀλλ' ἔστι ταῦτα χόλος πολλῶν ἀδικημάτων, ἃ μανέντες εἰς τοὺς ὁμοφύλους ἐτολμήσαμεν, ὑπὲρ ὧν [u] μὴ τοῖς ἐχθίστοις Ῥωμαίοις δίκας, ἀλλὰ τῷ Θεῷ δι' ἡμῶν αὐτῶν ὑπόσχωμεν. αὗται δ' εἰσὶν ἐκείνων μετριώτεραι. θνησκέτωσαν γὰρ γυναῖκες ἀνύβριστοι, καὶ παῖδες δουλείας ἄπειροι, μετὰ δ' αὐτοὺς ἡμεῖς εὐγενῆ χάριν ἀλλήλοις παράσχωμεν, καλὸν ἐντάφιον τὴν ἐλευθερίαν φυλάξαντες. πρότερον δὲ καὶ τὰ χρήματα καὶ τὸ φρούριον πυρὶ διαφθείρωμεν. λυπηθήσονται [x] γὰρ Ῥωμαῖοι, σαφῶς οἶδα, μήτε τῶν ἡμετέρων σωμάτων κρατήσαντες, καὶ τοῦ κέρδους ἁμαρτόντες. τὰς τροφὰς μόνας ἐάσωμεν. αὗται γὰρ ἡμῖν τεθνηκόσι μαρτυρήσουσιν, ὅτι μὴ δι' ἔνδειαν ἐκρατήθημεν· ἀλλ' ὥσπερ ἐξ ἀρχῆς διέγνωμεν, θάνατον [y] εἱλόμεθα πρὸ δουλείας.

ζ. Ταῦτα Ἐλεάζαρος ἔλεγεν, οὐ μὴν κατ' αὐτὸ ταῖς γνώμαις προσέπιπτε τῶν παρόντων. ἀλλ' οἱ μὲν ἔσπευδον ὑπακούειν, καὶ μόνον οὐχ ἡδονῆς [z] ἐνεπίπλαντο, καλὸν εἶναι τὸν θάνατον νομί-

alii niſi Deo ſervire, is enim ſolus eſt verus & juſtus hominum dominus, nunc tempus adeſt quod factis animi magnitudinem probare jubeat. in quo ne noſmet dehoneſtemus, antea ſervitutem non ſine periculo paſſi, nunc vero cum ſervitute intolerabiles pœnas ſubituri, ſi vivi in Romanorum poteſtatem redigamur. Nam & omnium primi *ab illis* defecimus, & noviſſimi adverſus eos bellum gerimus. Quin & hanc nobis à Deo gratiam datam exiſtimo, ut bene ac libere poſſimus mori, quod aliis non contigit præter ſpem ſuperatis. Nobis autem pro certo quidem prima luce futurum eſt excidium: at libera eſt ſtrenuæ mortis optio una cum chariſſimis. nec enim prohibere id hoſtes poſſunt, quibus omnino in votis eſt nos vivos abducere; neque nos illos jam valemus pugnando ſuperare. Nam fortaſſe quidem ab initio ſtatim (quando libertatem defendere cupientibus omnia & à nobis ipſis acerba & pejora *adhuc* ab hoſtibus eveniebant) de Dei voluntate conjeciſſe oportebat & ſciviſſe, quod chara ei quondam Judæorum gens damnata eſſet ad interitum. nam manens propitius, vel ſaltem nobis leviter infenſus, nunquam tantorum quidem hominum perniciem inſuper habuiſſet, urbemque ſibi ſacratiſſimam tradidiſſet hoſtibus ut incendio periret & funditus dirueretur. Nos autem ſoli ſcilicet ex omni Judæorum genere *calamitati* ſuperſtites fore etiam ſperavimus libertate ſervata, quaſi in Deum non omnino deliquiſſemus, nulliuſque culpæ participes fuiſſemus, qui & aliis idem ſuadere operam dedimus? Itaque videtis quemadmodum nos vana exſpectaſſe redarguit *Deus*, * nobis mala ferendi patiendique neceſſitatem, ſpe noſtra potentiorem, inferens. Nec enim nobis caſtelli, utpote inexpugnabilis, natura quicquam profuit ad ſalutem: ſed & alimentorum copiam & armorum multitudinem, aliamque habentes apparatûs abundantiam, ab ipſo Deo manifeſte ſalutis ſpe exuimur. quippe ignis, qui ferebatur in hoſtes, non ſponte ſua in murum à nobis exſtructum revertebatur: ſed hæc ab ira *Dei* in nos *excitata* ob multas injurias, quas furore capti contra gentiles auſi ſumus; pro quibus pœnas *quæſo* non Romanis inimiciſſimis, ſed per noſmet ipſos Deo ſolvamus. iſtæ enim illis moderatiores ſunt. Moriantur enim conjuges ab injuria vacuæ, liberique ſervitutis expertes: poſt illos autem in noſmet generoſum beneficium mutuo conferamus, ſervata libertate unde pulchram habebimus ſepulturam. Prius tamen & pecuniam & caſtellum igne exuramus. Mœrebunt enim Romani, certe ſcio, ſi corpora noſtra non occupaverint, & *omni* ſpe prædæ exciderint. Alimenta ſola relinquamus. hæc enim nobis erunt teſtimonio mortuis, quod non penuria edomiti ſumus: ſed, ut ab initio ſtatueramus, mortem ſervitio prætulimus.

7. Hæc dicebat Eleazarus, non tamen omnes qui aderant ſuper ea re mente conſentiebant. Sed alii quidem ei obedire properabant, & propemodum voluptate complebantur, pulchram eſſe mortem exiſtimantes.

k Οὗτος ἀληθής ἐστι] Αὐτὸς Big. & Voſſ.
l Ἑαυτοὺς μὴ καταισχύνωμεν,] Αὐτοὺς Big. Vat. & Voſſ.
m Τοῦτο ἀποκωλύειν] Ita Big. Vat. & Ruf. ταῦτ' in Editis aliiſque.
n Ἀπωλείᾳ] Ἀπώλειαν Big. & Voſſ. Abeſt in Ruf.
o Αὐτοῦ πόλιν] Αὐτοῦ Big. & Voſſ.
p Φυλάξαντες,] Φυλάξοντες Big. & Voſſ.
q Ἁμαρτίας,] Illud ἁμαρτίας ex conjectura inſertum. Simile quid agnoviſſe videtur Ruf. qui vertit, *nulliuſque culpæ participes.*
r Ἐπαγαγών.] Ἐπάγων Big. & Voſſ.
s Ὠφέληκεν,] Ὠφέλησεν Bod.
t Ἀνέστρεφεν] Ἀνεστρέφετο Big. Bod. Vat. & Voſſ.
u Μὴ τοῖς] καὶ τοῖς L. B.
x Γὰρ Ῥωμαῖοι,] Illud γὰρ deeſt Vat.
y Εἱλόμεθα] Eſt qui malit εἰλώμεθα. ἑλόμενοι Big. & Voſſ.
z Ἐνεπίπλαντο,] Ἐπίμπλαντο Vat. ἐμπίπλαντο Big. Bod. & Voſſ.

* Fortiore nobis ſperatis rebus malorum neceſſitate illata, Ruf.

ſtimantes. Qui vero molliores erant, conjugum & familiarum miſericordia tenebantur: cumque plane ſuus cuique interitus ob oculos verſaretur, alius alium intuentes lachrymis indicabant, ſe nolle iſtiuſmodi conſilium ſequi. Hos ubi Eleazarus pavitare animadvertit, animiſque frangi ex rei deliberatæ magnitudine, pertimuit ne etiam eos qui fortiter quæ dixerat audiverant, ipſi ſimul effœminarent obſecrantes & lachrymantes. Itaque ab exhortatione non deſiſtit, ſed cum ſemet erexiſſet * multoque repleſſet ſpiritu, clariorem de animæ immortalitate exorſus eſt orationem, magnaque uſus exclamatione & oculis attentis flentes aſpiciens,

Altera Eleazari oratio eodem tendens.

„ Certe, inquit, plurimum deceptus eram, qui putarem viris fortibus in certamine pro libertate ſuccurrere, quibus bene vivere aut *honeſte* mori decretum eſt. Vos autem profecto ne cuilibet quidem homini vel audacia vel virtute præſtatis, qui etiam mala maxima effugituri mortem timetis; cum oporteret vos ſuper ea re neque cunctari neque exſpectare monitorem. Olim enim & à prima ſtatim rerum notitia conſtanter nos docuerunt patrii ac ſacri ſermones, majorum quoque noſtrorum factis & animis eos confirmantibus, quod vivere hominibus, non mori in calamitatem cedit. nam mors quidem animabus dans libertatem, in proprium purumque locum eas diſcedere permittit, ubi futuræ ſunt ab omni malo immunes. Quamdiu autem mortali corpori vinctæ ſunt, ſimulque malis ejus opplentur, veriſſime dicantur mortuæ, utpote quod parum deceat divinum cum mortali ſociari. Eſto quidem multum poſſe animam etiam corpori conjunctam, quippe ſuum facit inſtrumentum ſenſu præditum, dum ipſa non viſa in eo motum ciet, atque actionibus ultra mortalem naturam provehit. Veruntamen cum pondere, eam in terram deprimente, eique appenſo liberata, proprium locum recepit, tunc vim beatam & undique liberam ſortitur poteſtatem, humanorum oculorum, ut ipſe Deus, aciem effugiens. nec enim quamdiu in corpore eſt conſpicitur: ut quæ nemini apparens accedat, neque rurſus cum recedit cuiquam aſpectabilis eſt, unam quidem naturam ipſa habens mutationis expertem, corpori autem in cauſa quod in eo mutationes fiant. nam quodcunque anima attigerit hoc vivit atque viget, unde vero digreſſa fuerit id ipſum flaceſcit & moritur: adeo in ſe abunde habet immortalitatis. Eorum autem quæ dico pro indicio ſit manifeſtiſſimo ſomnus, in quo animæ in ſe collectæ, nuſquam eas diſtrahente corpore, jucundiſſimam quidem agunt quietem, cum Deo vero converſantes ex naturæ cognatione loca omnia peragrant, & multa futura prædicunt. Quorſum igitur mortem formidaremus, cum quietem in ſomno diligimus? Quomodo non amentiæ ſit vivendi libertatem affectantibus, ſibi eam invidere perpetuam? Oportet quidem nos, domeſticis inſtitutis imbutos, aliis præire voluntate ad moriendum prompta. Attamen ſi fidem ab alienigenis faciendam deſideremus, noſmet convertamus ad ſapientiæ profeſſores inter Indos. Illi enim viri boni vivendi quidem tempus,

ζοντες. τοὺς δ' αὐτῶν μαλακωτέρους γυναικῶν καὶ γενεᾶς οἶκτος εἰσῄει πάντως δὲ καὶ τῆς ἑαυτῶν προδήλου τελευτῆς, [a] εἰς ἀλλήλους ἀποβλέποντες τοῖς δακρύοις τὸ μὴ βουλόμενον τῆς γνώμης ἐσήμαινον. τούτους ἰδὼν Ἐλεάζαρος ἀποδειλιῶντας, καὶ πρὸς τὸ μέγεθος τοῦ βουλεύματος τὰς ψυχὰς ὑποκλωμένους, ἔδεισε μή ποτε καὶ τοὺς ἐρρωμένως τῶν λόγων ἀκουσάντας αὐτοὶ συνεκθηλύνωσι ποτνιώμενοι καὶ δακρύοντες. οὔκουν ἀνῆκε τὴν παρακέλευσιν, ἀλλ' ἑαυτὸν ἐπεγείρας, καὶ πολλοῦ λήμματος πλήρης γενόμενος, λαμπροτέροις ἐνεχείρει λόγοις, [b] περὶ ψυχῆς ἀθανασίας, μέγα τε σχετλιάσας καὶ τοῖς δακρύουσιν ἀτενὲς ἐμβλέψας, „ ἦ πλεῖστον, εἶπεν, ἐψεύσθην, νομίζων ἀνδράσιν ἀγαθοῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας ἀγώνων [c] συναίρεσθαι, ζῆν καλῶς ἢ τεθνάναι διεγνωκόσιν. ὑμεῖς δ' ἦτε τῶν τυχόντων οὐδὲν εἰς ἀρετὴν οὐδ' εἰς εὐτολμίαν διαφέροντες, οἵγε καὶ τὸν ἐπὶ μεγίστῃ ἀπαλλαγῇ κακῶν φοβεῖσθε θάνατον· δέον ὑπὲρ τούτου μήτε μελλῆσαι, μήτε σύμβουλον ἀναμεῖναι. πάλαι γὰρ εὐθὺς ἀπὸ τῆς πρώτης αἰσθήσεως παιδεύοντες ἡμᾶς οἱ πάτριοι καὶ θεῖοι λόγοι διετέλουν, ἔργοις τε καὶ φρονήμασι τῶν ἡμετέρων προγόνων αὐτοὺς βεβαιούντων, ὅτι συμφορὰ τὸ ζῆν ἐστιν ἀνθρώποις, οὐχὶ θάνατος. οὗτος μὲν γὰρ ἐλευθερίαν διδοὺς ψυχαῖς, εἰς τὸν οἰκεῖον καὶ καθαρὸν ἀφίησι τόπον ἀπαλλάσσεσθαι, πάσης συμφορᾶς ἀπαθεῖς ἐσομένας. ἕως δ' εἰσὶν ἐν σώματι θνητῷ δεδεμέναι, καὶ τῶν τούτου κακῶν [d] συναναπίπλανται, τἀληθέστατον εἰπεῖν, τεθνήκασι. κοινωνία γὰρ θείῳ πρὸς θνητὸν ἀπρεπής ἐστι. μέγα μὲν οὖν δύναται ψυχὴ καὶ σώματι συνδεδεμένη· ποιεῖ γὰρ αὐτῆς ὄργανον αἰσθανόμενον ἀοράτως αὐτὸ κινοῦσα, καὶ θνητῆς φύσεως περαιτέρω προάγουσα ταῖς πράξεσιν. οὐ μὴν ἀλλ' ἐπειδὰν ἀπολυθεῖσα τοῦ καθέλκοντος αὐτὴν βάρους ἐπὶ γῆν, καὶ προσκρεμαμένου, χῶρον ἀπολάβῃ τὸν οἰκεῖον, τότε δὴ μακαρίας ἰσχύος καὶ πανταχόθεν ἀκωλύτου μετέχει δυνάμεως, ἀόρατος μένουσα τοῖς ἀνθρωπίνοις ὄμμασιν, ὥσπερ αὐτὸς ὁ Θεός. οὐδὲ γὰρ ἕως ἐστὶν ἐν σώματι θεωρεῖται· πρόσεισι γὰρ ἀφανῶς, καὶ μὴ βλεπομένη πάλιν ἀπαλλάττεται, μίαν μὲν αὐτὴ φύσιν ἔχουσα τὴν ἄφθαρτον, αἰτία δὲ σώματι γινομένη μεταβολῆς. ὅτου γὰρ ἂν ψυχὴ προσάψηται, τοῦτο ζῇ καὶ τέθηλεν. ὅτου δ' ἂν ἀπαλλαγῇ, μαρανθὲν ἀποθνήσκει. τοσοῦτον περίεστιν αὐτῇ ἀθανασίας. ὕπνος δὲ τεκμήριον [e] ὑμῖν ἔστω τῶν λόγων [f] ἐναργέστατον, ἐν ᾧ ψυχαί, τοῦ σώματος αὐτὰς [g] μὴ περισπῶντος, ἡδίστην μὲν ἔχουσιν ἀνάπαυσιν ἐφ' ἑαυτῶν γινόμεναι· Θεῷ δ' ὁμιλοῦσαι κατὰ συγγένειαν πάντῃ μὲν ἐπιφοιτῶσι, πολλὰ δὲ τῶν ἐσομένων προθεσπίζουσι. τί δὲ δεῖ δεδιέναι [h] θάνατον, τὴν ἐν ὕπνῳ γινομένην ἀνάπαυσιν ἀγαπῶντας; πῶς δὲ οὐκ ἀνόητόν ἐστιν, τὴν ἐν τῷ ζῆν ἐλευθερίαν διώκοντας, τῆς ἀϊδίου [i] φθονεῖν ἑαυτοῖς; ἔδει μὲν οὖν [k] ἡμᾶς, οἴκοθεν πεπαιδευμένους, ἄλλοις εἶναι παράδειγμα τῆς πρὸς θάνατον ἑτοιμότητος. οὐ μὴν ἀλλ' εἰ καὶ τῆς παρὰ τῶν ἀλλοφύλων δεόμεθα πίστεως, βλέψωμεν εἰς Ἰνδοὺς τοὺς σοφίαν [l] ἀσκεῖν ὑπισχνουμένους. ἐκεῖνοί τε γὰρ ὄντες ἄνδρες ἀγαθοί, τὸν μὲν τοῦ ζῆν χρόνον, „ ὥσπερ

a Εἰς ἀλλήλους ἀποβλέποντες] Ita ex MSS. εἰς τὰ ἄλλα in Editis.
b Περὶ ψυχῆς ἀθανασίας,] Sic Big. Voſſ. & Ruf. περὶ ψυχῶν ἀθανασίας in Editis Aliiſque.
c Συναίρεσθαι,] Ita (cum Cod. Bod. in margine) legendum cenſui, & particulam ἢ in ſequentibus disjunctive non comparative accipiendam. antea erat συναιρεῖσθαι. Rufinus in hunc modum locum interpretatus eſt. *Plurimum opinione deceptus ſum, qui putaverim viros fortes pro libertate certantes mori bene malle quam vivere.*
d Συναναπίπλανται,] Συναναπίμπλανται Voſſ. Vat. & Bod.

e Ὑμῖν] ἡμῖν Ruf.
f Ἐναργέστατον,] Ita ex MSS. ἐναργέστατος in Editis.
g Μὴ περισπῶντος,] Illud μὴ non agnoſcunt Big. & Voſſ.
h Θάνατον,] τὸν ὕπνον Ruf.
i Φθονεῖν ἑαυτοῖς,] φθονοῦσιν αὐτοῖς Ruf.
k Ἡμᾶς,] ὑμᾶς Big. Bod. & Voſſ. contra quam Ruf.
l Ἀσκεῖν] ἀσκεῖν de ſeverioris vitæ profeſſione Spanh.

* Al. & argumenti ubertate ſe repleſſet.

Tῇ

„ ὥσπερ ἀναγκαίαν τινὰ [m] τῇ φύσει λειτουργίαν ἀκουσίως ὑπομένουσι. σπεύδουσι δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων, καὶ μηδενὸς αὐτοὺς [n] κατεπείγοντος κακοῦ, μηδὲ ἐξελαύνοντος, πόθῳ τῆς ἀθανάτου διαίτης, προλέγουσι μὲν τοῖς ἄλλοις, ὅτι μέλλουσιν [o] ἀπιέναι, καὶ ἔστιν ὁ κωλύσων οὐδείς· ἀλλὰ πάντες αὐτοὺς εὐδαιμονίζοντες, πρὸς τοὺς οἰκείους ἕκαστοι διδόασιν ἐπιστολάς. οὕτω βεβαίαν καὶ ἀληθεστάτην ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων [p] εἶναι δίαιταν πεπιστεύκασιν. οἱ δὲ, ἐπειδὰν [q] ἐπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα [r] παραδόντες, ὅπως δὴ καὶ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυχὴν, ὑμνούμενοι τελευτῶσι. ῥᾷον γὰρ ἐκείνους εἰς τὸν θάνατον οἱ φίλτατοι προπέμπουσιν, ἢ τῶν ἄλλων ἀνθρώπων [s] ἕκαστος τοὺς πολίτας εἰς μηκίστην ἀποδημίαν· καὶ σφᾶς μὲν αὐτοὺς δακρύουσιν, ἐκείνους δὲ μακαρίζουσιν, ἤδη τὴν ἀθάνατον τάξιν ἀπολαμβάνοντας. ἆρ' οὖν οὐκ αἰδούμεθα χεῖρον Ἰνδῶν φρονοῦντες, καὶ διὰ τῆς ἑαυτῶν ἀτολμίας τοὺς πατρίους νόμους, οἳ πᾶσιν ἀνθρώποις εἰς ζῆλον ἥκουσιν, αἰσχρῶς ὑβρίζοντες; ἀλλ' εἴγε καὶ τοὺς ἐναντίους ἐξ ἀρχῆς λόγους ἐπαιδεύθημεν, ὡς ἄρα μέγιστον ἀγαθὸν ἀνθρώποις ἐστὶ τὸ ζῆν, συμφορὰ δ' ὁ θάνατος. ὁ γοῦν καιρὸς ἡμᾶς παρακαλεῖ φέρειν [t] εὐκαρδίως αὐτὸν, Θεοῦ γνώμῃ καὶ κατ' ἀνάγκας τελευτήσαντας. πάλαι γὰρ, ὡς ἔοικε, κατὰ τοῦ κοινοῦ παντὸς Ἰουδαίων γένους, ταύτην ἔθετο τὴν ψῆφον ὁ Θεός, ὥσθ' ἡμᾶς τοῦ ζῆν ἀπηλλάχθαι μὴ μέλλοντας αὐτῷ χρῆσθαι κατὰ τρόπον. μὴ γὰρ αὐτοῖς ὑμῖν ἀνάπτετε τὰς αἰτίας, μηδὲ χαρίζεσθε τοῖς Ῥωμαίοις, ὅτι πάντας ἡμᾶς ὁ πρὸς αὐτοὺς πόλεμος διέφθειρεν. οὐ γὰρ ἐκείνων ἰσχύϊ ταῦτα συμβέβηκεν, ἀλλὰ κρείττων αἰτία γενομένη [v] τὸ νικᾷν ἐκείνοις δοκεῖν παρέσχηκεν. ποίοις γὰρ ὅπλοις Ῥωμαίων τεθνήκασιν οἱ Καισάρειαν Ἰουδαῖοι κατοικοῦντες; ἀλλ' οὐδὲ μελλήσαντας αὐτοὺς ἐκείνων [x] ἀφίστασθαι, μεταξὺ δὲ τὴν ἑβδόμην ἑορτάζοντας, τὸ πλῆθος τῶν Καισαρέων ἐπιδραμὸν, μηδὲ [y] χεῖρας ἀνταίροντας ἅμα γυναιξὶ καὶ τέκνοις κατέσφαξαν, οὐδὲ αὐτοὺς Ῥωμαίους ἐντραπέντες, οἳ μόνους ὡς ἡμᾶς ἡγοῦντο πολεμίους τοὺς ἀφεστηκότας. ἀλλὰ φήσει τις ὅτι Καισαρεῦσιν ἦν ἀεὶ διαφορὰ πρὸς τοὺς παρ' αὐτοῖς, καὶ τοῦ καιροῦ λαβόμενοι τὸ παλαιὸν μῖσος ἀπεπλήρωσαν. τί οὖν τοὺς ἐν Σκυθοπόλει φῶμεν; ἡμῖν γὰρ [z] ἐκεῖνοι διὰ τοὺς Ἕλληνας πολεμεῖν ἐτόλμησαν, ἀλλ' οὐ μετὰ τῶν συγγενῶν [a] ἡμῶν Ῥωμαίους ἀμύνεσθαι. πολὺ τοίνυν ὤνησεν αὐτοὺς ἡ πρὸς ἐκείνους εὔνοια καὶ πίστις· ὑπ' αὐτῶν μέντοι [b] πανοικεσίᾳ πικρῶς κατεφονεύθησαν, ταύτης τῆς συμμαχίας ἀμοιβὴν ἀπολαβόντες. ἃ γὰρ ἐκείνους [c] ὑφ' ἡμῶν ἐκώλυσαν, ταῦθ' [d] ὑπέμειναν ὡς αὐτοὶ δρᾶσαι θελήσαντες. μακρὸν ἂν εἴη νῦν ἰδίᾳ περὶ ἑκάστων λέγειν. ἴστε γὰρ ὅτι τῶν ἐν Συρίᾳ πόλεων οὐκ ἔστιν ἥτις τοὺς παρ' αὐτῇ κατοικοῦντας Ἰουδαίους οὐκ ἀνῄρηκεν, ἡμῖν πλέον ἢ [e] Ῥωμαίοις ὄντας πολεμίους. ὅπου γε Δαμασκηνοὶ μηδὲ πρόφασιν εὔλογον πλάσαι δυνηθέντες, φόνου μιαρωτάτου τὴν αὐτῶν πόλιν ἐνέπλησαν, ὀκτακισχι-

„ quaſi neceſſarium quoddam naturæ miniſterium, inviti obeunt: feſtinant autem animas corporum vinculis expedire; nulloque eos urgente aut exagitante malo, vitæ immortalis cupiditate aliis quidem ſe hinc diſceſſuros eſſe prædicunt, nec eſt qui prohibeat quiſquam; ſed omnes beatos eos appellantes, ad familiares ſuos *defunctos* ſinguli aliquid in mandatis dant. ita certam veriſſimamque animabus eſſe inter ſe conſuetudinem credidere. Ipſi autem mandatis acceptis igni tradunt corpora, ut ab omni mortali concretione puræ ſegregentur animæ, atque ita magna cum laude moriuntur. Facilius enim ad mortem eos amiciſſimi proſequuntur, quam aliorum hominum quiſquam ſuos cives in longiſſimam peregrinationem *ituros*: & ſe quidem ipſos deflent, illos vero beatos prædicant, ut in immortalium ordinem jam receptos. Non ergo nos pudebit, ſi ab Indis ſapientia ſuperemur, propriaque ignavia leges patrias, quæ omnibus hominibus æmulandæ veniunt, turpiter dedecoremus? Verum eſto quod contrariis inſtitutis educti fuerimus, ut vitam ſummum eſſe bonum crederemus, mortem vero calamitatem; attamen tempus nos adhortatur eam bono animo ferre, ut qui Dei voluntate & ex neceſſitate morituri ſimus. Olim enim, ut veriſimile eſt, contra Judæorum genus in univerſum hoc decretum tulit Deus; ut mortem oppeteremus, qui vita quemadmodum oportet non eramus uſuri. Nam haud fas eſt vobiſmetipſis cauſas adſcribere, neque Romanis concedere, quod nos *fere* omnes abſumpſerit bellum contra illos geſtum. non enim ex viribus illorum iſta acciderunt: ſed cauſa fortior interveniens illis præſtitit, ut vincere viderentur. Quibus enim Romanorum armis perempti erant, qui Cæſaream incolebant Judæi: quos tamen ne defecturos quidem ab illis, dum vero diem ſeptimum celebrarent, aggreſſa Cæſareenſium multitudo, non repugnantes cum conjugibus ac liberis mactaverunt, neque ipſos reveriti Romanos, qui tantummodo ſicuti nos hoſtes judicabant qui defecerant? Sed dicet aliquis Cæſareenſibus ſemper cum Judæis apud ipſos fuiſſe diſcordiam, captatoque opportuno tempore vetus odium exſaturaſſe. Quid ergo de Scythopolitanis dicemus? Nobiſcum enim illi propter Græcos bellum gerere auſi ſunt, ac non cum conſanguineis noſtris Romanos ulciſci. Multum igitur his profuit ſua erga illos benevolentia ac fides: ſiquidem ab iſtis cum totis familiis acerbe trucidati erant, pro auxilio ſuo hanc gratiam conſequuti. nam quæ illos à vobis pati prohibuerunt, hæc paſſi ſunt, velut ea ipſi committere voluiſſent. Longum foret, ſi velim nunc ſeparatim de ſingulis dicere. Noſtis enim quod Syriæ civitatum nulla eſt, quæ non Judæos in ea habitantes occiderit, *eoſque* nobis quam Romani magis inimicos. Siquidem Damaſceni, cum ne cauſam quidem probabilem fingere potuiſſent, civitatem ſuam cæde maxime nefaria oppleverunt, „ octo-

m Τῇ φύσει] Illud τῇ è *Codd. MSS.*
n Κατεπείγοντος κακοῦ,] Ἐπείγοντος *Big. Roſſ.* & *Voſſ.*
o Ἀπιέναι,] Ita *Big.* & *Voſſ.* ἀπεῖναι in *Editis Aliiſque.*
p Εἶναι δίαιταν πεπιστεύκασιν.] Εἶναι deeſt *Big.* & *Voſſ.*
q Ἐπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς,] Ἀκούσωσι *Big. Roſſ.* & *Voſſ.*
r Παραδόντες,] Παραδιδόντες *Big.* & *Voſſ.*
s Ἕκαστος τοὺς πολίτας] Ἕκαστοι *Vat.*
t Εὐκαρδίως αὐτὸν,] Ita *Big. Vat.* & *Voſſ.* εὐκαρδίους in *Editis Aliiſque.*
v Τὸ νικᾷν ἐκείνοις δοκεῖν παρέσχηκεν.] τὸ δοκεῖν ἐκείνοις παρέσχηκεν *Roſſ.*
x Ἀφίστασθαι,] Ita *Big.* & *Voſſ.* ἐφίστασθαι in *cæteris.*
y Χεῖρας] χειρῶν *Roſſ.*
z Ἐκεῖνοι] ἐκεῖ *MS. Lipſ.* & *Roſſ.*
a Ἡμῶν Ῥωμαίους ἀμύνεσθαι.] Ita *Big.* & *Voſſ.* ὑμῶν in *reliquis.*
b Πανοικεσίᾳ] Conf. Antt. lib. 19. c. 2. §. 2. Spanh.
c Ὑφ' ἡμῶν ἐκώλυσαν,] Sic MSS. ἀφ' ἡμῶν in *Editis.* ἀφ' ὑμῶν *Gall.*
d Ὑπέμειναν] ὑπ' ἐκείνων *Roſſ.*
e Ῥωμαίοις ὄντας πολεμίους.] Ita lego cum Cl. *Lowthio.* Ῥωμαῖοι in *Editis* & *MSS.* cum *Rufino*, qui vertit, *nobis quam Romanos* [*al. Romanis*] *plus inimicos.*

f Ἐκ-

» octodecim Judæorum millibus cum conjugibus ac familiis trucidatis. Eorum autem multitudinem plagis in Ægypto peremptorum LX. millium numerum excedere accipiebamus. Et iſti quidem fortaſſe in aliena terra, ubi nihil invenerant quod hoſtibus ſui in auxilium objicerent, ita mortem obierunt. iſtis vero, qui ſua in terra bellum contra Romanos ſuſceperunt, etiam omnibus unde firmæ victoriæ ſpem haberent nonne vires aderant? nam & arma & muri & caſtellorum ſtructuræ inexpugnabiles, atque indeterriti ſpiritus ad pericula pro libertate ſubeunda, cunctos ad defectionem fortius animarunt. Verum iſta cum ad breve tempus valuiſſent, noſque ad ſpem excitaſſent, majorum malorum viſa ſunt principium. Omnia enim capta erant, omniaque hoſtibus ſuccubuerunt, quaſi ut victoriam illis nobiliorem redderent, non in ſalutem eorum à quibus exſtructa erant apparata fuiſſent. Et in prælio quidem morientes beatos prædicari oportet. libertatem quippe defendentes, non prodentes, interiére. Eorum vero multitudinis qui à Romanis ſubjugati erant quis non miſereatur? quiſve non, antequam eadem patiatur ac illi, mori properet? quorum quidam torti tamque igne quam verberibus cruciati periere; alii vero ſemeſi à beſtiis, ut illis in victum iterum objicerentur vivi, ſervati erant, ad riſum luſumque faciendum hoſtibus. Et illorum quidem miſerrimi habendi ſunt, qui adhuc vivunt; quibus mori non accidit, quod illis ſæpe optatum fuit. Ubi eſt autem illa magna civitas, gentis Judæorum univerſæ metropolis, tantis quidem murorum ſeptis munita, tot vero in mœnibus caſtella & magnas turres in propugnacula habens, bellique apparatum vix capiens, & tot hominum myriadas pro ipſa pugnantium complectens? Quid de ea factum eſt, quam Deum habitaſſe credidimus? Radicitus ex fundamentis evulſa eſt, & id ſolum ejus monumentum relictum, caſtra ſcilicet illorum à quibus exciſa eſt jam reliquiis ejus impoſita. Senes vero infelices templi cineribus aſſident, & paucæ mulieres ad turpiſſimam *pudoris* injuriam ab hoſtibus reſervatæ. Hæc ſecum reputans quis noſtrûm ſolem aſpicere ſuſtinebit, etiamſi vivere ſine periculo poſſit? Quis inimicus adeo patriæ, quis tam imbellis, aut parcus animæ, ut eum non pœniteat hucuſque vixiſſe? Atqui utinam omnes fuiſſemus mortui, priuſquam illam ſacram civitatem hoſtium manibus exſcindi videremus, priuſquam templum tanta impietate funditus erui. Sed quoniam ſpes non ignobilis nos lactavit, quod forte poterimus pro ea hoſtes ulciſci, nunc autem evanuit, & nos ſolos ſubdidit neceſſitati, pulchre mori feſtinemus: noſtrimet ipſi miſereamur & conjugum & liberorum, dum nobis licet nobiſmet ipſis miſericordiam adhibere. Ad mortem namque ipſi geniti ſumus, & quos ex nobis genuimus, eamque fugere ne fortunati quidem poſſunt: injuria vero & ſervitus & videre conjuges

» λίους πρὸς τοῖς μυρίοις Ἰουδαίους ἅμα γυναιξὶ καὶ γενεαῖς ἀποσφάξαντες. τὸ δὲ ἐν Αἰγύπτῳ πλῆθος τῶν μετ' αἰκίας ἀνῃρημένων, ἓξ που μυριάδας ὑπερβάλλειν ἐπυνθανόμεθα. κἀκεῖνοι μὲν ἴσως ἐπ' ἀλλοτρίας γῆς οὐδὲν ἀντίπαλον εὑράμενοι τοῖς πολεμίοις οὕτως ἀπέθανον. τοῖς δ' ἐπὶ τῆς οἰκείας τὸν πρὸς Ῥωμαίους πόλεμον ἀραμένοις ἅπασί τι τῶν ἐλπίδα νίκης [f] ἐχυρᾶς παρασχεῖν [g] δυνάμεων οὐχ ὑπῆρξε; καὶ γὰρ ὅπλα, καὶ τείχη, καὶ φρουρίων δυσάλωτοι κατασκευαί, καὶ φρόνημα πρὸς τοὺς ὑπὲρ τῆς ἐλευθερίας κινδύνους [h] ἄτρεπτον, πάντας πρὸς τὴν ἀπόστασιν ἐπέρρωσεν. ἀλλὰ ταῦτα πρὸς βραχὺν χρόνον ἀρκέσαντα καὶ ταῖς ἐλπίσιν ἡμᾶς ἐπάραντα, μειζόνων ἀρχὴ κακῶν ἐφάνη. πάντα γὰρ ἥλω, καὶ πάντα τοῖς πολεμίοις ὑπέπεσεν, ὥσπερ εἰς τὴν ἐκείνων εὐκλεεστέραν νίκην, οὐκ εἰς τὴν τῶν παρασκευασαμένων σωτηρίαν εὐτρεπισθέντα. καὶ τοὺς μὲν ἐν ταῖς μάχαις ἀποθνήσκοντας εὐδαιμονίζειν προσῆκεν. ἀμυνόμενοι γὰρ καὶ τὴν ἐλευθερίαν οὐ προέμενοι τεθνήκασι. τὸ δὲ πλῆθος τῶν ὑπὸ Ῥωμαίοις γενομένων τίς οὐκ ἂν ἐλεήσειε; ἢ τίς οὐκ ἂν ἐπειχθείη πρὸ τοῦ [i] ταὐτὰ παθεῖν ἐκείνοις ἀποθανεῖν; ὧν οἳ μὲν στρεβλούμενοι, καὶ πυρὶ καὶ μάστιξιν αἰκιζόμενοι, τεθνήκασιν. οἱ δ' ἀπὸ θηρίων [k] ἡμίβρωτοι πρὸς δευτέραν αὐτοῖς τροφὴν ζῶντες ἐφυλάχθησαν, γέλωτα καὶ παιδιὰν τοῖς πολεμίοις παρασχόντες. ἐκείνων μὲν οὖν ἀθλιωτάτους ὑποληπτέον τοὺς ἔτι ζῶντας, οἳ πολλάκις εὐχόμενοι τὸν θάνατον λαβεῖν οὐκ ἔχουσι. ποῦ δ' ἡ μεγάλη πόλις ἡ τοῦ παντὸς Ἰουδαίων γένους μητρόπολις, ἡ τοσούτοις μὲν [l] ἐρυμνὴ τειχῶν περιβόλοις, τοσαῦτα δ' αὐτῆς φρούρια καὶ μεγέθη πύργων προβεβλημένη, μόλις δὲ χωροῦσα τὰς εἰς τὸν πόλεμον παρασκευάς, τοσαύτας δὲ μυριάδας ἀνδρῶν ἔχουσα τῶν ὑπὲρ αὐτῆς μαχομένων; ποῦ γέγονεν ἡμῖν ἡ τὸν Θεὸν ἔχειν οἰκιστὴν πεπιστευμένη; πρόρριζος ἐκ βάθρων ἀνήρπασται, καὶ μόνον αὐτῆς μνημεῖον [m] ὑπολέλειπται, τὸ τῶν ἀνῃρηκότων αὐτὴν στρατόπεδον, ἔτι τοῖς λειψάνοις ἐποικοῦν. πρεσβῦται δὲ δύστηνοι τῇ σποδῷ τοῦ τεμένους παρακάθηνται, καὶ γυναῖκες ὀλίγαι πρὸς ὕβριν αἰσχίστην ὑπὸ τῶν πολεμίων τετηρημέναι. ταῦτα τίς ἐν νῷ βαλλόμενος ἡμῶν καρτερήσει τὸν ἥλιον ὁρᾶν, [n] κἂν δύνηται ζῆν ἀκινδύνως; τίς οὕτω τῆς πατρίδος ἐχθρός, ἢ τίς οὕτως ἄνανδρος καὶ φιλόψυχος, ὡς μὴ καὶ περὶ τοῦ μέχρι νῦν ζῆσαι μετανοεῖν; ἀλλ' εἴθε πάντες ἐτεθνήκειμεν, πρὶν τὴν ἱερὰν ἐκείνην πόλιν χερσὶν ἰδεῖν κατασκαπτομένην πολεμίων, [o] πρὶν τὸν ναὸν τὸν ἅγιον οὕτως ἀνοσίως ἐξορωρυγμένον. ἐπεὶ δὲ ἡμᾶς οὐκ ἀγεννὴς ἐλπὶς ἐβουκόλησεν ὡς τάχα που δυνησομένους πολεμίους ὑπὲρ αὐτῆς ἀμύνασθαι, φροῦδος δὲ γέγονε νῦν, καὶ μόνους ἡμᾶς [p] ἐπὶ τῆς ἀνάγκης καταλέλοιπε, σπεύσωμεν καλῶς ἀποθανεῖν· ἐλεήσωμεν ἡμᾶς αὐτούς, καὶ τὰ τέκνα, καὶ τὰς γυναῖκας, ἕως ἡμῖν ἔξεστι παρ' ἡμῶν αὐτῶν λαβεῖν τὸν ἔλεον. [q] ἐπὶ μὲν γὰρ θάνατον ἐγεννήθημεν, καὶ τοὺς ἐξ [r] αὐτῶν ἐγεννήσαμεν, καὶ τοῦτον οὐδὲ τοῖς εὐδαιμονοῦσιν ἔστι διαφυγεῖν. ὕβρις δὲ καὶ δουλεία, καὶ τὸ βλέπειν γυναῖκας

εἰς

f Ἐχυρᾶς] ἐχυροῖς ἕρκεσιν εἴργειν. *Æſchyl. Perſ.* v. 89. Spanh.

g Δυνάμεων οὐχ ὑπῆρξε;] Illud δυνάμεων è *Cod. Big.* & *Voſſ.* ipſe poſt ὑπῆρξε interrogationis notam poſui. Prius erat δυναμένοις, quod ſenſum commodum non fundit. Ex *Rufini* verſione (verbis illis expreſſa, *at omnibus qui domi cum Romanis bellum ſuſcepere nihil deerat eorum quæ ſpem totam poſſent præbere victoriæ*) eſt qui legendum cenſet, ἅπασι τὰ τὴν ἐλπίδα νίκης ἐχυρᾶς παρασχεῖν δυνάμενα ὑπῆρξε.

h Ἄτρεπτον.] Ἀτρεπτὸν *Big.* & *Voſſ.*

i Ταὐτὰ παθεῖν ἐκείνοις ἀποθανεῖν;] Eo modo *Vat.* ταῦτα in cæteris.

k Ἡμίβρωτοι] ἡμίβρωτοι Athenæus p. 95. C. & 681. E. Spanh.

l Ἐρυμνὴ] ἐρυμνοῖς *Raf.*

m Ὑπολέλειπται.] ἀπολέλειπται *Raf.*

n Κἂν δύνηται] κ' δύν. *MS. Lipſ.* Spanh.

o Πρὶν τὸν ναὸν τὸν ἅγιον] Πρὸ δὲ τοῦ ν. *Bod.*

p Ἐπὶ τῆς ἀνάγκης] Ita *Bod. Vat.* & *Rhod.* ὑπὸ in *Editis Aliiſque.* ὑπὸ τ. ἀν. *MS. Lipſ.* Spanh.

q Ἐπὶ μὲν γὰρ θάνατον ἐγεννήθημεν,] Sic in Pirke R. Eliezeris legitur הילודים למות והמתים לחיות nati ſumus ut moriamur, & morimur ut vivamus. Rel.

r Αὐτῶν ἐγεννήσαμεν,] Ita ſcribendum cenſui. antea erat αὐτοῦ.

„ εἰς αἰσχύνην ἀγομένας μετὰ τέκνων, οὐκ ἔστιν ἀνθρώποις κακὸν ἐκ φύσεως ἀναγκαῖον, ἀλλὰ ταῦτα διὰ τὴν αὐτῶν [s] δειλίαν ὑπομένουσιν, οἱ παρὸν πρὸ αὐτῶν ἀποθανεῖν μὴ θελήσαντες. ἡμεῖς δ' ἐπ' ἀνδρείᾳ μέγα φρονοῦντες Ῥωμαίων ἀπέστημεν, καὶ τὰ τελευταῖα νῦν ἐπὶ σωτηρίᾳ προκαλουμένων ἡμᾶς, οὐχ ὑπηκούσαμεν. [t] τίνι τοίνυν οὐκ ἔστιν ὁ θυμὸς αὐτῶν πρόδηλος, εἰ ζώντων ἡμῶν κρατήσουσιν. ἄθλιοι μὲν οἱ νέοι τῆς ῥώμης τῶν σωμάτων εἰς πολλὰς αἰκίας ἀρκέσοντες· ἄθλιοι δ' οἱ παρηβηκότες, φέρειν τῆς ἡλικίας τὰς συμφορὰς οὐ δυνάμενοι. ὄψεταί τις γυναῖκα πρὸς βίαν ἀγομένην, φωνῆς ἐπακούσεται τέκνου, πατέρα βοῶντος χεῖρας [v] δεδεμένος· ἀλλ' ἕως εἰσὶν ἐλεύθεραι καὶ ξίφος ἔχουσι, καλὴν ὑπουργίαν [x] ἡμῖν [y] ὑπουργησάτωσαν· ἀδούλωτοι μὲν ὑπὸ τῶν πολεμίων ἀποθάνωμεν, ἐλεύθεροι δὲ μετὰ τέκνων καὶ γυναικῶν τοῦ ζῆν συνεξέλθωμεν. ταῦθ' ἡμᾶς οἱ νόμοι κελεύουσι, ταῦθ' ἡμᾶς γυναῖκες καὶ παῖδες ἱκετεύουσι. τούτων τὴν ἀνάγκην θεὸς ἀπέσταλκε, τούτων Ῥωμαῖοι τἀναντία θέλουσι, καὶ μή τις ἡμῶν πρὸ τῆς ἁλώσεως ἀποθάνῃ δεδοίκασι. σπεύσωμεν οὖν, ἀντὶ τῆς ἐλπιζομένης αὐτοῖς καθ' ἡμῶν ἀπολαύσεως, ἔκπληξιν τοῦ θανάτου καὶ [z] θαῦμα τῆς τόλμης καταλιπεῖν.

„ ad turpitudinem duci cum liberis, non eſt malum hominibus ex naturæ neceſſitate profectum, ſed iſta præ timiditate ſua perferunt, qui ante eos mori cum licuit noluere. Nos autem animi fortitudine valde elati à Romanis defecimus: & poſtremo nunc illis ad ſalutem hortantibus non paruimus. Cui igitur non manifeſta eſt illorum ira, ſi nos vivos ſubjugare potuerint. Miſerandi quidem adoleſcentes erunt, quorum corporis vires ad multos ſufficient cruciatus: miſerandi autem provectiores, quorum ætas calamitates ferre non poterit. Videbit alius conjugem ad vim patiendam abductam; alius manibus revinctis vocem filii patrem implorantis exaudiet: ſed dum liberæ ſunt & gladios habent, pulchrum miniſterium nobis præbeant. Expertes quidem ſervitutis hoſtium moriamur; in libertate vero una cum liberis & conjugibus vita decedamus. Hæc nobis leges præcipiunt, hæc à nobis conjuges ac liberi deprecantur. horum neceſſitatem Deus injecit, his contraria Romani volunt, & ne quis noſtrûm ante excidium pereat metuunt. Feſtinemus igitur eis, pro ſperata potiundi noſtri voluptate, ſtuporem incutere ex morte, & admirationem relinquere ex audacia.

ΚΕΦ. Θ'.

Ὅπως οἱ κατὰ τὸ φρούριον πεισθέντες τοῖς λόγοις Ἐλεαζάρου, πλὴν δύο γυναικῶν καὶ παιδίων πέντε, πάντες ἑαυτοὺς ἀπέσφαξαν.

ΕΤΙ γε βουλόμενον αὐτὸν παρακαλεῖν πάντες ὑπετέμνοντο, καὶ πρὸς τὴν πρᾶξιν [a] ἠπείγοντο, ἀνεπισχέτου τινὸς ὁρμῆς πεπληρωμένοι, καὶ [b] δαιμονῶντες ἀπῄεσαν, ἄλλος [c] πρὸ ἄλλου φθάσαι γλιχόμενος, καὶ ταύτην ἐπίδειξιν εἶναι τῆς ἀνδρείας καὶ τῆς εὐβουλίας νομίζοντες, τὸ μή τις ἐν ὑστάτοις γενόμενος ὀφθῆναι. τοσοῦτος αὐτοῖς γυναικῶν καὶ παιδίων καὶ τῆς αὐτῶν σφαγῆς ἔρως ἐνέπεσεν. καὶ μὴν οὐδ' ὥσπερ ἄν τις ᾠήθη τῇ πράξει προσιόντες ἠμβλύνθησαν, ἀλλ' ἀτενῆ τὴν γνώμην διεφύλαξαν, οἵαν ἔσχον τῶν λόγων ἀκροώμενοι, τοῦ μὲν οἰκείου καὶ φιλοστόργου πάθους ἅπασι παραμένοντος, τοῦ λογισμοῦ δ' ὡς τὰ κράτιστα βεβουλευκότος τοῖς φιλτάτοις ἐπικρατοῦντος. ὁμοῦ γὰρ ἠσπάζοντο γυναῖκας περιπτυσσόμενοι, καὶ τέκνα [d] προσηγκαλίζοντο, τοῖς ὑστάτοις φιλήμασιν ἐμφυόμενοι καὶ δακρύοντες. ὁμοῦ δὲ, καθάπερ ἀλλοτρίαις χερσὶν ὑπουργούμενοι, συνετέλουν τὸ βούλευμα· τὴν ἐπίνοιαν ὧν πείσονται κακῶν ὑπὸ τοῖς πολεμίοις [e] γενόμενοι, παραμύθιον τῆς ἐν τῷ κτείνειν ἀνάγκης ἔχοντες. καὶ πέρας οὐδεὶς τηλικούτου τολμήματος ἥττων εὑρέθη, πάντες δὲ διὰ τῶν οἰκειοτάτων διεξῆλθον. ἄθλιοι τῆς ἀνάγκης, οἷς αὐτοχειρὶ γυναῖκας τὰς αὐτῶν καὶ τέκνα κτεῖναι, κακῶν ἔδοξεν εἶναι τὸ κουφότατον. οὗτοι δὴ τοίνυν τὴν ἐπὶ τοῖς πεπραγμένοις ὀδύνην οὐκέτι φέροντες, καὶ τοὺς ἀνῃρημένους νομίζοντες ἀδικεῖν, εἰ καὶ βραχὺν αὐτοῖς ἔτι χρόνον ἐπιζήσουσι, ταχὺ μὲν τὴν κτῆσιν ἅπασαν εἰς

CAP. IX.

Quomodo ii qui in caſtello erant, verbis Eleazari perſuaſi, omnes, præter duas mulieres & quinque pueros, ſibi mortem conſcivere.

Multa oratione Eleazari, quæ ſuos ad mutuam eadem ſtimulat, miro impetu ad facinus feruntur.

IPſum, cum in adhortatione pergere vellet, omnes interpellabant, & effrenato quodam impetu pleni ad rem agendam feſtinabant, dæmonioque afflati abierunt, alius alium prævenire cupiens, *ſinguli* hoc fortitudinis rectique conſilii argumentum eſſe apertùm exiſtimantes, ne quis inter extremos conſpiceretur: tantus eos & conjugum & liberorum & propriæ cædis amor invaſit. Sed nec, id quod aliquis putaverit, retundebatur impetus cum ad facinus accederent, ſed eam fixam in animis ſervavere ſententiam, quam, cum dicta perciperent, habuerunt: proprio quidem & naturali afflatu cunctis permanente; cogitatione vero iſta, quod optime liberis conſuluiſſent, prævalente. Simul enim cum amplexibus uxores ſalutabant, & liberos ulnis ſuis excipiebant, oſculis extremis cum fletu inhærentes. ſimulque, tanquam manibus alienis juſſa peragentes, volentes eos configebant: malorum, quæ ſubditi hoſtibus paſſuri fuerant, cogitationem habentes pro ſolatio neceſſitatis qua ad cædem adigebantur. Denique nemo inventus eſt qui tam immane facinus patrare non audebat: cuncti autem conjunctiſſimos transfixere. Miſeri, quibus id neceſſe erat; quibuſque uxores ſuas atque liberos manibus ſuis occidere, malorum videbatur eſſe leviſſimum. Iſti igitur dolorem ex iis quæ perpetrarunt non jam ferentes, & interfectos læſos exiſtimantes, ſi vel breviſſimum tempus eis forent ſuperſtites, ſtatim quidem cum opes univer-

s Δειλίαν ὑπομένουσιν,] Δειλίαν pro δειλίας repoſui ex Codd. Rhod. Vat. & verſione Rufini, quæ ſic ſe habet, *ſed hæc ſua timiditate perferunt* &c.

t Τίνι] Abeſt a Roſſ.

v Δεδεμένον] Δεδεμένα Bod.

x Ἡμῖν] Ita cum Rufino. antea erat ὑμῖν.

y Ὑπουργησάτωσαν] Ὑπουργησάτωσαν Vat. & Bod. ὑπουργείτωσαν MS. Lipſ. Spanh.

z Θαῦμα τ'] Θαυμαστὸν Roſſ.

a Ἠπείγοντο,] Ἠπείγοντο Big. Vat. Rhod. & Voſſ.

b Δαιμονῶντες ἀπῄεσαν,] Δαιμονῶντες Bod.

c Πρὸ ἄλλου φθάσαι γλιχόμενος,] Πρὸς ἄλλου Big. Bod. & Voſſ.

d Προσηγκαλίζοντο,] Antea erat προσηγκαλίζοντες.

e Γενόμενοι,] Ita Big. & Voſſ. γινόμενοι in Editis.

f Sopd.

Decem electi ad jugulationem omnium.

univerſas congeſſiſſent ignem eis injiciunt: & decem viris forte delectis à quibus omnes mactarentur, cum ſinguli ſe juxta conjuges ac liberos humi jacentes proſtraviſſent, eoſque complexibus tenuiſſent, ſine mora jugulum dabant illis, qui miſerum miniſterium obierunt. Iſti autem, intrepide cunctis occiſis, eandem ſortis legem alii erga alios ſtatuerunt, ut, cui id ſorte evenerat, novem *ſociis* interfectis ſemet ſuper omnes occideret. ita omnes ſibi confidebant, ut neque in audendo neque in ſuſtinendo facinore alius alii præſtaret. Et ad extremum cæteri quidem jugula ſuppoſuerunt; unus vero iſque noviſſimus, multitudine jacentium circumſpecta, ne quis forte in multa cæde ſupereſſet qui ſuæ manûs egeret, ut intellexit omnes occiſos, regiam incendit, valida vero manu adacto per totum corpus enſe, prope ſuos occidit. Et illi quidem perierunt, nullam credentes animam ex numero ſuo Romanis ſubditam reliquiſſe.

Perſona quæ cædem effugiunt.

Latuit autem una mulier grandæva, & alia quædam Eleazari cognata, doctrina & ſapientia pleriſque mulierum præſtans, & quinque pueri in cuniculis, qui aquam ſub terra potui ducebant, abditi, cum alii cædibus occupatas mentes haberent, qui erant nongenti numero & ſexaginta cum mulieribus ſimul ac pueris.

Cædes die decimo Aprilis.

Atque hæc calamitas accidit quintodecimo die Xanthici menſis.

2. Romani autem adhuc pugnam exſpectantes, mane, ſub armis exiſtentes, & ab aggeribus ſcalarum pontibus junctis, impetum *in caſtellum* faciebant. Cum autem hoſtium neminem cernerent, ſed circumquaque magnam ſolitudinem, ignemque intus & ſilentium *animadverterent*, illos, quid factum eſſet, conjicere fugiebat; tandemque ululatum, velut ad impulſum arietis, dederunt, ſi quem forte intus provocarent *& elicerent*. Clamorem autem ſenſerunt mulierculæ, atque, è cuniculis emerſæ, factum Romanis ut erat indicarunt, altera earum qualiter omnia dicta erant & quomodo geſta narrante manifeſte. Non tamen facile illi auſcultabant, auſûs magnitudini parum credentes, ignemque exſtinguere conabantur, & per hunc ſecta via cito regiam ingreſſi ſunt. Cumque in cæſorum multitudinem incidiſſent, non ut de hoſtibus gaudio geſtiebant; ſed generoſum *virorum* conſilium inque tot numero, qui intrepidum facinus patrarent, mortis contemptum ſunt admirati.

ταὐτὸ [f] σωρεύσαντες πῦρ εἰς αὐτὴν ἐνέβαλλον· κλήρῳ δ' ἐξ αὐτῶν ἑλόμενοι δέκα τοὺς ἁπάντων σφαγεῖς ἐσομένους, καὶ γυναικί τις αὑτὸν καὶ παισὶ κειμένοις παραστρώσας, καὶ τὰς χεῖρας περιβαλὼν, παρεῖχον ἑτοίμους τὰς σφαγὰς, τοῖς τὴν δύστηνον ὑπουργίαν ἐκτελοῦσιν. οἱ δὲ ἀτρέπτως πάντας φονεύσαντες, τὸν αὐτὸν [g] ἐπ' ἀλλήλοις τοῦ κλήρου νόμον ὥρισαν, ἵν' ὁ λαχὼν τοὺς ἐννέα κτείνας ἑαυτὸν ἐπὶ πᾶσιν ἀνέλῃ. πάντες οὕτως ἐθάρρουν ἑαυτοῖς, μήτ' εἰς τὸ δρᾶν, μήτ' εἰς τὸ παθεῖν, [h] ἄλλον ἄλλου διαφέρειν. καὶ τέλος, οἱ μὲν τὰς σφαγὰς ὑπέθεσαν, ὁ δ' εἷς καὶ τελευταῖος, τὸ πλῆθος τῶν κειμένων [i] περιαθρήσας, μή πού τις ἔτι ἐν πολλῷ φόνῳ τῆς αὐτοῦ λείπεται χειρὸς δεόμενος, ὡς ἔγνω πάντας ἀνῃρημένους, [k] πῦρ μὲν τοῖς βασιλείοις ἐνίησιν, ἀθρόᾳ δὲ τῇ χειρὶ [l] δι' αὐτοῦ πᾶν ἐλάσας τὸ ξίφος, πλησίον τῶν οἰκείων κατέπεσε. καὶ οἱ μὲν ἐτεθνήκεσαν ὑπειληφότες [m] οὐδεμίαν ψυχὴν ὑποχείριον ἐξ αὐτῶν Ῥωμαίοις καταλιπεῖν. [n] ἔλαθε δὲ γυνὴ πρεσβῦτις [o] καὶ συγγενὴς ἑτέρα τις Ἐλεαζάρου, φρονήσει καὶ παιδείᾳ [p] πλείστων γυναικῶν διαφέρουσα, καὶ πέντε παιδία τοῖς ὑπονόμοις, οἳ ποτὸν ἦγον ὕδωρ διὰ γῆς, [q] ἐγκατακρυβῆναι, τῶν ἄλλων πρὸς τῇ σφαγῇ τὰς διανοίας ἐχόντων, οἳ τὸν ἀριθμὸν ἦσαν [r] ἑξήκοντα πρὸς τοῖς ἐνακοσίοις, γυναικῶν ἅμα καὶ [s] παίδων αὐτοῖς συναριθμουμένων. καὶ τὸ πάθος ἐπράχθη, πεντεκαιδεκάτῃ Ξανθικοῦ μηνός.

β'. Οἱ δὲ Ῥωμαῖοι, μάχην ἔτι προσδοκῶντες, ὑπὸ τὴν ἕω διασκευασάμενοι, καὶ τὰς ἀπὸ τῶν χωμάτων ἐφόδους ταῖς [t] ἐπιβάθραις γεφυρώσαντες, προσβολὴν ἐποιοῦντο. βλέποντες δ' οὐδένα τῶν πολεμίων, ἀλλὰ δεινὴν πανταχόθεν ἐρημίαν, καὶ πῦρ ἔνδον καὶ σιωπὴν, ἀπόρως εἶχον τὸ γεγονὸς συμβαλεῖν· καὶ τέλος [u] ὡς εἰς ἄφεσιν βολῆς ἠλάλαξαν, εἴ τινα τῶν ἔνδον προκαλέσαιντο. τῆς δὲ βοῆς αἴσθησις γίνεται τοῖς γυναίοις, κἀκ τῶν ὑπονόμων [x] ἀναδύσασαι, τὸ πραχθὲν, ὡς εἶχε, πρὸς τοὺς Ῥωμαίους ἐμήνυον, πάντα τῆς ἑτέρας, ὡς ἐλέχθη καὶ τίνα τρόπον ἐπράχθη, σαφῶς ἐκδιηγουμένης. οὐ μὴν ῥᾳδίως αὐτῇ προσεῖχον τῷ μεγέθει τοῦ τολμήματος ἀπιστοῦντες, [y] ἐπεχείρουν τε τὸ πῦρ σβεννύναι, καὶ ταχέως ὁδὸν δι' αὐτοῦ τεμόντες, τῶν βασιλείων ἐντὸς ἐγένοντο. καὶ τῷ πλήθει τῶν πεφονευμένων ἐπιτυχόντες, οὐχ ὡς ἐπὶ πολεμίοις ἥσθησαν. τὴν δὲ γενναιότητα τοῦ βουλεύματος, καὶ τὴν ἐν τοσούτοις ἄτρεπτον ἐπὶ τῶν ἔργων ἐθαύμασαν τοῦ θανάτου καταφρόνησιν.

f Σωρεύσαντες] Συναθροίσαντες *Zonar.*
g Ἐπ' ἀλλήλοις] Ἐπ' ἀλλήλους *Big.* & *Voſſ.*
h Ἄλλον ἄλλου διαφέρειν.] Ita cum Cl. *Lowthio.* ἄλλως in *libris.*
i Περιαθρήσας,] Eo modo *Big. Vat.* & *Zonar.* περιαθροίσας in *Editis Aliiſque.*
k Πῦρ μὲν τοῖς βασιλείοις ἐνίησιν] Ita *Big. Voſſ. Raf.* & *Zonar.* πῦρ μὲν πολὺ τοῖς in *Editis Aliiſque.*
l Δι' αὐτοῦ πᾶν ἐλάσας τὸ ξίφος,] Δι' ἑαυτοῦ *Big. Voſſ.* & *Zonar.* δι' αὐτοῦ in *Editis.*
m Οὐδεμίαν ψυχὴν] Οὐδὲ ἓν ἔχειν ψυχὴν *Big. Vat.* & *Voſſ.*
n Ἔλαθε δὲ γυνὴ πρεσβῦτις] Si omnes peremti, quomodo Joſephus ſcivit quid actum ſit, & quid locutus ſit dux? igitur una latuiſſe dicitur & altera, & illa fideliter memoria retinuit quod ille dixerat de Indis &c. Rel.

o Καὶ συγγενὴς ἑτέρα τις] Καί τις ἑταίρα *Zonar.* καὶ συγγενὴς ἑταίρα τις *Big.* & *Voſſ.* καὶ συγγενὴς reliquis deletis *Rofh.*
p Πλείστων] Vel πλεῖστον & ita *MS. Lipſ.* & *Rufin.* Spanh.
q Ἐγκατακρυβῆναι,] Ἐγκατακρυφθεῖσα juxta *Zonaram.* Eſt qui τῷ ἐγκατακρυβῆναι legendum cenſet.
r Ἑξήκοντα] Διακόσιοι πρὸς ἑξήκοντα *Zonar.* ἑξήκοντα πρὸς τοῖς πεντακοσίοις *Big.* & *Voſſ.*
s Παίδων αὐτοῖς συναριθμουμένων.] Ita cum *Big. Voſſ.* & *Zonara.* παιδίων in *Editis Aliiſque.*
t Ἐπιβάθραις] Conf. ſupr. c. 8. §. 5. Spanh.
u Ὡς εἰς ἄφεσιν βολῆς ἠλάλαξαν.] Illud ὡς è *Codd. MSS.*
x Ἀναδύσασαι,] Antea erat ἀναδῦσαι.
y Ἐπεχείρουν τε τὸ πῦρ σβεννύναι,] Ita *Big. Vat. Voſſ.* & *Bod.* ἐπιχειροῦν in *cæteris.*

ΚΕΦ. ί.

Ὅπως καὶ κατὰ τὴν Ἀλεξάνδρειαν τῶν σικαρίων συμφυγόντων πολλοὶ μὲν ἐκινδύνευσαν· κατελύθη δὲ διὰ τοῦτο, καὶ ὁ παρὰ τοῦ ἀρχιερέως Ὀνίου κτισθεὶς πάλαι ναὸς [z] ἐκεῖσε.

Τοιαύτης δὲ τῆς ἁλώσεως γενομένης, ἐπὶ μὲν τοῦ φρουρίου καταλείπει φυλακὴν ὁ στρατηγὸς, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀπῆλθεν εἰς Καισάρειαν. οὐδὲ γὰρ ὑπελέλειπτό τις τῶν κατὰ τὴν χώραν πολεμίων, ἀλλ' ἤδη πᾶσα διὰ μακροῦ τοῦ πολέμου κατέστραπτο, πολλοῖς καὶ τῶν ἀπωτάτω κατοικούντων, αἴσθησιν καὶ κίνδυνον [a] ταραχῆς παρασχόντος. ἔτι δὲ καὶ περὶ Ἀλεξάνδρειαν τὴν ἐν Αἰγύπτῳ, μετὰ ταῦτα συνέβη πολλοὺς Ἰουδαίων ἀποθανεῖν. τοῖς γὰρ ἐκ τῆς στάσεως τῶν σικαρίων ἐκεῖ διαφυγεῖν δυνηθεῖσιν οὐκ ἀπέχρη τὸ σώζεσθαι. πάλιν δὲ καινοτέροις ἐνεχείρουν πράγμασι, καὶ πολλοὺς τῶν ὑποδεξαμένων ἔπειθον τῆς ἐλευθερίας ἀντιποιεῖσθαι, καὶ Ῥωμαίους μὲν μηδὲν κρείττους [b] ἑαυτῶν ὑπολαμβάνειν, Θεὸν δὲ μόνον ἡγεῖσθαι δεσπότην. ἐπεὶ δ' αὐτοῖς τῶν οὐκ ἀφανῶν τινες [c] Ἰουδαίων ἀντέβαινον, τοὺς μὲν ἀπέσφαξαν, τοῖς δ' ἄλλοις ἐνέκειντο πρὸς τὴν ἀπόστασιν παρακαλοῦντες. ὁρῶντες δ' αὐτῶν τὴν ἀπόνοιαν οἱ πρωτεύοντες τῆς γερουσίας, οὐκ ἔτ' ἀσφαλὲς αὐτοῖς ἐνόμιζον περιορᾶν, ἀλλὰ πάντας ἀθροίσαντες εἰς ἐκκλησίαν τοὺς Ἰουδαίους, ἤλεγχον τὴν ἀπόνοιαν τῶν σικαρίων, πάντων αἰτίους ἀποφαίνοντες ἐκείνους τῶν κακῶν. „ καὶ νῦν, ἔφασαν, αὐτοὺς, ἐπεὶ μηδὲ πεφευγότες τῆς σωτηρίας ἐλπίδα βεβαίαν ἔχουσι, γνωσθέντες γὰρ ὑπὸ Ῥωμαίων εὐθὺς ἀπολεῖσθαι, τῆς αὐτοῖς προσηκούσης συμφορᾶς ἀναπιμπλάναι τοὺς μηδενὸς τῶν ἁμαρτημάτων μετασχόντας." φυλάξασθαι τοίνυν τὸν ἐξ αὐτῶν ὄλεθρον τὸ πλῆθος παρεκάλουν, καὶ περὶ αὐτῶν πρὸς Ῥωμαίους ἀπολογήσασθαι τῇ τούτων παραδόσει. [d] συνιδόντες οὖν τοῦ κινδύνου τὸ μέγεθος, ἐπείσθησαν τοῖς λεγομένοις, καὶ μετὰ πολλῆς ὁρμῆς ἐπὶ τοὺς σικαρίους [e] ἀΐξαντες, συνήρπαζον αὐτούς. τῶν δ' ἑξακόσιοι μὲν εὐθὺς ἑάλωσαν, ὅσοι δ' εἰς [f] τὴν Αἴγυπτον καὶ τὰς ἐκεῖ Θήβας διέφυγον, οὐκ εἰς μακρὰν συλληφθέντες ἐπανήχθησαν. ἐφ' ὧν οὐκ ἔστιν ὃς οὐ τὴν καρτερίαν, καὶ τὴν εἴτε ἀπόνοιαν εἴτε τῆς γνώμης τὴν ἰσχὺν χρὴ λέγειν, οὐ κατεπλάγη. πάσης γὰρ ἐπ' αὐτοὺς βασάνου καὶ λύμης τῶν σωμάτων ἐπινοηθείσης, ἐφ' ἓν τοῦτο μόνον, ὅπως αὐτῶν Καίσαρα δεσπότην ὁμολογήσωσιν, οὐδεὶς ἐνέδωκεν, οὐδ' [g] ἐμέλλησεν εἰπεῖν, ἀλλὰ πάντες ὑπερτέραν τῆς ἀνάγκης τὴν αὐτῶν γνώμην διεφύλαξαν, ὥσπερ ἀναισθήτοις σώμασι, χαιρούσῃ μονονουχὶ τῇ ψυχῇ τὰς βασάνους καὶ τὸ πῦρ δεχόμενοι. μάλιστα δ' ἡ τῶν παίδων ἡλικία τοὺς θεωμένους ἐξέπληξεν. οὐδὲ γὰρ ἐκείνων τις ἐξενικήθη, Καίσαρα δεσπότην ἐξονομάσαι. τοσοῦτον ἄρα τῆς τῶν σωμάτων ἀσθενείας, ἡ τῆς τόλμης ἰσχὺς ἐπεκράτει.

β'. Λοῦπος τότε διῴκει τὴν Ἀλεξάνδρειαν, καὶ περὶ τοῦ κινήματος τούτου Καίσαρι κατὰ τάχος ἐπέστειλεν. ὁ δὲ τῶν Ἰουδαίων τὴν ἀκατάπαυστον ὑφορώμενος νεωτεροποιΐαν, καὶ δείσας μὴ πάλιν εἰς ἓν ἀθρόοι συλλεγῶσι

CAP. X. XXIX.

Quomodo apud Alexandriam multi ſicariorum, qui eo confugerant, diſcrimen adierunt: proptereaque templum, illic olim conditum ab Onia pontifice, deſtructum erat.

FActo autem ad hunc modum excidio, in caſtello quidem præſidium dux relinquit, ipſe vero cum exercitu Cæſaream profectus eſt. Nec enim quiſquam ſupererat in illa regione hoſtium, ſed jam tota ex bello longo fuerat ſubverſa, quod in cauſa erat ut multos, etiam loca procul remota incolentes, perturbatio attingeret ac periculum. Nam & Alexandriæ in Ægypto poſtea accidit, ut multi Judæorum cæderentur. Iſtos enim ex ſicariorum factione, qui illic effugium aſſequi potuerunt, non ſatis erat in tuto eſſe; verum & iterum novas res moliebantur, & multis hoſpitum ſuorum perſuadebant, ut ſe in libertatem aſſererent, & Romanos quidem nihil ipſis meliores putarent, Deum vero pro ſolo domino haberent. Cum autem Judæorum quidam non ignobiles iis adverſarentur, illos quidem occiderunt, aliis vero inſtabant ad defectionem eos ſtimulantes. Illorum autem vecordiam & amentiam cum viderent ſenatûs primores, haud amplius ſibi tutum eſſe arbitrabantur rem negligere; ſed, Judæis omnibus ad concionem vocatis, ſicariorum temeritatem arguebant, illos omnium malorum cauſam eſſe demonſtrantes: „ & nunc, ajebant, illos, „ (quoniam ne quidem ſi fugiſſent certam ſpem „ ſalutis habere videantur, à Romanis etenim „ cognitos ſtatim perituros eſſe) ſibi debita calamitate replere eos qui nullius fuiſſent delicti „ participes." Populum itaque hortabantur, ut exitium ab illis *imminens* caverent, atque ſemet illorum traditione Romanis excuſarent. Intellecta periculi magnitudine dictis paruerunt, multoque impetu in ſicarios facto eos corripiebant. illorumque ſexcenti quidem ſtatim capti ſunt; quotquot vero in Ægyptum Thebaſque illius regionis effugerant, non multo poſt comprehenſi reductique ſunt: quorum non eſt qui *animi* duritiam, ſive deſperatio ſive voluntatis pertinacia ſit dicenda, non obſtupeſcat. Nam omni genere tormentorum & corporis vexatione in eos excogitata, ob hoc ſolummodo, ut Cæſarem dominum agnoſcerent, nemo ceſſit, neque *id* dicere velle viſus eſt; ſed omnes animos neceſſitate ſuperiores conſervarunt, * ut qui corporibus ſenſu carentibus, animabus tantum non lætitia geſtientibus cruciatus ignemque ſuſciperent. Maxime autem puerorum ætas ſpectatores obſtupefecit. nam ne ab illorum quidem ullo exprimi potuit, ut Cæſarem dominum appellarent. Uſque adeo corporum infirmitati prævalebat audaciæ vis.

Judæa tota ſubacta & pacata.

Sicarii fuga ſe recipiunt Alexandriam, & illic turbas cient.

Sicariorum in Cæſarem odium.

Nullis tormentis adigi poſſunt ut Cæſarem dominum agnoſcant.

Puerorum mira pervicacia.

2. Lupus tunc Alexandriam adminiſtrabat, & hunc motum illico per literas Cæſari ſignificavit. Ille autem Judæos à rebus novis moliendis nunquam ceſſaturos eſſe ſuſpicans, veritusque ne rurſus in unum congregarentur, XXX.

Lupus præfes Alexandriæ.

&

z Ἐκεῖσε] Quia in Alexandriæ præfectura extructum erat templum, forte illud Alexandriæ ſitum dicebant. *Seldenus* in lib. 1. *de Succeſſ. in pontif. Hebr.* p. 161.

a Ταραχῆς] Ψοχῆς *Raf.*

b Ἑαυτῶν ὑπολαμβάνειν,] *Αὐτῶν Big. Vat. Voſſ. & Bod.*

c Ἰουδαίων ἀντέβαινον,] *Ἰουδαῖοι Big. & Voſſ.*

d Συνιδόντες οὖν τοῦ κινδύνου] *Συνιδόντες δὲ τὸ Big. συνιδόντες τὸ μέγ. Vat. & Raf.*

e Ἀΐξαντες,] *Ita Big. Vat. Voſſ. Raf. Lipſ. & Bamer. ἀγρεύοντες in cæteris.*

f Τὴν Αἴγυπτον] At ipſam Alexandriam *τὴν ἐν Αἰγύπτῳ* vocavit. Erit ergo, *receperunt ſe in interiora Ægypti*: vel Ægyptus ſuperior proprie dicitur Ægyptus, uti & Voſſius ad Melam notavit. Sic in Ægypto dicitur non pluere, id eſt in ſuperiori: nam Alexandriæ pluit. Rez.

g *Ἐμέλλησεν εἰπεῖν,*] Vide Suidam, v. *ἐμέλλησε.*

* Tanquam brutis corporibus non animis etiam cruciatus ignemque ſuſciperent, *Raf.*

Oniæ templum in Ægypto dirui jubet Veſpaſianus.

& quoſdam ſibi adjungerent, præcepit Lupo ut * templum Judæorum, in ea regione *exſtructum* quæ Oniæ *regio* dicitur, demolitum iret. Illud autem eſt in Ægypto, & ex hujuſmodi cauſa conditum eſt nomenque habuit. Onias Simonis filius, unus è pontificibus Hieroſolymitanis, fugiens Antiochum regem Syriæ cum Judæis bellum gerentem, Alexandriam venit. Cumque eum humaniter excepiſſet Ptolemæus, propter ſuas cum Antiocho inimicitias, ajebat ſe illi in ſocietatem adjuncturum eſſe Judæorum gentem, ſi dictis ſuis obtemperare vellet. Rege autem confeſſo, ſe omnia quæ fieri poſſunt facturum eſſe, rogavit ut ſibi permitteret in aliqua Ægypti parte templum ædificare, & more patrio Deum colere. ita enim fore ut Judæi ad bellum acrius excitarentur contra Antiochum, qui templum apud Hieroſolyma vaſtaverat, & ad ipſum magis-propenſa voluntate venirent; adeoque multos ex religionis libertate ad ſe colligeret.

Nomus Heliopolites, ubi Memphis.

3. Quibus verbis inductus Ptolemæus, ei regionem concedit centum & octoginta ſtadiis à Memphi diſtantem. Illa autem erat in præfectura quæ dicitur Heliopolitana, ubi Onias, caſtello exſtructo, templum quidem diſpar Hieroſolymitano ædificavit, ſed turri *quidem* non diſſimile, ſaxis ingentibus ad LX. cubitos erectum. Fecit autem ut aræ fabrica Hieroſolymitanum referret, & donariis ſimiliter exornavit, præterquam quod lychnuchum non ita fabricavit. Lychnuchum enim non fecit: ſed cum lychnum aureum fabrefeciſſet, *tanquam* jubaris luce radiantem, de aurea catena ſuſpendit. totum vero circa templum ſpatium cocto latere circundedit, ſaxeas portas habente. Sed & rex *ei* permiſit multum agri modum ad pecuniæ reditum, ut ſacerdotibus eſſet copia & Deo multa ſuppeditarentur ad illius cultum *neceſſaria*. Non tamen Onias ſana voluntate hæc faciebat: ſed erat ei, propter fugæ memorem iracundiam, contentio cum Judæis Hieroſolyma habitantibus: atque, hoc templo ædificato, arbitrabatur ad id *ſe inde* multitudinem eſſe allecturum. Quin & olim fuerat prædictio quædam ante annos † ſexcentos, *vate* cui nomen Eſaias prædicente hujus templi futuram in Ægypto conſtructionem à viro Judæo. Et templum quidem ita fuerat exſtructum.

Oniæ ſcopus in templo exſtruendo non purus.

Eſaiæ vaticinium ab Onia detortum.

Paulinus Alexandriæ

4. Lupus autem præſes Alexandriæ, cum literas ab imperatore accepiſſet & ad templum

καί τινας αὐτοῖς συνεπισπάσωνται, προσέταξε τῷ Λούπῳ τὸν ἐν τῇ Ὀνίου [h] καλουμένῃ ναὸν καθελεῖν τῶν Ἰουδαίων. [i] ὁ δέ ἐστιν ἐν Αἰγύπτῳ, καὶ διὰ τοιαύτην αἰτίαν ᾠκίσθη τε καὶ τὴν ἐπίκλησιν ἔλαβεν. [k] Ὀνίας [l] Σίμωνος υἱὸς εἷς τῶν ἐν Ἱεροσολύμοις ἀρχιερέων, φεύγων Ἀντίοχον τὸν Συρίας βασιλέα πολεμοῦντα τοῖς Ἰουδαίοις, ἧκεν εἰς Ἀλεξάνδρειαν. καὶ δεξαμένου Πτολεμαίου φιλοφρόνως αὐτὸν, διὰ τὴν πρὸς Ἀντίοχον ἀπέχθειαν, ἔφη σύμμαχον αὐτῷ ποιήσειν τὸ τῶν Ἰουδαίων ἔθνος, εἰ πεισθείη τοῖς ὑπ' αὐτοῦ λεγομένοις. ποιήσειν δὲ τὰ δυνατά γε τοῦ βασιλέως ὁμολογήσαντος, ἠξίωσεν ἐπιτρέπειν [m] αὐτῷ, ναόν τε που τῆς Αἰγύπτου κατασκευάσασθαι, καὶ τοῖς πατρίοις ἔθεσι θεραπεύειν τὸν Θεόν. οὕτω γὰρ Ἀντιόχῳ μὲν ἔτι μᾶλλον ἐκπολεμώσεσθαι τοὺς Ἰουδαίους, τῷ τὸν ἐν Ἱεροσολύμοις ναὸν πεπορθηκότι· πρὸς αὐτὸν δ' εὐνοϊκωτέρως [n] ἥξειν, καὶ [o] πολλοὺς ἐπ' ἀδείᾳ εὐσεβείας [p] ὡς αὐτὸν συλλεγήσεσθαι.

γ'. Πεισθεὶς Πτολεμαῖος τοῖς λεγομένοις, δίδωσιν αὐτῷ χώραν [q] ἑκατὸν ἐπὶ τοῖς ὀγδοήκοντα σταδίοις ἀπέχουσαν Μέμφεως. νομὸς δ' οὗτος Ἡλιοπολίτης καλεῖται, ἔνθα φρούριον κατασκευασάμενος Ὀνίας, τὸν μὲν ναὸν [r] οὐχ ὅμοιον ᾠκοδόμησε τῷ ἐν Ἱεροσολύμοις, ἀλλὰ πύργῳ παραπλήσιον, λίθων μεγάλων εἰς ἑξήκοντα πήχεις ἀνεστηκότα. [s] τοῦ βωμοῦ δὲ τὴν κατασκευὴν πρὸς τὸν [t] οἴκοι ἐξεμιμήσατο, καὶ τοῖς ἀναθήμασιν ὁμοίως ἐκόσμησε, χωρὶς τῆς περὶ [u] τὴν λυχνίαν κατασκευῆς. οὐ γὰρ ἐποίησε λυχνίαν, αὐτὸν δὲ χαλκευσάμενος [x] τὸν λύχνον χρυσοῦν [y] ἐπιφαίνοντα σέλας, χρυσῆς ἁλύσεως ἐξεκρέμασε. τὸ δὲ τέμενος πᾶν ὀπτῇ πλίνθῳ περιετετείχιστο, πύλας ἔχον λιθίνας. ἀνῆκε δὲ καὶ χώραν πολλὴν [z] ὁ βασιλεὺς εἰς χρημάτων πρόσοδον, ὅπως εἴη καὶ τοῖς ἱερεῦσιν ἀφθονία, καὶ τῷ Θεῷ πολλὰ τὰ πρὸς τὴν εὐσέβειαν. [a] οὐ μὴν Ὀνίας ἐξ ὑγιοῦς γνώμης ταῦτα ἔπραττεν, ἀλλ' ἦν αὐτῷ φιλονεικία [b] πρὸς τοὺς ἐν τοῖς Ἱεροσολύμοις Ἰουδαίους, ὀργὴν τῆς φυγῆς [c] ἀπομνημονεύοντι. [d] καὶ τοῦτο ἱερὸν ἐνόμιζε κατασκευάσας εἰς αὐτὸ περισπάσειν ἀπ' ἐκείνων τὸ πλῆθος. [e] ἐγεγόνει δέ τις καὶ παλαιὰ πρόρρησις [f] ἔτεσί που πρόσθεν ἑξακοσίοις, [g] Ἡσαΐας ὄνομα τῷ προαγορεύσαντι τοῦδε τοῦ ναοῦ τὴν ἐν Αἰγύπτῳ γενησομένην ὑπ' ἀνδρὸς Ἰουδαίου κατασκευήν. τὸ μὲν οὖν ἱερὸν οὕτως ἐπεποίητο.

δ'. Λοῦπος δ' ὁ τῆς Ἀλεξανδρείας ἡγεμὼν, τὰ παρὰ Καίσαρος λαβὼν γράμματα, καὶ παραγενόμενος εἰς τὸ ἱερὸν,

h Καλουμένῃ ναὸν] Ita lego (pro καλουμένου) ex *T. Fabro* in *Epp.* parte priori *Ep.* VI. p. 24. quo modo forſan & *Seldenus* qui (in libro *de Succeſſ. in Pontif. Hebræorum* lib. 1. c. 8. p. 169.) vertit *in urbe ab Onia nominata*: nec aliter, ut puto, *Hieronymus* (in *Danielis* c. IX. p. 1125. *Edit. Bened.*) qui iſta habet, *ipſa autem urbs quæ vocatur Onia &c.* Legi etiam poteſt (ex *Joſepho* p. 621. Antt. lib. 14. c. 8. §. 1.) ἐν τῇ Ὀνίου καλουμένῃ χώρᾳ, vel ἐν τῇ Ὀνίου καλουμένῃ, ut ſubintelligatur χώρᾳ, vel ἐν τῇ Ὀνίου [aut Ὀνίων] καλουμένῃ &c.

i Ὁ δὲ ἔστιν ἐν Αἰγύπτῳ,] Ἡ δὲ *Big. Bod. Vat. Voſſ.* & *Ruf.*

k Ὀνίας] Conf. ſupr. lib. 1. c. 1. §. 1. Spanh.

l Σίμωνος υἱὸς εἷς] Rectius forſan Ὀνίου υἱὸς ut p. 562. Antt. lib. 13. c. 3. §. 1. atque ita in *Euſebii Chronico*, ubi dicitur ὁ τοῦ Ὀνίου. *Tan. Faber.* (in *Epiſtola* jam laudata) Σίμωνος *Joſepho* ἁμάρτημα μνημονικὸν eſſe pronunciat. Huds. Sed Ant. XII. 15. & XIII. 6. (Ed. Gen.) Ὀνίας Ὀνίου υἱὸς dicitur. Legendum ergo Ὀνίας ὁ τοῦ Ὀνίου τοῦ Σίμωνος υἱός. Rel.

m Αὐτῷ,] Abeſt a *Roſt.*

n Ἥξειν,] Sic in pleriſque *MSS.* ἥξειν in *Editis Aliiſque.* quod ferri poteſt.

o Πολλοὺς] πολλὰς *Roſt.*

p Ὡς αὐτὸν συλλεγήσεσθαι.] Ἐπ' αὐτὸν *Voſſ. Vat. Big.* & *Bod.* ὡς αὐτὸν in *Editis Aliiſque.*

q Ἑκατὸν ἐπὶ τοῖς—Ὀνίας, τὸν μὲν ναὸν] Καὶ τοῖς ἑκατὸν ὀγδοήκ. *Big. Vat.* & *Voſſ.* ἐπὶ τοῖς ὀγδοήκοντα σταδίοις *Vat.* Huds. Conf. Antt. l. 12. c. 9. §. 7. & lib. 13. c. 3. §. 3. Spanh.

r Οὐχ ὅμοιον ᾠκοδόμησε] Κατ' ὁμοίωσιν τοῦ ἐν Ἱεροσολύμοις &c. p. 562. v. 32. Reſpectu formæ & conclavium. ▪ enim Judæi non licere tradunt. Rel.

s Τοῦ βωμοῦ] An ergo ſibi licere credidit altare Hieroſolymitanum mutari? omnino 1. Quod Elias & alii altaria ſtruerent extra locum ubi templum aut tabernaculum erat. 2. Quod niti ſibi videretur nota Prophetia de 5. urbibus in Ægypto locuturis ſermonem Canaan. Rel.

t Οἴκοι ἐξεμιμήσατο] Οἴκοθεν *Big.* & *Voſſ.*

u Τὴν λυχνίαν] Nec enim lychnuchum ejuſmodi ad alios uſus fabricare ſuſtinuit, ut: nec alii Judæi, qui 5. qui 6. qui 8, non autem 7. ramorum lychnuchum facere verentur. Rel.

x Τὸν λύχνον χρυσοῦν] Illud τὸν non agnoſcunt *Big.* & *Voſſ.*

y Ἐπιφαίνοντα σέλας,] Ἐπιφέροντα *Bod.* & *Roſt.*

z Ὁ βασιλεὺς] Abeſt a *Roſt.*

a Οὐ μὴν Ὀνίας—ταῦτα ἔπραττεν,] Conf. Antt. lib. 13. c. 3. §. 1. Spanh.

b Πρὸς τοὺς ἐν τοῖς Ἱεροσολύμοις Ἰουδαίους,] Πρὸς τοῖς ἐν τοῖς Ἱεροσολύμοις Ἰουδαίοις *Bod.*

c Ἀπομνημονεύοντι,] ἀλλ' ὑπομνῶν *Roſt.*

d Καὶ τοῦτο ἱερὸν ἐνόμιζε κατασκευάσας] Ita *Big. Voſſ.* & *Ruf.* καί τοι τὸ ἱερὸν in *Editis Aliiſque.*

e Ἐγεγόνει δέ τις καὶ παλαιὰ πρόρρησις] Conf. Antt. lib. 13. c. 3. §. 1. Spanh.

f Ἔτεσί που πρόσθεν ἑξακοσίοις,] Ἔτεσί τε πρόσθεν ἑξακοσίοις *Bod.*

g Ἡσαΐας ὄνομα—ἀνδρὸς Ἰουδαίου] Eſaias (c. 19. v. 18.) ſpirituale Chriſti regnum deſcribens dixerat in Ægyptum uſque propagatum iri. *Cætera videſis apud Jac. Cappellum in Hiſtoria Sacra & Exotica*, p. 616. &c. *Confer Joſephum ipſum*, l. 13. c. 3. p. 562. Antt. lib. 13. c. 3. §. 1.

* Templum Judæorum, quod eſſet apud Onion (quæ ſic appellatur) civitatem deſtrueret. Hæc autem eſt in Ægypto &c. *Ruf.*

† Nongentos ſeptuaginta, *Ruf.*

k Ana-

ἱερὸν, καί τινα τῶν [h] ἀναθημάτων ἐκφορήσας, τὸν ναὸν ἀπέκλεισε. Λούπου δὲ μετὰ βραχὺ τελευτήσαντος, Παυλῖνος διαδεξάμενος τὴν ἡγεμονίαν, οὔτε τῶν ἀναθημάτων [i] οὐδὲν κατέλιπεν, πολλὰ γὰρ διηπείλησε τοῖς ἱερεῦσιν, εἰ μὴ πάντα προκομίσειαν, οὔτε προσιέναι τῷ τεμένει τοὺς θρησκεύειν βουλομένους ἀφῆκεν. ἀλλ' ἀποκλείσας τὰς πύλας, ἀπρόσιτον αὐτὸ παντελῶς ἐποίησεν, ὡς μηδ' ἴχνος ἔτι τῆς εἰς Θεὸν θεραπείας ἐν τῷ τόπῳ καταλιπεῖν. χρόνος ἦν εἰς τὴν ἀπόκλεισιν τοῦ ναοῦ γεγονὼς ἀπὸ τῆς κατασκευῆς ἔτη [k] τρία καὶ τεσσαράκοντα καὶ τριακόσια.

adveniſſet, nonnullis donariis ablatis templum clauſit. Verum, Lupo non multo poſt mortuo, Paulinus, qui ei ſucceſſit in imperio, neque donariorum quicquam reliquit (vehementer enim ſacerdotibus comminatus eſt niſi omnia protuliſſent) neque Deum colere volentibus permiſit ad templum adire: ſed clauſis foribus ipſum omnino inacceſſum fecit, ut ne veſtigium quidem cultûs divini in loco ſupereſſet. Fluxerant *autem*, à templi conditu uſque ad tempus quo clauſum erat, anni CCCXLIII. *Paulinus præſes poſt Lupum.*

ΚΕΦ. ια'. — CAP. XI. XXXI.

Περὶ Ἰωνάθου, σικαρίου ἑνὸς, ἐν Κυρήνῃ στασιαστοῦ καὶ συκοφάντου πονηροτάτου.

De Jonatha, uno è ſicariis, apud Cyrenen ſeditioni ſtudente, & ſycophantam agente improbiſſimum.

Ἥψατο δὲ καὶ [l] τῆς περὶ Κυρήνην πόλεως ἡ τῶν σικαρίων ἀπόνοια, καθάπερ νόσος. διαπεσὼν γὰρ εἰς αὐτὴν Ἰωνάθης, πονηρότατος ἄνθρωπος, καὶ τὴν τέχνην ὑφάντης, οὐκ ὀλίγους τῶν ἀπόρων ἀνέπεισε προσέχειν αὐτῷ, καὶ προήγαγεν εἰς τὴν ἔρημον, σημεῖα καὶ [m] φάσματα δείξειν ὑπισχνούμενος. καὶ τοὺς μὲν ἄλλους ἐλάνθανε ταῦτα διαπραττόμενος καὶ φενακίζων· [n] οἱ δὲ τοῖς ἀξιώμασι [o] προύχοντες τῶν ἐπὶ τῆς Κυρήνης Ἰουδαίων, τὴν ἔξοδον [p] αὐτοῦ καὶ παρασκευὴν τῷ τῆς Πενταπόλεως Λιβύης ἡγεμόνι [q] Κατύλλῳ προαγγέλλουσιν. ὁ δ' ἱππέας τε καὶ πεζοὺς ἀποστείλας, ῥᾳδίως ἐκράτησεν ἀνόπλων. καὶ τὸ μὲν πλέον ἐν χερσὶν ἀπώλετο, τινὲς δὲ καὶ ζωγρηθέντες ἀνήχθησαν [r] πρὸς τὸν Κάτυλλον. ὁ δ' ἡγεμὼν τοῦ βουλεύματος Ἰωνάθης, τότε μὲν διέφυγε, πολλῆς δὲ καὶ λίαν ἐπιμελοῦς ἀνὰ πᾶσαν τὴν χώραν ζητήσεως γινομένης, ἥλω. καὶ πρὸς τὸν ἡγεμόνα [s] Κάτυλλον [t] ἀναχθεὶς, ἑαυτῷ μὲν ἐμηχανᾶτο τῆς τιμωρίας ἀπαλλαγὴν, τῷ Κατύλλῳ δὲ ἔδωκεν ἀφορμὴν ἀδικημάτων. ὁ μὲν γὰρ τοὺς πλουσιωτάτους τῶν Ἰουδαίων ἔλεγε καταψευδόμενος, διδασκάλους αὐτῷ τοῦ βουλεύματος γεγονέναι.

β. Προθύμως δὲ τὰς διαβολὰς ἐκεῖνος ἐξεδέχετο, καὶ τῷ πράγματι πολὺν ὄγκον περιετίθει, μεγάλα προστραγῳδῶν, ἵνα [u] δὴ δόξειε καὶ αὐτὸς Ἰουδαϊκὸν πόλεμον κατωρθωκέναι. [x] τὸ δὲ δὴ [y] τούτου χαλεπώτερον, [z] πρὸς γὰρ τῷ πιστεύειν ῥᾳδίως, ἔτι καὶ διδάσκαλος ἦν τῶν σικαρίων τῆς ψευδολογίας. κελεύσας γοῦν αὐτὸν ὀνομάσαι τινὰ τῶν Ἰουδαίων Ἀλέξανδρον, ᾧ πάλαι προσκεκρουκὼς φανερὸν ἐξενηνόχει τὸ μῖσος, τήν τε γυναῖκα τὴν ἐκείνου Βερνίκην ταῖς αἰτίαις [a] συμπλέξας, τούτους μὲν πρώτους ἀνεῖλεν· ἐπὶ δ' αὐτοῖς ἅπαντας τοὺς εὐπορίᾳ χρημάτων διαφέροντας, ὁμοῦ τρισχιλίους ἐφόνευσεν ἄνδρας. καὶ ταῦτα [b] πράττειν ἐνόμιζεν ἀσφαλῶς, ὅτι τὰς οὐσίας αὐτῶν εἰς τὰς τοῦ Καίσαρος προσόδους ἀνελάμβανεν.

γ. Ὅπως δὲ μηδ' ἀλλαχοῦ τινες τῶν Ἰουδαίων ἐλέγξωσιν αὐτοῦ τὴν ἀδικίαν, πορρωτέρω τὸ ψεῦδος

Dementia vero & furor ſicariorum, veluti morbi contagium, Cyrenen urbeſque circa ipſam invaſit. Nam cum Jonathas, vir improbiſſimus & arte textor, eò evaſiſſet, pauperum & indigentium non paucis, ut ipſi ſe adjungerent, perſuaſit, & in deſertum eduxit, promittens ſe ſigna ipſis & apparitiones oſtenſurum. & alios quidem hæc agendo atque fallendo latebat: qui vero inter Judæos Cyrenenſes dignitate præſtabant, ejus profectionem & apparatum Catullo Pentapolitanæ Libyæ præſidi annunciant. Ille autem, equitibus & peditibus miſſis, inermes facile ſuperavit: & major quidem pars manibus interiit, nonnulli autem vivi capti ad Catullum perducti erant. Autor autem conſilii Jonathas tunc quidem effugit; multum vero ac diligenter per omnem quæſitus regionem, captus eſt; adductuſque ad Catullum, ſibi quidem id confecit ut ſupplicium effugeret, Catullo autem anſam ad maleficia præbuit. Ille enim Judæorum locupletiſſimos falſo inſimulans, auctores ſibi hujus conſilii illos exſtitiſſe dicebat. *Sicarii etiam Cyrenen turbant.* *Catullus Pentapolitanæ Libyæ præſes.* *Jonathas dux ſicariorum capitur.*

2. Catullus autem calumnias iſtas alacriter amplectebatur, remque valde cumulabat & adaugebat, tragicis etiam verbis *ſingula* multum exaggerans, ut ſcilicet ipſe bellum Judaïcum confeciſſe videretur. Et, quod hoc atrocius eſt, præter eam credulitatem, ſicarios eandem calumniam edocebat. Denique cum hoc ei juſſiſſet, ut Judæum quendam Alexandrum nominaret, (cum quo olim ei infenſus, apertas exercuerat ſimultates) & uxorem ejus Berenicen criminationibus implicuiſſet, hos quidem primo occidit; deinde omnes pecuniarum copia pollentes ad tria virorum millia ſimul trucidavit. & hæc ſecure facere arbitrabatur, quod eorum patrimonia reditibus Cæſaris adjungeret. *Catulli calumnia in Judæos.*

3. Ne vero vel alibi degentium quiſquam Judæorum ejus iniquitatem redargueret, *etiam* longiùs men-

h Ἀναθημάτων] Ita Big. & Voſſ. ἀναθημάτων in Editis Aliiſque.

i Οὐδὲν κατέλιπεν,] Οὐδὲ κατέλιπεν Voſſ. οὐδὲ κατέλειπεν Big. & Raſ.

k Τρία καὶ τεσσαράκοντα καὶ τριακόσια.] Vero propius Ruffinus ait ſtetiſſe annos CCCXXXIII. Legendum CCXXXIII. Clauſum eſt enim Veſpaſiani juſſu paolo poſt Hieroſolymitanum, circa annum U. C. 824. *Capellus.* Confer. *Seldenum* in l. 1. *de Succeſſ. in Pontif. Hebr.* c. VIII.

l Τῶν περὶ Κυρήνην—σικαρίων ἀπόνοια,] Conf. de Vita §. 76. Spanh.

m Φάσματα δείξειν ὑπισχνούμενος] Τέρατα *Zonar.*

n Οἱ δὲ τοῖς ἀξιώμασι] Circa hæc deficit altera Collatio ex Voſſianis (ubi pag. 996. lit. F. l. 4. ſcribitur, *hic def. MS.*) nam Bigotiana ad finem uſque pergit. Hav.

o Προύχοντες τῶν ἐπὶ τῆς Κυρήνης Ἰουδαίων,] Confer de Vita §. 76. Spanh.

p Αὐτοῦ] αὐτῶν *Raſ.*

q Κατύλλῳ προαγγέλλουσιν.] *Al.* Καλύλλῳ.

r Πρὸς τὸν] εἰς τὸν *Raſ.*

s Κάτυλλον] Abeſt a *Raſ.*

t Ἀναχθεὶς,] ἀχθεὶς *Raſ.*

u Δὴ δόξειε καὶ αὐτὸς Ἰουδαϊκὸν πόλεμον κατωρθωκέναι.] δόξῃ ὡς κατορθώσας Ἰουδ. τὸν πόλεμον κ. *Raſ.* deleto, ὡς quod & *Voſſ.*

x Τὸ δὲ] τοῦτο *Voſſ.*

y Τούτου] τοῦτον *Raſ.*

z Πρὸς γὰρ τῷ πιστεύειν ῥᾳδίως,] Ita cum *Zonara.* πρὸς γὰρ τὸ in *Editis Aliiſque.*

a Συμπλέξας,] Συνπλέξας *Big.*

b Πράττειν ἐνόμιζεν ἀσφαλῶς,] Sic *Ruffinus* legiſſe videtur. πράττων in *Græcis* quibus uſi ſumus.

mendacium propagavit: ac Jonathæ, nonnulliſque aliis qui cum eo comprehenſi fuerant, perſuadet, ut novarum rerum accuſationem inferrent probatiſſimis Judæorum apud Alexandriam Romamque degentium. Horum autem, qui inſidioſe delati ſunt, unus erat Joſephus qui hæc ſcripſit. Non tamen Catullo, ita ut ſperaverat, ceſſit machinatio. Nam Romam quidem venit, Jonathan cæteroſque vinctos ducens: finemque arbitrabatur quæſtionis eſſe calumniam apud illum ac per ipſum conflatam. Veſpaſianus autem, rem ſuſpicatus, in veritatem inquiſivit: compertoque injuſtam hominibus illatam accuſationem, illos quidem Titi ſtudio criminibus ſibi objectis ſolvit; pœnam vero, quam commeruit, in Jonatham ſtatuit. Vivus enim exuſtus eſt, verberibus ante multatus.

Joſephus accuſatur conjurationis.

Calumnia retegitur & Jonathas crematur.

Catulli mors & vindicta divina.

4. Catullo autem tunc quidem ob lenitatem imperatorum contigit, ut nihil amplius reprehenſionis experiretur. Verum non multo poſt, multiplici morbo & inſanabili correptus, ægre vita diſcedit, non corpore tantum cruciatus, ſed graviore animi morbo affectus. Terroribus enim exagitabatur & crebro clamabat, ſe videre umbras eorum quos peremerat ſibi obverſari: cumque ſeipſum continere non potuiſſet, lecto exſiliebat, tanquam tormenta ei adhibita eſſent & ignis. Malo autem continuò valde ingraveſcente, ejuſque inteſtinis per corroſionem defluentibus, ita mortem occubuit, non minus *illuſtre* quam alius quiſquam divinæ in puniendis ſceleſtis providentiæ indicium factus.

Epilogus operis.

5. Hic nobis eſt finis hiſtoriæ, quam cum omni diligentia nos tradituros polliciti ſcimus ſcire cupientibus, quemadmodum hoc bellum à Romanis cum Judæis geſtum erat. Et qualis ſit quidem dictio, *qua uſus ſum*, lectorum eſto judicium: de veritate autem confidenter dicere non pigebit, quod hanc ſolam per omnia quæ ſcripſi *mihimet* propoſuerim.

Finis Joſephi excidii Judaïci.

ἐξέτεινε· καὶ πείθει τὸν Ἰωνάθην καί τινας τῶν ἅμα ἐκείνῳ [c] συνειλημμένων, νεωτερισμοῦ κατηγορίαν ἐπιφέρειν τοῖς ἐν Ἀλεξανδρείᾳ τε καὶ Ῥώμῃ τῶν Ἰουδαίων δοκιμωτάτοις. τούτων εἷς τῶν ἐξ ἐπιβουλῆς [d] αἰτιαθέντων ἦν Ἰώσηπος, ὁ ταῦτα συγγραψάμενος. οὐ μὴν κατ' ἐλπίδα τῷ Κατύλλῳ τὸ [e] σκεύωρημα προεχώρησεν. ἧκεν μὲν γὰρ εἰς τὴν Ῥώμην, τοὺς περὶ τὸν Ἰωνάθην ἄγων δεδεμένους, καὶ πέρας ᾤετο τῆς ἐξετάσεως εἶναι, τὴν ἐπ' αὐτοῦ καὶ δι' αὐτοῦ γενομένην ψευδολογίαν. Οὐεσπασιανὸς δὲ, τὸ πρᾶγμα ὑποπτεύσας, ἀναζητεῖ τὴν ἀλήθειαν, καὶ γνοὺς [f] ἄδικον τὴν αἰτίαν τοῖς ἀνδράσιν ἐπενηνεγμένην, τοὺς μὲν ἀφίησι τῶν ἐγκλημάτων Τίτου σπουδάσαντος, δίκην δ' ἐπέθηκεν Ἰωνάθῃ τὴν προσήκουσαν. ζῶν γὰρ κατεκαύθη, πρότερον αἰκισθείς.

δʹ. Κατύλλῳ δὲ τότε μὲν ὑπῆρξε, διὰ τὴν πραότητα τῶν αὐτοκρατόρων, μηδὲν πλέον ὑπομεῖναι καταγνώσεως. οὐκ εἰς μακρὰν δὲ νόσῳ καταληφθεὶς πολυτρόπῳ καὶ δυσιάτῳ χαλεπῶς [g] ἀπαλλάττεται, οὐ τὸ σῶμα μόνον κολαζόμενος, ἀλλ' ἦν ἡ τῆς ψυχῆς αὐτῷ νόσος βαρυτέρα. δείμασι γὰρ ἐξεταράττετο, καὶ συνεχῶς [h] ἀνεβόα, βλέπειν εἴδωλα τῶν ὑπ' αὐτοῦ πεφονευμένων ἐφεστηκότα. καὶ κατέχειν ἑαυτὸν οὐ δυνάμενος, [i] ἐξήλλετο τῆς εὐνῆς ὡς βασάνων αὐτῷ καὶ πυρὸς προσφερομένων. τοῦ δὲ κακοῦ πολλὴν ἀεὶ τὴν ἐπίδοσιν λαμβάνοντος, καὶ τῶν ἐντέρων αὐτῷ κατὰ διάβρωσιν ἐκπεσόντων, οὕτως ἀπέθανε, οὐδενὸς ἧττον ἑτέρου τῆς προνοίας τοῦ Θεοῦ τεκμήριον γενόμενος, ὅτι τοῖς πονηροῖς δίκην ἐπιτίθησιν.

εʹ. Ἐνταῦθα τῆς ἱστορίας ἡμῖν τὸ πέρας ἐστὶν, ἣν ἐπηγγειλάμεθα μετὰ πάσης ἀκριβείας παραδώσειν τοῖς βουλομένοις μαθεῖν, τίνα τρόπον οὗτος ὁ πόλεμος Ῥωμαίοις πρὸς Ἰουδαίους ἐπολεμήθη. καὶ πῶς μὲν ἡρμήνευται, τοῖς ἀναγνωσομένοις κρίνειν ἀπολελείφθω· περὶ τῆς ἀληθείας δ' οὐκ ἂν ὀκνήσαιμι θαρρῶν λέγειν, ὅτι μόνης ταύτης παρὰ πᾶσαν τὴν γραφὴν ἐστοχασάμην.

[k] Τέλος τῆς Ἰωσήπου Ἰουδαϊκῆς ἁλώσεως.

c Συνειλημμένων,] Συνεδέτων Big. & Voſſ.
d Αἰτιαθέντων ἦν Ἰώσηπος,] Αἰτιαθέντων Big. & Voſſ.
e Σκεύωρημα] Σκευώρημα Big. & Voſſ. ἐσκευωρημένα Demoſth. adv. Timocr. 516. C. alibi σκευωρήματα Philipp. III. pag. 163. Spanh.
f Ἄδικον τὴν αἰτίαν] Ita Big. & Voſſ. ἀδίκως in Editis Aliiſque.
g Ἀπαλλάττεται,] Sic MSS. ἀπαλλάττετο in Editis forſan ἀπηλλάττετο.
h Ἀνεβόα.] Ἐβόα Big. & Voſſ.
i Ἐξήλλετο τῆς εὐνῆς] Ita Big. & Voſſ. antea erat ἐξήλλατο.
k Τέλος τῆς Ἰωσήπου Ἰουδαϊκῆς ἁλώσεως.] Τέλος ἁλώσεως Big. In Calce Roſgardienſis Cod. adſcribitur notum illud de Chriſto teſtimonium.

[a]ΦΛ. [b]ΙΩΣΗΠΟΥ,

[c]ΠΕΡΙ

ΑΡΧΑΙΟΤΗΤΟΣ ΙΟΥΔΑΙΩΝ,

[d]ΚΑΤΑ [e]ΑΠΙΩΝΟΣ

ΛΟΓΟΣ Α'.

FLAVII JOSEPHI,

DE

ANTIQUITATE JUDÆORUM,

CONTRA APIONEM

LIBER I.

ΙΚΑΝΩΣ μὲν ὑπολαμβάνω, καὶ διὰ [f]τῆς περὶ τὴν ἀρχαιολογίαν συγγραφῆς, κράτιστε ἀνδρῶν [g]Ἐπαφρόδιτε, τοῖς ἐντευξομένοις αὐτῇ πεποιηκέναι φανερὸν περὶ τοῦ γένους ἡμῶν τῶν Ἰουδαίων, ὅτι καὶ [h]παλαιότατόν ἐστι καὶ τὴν πρώτην ὑπόστασιν ἔσχεν ἰδίαν, καὶ [i]πῶς τὴν χώραν [k]ἣν [l]νῦν ἔχομεν κατῴκησεν, [m]ἣν, πεντακισχιλίων ἐτῶν ἱστορίαν περιέχουσαν, ἐκ τῶν παρ' ἡμῖν ἱερῶν [n]βίβλων διὰ τῆς Ἑλληνικῆς φωνῆς συνεγραψάμην. ἐπεὶ δὲ συχνοὺς ὁρῶ ταῖς ὑπὸ δυσμενείας ὑπὸ

SATIS quidem arbitror, me per libros etiam Antiquitatum, virorum præſtantiſſime Epaphrodite, lecturis eos planum feciſſe de gente noſtra Judaïca, quod & vetuſtiſſima ſit, & primam originem ſibi propriam habuerit, utque regionem quam nunc tenemus incoluerit, quos, annorum quinque millium hiſtoriam complectentes, ex ſacris libris noſtris Græca lingua conſcripſi. Quoniam vero multos video, qui maledicis ſermonibus, malo Prologus.

---

a ΦΛ.] Φλαβίε in *Vulgatis.* Φλαΐε in quibuſdam *MSS.* Verum nummi nos docent Φλαουΐε correcte ſcribi.

b ΙΩΣΗΠΟΥ,] Ἰωσήπου δὲ Ἑβραίου ἐκ γένους ἰσραηλιτῶν ἀπὸ Ἱεροσολύμων juxta quoſdam *Rufini Codd.* Ἰωσήπου τοῦ Ἑβραίου *Euſeb.* in *Præp. Evang.* p. 476. & in *Eccl. Hiſt.* p. 84.

c ΠΕΡΙ ΑΡΧΑΙΟΤΗΤΟΣ ΙΟΥΔΑΙΩΝ,] Idem titulus huic operi inſcribitur ab *Euſebio*, in libro VIII. de *Præp. Evang.* c. 7. ad finem, p. 361. & lib. X. c. 6. prope finem, p. 476. & in titulo cap. XIII. ejuſdem libri p. 500. περὶ ἀρχαιότητος Ἰουδαίων ἐξ ἱστοριῶν συγκείμενος ἀντιρρητικὸς λόγος πρῶτος καθ' Ἑλλήνων in *Cod. El.* περὶ ἀρχαιότητος Ἰουδαίων ἀντιρρητικὰ κατὰ Ἀπίωνος Γραμματικοῦ. i. e. *de Antiquitate Judæorum refutatorii contra Appionem Grammaticum*, habet *Budæus* in l. V. *de Aſſe.* quos (inquit) Latine ita verſos legimus, ut præſtabilius fuiſſet nunquam fuiſſe editos, adeo corrupti ſunt *Librariorum* vitio & *Interpretis* ignorantia. Scripsi poſt Ἄλωσιν καὶ Ἀρχαιολογίαν ut ex initio patet hujus libri. SPANH.

d ΚΑΤΑ] Κατὰ Ἀπίωνος Γραμματικοῦ Ἀλεξανδρέως ex *Rufino* & inimico ejuſdem *Hieronymo* de *Viris illuſtribus.* Κατὰ Ἀπίωνος abeſt ab *Haſn.* Euſebius Hiſt. Eccl. lib. III. c. IX. pag. 84. de Joſephi libris: καὶ ἕτερα δὲ αὐτοῦ φησὶ σπουδῆς ἄξια δύο, τὰ περὶ τῆς τῶν Ἰουδαίων ἀρχαιότητος, ἐν οἷς καὶ ἀντιρρήσεις πρὸς Ἀπίωνα τὸν Γραμματικὸν κατὰ Ἰουδαίων τηνικάδε συνταξάντα λόγον ποιεῖται &c. A Porphyrio citantur hi duo libri πρὸς τοὺς Ἕλληνας nempe περὶ Ἀποχ. lib. II. p. 351. καὶ ἐν τῷ δευτέρῳ τῶν πρὸς Ἕλληνας ἔστι δὲ δύο τὰ βιβλία. SPANH.

e ΑΠΙΩΝΟΣ ΛΟΓΟΣ Α'.] Legitur etiam per geminum π. tanquam Ἀππίων nomen Romanum eſſet in Græcam ſpeciem detortum ab recto *Appius*, ut Μαρκίων à *Marcius*. Verum Ἀπίων Ægyptiis in uſu fuit, deductum ab Api, ut à Serapi *Serapion.* Pro quo nummi faciunt, uti oſtendit Cl. *Harduinus* in *Nummis Antiquis Populorum & Urbium illuſtratis*, ſub voce ΥΠΑΙΠΗΝΩΝ. Κατ' Ἀπίωνος non agnoſcit *Flor.* pro quibus verbis πρὸς τοὺς Ἕλληνας habet *Porphyrius* περὶ ἀποχῆς.

f Τῆς περὶ τὴν ἀρχαιολογίαν συγγραφῆς,] Conf. de Vita §. 76. SPANH.

g Ἐπαφρόδιτε,] Cum anno XIIIo. *Domitiani* libros *Antiquitatum* ſcripſerit *Fl. Joſephus*, & poſtea *Commentarium de Vita ſua*, tanquam appendicem ad *Antiquitatum* libros, ac denique *libros duos adverſus Apionem*, omnia autem iſta ſcripta conſecrarit *Epaphrodito*: vix poteſt eſſe *Epaphroditus* ille, qui olim *Neronis a libellis*, & XIVo. *Domitiano* cæſus eſt, cum jam aliquandiu in exſilio fuiſſet; ſed alter *Epaphroditus*, Trajani (ut inquit *Grotius* ad *Lucam*, c. 1. v. 3.) libertus ac procurator. De hoc Epaphrodito in fine de Vita §. 76. & Proœm. in ἀρχ. §. 2. καὶ μάλιστα δὴ πείσαντος Ἐπαφροδίτου &c.

h Παλαιότατόν ἐστι] Ita in *MSS.* & *Vet. Interpr.* παλαιότατόν τε καὶ π. *Haſn.* παλαιότατόν τε καὶ in *Editis.*

i Πῶς τὴν χώραν] Iterum cum *MSS.* (ut *Haſn.*) antea erat, καὶ περὶ τὴν χ.

k Ἣν] Conf. Proœm. ἀρχ. §. 3. πεντακισχιλίων ἐτῶν ἱστορίας &c. Joſephus ait à ſe Hebræorum volumina in Græcam linguam transferri nec addentem iis quicquam aut detrahentem Conf. ἀρχ. lib. 10. c. 11. §. 1. SPANH.

l Νῦν ἔχομεν κατῴκησεν,] Illud νῦν non agnoſcit *El.*

m Ἣν, πεντακισχιλίων ἐτῶν ἱστορίαν περιέχουσαν,] *Sc.* συγγραφὴν. dein in *MSS.* (ut & *Haſn.*) πεντακισχιλίων ἐτῶν ἀριθμὸν ἱστορ. &c. abſque vocula ἣν. De annorum numero videlis *Iſ. Voſſium* in *Chronologia Sacra*, p. 148.

n Βίβλων] Sic *MSS.* βίβλων & βιβλίων in *Editis* paſſim.

o Διὰ]

malo animo à quibuſdam jactatis, fidem habeant, eaque quæ ego de antiquitate ſcripſi non credant, & recentiorem eſſe gentem noſtram colligant ex eo, quod nulla ejuſdem mentio facta fuerit apud celebres Græcorum hiſtoricos; de hiſce omnibus putavi ſcribendum breviter, tum ut obtrectatorum malevolentiam voluntariumque falſiloquium arguerem, tum ut aliorum ignorantiam corrigerem, univerſoſque de noſtra antiquitate edocerem, qui veritatem ſcire deſiderant. Eorum autem quæ à me dicentur utar quidem teſtibus eis, qui de omni antiquitate apud Græcos fide digni habiti fuerunt: eos vero, qui probroſe de nobis falſoque ſcripſere *aliqua*, ipſos ſuis verbis convictos dabo. Conabor etiam quid cauſæ fuerit aperire, quod non multi è Græcis in hiſtoriis *ſuis* gentis noſtræ meminerint: necnon & eos, qui de nobis ſcribere in hiſtoriis non omiſerunt, producam iis qui aut neſciunt eos aut ſe neſcire ſimulant.

Auctoris in ſcribendo inſtitutum.

2. Primum itaque vehementer eos mirari ſubit, qui de rebus antiquiſſimis non aliis fidem quam Græcis *hominibus* habendam eſſe, non niſi ab illis verum exſpectandum, proinde neque nobis neque aliis quibuſcunque credendum arbitrantur. Equidem hoc in genere ſecus omnino ſtatuendum intelligo, ſi modo verum è rebus ipſis ſumere potius, quam vanis opinionibus inhærere malimus. Enimvero nova *certe* apud Græcos omnia, & ante unum, ut ita loquar, alterumve diem exſtitiſſe reperias, urbium (*inquam*) molitionem, excogitationem artium, & legum perſcriptionem: omnium vero noviſſimò ad ſcribendam hiſtoriam ſe contulerunt. At vero & Ægyptiis, & Chaldæis, & Phœnicibus (ne cum iis noſtrates hoc loco numerem) vetuſtiſſimam atque conſtantiſſimam rerum ſuarum manere memoriam *Græci* fatentur ipſi. Etenim cùm regionem incolunt omnium minime infeſto cœlo laborantem, tum diligentiam in eo ſingularem adhibuerunt, uti ne quid è rebus ſuis oblivione conſepultum jaceret, ſed potius omnia publicas in tabulas à viris ſapientiſſimis ſemper referrentur. Contra vero tractum illum Græciæ univerſum, infinitorum morborum ſubinde depaſta lues, rerum geſtarum memoriam funditus abolevit; adeoque novo ſemper inſtituto vitæ curriculo, ſuum quique ſibi univerſæ principium & caput eſſe facile perſuaſerunt. Iidem ſero admodum, vixque tandem literarum naturam didicere. Nam qui vetuſtiſſimum illarum uſum eſſe volunt, eas illi ſeſe à Phœnicibus atque à Cadmo accepiſſe gloriantur. neque tamen quiſquam, aut in ſacris, aut in publicis uſquam monumentis ullum ejus temporis exſtare veſtigium oſtenderit; ubi etiam de iis qui Trojanam expeditionem tanto poſt ſuſcepere dubitatum perdiu quæſitumque eſt, an literis uſi fuerint. Qua de re verior ea conſtantiorque ſententia jam obtinet, ignoratum ab iis hodiernum illarum uſum fuiſſe. Neque tu ſcriptum omnino apud Græcos ullum, cujus de fide modo conſtet, Homeri Poëſi antiquius invenias. at eum poſt

Non ſoli Græci de rebus antiquis audiendi.

Vetuſtior rerum memoria apud Ægyptios & Chaldæos &c.

Græci fatentur ſe literarum uſum à Cadmo & Phœnicibus accepiſſe.

De Homeri poëſi. &

τινων εἰρημέναις προσέχοντας βλασφημίαις, καὶ τοῖς περὶ τὴν ἀρχαιολογίαν ὑπ' ἐμοῦ γεγραμμένοις ἀπιστοῦντας, τεκμήριόν τε ποιουμένους τοῦ νεώτερον εἶναι τὸ γένος ἡμῶν, [o] διὰ τὸ μηδεμιᾶς παρὰ τοῖς ἐπιφανέσι τῶν Ἑλληνικῶν ἱστοριογράφων μνήμης ἠξιῶσθαι, περὶ τούτων ἁπάντων ᾠήθην δεῖν γράψαι συντόμως, τῶν μὲν λοιδορούντων τὴν δυσμένειαν καὶ τὴν ἑκούσιον ἐλέγξαι ψευδολογίαν, τῶν δὲ τὴν ἄγνοιαν ἐπανορθώσασθαι, διδάξαι [p] δὲ πάντας ὅσοι τἀληθὲς εἰδέναι βούλονται περὶ τῆς ἡμετέρας ἀρχαιότητος. χρήσομαι δὲ τῶν μὲν ὑπ' ἐμοῦ λεγομένων μάρτυσι, τοῖς ἀξιοπιστοτάτοις εἶναι περὶ πάσης ἀρχαιολογίας ὑπὸ τῶν Ἑλλήνων κεκριμένοις· τοὺς δὲ βλασφήμως περὶ ἡμῶν καὶ ψευδῶς γεγραφότας, αὐτοὺς δι' ἑαυτῶν ἐλεγχομένους παρέξω. πειράσομαι δὲ καὶ τὰς αἰτίας ἀποδοῦναι, δι' ἃς οὐ πολλοὶ τοῦ ἔθνους ἡμῶν ἐν ταῖς ἱστορίαις Ἕλληνες ἐμνημονεύκασιν· ἔτι μέντοι καὶ τοὺς οὐ παραλιπόντας τὴν περὶ ἡμῶν ἱστορίαν ποιήσω φανεροὺς τοῖς μὴ γινώσκουσιν ἢ προσποιουμένοις ἀγνοεῖν.

β'. Πρῶτον οὖν ἐπέρχεταί μοι πάνυ θαυμάζειν τοὺς οἰομένους δεῖν περὶ τῶν παλαιοτάτων ἔργων μόνοις προσέχειν τοῖς Ἕλλησι, καὶ παρὰ τούτων πυνθάνεσθαι τὴν ἀλήθειαν, ἡμῖν δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀπιστεῖν. πᾶν γὰρ ἐγὼ τοὐναντίον ὁρῶ συμβεβηκός, [q] εἴγε δεῖ μὴ ταῖς ματαίαις δόξαις ἐπακολουθεῖν, ἀλλ' ἐξ αὐτῶν τὸ δίκαιον τῶν πραγμάτων λαμβάνειν. [r] τὰ μὲν γὰρ παρὰ τοῖς Ἕλλησιν ἅπαντα νέα, καὶ χθὲς καὶ πρώην, ὡς ἂν εἴποι τις, [s] εὕροις γεγονότα· λέγω δὴ τὰς κτίσεις τῶν πόλεων, [t] καὶ τὰ περὶ τὰς ἐπινοίας τῶν τεχνῶν, καὶ τὰ περὶ τὰς τῶν νόμων ἀναγραφάς· πάντων δὲ νεωτάτη σχεδόν ἐστι παρ' αὐτοῖς ἡ περὶ τοῦ συγγράφειν τὰς ἱστορίας ἐπιμέλεια. τὰ μέντοι παρ' Αἰγυπτίοις τε, καὶ Χαλδαίοις καὶ Φοίνιξιν, ἐῶ γὰρ νῦν ἡμᾶς ἐκείνοις συγκαταλέγειν, αὐτοὶ δήπουθεν ὁμολογοῦσιν ἀρχαιοτάτην τε καὶ μονιμωτάτην ἔχειν τῆς μνήμης τὴν παράδοσιν. καὶ γὰρ τόπους ἅπαντες οἰκοῦσιν, ἥκιστα ταῖς ἐκ τοῦ περιέχοντος φθοραῖς ὑποκειμένους, καὶ πολλὴν ἐποιήσαντο πρόνοιαν, τοῦ μηδὲν ἄμνηστον τῶν παρ' αὐτοῖς πραττομένων παραλείπειν, ἀλλ' ἐν δημοσίαις ἀναγραφαῖς ὑπὸ τῶν σοφωτάτων ἀεὶ καθιερῶσθαι. τὸν δὲ περὶ τὴν Ἑλλάδα τόπον μυρίαι μὲν φθοραὶ κατέσχον, ἐξαλείφουσαι τὴν μνήμην τῶν γεγονότων· ἀεὶ δὲ καινοὺς καθιστάμενοι βίους, τοῦ παντὸς ἐνόμιζον ἄρχειν [u] ἕκαστοι τοῦ ἀφ' ἑαυτῶν. ὀψὲ δὲ [x] καὶ μόλις ἔγνωσαν φύσιν γραμμάτων. οἱ [y] γὰρ ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι θέλοντες, παρὰ Φοινίκων καὶ Κάδμου σεμνύνονται μαθεῖν. οὐ μὴν οὐδ' [z] ἐπ' ἐκείνου τοῦ χρόνου δύναιτό τις ἂν δεῖξαι [a] σωζομένην ἀναγραφὴν, [b] οὔτ' ἐν ἱεροῖς, οὔτ' ἐν δημοσίοις ἀναθήμασιν. ὅπου γε καὶ περὶ τῶν ἐπὶ Τροίαν [c] τοσούτοις ἔτεσι στρατευσάντων ὕστερον, πολλὴ γέγονεν ἀπορία τε καὶ ζήτησις, εἰ γράμμασιν ἐχρῶντο. καὶ τἀληθὲς ἐπικρατεῖ μᾶλλον, περὶ τοῦ τὴν νῦν οὖσαν τῶν γραμμάτων χρῆσιν ἐκείνους ἀγνοεῖν. ὅλως δὲ παρὰ τοῖς Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα [d] τῆς Ὁμήρου ποιήσεως πρεσβύτερον. οὗτος δὲ καὶ τῶν Τρωι-

o Διὰ] Illud διὰ ex conjectura.
p Δὲ] Abeſt ab Haſn.
q Εἴγε δεῖ μὴ] Εἰ δὲ δεῖ legit Budæus in lib. IV. de Aſſe.
r Τὰ μὲν γὰρ] Τὰ μέν γε Big. Flor. & Haſn. Conf. Antt. Prooem. §. 3. ἀφ' ὅτου [illegible] &c. Spanh.
s Εὑρήσεις γεγονότα] Ita in Editis Euſebii de Præp. Evang. p. 477. εὕροις in MSo. Ejuſdem. quo modo & in Editis Joſephi & in MSS.
t Καὶ τὰ περὶ τὰς ἐπινοίας] Καὶ τὰς ἐπινοίας τῶν τεχνῶν καὶ τὰς τῶν ν. in Euſebii vulgatis. pro nobis facit Ejuſdem MS. Joanneuſ.
u Ἕκαστοι] Ἕκαστος τὸ ἀφ' ἑαυτοῦ Euſeb. in Editis. ἕκαστος τοῦ ἀφ' ἑαυτοῦ in MS. ἕκαστοι τοῦ ἀφ' ἑαυτῶν Haſn.
x Καὶ μόλις] [illegible] Euſeb.
y Γὰρ ἀρχαιοτάτην] Ita Euſeb. & Baſ. οἱ γοῦν Euſebii membrana.
z Ἐπ' ἐκείνου] Ἀπ' ἐκείνου Euſeb. minus recte.
a Σωζομένην ἀναγραφὴν,] Ἣν σωζομένην Euſeb. MS.
b Οὔτ' ἐν ἱεροῖς,] Οὐδ' ἱεροῖς οὔτ' ἐν δημοσίοις MS. Euſeb. Vide Voſſium in lib. 1. de Arte Grammat. c. 10. & Lambecium in Prodromo Hiſt. Literariæ, p. 158. & aliud forſan ſentiet.
c Τοσούτοις ἔτεσι] Τοσούτοις ὕστερον ἔτεσι Euſeb.
d Τῆς Ὁμήρου ποιήσεως] Vide Cl. Fabricium in Bibliotheca Gr. Vol. 1. p. 3. 4. &c.

e Τεκμη

Τρωϊκῶν [e] ὕστερον φαίνεται γενόμενος· καί φασιν οὐδὲ τοῦτον ἐν γράμμασι τὴν αὐτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ [f] διαμνημονευομένην [g] ἐκ τῶν ᾀσμάτων ὕστερον συντεθῆναι, καὶ διὰ τοῦτο πολλὰς ἐν αὐτῇ σχεῖν τὰς διαφωνίας. οἱ μέν τοι τὰς ἱστορίας ἐπιχειρήσαντες συγγράφειν παρ' αὐτοῖς, λέγω δὲ τοὺς περὶ Κάδμον τε τὸν Μιλήσιον, καὶ τὸν [h] Ἀργεῖον Ἀκουσίλαον, καὶ μετὰ τοῦτον εἴ τινες ἄλλοι λέγονται γενέσθαι, βραχὺ τῆς Περσῶν ἐπὶ τὴν Ἑλλάδα [i] στρατείας τῷ χρόνῳ προέλαβον. ἀλλὰ μὴν καὶ τοὺς περὶ τῶν οὐρανίων τε καὶ θείων πρώτους παρ' Ἕλλησι φιλοσοφήσαντας, οἷον Φερεκύδην τε τὸν Σύριον καὶ Πυθαγόραν καὶ Θάλητα, πάντες συμφώνως ὁμολογοῦσιν Αἰγυπτίων καὶ Χαλδαίων γενομένους μαθητὰς ὀλίγα συγγράψαι· καὶ ταῦτα τοῖς Ἕλλησιν εἶναι [k] δοκεῖ πάντων ἀρχαιότατα, καὶ μόλις αὐτὰ πιστεύουσιν ὑπ' ἐκείνων γεγράφθαι.

γ'. Πῶς οὖν [l] οὐκ ἄλογον τετυφῶσθαι τοὺς Ἕλληνας ὡς μόνους ἐπισταμένους τὰ ἀρχαῖα, καὶ τὴν ἀλήθειαν περὶ αὐτῶν ἀκριβῶς παραδιδόντας; ἢ τίς οὐ [m] παρ' αὐτῶν συγγραφέων μάθοι ῥᾳδίως, ὅτι μηδὲν βεβαίως εἰδότες συνέγραφον, ἀλλ' ὡς ἕκαστοι περὶ τῶν πραγμάτων [n] εἰκάζοιντο; πλεῖον γοῦν διὰ τῶν βιβλίων ἀλλήλους ἐλέγχουσι, καὶ τὰ ἐναντιώτατα περὶ τῶν αὐτῶν λέγειν οὐκ ὀκνοῦσι. περίεργος δ' ἂν εἴην ἐγὼ τοὺς ἐμοῦ μᾶλλον ἐπισταμένους διδάσκων, ὅσα μὲν Ἑλλάνικος Ἀκουσιλάῳ περὶ τῶν [o] γενεαλογιῶν διαπεφώνηκεν, ὅσα δὲ διορθοῦται τὸν Ἡσίοδον Ἀκουσίλαος, ἢ τίνα τρόπον Ἔφορος μὲν Ἑλλάνικον ἐν τοῖς πλείστοις ψευδόμενον ἐπιδείκνυσιν, Ἔφορον δὲ Τίμαιος, καὶ Τίμαιον οἱ μετ' ἐκεῖνον γεγονότες, Ἡρόδοτον δὲ πάντες. ἀλλ' οὐδὲ περὶ τῶν [p] Σικελῶν τοῖς περὶ Ἀντίοχον καὶ Φίλιστον ἢ Καλλίαν Τίμαιος συμφωνεῖν ἠξίωσεν· οὐδ' αὖ περὶ τῶν Ἀττικῶν οἱ τὰς Ἀτθίδας συγγεγραφότες, ἢ περὶ τῶν Ἀργολικῶν οἱ τὰ περὶ Ἄργος ἱστοροῦντες ἀλλήλοις [q] κατηκολουθήκασι. καὶ τί δεῖ λέγειν περὶ τῶν κατὰ πόλεις καὶ βραχυτέρων, [r] ὅπου περὶ τῆς παρεισηγήσεως τῆς Περσικῆς στρατείας καὶ τῶν ἐν αὐτῇ πραχθέντων οἱ δοκιμώτατοι διαπεφωνήκασιν. πολλὰ δὲ καὶ Θουκυδίδης ὡς ψευδόμενος ὑπό τινων κατηγορεῖται, καί τοι δοκῶν ἀκριβεστάτην καθ' αὐτὸν ἱστορίαν συγγράφειν.

δ'. Αἰτίαι δὲ τῆς [s] τοσαύτης διαφωνίας πολλαὶ μὲν ἴσως ἂν καὶ ἕτεραι τοῖς βουλομένοις ζητεῖν ἀναφανεῖεν, ἐγὼ δὲ δυσὶ ταῖς [t] λεχθησομέναις τὴν μεγίστην ἰσχὺν ἀνατίθημι. καὶ [u] προτέραν ἐρῶ τὴν κυριωτέραν εἶναί μοι δοκοῦσαν. τὸ γὰρ [x] ἐξ ἀρχῆς μὴ σπουδασθῆναι, παρὰ τοῖς Ἕλλησι [y] δημοσίας γενέσθαι [z] περὶ τῶν ἑκάστοτε πραττομένων ἀναγραφάς, τοῦτο μάλιστα δὴ καὶ τὴν πλάνην καὶ τὴν ἐξουσίαν τοῦ [a] ψεύδεσθαι, τοῖς μετὰ ταῦτα βουληθεῖσι περὶ τῶν παλαιῶν τι γράφειν παρέσχεν. οὐ γὰρ μόνον παρὰ τοῖς ἄλλοις Ἕλλησιν ἠμελήθη τὰ περὶ τὰς ἀναγραφάς, ἀλλ' οὐδὲ παρὰ τοῖς Ἀθηναίοις, οὓς αὐτόχθο-

Trojana tempora natum eſſe nemo non fatetur: imo ne ab ipſo quidem literis ſuam illam poëſin mandatam eſſe ferunt, ſed poſterorum memoria propagatam aliquandiu, variis ex cantilenis collectam demum & contextam fuiſſe, ac propterea tantum in ea vulgo diſcrepantiæ reperiri. Ergo qui ex illis ad ſcribendam hiſtoriam animum appulere, Cadmus, inquam, Mileſius, & Acuſilaus Argivus, ac ſiqui præterea nominantur, paulum admodum Perſicam adverſos Græcos expeditionem tempore anteverterunt. Ad hæc qui de rebus cœleſtibus atque divinis primi apud eos philoſophari cœperunt, ut Pherecydes Syrius & Pythagoras & Thales, illos & Ægyptiorum Chaldæorumque diſcipulos fuiſſe, nec niſi pauca ſcripſiſſe, ore omnes uno pronunciant: atque illa Græci cum omnium vetuſtiſſima eſſe arbitrantur, tum vix etiam ab illis ea ſcripta fuiſſe credunt. *quam antiqua ſit.* *Græcorum antiquiſſimi Ægyptiorum & Chaldæorum diſcipuli.*

3. Quis igitur vano ſtolidoque faſtu Græcos laborare non videat, qui ſi & res antiquas tenere ſoli, & ſoli accuratam illarum integramque veritatem tradere videantur? Imo quis non ex iiſdem ſcriptoribus illud perfacile diſcat, perſpecti ab iis nihil exploratique conſcriptum, ſed tantum quatenus aſſequi conjectura potuerint? Itaque ſcriptis ſuis alios paſſim alii reprehendunt, nec iiſdem omnino de rebus longe diverſa loqui erubeſcunt. Ego vero importunus & otioſus utique videar, ſi, quibus id quam ipſi mihi notius eſt, perdocere velim, quam in Genealogiæ rationibus multa ſint, in quibus Hellanicus ab Acuſilao diſſideat: quam apud Heſiodum Acuſilaus multa caſtiget: quam ſæpe mendacii reum Hellanicum Ephorus, Ephorum Timæus, Timæumque recentiores, denique Herodotum univerſi peragant. Neque vero aut de rebus Siculis eadem Timæus, quæ Antiochus & Philiſtus & Callias, ſentire voluit: aut in Atticis qui Atthidas ſcripſere, vel in Argolicis qui de Argo, aliorum alii ſenſum mentemque ſequuti ſunt. quanquam quid ea perſequi attinet, quæ per urbes paſſim contigére, & anguſtioribus omnino regionibus continentur, cum in ipſa quoque Perſica expeditione ac rebus in ea geſtis, laudatiſſimorum ſcriptorum magna ſit plerumque diſſenſio? prorſus ut ipſe etiam Thucydides, licet accuratiſſimam temporum ſuorum hiſtoriam perſcribere videatur, à nonnullis erroris ac vanitatis arguatur. *Vana Græcorum arrogantia.* *Seſe invicem mendacii arguunt.* *Magna inter eos diſſenſio.*

4. Cujus ſane diſſidii, cum aliæ fortaſſis plurimæ aliis in illud anquirentibus occurrere poſſint, tum has præcipue duas ſummi momenti cauſas eſſe intelligo. Atque ut ab ea, quæ mihi potior videtur, incipiam, cum totum illud res eas, quæ ubique fierent, publicas in tabulas referendi ſtudium à Græcis jam uſque ab initio neglectum fuiſſet, id ſane cum errori maxime viam aperuit, tum iis etiam omnibus, qui de rebus antiquioribus ſcribere cogitarent, licentiam obtulit impune mentiendi. Nec enim reliqua duntaxat Græcorum natio hanc tabularum conficiendarum curam jacere permiſit: ſed ne apud Athenienſes quidem, quos tamen & in- *Res geſtas in publicas tabulas referre diu neglexerunt Græci.*

e Ὕστερον φαίνεται γενόμενος] Ὕστερος Euſeb.
f Διαμνημονευομένην] Hoc parum veriſimile eſſe exiſtimat Fabricius in Bibl. Gr. Vol. 1. p. 269.
g Ἐκ τῶν ᾀσμάτων] Διὰ γραμμάτων Euſeb.
h Ἀργεῖον Ἀκουσίλαον,] De quo ἀρχ. lib. 1. cap. 3. §. 9. καὶ Ἑλλάνικος, ὁ Ἀκουσίλαος &c. Spanh.
i Στρατείας τῷ χρόνῳ] Διαστρατείας τῷ χρ. προέλαβον in Edit. Baſ. & MSS.
k Δοκεῖ πάντων ἀρχαιότατα,] Ita cum Euſeb. & Vet. Interp. δοκεῖ Baſ. Aliique.
l Οὐκ ἄλογον] Οὐκ οὖν ἄλογον Euſeb. Big. Flor. Hafn. & El.
m Παρ' αὐτῶν συγγραφέων] Παρ' αὐτῶν ἂν τῶν συγγρ. Big. & Flor. παρ' αὐτῶν ἂν τῶν συγγρ. Hafn. παρὰ τῶν αὐτῶν συγγρ. Euſeb.
n Εἰκάζοιντο;] Εἴκαζον; πλεῖον γοῦν Euſeb.
o Γενεαλογιῶν διαπεφώνηκε,] Γενεαλογικῶν Euſeb. MS.
p Σικελῶν] Σικελικῶν Euſeb.
q Κατηκολουθήκασι,] Ηκολουθήκασι Euſeb.
r Ὅπε περὶ τῆς παρεισηγήσεως] Ὅπου γε περὶ τῆς Περσικῆς στρατείας Euſeb. περὶ τῆς παρεμβολῆς τῆς π. Big. Hen. & Hafn.
s Τοσαύτης διαφωνίας] Τοιαύτης Euſeb.
t Λεχθησομέναις] Καθηγησομέναις. & mox ἀναθήσομαι Euſeb.
u Προτέραν ἐρῶ] Προτέραν γε ἐρῶ Euſeb.
x Ἐξ ἀρχῆς] Ἐξεταζόμενα Euſeb.
y Δημοσίας γενέσθαι] Δημοσίᾳ γράφεσθαι Euſeb. δημοσίας γράφεσθαι Hafn.
z Περὶ τῶν ἑκάστοτε πραττομένων] Τὰς π. τ. ἑ. πρ. ἀναγραφὰς Euſeb.
a Ψεύδεσθαι,] Al. συντίθεσθαι.

b Περὶ

& indigenas & diſciplinarum apprime ſtudioſos eſſe ferunt, quicquam ejuſmodi ſactum reperias: cum è publicis quidem literis antiquiſſimas leges eas fuiſſe tradant, quas ipſis Draco de cæde tulit, homo, qui non niſi paulo ante Piſiſtrati tyrannidem lucem aſpexerat. Nam Arcadum meminiſſe quid attinet, qui cum de ſua tantopere vetuſtate glorientur, vix tamen etiam poſt illa tempora literarum informari cognitione cœperunt?

Cauſæ cur veritati parum ſtuduerunt Græci veteres.

5. Ita plane, cum vetuſtior commentarius nullus exſtaret, qui vel docere diſcendi cupidos, vel mentientes arguere poſſet, maxima eſt ſcriptores inter excitata diſſenſio. Cui tu cauſæ alteram hanc adjungas licet. Qui enim ad ſcribendum ſeſe contulerunt, ii non veritatis utique ſtudio ducebantur, licet hoc profiteri ſolenne paſſim omnibus tralatitiumque ſit, ſed vim orationis unam oſtendebant: atque ita quo ſe quiſque genere alios ſuperaturum eſſe maxime confidebat, in eo elaborabant plurimum. Ergo alii fabulas texere, alii civitatum aut regum benevolentiam & gratiam laudationibus eblandiri cœperunt: nonnulli res ipſas, aut illarum ſcriptores carpere ac vituperare maluerunt, quod in eo ſeſe facilius excellere poſſe ſperarent. Cæterum iſti cum hiſtoriæ legibus omnino pugnant. Cum enim eo potiſſimum argumento hiſtoriæ veritas comprobetur, ſi de rebus iiſdem eadem omnes pronuncient, ac ſcribant. ita ſeſe demum iſti maxime reliquos omnes veritatis opinione ſuperaturos putârunt, ſi ab reliquis maxime diſſiderent. Certe dicendi genere & eloquentiæ vi cedere nos oportet ſcriptoribus Græcis; non autem hiſtoriæ de priſcis veritate, & maxime de rebus propriæ uniuſcujuſque patriæ.

De hiſtoriæ veritate ſolliciti Ægyptii, Chaldæi, Judæique.

6. Quod apud Ægyptios quidem & Babylonios ex longiſſimis retro ſeculis in rebus conſcribendis adhibita fuerit diligentia, quando ſacerdotibus quidem id officii commiſſum erat, & circa eas ipſi philoſophabantur, Chaldæis vero apud Babylonios, & maxime Phœnicibus qui Græcis immixti uſi ſunt literis, ut & vitæ rationem ordinarent, & opera publica memoriæ traderent, dum conſentiant omnes, prætermittendum hoc puto. De noſtris vero progenitoribus, quod eandem (mitto dicere an potiorem) quam prædicti habuerint in conſcribenda hiſtoria curam, pontificibus & prophetis id muneris injungentes; quodque uſque ad noſtra tempora cum multa diligentia hoc ipſum ſervarint, &, ſi oportet audentius dicere, etiam ſervabitur, conabor breviter edocere.

Pontifices apud Judæos annalium auctores.

7. Non enim tantum ab initio his rebus viros optimos & in Dei cultu aſſiduos præfecere, ſed & curam habuere ut genus ſacerdotale purum ſemper impermixtumque permaneret. Debet enim quiſquis ſacerdotio fungitur ex populari ſua conjuge liberos quærere, neque ad pecunias aut ho-

νας εἶναι λέγουσι καὶ [b] παιδείας ἐπιμελεῖς, οὐδὲν τοιοῦτον εὑρίσκεται γενόμενον· ἀλλὰ τῶν δημοσίων γραμμάτων ἀρχαιοτάτους εἶναί φασι, τοὺς ὑπὸ Δράκοντος αὐτοῖς περὶ τῶν [c] φονικῶν γραφέντας νόμους, ὀλίγῳ πρότερον τῆς Πεισιστράτου τυραννίδος ἀνθρώπου γεγονότος. περὶ μὲν γὰρ Ἀρκάδων [d] τί δεῖ λέγειν αὐχούντων [e] ἀρχαιότητα· μόλις γὰρ ἔτι καὶ μετὰ ταῦτα γράμμασιν ἐπαιδεύθησαν;

ε'. Ἅτε δὴ τοίνυν οὐδεμιᾶς [f] προκαταβεβλημένης ἀναγραφῆς, ἣ καὶ τοὺς μαθεῖν βουλομένους διδάξειν ἔμελλε, καὶ τοὺς ψευδομένους ἐλέγξειν, ἡ πολλὴ πρὸς ἀλλήλους ἐγένετο διαφωνία τοῖς συγγραφεῦσι. δευτέραν δὲ [g] πρὸς ταύτῃ θετέον ἐκείνην [h] τὴν αἰτίαν. οἱ γὰρ ἐπὶ τὸ γράφειν ὁρμήσαντες, οὐ περὶ τὴν ἀλήθειαν ἐσπούδασαν, καίτοι τοῦτο [i] πρόχειρόν ἐστιν ἀεὶ τὸ ἐπάγγελμα, λόγων δὲ δύναμιν ἐπεδείκνυντο· καὶ καθ' ὅν τινα τρόπον ἐν τούτῳ [k] παρευδοκιμήσειν τοὺς ἄλλους ὑπελάμβανον, κατὰ τοῦτον ἡρμόζοντο. τινὲς μὲν ἐπὶ τὸ μυθολογεῖν [l] τρεπόμενοι, τινὲς δὲ πρὸς χάριν ἢ τὰς πόλεις ἢ τοὺς βασιλέας ἐπαινοῦντες, ἄλλοι δὲ ἐπὶ τὸ κατηγορεῖν τῶν πράξεων ἢ τῶν γεγραφότων ἐχώρησαν, [m] ἐνευδοκιμήσειν τούτῳ νομίζοντες. ὅλως δὲ τὸ πάντων ἐναντιώτατον ἱστορίᾳ πράττοντες διατελοῦσι. τῆς μὲν γὰρ ἀληθοῦς ἐστι τεκμήριον ἱστορίας, εἰ περὶ τῶν αὐτῶν ἅπαντες ταὐτὰ καὶ λέγοιεν καὶ γράφοιεν. οἱ δ' εἰ [n] ταὐτὰ γράψειαν ἑτέρως, οὕτως ἐνόμιζον αὐτοὶ [o] φανεῖσθαι πάντων ἀληθέστατοι. λόγων μὲν οὖν ἕνεκα καὶ [p] τῆς ἐν τούτοις δεινότητος δεῖ παραχωρεῖν ἡμᾶς τοῖς συγγραφεῦσι τοῖς Ἑλληνικοῖς. οὐ μὴν καὶ τῆς περὶ τῶν ἀρχαίων ἀληθοῦς ἱστορίας, καὶ μάλιστά γε τῆς περὶ τῶν ἑκάστοις ἐπιχωρίων.

ϛ'. Ὅτι μὲν οὖν παρ' Αἰγυπτίοις τε καὶ Βαβυλωνίοις, ἐκ μακροτάτων ἄνωθεν χρόνων, τὴν περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν, ὅπου μὲν οἱ ἱερεῖς ἦσαν ἐγκεχειρισμένοι, καὶ περὶ ταύτας ἐφιλοσόφουν, Χαλδαῖοι δὲ παρὰ τοῖς Βαβυλωνίοις, [q] καὶ ὅτι μάλιστα δὴ τῶν Ἕλλησιν [r] ἐπιμιγνυμένων ἐχρήσαντο Φοίνικες γράμμασιν, εἴς τε τὰς περὶ τὸν βίον οἰκονομίας, καὶ πρὸς τὴν τῶν κοινῶν ἔργων παράδοσιν, ἐπειδὴ συγχωροῦσιν ἅπαντες, ἐάσειν μοι δοκῶ. περὶ δὲ τῶν ἡμετέρων προγόνων, ὅτι τὴν αὐτήν, ἐῶ γὰρ λέγειν [s] εἰ καὶ πλείω τῶν εἰρημένων ἐποιήσαντο [t] τὴν περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν, τοῖς ἀρχιερεῦσι καὶ τοῖς προφήταις τοῦτο προστάξαντες. καὶ [v] ὡς μέχρι τῶν καθ' ἡμᾶς χρόνων πεφύλακται πολλῆς ἀκριβείας, εἰ δὲ θρασύτερον εἰπεῖν καὶ φυλαχθήσεται, πειράσομαι συντόμως διδάσκειν.

ζ'. Οὐ γὰρ μόνον ἐξ ἀρχῆς ἐπὶ τούτων τοὺς ἀρίστους, καὶ τῇ θεραπείᾳ τοῦ Θεοῦ προσεδρεύοντας κατέστησαν, ἀλλ' ὅπως τὸ γένος τῶν ἱερέων ἄμικτον καὶ καθαρὸν [x] διαμένῃ, προυνόησαν. [y] δεῖ γὰρ τὸν μετέχοντα τῆς ἱερωσύνης ἐξ ὁμοεθνοῦς γυναικὸς παιδοποιεῖσθαι, καὶ μὴ πρὸς χρήματα

μηδὲ

b Παιδείας] παιδείας *Hafn.*

c Φονικῶν] φοινικῶν *Hafn.*

d Τί δεῖ λέγειν] Τί χρὴ λέγειν *Euſeb.* τί δὴ λέγω *Flor. Hafn.* & *Big.*

e Ἀρχαιότητα] Ἀρχαιότατα *Big. Hafn.* & *Flor.*

f Προκαταβεβλημένης ἀναγραφῆς,] Προκαταβεβλημένης *Euſeb.*

g Πρὸς ταύτῃ θετέον ἐκείνην] Πρὸς ταύτην *MS. El.* & *Euſeb.*

h Τὴν αἰτίαν.] Illud τὴν ſupplevimus ex *Euſebio* & *MSS.*

i Πρόχειρον] Πρόχειρον αὐτοῖς ἦν *Euſeb.*

k Παρευδοκιμήσειν] Παρευδοκιμήσειν *Euſeb.*

l Τρεπόμενοι,] Τραπόμενοι *Euſeb.*

m Ἐνευδοκιμήσειν] Εὐδοκιμήσειν ἐν τούτῳ *Euſeb.*

n Ταὐτὰ γράψειαν] Antea ταῦτα. Apud *Euſebium* hæc paulo aliter leguntur. οἱ δὲ, εἰ μὴ τὰ αὐτὰ γράψειαν ἑτέροις, i. e. *ſi non eadem cum aliis ſcriberent.*

o Φανεῖσθαι] Ἐνομίζοντο αὐτοὶ φανεῖσθαι in *Euſeb. impreſſ.* ἐνόμιζον αὐτοὶ φανεῖσθαι in *MSo. Euſebii.*

p Τῆς ἐν τούτοις δεινότητος] Illud τῆς è *MS. Elienſ.*

q Καὶ ὅτι μάλιστα δὴ τῶν Ἑλλήνων] Et quia maximè uſi ſunt Phœnices literis, quas Græci ab iis ſunt edocti. SPANH.

r Ἐπιμιγνυμένων] Ita *Big. Flor. Hafn.* & *Vet. Interpr.* ἐπιδημουμένων *Baſ.* cum aliis. quod tuetur *Lamb. Boſ.* & interpretatur, *& quod maxime Phœnices uterentur literis, qui Græcis earum uſum oſtenderunt.* Ad hunc vero modum Cl. *Lowthius, maxime vero illorum qui Græcis innotuerunt* (vel *doctrinæ ſuæ ſpecimen dederunt*) *Phœnices literis uſi ſunt.*

s Εἰ καὶ πλείω] Cl. *Lowthius* mallet ἢ καὶ πλείω.

t Τὴν περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν,] Illud τὴν non agnoſcunt plerique *MSS.* ut nec *Hafn.*

v Ὡς μέχρι] Ita *Big. El. Hen. Hafn.* & *Vet. Interpr.* ὡς ἐκ τῶν καθ' ἡμᾶς χρ. *Baſ.* & *Gen.* ἕως ἐκ τῶν legendum eſſe conjecerat Cl. *Lowthius.*

x Διαμένῃ,] Διαμένοι *El.*

y Δεῖ γὰρ τὸν μετέχοντα—τῶν ἀρχαίων] Sacerdotes Hebræorum è Mulieribus ejuſdem gentis, ac proinde non ex proſelyta aut libertina, multo minus è Gentili aut ancilla. Vid. *Seld. de Succ. Pontif. p.* 199. SPANH.

x. Λαμ-

μηδὲ ταῖς ἄλλαις ἀποβλέπειν τιμαῖς, ἀλλὰ τὸ γένος ἐξετάζειν ἐκ τῶν ἀρχαίων [z] λαμβάνοντα τὴν διαδοχὴν, καὶ πολλοὺς [a] παρεχόμενον μάρτυρας. καὶ ταῦτα πράττομεν οὐ μόνον ἐπ' αὐτῆς Ἰουδαίας, ἀλλ' ὅπου ποτὲ σύστημα τοῦ γένους ἐστὶν ἡμῶν, κἀκεῖ τὸ ἀκριβὲς ἀποσώζεται τοῖς ἱερεῦσι περὶ τοὺς γάμους· λέγω δὲ τοὺς ἐν Αἰγύπτῳ καὶ Βαβυλῶνι, καὶ εἴ που τῆς ἄλλης οἰκουμένης τοῦ γένους τῶν ἱερέων εἰσί τινες διεσπαρμένοι. πέμπουσι γὰρ εἰς Ἱεροσόλυμα συγγράψαντες πατρόθεν τοὔνομα [b] τῶν γυναικῶν καὶ τῶν ἐπάνω προγόνων, καὶ τίνες οἱ μαρτυροῦντες. πόλεμος δ' εἰ κατάσχοι, καθάπερ ἤδη γέγονε πολλάκις, Ἀντιόχου τε τοῦ Ἐπιφανοῦς εἰς τὴν χώραν ἐμβαλόντος, καὶ Πομπηΐου Μάγνου, καὶ Κυιντιλίου Οὐάρου, μάλιστα δὲ καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, οἱ περιλειπόμενοι τῶν ἱερέων καινὰ πάλιν ἐκ τῶν ἀρχαίων γραμμάτων συνίστανται, καὶ δοκιμάζουσι τὰς ὑπολειφθείσας γυναῖκας. [c] οὐ γὰρ ἔτι τὰς αἰχμαλώτους γενομένας προσίενται, πολλάκις [d] γεγονυῖαν αὐταῖς τὴν πρὸς ἀλλόφυλον κοινωνίαν ὑφορώμενοι. τεκμήριον δὲ μέγιστον τῆς ἀκριβείας. οἱ ἀρχιερεῖς οἱ παρ' ἡμῖν ἀπὸ δισχιλίων ἐτῶν ὀνομαστοὶ παῖδες ἐκ πατρὸς εἰσὶν ἐν ταῖς ἀναγραφαῖς. τοῖς δὲ [e] τῶν εἰρημένων ὅτι ἂν γένοιτο εἰς παράβασιν, ἀπηγόρευται μήτε τοῖς βωμοῖς παρίστασθαι, μήτε μετέχειν τῆς ἄλλης [f] ἁγιστείας. εἰκότως οὖν, μᾶλλον δὲ ἀναγκαίως, ἅτε [g] μήτε τοῦ ὑπογράφειν αὐτεξουσίου πᾶσιν ὄντος, μήτε τινὸς ἐν τοῖς γραφομένοις ἐνούσης διαφωνίας· ἀλλὰ [h] μόνον τῶν προφητῶν τὰ μὲν ἀνωτάτω καὶ τὰ παλαιότατα, κατὰ τὴν ἐπίπνοιαν τὴν ἀπὸ τοῦ Θεοῦ μαθόντων, [i] τὰ δὲ [k] καθ' αὐτοὺς ὡς ἐγένετο σαφῶς συγγραφόντων.

η΄. [l] Οὐ [m] γὰρ μυριάδες βιβλίων εἰσὶ παρ' ἡμῖν, ἀσυμφώνων καὶ μαχομένων· [n] δύο δὲ μόνα πρὸς τοῖς εἴκοσι βιβλία, τοῦ παντὸς ἔχοντα χρόνου τὴν ἀναγραφὴν, τὰ δικαίως [o] θεῖα πεπιστευμένα. καὶ τούτων πέντε μέν ἐστι τὰ Μωϋσέως, ἃ [p] τούς τε νόμους περιέχει, καὶ τὴν τῆς ἀνθρωπογονίας παράδοσιν, μέχρι τῆς αὐτοῦ τελευτῆς. [q] οὗτος ὁ χρόνος ἀπολείπει τρισχιλίων [r] ὀλίγον ἐτῶν. ἀπὸ δὲ τῆς Μωϋσέως τελευτῆς μέχρι τῆς Ἀρταξέρξου τοῦ μετὰ Ξέρξην Περσῶν βασιλέως [s] ἀρχῆς, οἱ μετὰ Μωϋσῆν προφῆται τὰ κατ' αὐτοὺς πραχθέντα συνέγραψαν ἐν τρισὶ καὶ δέκα βιβλίοις· αἱ δὲ λοιπαὶ τέσσαρες ὕμνους, εἰς τὸν Θεὸν καὶ τοῖς ἀνθρώποις ὑποθήκας τοῦ βίου περιέχουσιν. ἀπὸ δὲ Ἀρταξέρξου μέχρι τοῦ καθ' ἡμᾶς χρόνου γέγραπται μὲν ἕκαστα· πίστεως δὲ οὐχ ὁμοίας ἠξίωται τοῖς [t] πρὸ αὐτῶν, διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν ἀκριβῆ διαδοχήν. δῆλον δ' ἐστὶν ἔργῳ [v] πῶς ἡμεῖς τοῖς ἰδίοις γράμμασι πεπιστεύκαμεν. τοσούτου γὰρ αἰῶνος ἤδη παρῳχηκότος, [x] οὔτε προσθεῖναί τις οὐδὲν οὔτε ἀφελεῖν αὐ-

nores reſpicere alios ſed genus exquirere ſecundum antiquam ſucceſſionem multis probatum teſtimoniis. Et hæc obſervamus non in Judæa tantum, ſed ubicunque pars aliqua eſt de noſtra gente, ibi obſervatur ſollicite nuptiarum ſacerdotalium regula: puta in Ægypto, in Babylone, & ſicubi terrarum præterea ſparſi ſunt noſtri ſacerdotes. Mittunt enim Hieroſolyma deſcripta nomina parentum & majorum, additis teſtium nominibus. Quòd ſi * bellum enaſcatur, ut ſæpe factum eſt, ſicut cum Antiochus Epiphanes terram invaſit, & cum Pompejus Magnus, & cum Quintilius Varus, maxime vero noſtris temporibus, tum qui ſuperſunt ſacerdotum novas ex veteribus tabulas conficiunt, & inquirunt in feminas ſuperſtites. nam nec eas quæ bello captæ fuerunt recipiunt, ſuſpectantes eam quæ ſæpe talibus accidit cum alienigenis conſuetudinem. Eſt autem argumentum diligentiæ maximum circa iſta, quod ſummi ſacerdotes apud nos in commentariis deſcripti ſunt ab annis bis mille cum ſuis parentumque nominibus. Si quis adverſus hæc deliquerit, ei non licet altari adſtare, aut cæterarum ceremoniarum eſſe participem. recte ſiquidem, potius autem ex neceſſitate, cum neque ſubſcribendi poteſtas omnibus data, neque ulla ſit in ſcriptis diſcrepantia; ſed ſolummodo prophetis qui antiquiſſima quidem & veterrima ex inſpiratione divina cognita habuerint, ſuorum vero temporum res quo modo geſtæ erant plane conſcripſerint.

Judæi ſacerdotes de nuptiis ſolliciti.

8. Itaque apud nos nequaquam innumerabilis eſt librorum multitudo, diſſentientium atque inter ſe pugnantium: ſed duo duntaxat & viginti libri, totius *præteriti* temporis hiſtoriam complectentes, qui merito creduntur divini. Ex his quinque quidem ſunt Moyſis, qui & leges continent, & ſeriem rerum geſtarum à conditu generis humani uſque ad ipſius interitum. Atque hoc ſpatium temporis tria fere annorum millia comprehendit. A Moyſis autem interitu ad imperium uſque Artaxerxis, qui poſt Xerxem regnavit apud Perſas, prophetæ qui Moyſi ſucceſſere res ſua ætate geſtas tredecim libris complexi ſunt: quatuor vero reliqui hymnos in Dei laudem, & præcepta vitæ hominum exhibent *utiliſſima*. Cæterum ab imperio Artaxerxis ad noſtram uſque memoriam ſunt quidem ſingula literis mandata; ſed nequaquam tantam fidem & auctoritatem meruerunt, quantam ſuperiores ii libri, propterea quod minus explorata fuit ſucceſſio prophetarum. Quanta porro veneratione libros noſtros proſequamur, reipſa apparet. Cum enim tot jam ſæcula effluxerint, nemo adhuc nec adjicere quicquam illis, nec demere,

Libri ſacri Judæorum XXII.

z Λαμβάνοντα τὴν διαδοχὴν] Forte legendum λαμβάνων, ut cum voce γένος conjungatur. *Lowthius.*

a Παρεχόμενον μάρτυρας.] Παρεχόμενοι *El.* & *Hafn.*

b Τῶν γυναικῶν] Τῆς γυναικὸς juxta *Vet. Interpretem.* & γεγαμημένης *Big.* & *Hafn.*

c Οὐ γὰρ ἔτι] Οὐ γὰρ ἐπὶ *Big. Hafn.* & *Vet. Interpr.*

d Γεγονυῖαν] γεγονυιῶν *Hafn.*

e Τῶν εἰρημένων] Perperam τῶν εἰρημένων pro *maſculino* ſumpſit *Vetus Interpr.* cum ſit *neutrius* generis & conſtruendum cum ὅτι ἂν *Boſ.*

f Ἁγιστείας.] Ἁγιασίας *Hafn.*

g Μήτε τοῦ ὑπογράφειν] Μήτε τὸ ὑπ. *Big.* & *Hafn.*

h Μόνον τῶν προφητῶν] Μόνον *Big.* & *Ruf.*

i Τὰ δὲ] Hæc deſunt in *Hafn.*

k Καθ' αὐτοὺς ὡς ἐγένετο σαφῶς συγγραφόντων.] Ita *Flor. Hafn.* & *El.* καθ' ἑαυτοὺς in *Editis.*

l Οὐ] Referuntur hæc ab *Euſeb.* H. Eccl. l. III. c. X. p. 85. uſque ad hanc vocem οὐδ' ἐν. SPANH.

m Γὰρ μυριάδες βιβλίων &c.] Illud γὰρ è *Cod. Elienſi.*

n Δύο δὲ μόνα] Id eſt, V. *libri Moyſis*, XIII. *libri Prophetarum* [hoc modo, 1 *Joſua*, 2 *Judices* cum *Ruth.* 3 *Regum* I. & II. 4 *Regum* III. & IV. 5 *Paralipom.* I. II. 6 *Eſdras* cum *Neemia.* 7 *Eſther.* 8 *Daniel.* 9 Θρῆνοι. 10 *Eſaias.* 11 *Jeremias.* 12 *Ezechiel.* 13 *duodecim Prophetæ minores*, aut ſic, 1 *Joſua.* 2 *Judices* cum *Ruth.* 3 *Regum* I. & II. 4 *Regum* III. & IV. 5 *Jeremias.* 6 *Ezechiel.* 7 *Eſaias.* 8 *duodecim Prophetæ minores.* 9 Θρῆνοι 10 *Eſther.* 11 *Eſdras* cum *Neemia.* 12 *Daniel.* 13 *Paralipom.* I. II.] IV. *libri Hymnorum*, viz. 1 *Pſalmi*, 2 *Job*, 3 *Proverbia*, 4 *Canticum* & *Eccleſ.* ſimul omnes XXII. Alio autem ordine libros diſponit Cl. *Prideauxius* quem videſis in *Connexione Hiſtoriæ Veteris & N. Teſtamenti*, *parte pr.* p. 332. 8o.

o Θεῖα πεπιστευμένα.] Illud θεῖα ex *Euſebio.*

p Τούς τε νόμους περιέχει.] Ita cum *Euſebio* in *Eccl. Hiſt.* l. 3. c. 10. atque in *Joſepho* τὴν γενομένην ἀρχὴν, & τῶν ἀπ' ἀρχ.

q Οὗτος ὁ χρόνος] Ita *Big.* & *Ruf.* ἔτος *Baſ.*

r Ὀλίγον ἐτῶν] Sic *Euſeb.* ὀλίγῳ in *Editis Joſephi.*

s Ἀρχῆς,] Ἀρχῆς deeſt *Euſeb.* nec agnoſcunt *plerique* (ut nec *Hafn.*) MSS. *Joſephi.*

t Πρὸ αὐτῶν,] Πρὸ αὐτοῦ *Euſeb.* & *El.*

v Πῶς ἡμεῖς] Πῶς ἡμεῖς πρόσιμεν τοῖς ἰδ. γρ. *Euſeb.*

x Οὔτε προσθεῖναι] Οὔτε προσθεῖναί τις, οὔτε ἀφελεῖν ἀπ' αὐτῶν *Euſeb.*

* *Al.* ſi bellum impediat & obſtaculo ſit.

Iſtis libris accurata cuſtodia à Judæis adhibita.

mere, aut mutare aliquid eſt auſus. Sed omnibus Judæis ſtatim ab ipſo naſcendi exordio hoc inſitum atque innatum eſt, Dei ut hæc eſſe præcepta credamus, iiſdemque conſtanter adhæreſcamus, & eorum cauſa, ſi opus fuerit, libentiſſime mortem perferamus. Jam itaque multi captivorum frequenter & tormenta & omne genus mortem in theatris ſuſtinere conſpecti ſunt, ne ullum verbum contra leges admitterent, ſcriptaſque de illis traditiones. Quis Græcorum tale aliquid ſubiret, imo vel minimum quidem lædi ſufferret, licet omnia ab illis ſcripta interitus periculum adeant? quippe illa narrationes eſſe exiſtimant, propere effuſas prout allubeſceret ſcriptoribus. Atque ita non immerito ſentiunt de antiquioribus, quoniam aliquos nunc quoque vident de iſtis ſcribere aggredientes, quibus neque ipſi interfuere, neque operam dedere ut à rerum gnaris illa acciperent. ſcilicet etiam de bello quod nuperrime geſſimus, quidam hiſtorias quas conſcripſerant ediderunt, cum neque ad ea loca pervenerint, neque in vicinia fuerint locorum ubi res geſtæ erant: ſed ex fama & auditione paucula quædam *temere* componentes, hiſtoriæ nomine impudenter admodum & inſolenter ſe efferunt.

Joſephi fides in Hiſtoria quanta.

9. Ego autem & de omni bello, deque iis quæ particulatim geſta erant, veritati congruenter ſcripſi, cum ipſe rebus omnibus interfuerim. Etenim eorum dux exſtiteram qui apud nos Galilæi audiunt, quamdiu reſiſtendo eramus, comprehenſus autem à Romanis factus ſum captivus; cumque me Veſpaſianus & Titus in cuſtodia haberent, illis ſemper aſſidere coëgerunt, primo quidem vinctum. poſtea vero ſolutus ab Alexandria cum Tito miſſus eram ad Hieroſolymorum obſidionem. Quo tempore cum fierent quæ geſta erant nihil meam notitiam effugit. nam & ſingula in Romano exercitu proſpiciens, diligenter ea notabam; quæque à transfugis nunciabantur ego ſolus intellexi: deinde Romæ otium nactus, opere omni jam præparato, & quibuſdam propter Græcam linguam in auxilium vocatis, res prout geſtæ erant literis mandabam. Adeoque veritati confidebam, ut omnium primos Veſpaſianum & Titum in eo bello imperatores mihi teſtes facere voluerim. Primum namque illis obtuli libros; & poſt illos multis quidem Romanorum qui bello interfuère: plurimis etiam noſtratum eos vendidi, viris Græcæ eruditionis non ignaris; in quibus erat Julius Archelaus, Herodes morum gravitate ſpectatiſſimus, idemque rex Agrippa admiratione digniſſimus. Iſti ſane univerſi teſtimonium perhibuerunt, quod veritatem accuratam præ me ferebam, non diſſimulaturi aut tacituri, ſi quid factorum per ignorantiam aut per gratiam commutaſſem aut prætermiſiſſem.

Veſpaſianum & Titum aliſque appellat.

Hiſtoriæ Joſephi calumniatores.

Suam fidem aſſerit Joſephus.

10. Quidam vero homines male feriati, hiſtoriam meam calumniari conati ſunt, tanquam ejuſmodi eſſet ut adoleſcentibus in ſcholis ad ingenium exercendum proponi debeat. O accuſationem incredibilem *turpemque* calumniam! cum oporteat illud ſciri, quod eum deceat qui ſe pollicetur rerum veritatem aliis traditurum, ipſam

τῆς, ὅτι μεταθεῖναι τετόλμηκεν. πᾶσι δὲ σύμφυτόν ἐστιν εὐθὺς ἐκ τῆς πρώτης γενέσεως Ἰουδαίοις, [y] τὸ νομίζειν αὐτὰ Θεοῦ δόγματα, καὶ τούτοις [z] ἐμμένειν, καὶ [a] ὑπὲρ αὐτῶν εἰ δέοι θνήσκειν ἡδέως· ἤδη οὖν πολλοὶ πολλάκις ἑώρανται τῶν αἰχμαλώτων, στρέβλας καὶ παντοίων θανάτων τρόπους ἐν θεάτροις ὑπομένοντες, [b] ἐπὶ τὸ μηδὲν ῥῆμα προέσθαι παρὰ τοὺς νόμους καὶ τὰς μετὰ τούτων ἀναγραφάς. ὃ τίς ἂν [c] ὑπομείνειεν Ἑλλήνων ὑπὲρ αὐτοῦ, ἀλλ' οὐδ' ὑπὲρ τοῦ καὶ πάντα τὰ παρ' αὐτοῖς ἀφανισθῆναι συγγράμματα, τὴν τυχοῦσαν ὑποστήσεται βλάβην; λόγους γὰρ αὐτὰ νομίζουσιν εἶναι, κατὰ τὴν τῶν γραψάντων βούλησιν ἐσχεδιασμένους. καὶ τοῦτο δικαίως καὶ περὶ τῶν παλαιοτέρων φρονοῦσιν, ἐπειδὴ καὶ τῶν νῦν ἐνίους ὁρῶσι τολμῶντας περὶ τούτων συγγράφειν, οἷς μήτ' αὐτοὶ παρεγένοντο, μήτε πυθέσθαι παρὰ τῶν εἰδότων ἐφιλοτιμήθησαν. ἀμέλει καὶ περὶ τοῦ γενομένου νῦν ἡμῖν πολέμου, τινὲς ἱστορίας ἐπιγράψαντες ἐξενηνόχασιν, οὔτ' εἰς τοὺς τόπους παραβαλόντες, οὔτε πλησίον τούτων πραττομένων προσελθόντες· ἀλλ' ἐκ παρακουσμάτων ὀλίγα συνθέντες, τῷ τῆς ἱστορίας ὀνόματι λίαν ἀναιδῶς ἐμπαρῳνήκασιν.

θ'. [d] Ἐγὼ δὲ καὶ περὶ τοῦ πολέμου παντὸς, καὶ περὶ τῶν ἐν αὐτῷ κατὰ μέρος γενομένων, ἀληθῆ τὴν ἀναγραφὴν ἐποιησάμην, τοῖς πράγμασιν αὐτὸς ἅπασι παρατυχών. ἐστρατήγουν μὲν γὰρ τῶν παρ' ἡμῖν Γαλιλαίων ὀνομαζομένων, ἕως ἀντέχειν δυνατὸν ἦν, ἐγενόμην δὲ παρὰ Ῥωμαίοις συλληφθεὶς αἰχμάλωτος. καί με διὰ φυλακῆς Οὐεσπασιανὸς καὶ Τίτος ἔχοντες, ἀεὶ προσεδρεύειν αὐτοῖς ἠνάγκασαν, τὸ μὲν πρῶτον δεδεμένον. αὖθις δὲ λυθεὶς συνεπέμφθην ἀπὸ τῆς Ἀλεξανδρείας Τίτῳ, πρὸς τὴν Ἱεροσολύμων πολιορκίαν. ἐν ᾧ χρόνῳ [e] γενομένων τῶν πραττομένων οὐκ ἔστιν ὃ τὴν ἐμὴν γνῶσιν διέφυγε. καὶ γὰρ τὰ κατὰ τὸ στρατόπεδον τὸ Ῥωμαίων ὁρῶν ἐπιμελῶς ἀνέγραφον, καὶ τὰ παρὰ τῶν αὐτομόλων ἀπαγγελλόμενα μόνος αὐτὸς [f] συνίην· [g] εἶτα σχολῆς ἐν τῇ Ῥώμῃ λαβόμενος, πάσης μοι τῆς πραγματείας ἐν παρασκευῇ γεγενημένης, χρησάμενός τισι πρὸς τὴν Ἑλληνίδα φωνὴν συνεργοῖς, οὕτως ἐποιησάμην τῶν πράξεων τὴν παράδοσιν. τοσοῦτον δέ μοι περιῆν θάρσος τῆς ἀληθείας, ὥς τε πρώτους πάντων τοὺς αὐτοκράτορας τοῦ πολέμου γενομένους Οὐεσπασιανὸν καὶ Τίτον ἀξιῶσαι λαβεῖν μάρτυρας. [h] πρώτοις γὰρ δέδωκα τὰ βιβλία· καὶ μετ' ἐκείνους πολλοῖς μὲν Ῥωμαίων τοῖς συμπεπολεμηκόσι, πολλοῖς δὲ τῶν ἡμετέρων ἐπίπρασκον, ἀνδράσι καὶ τῆς Ἑλληνικῆς σοφίας μετεσχηκόσιν, ὧν ἐστιν Ἰούλιος Ἀρχέλαος, Ἡρώδης ὁ σεμνότατος, [i] καὶ [k] αὐτὸς ὁ θαυμασιώτατος βασιλεὺς Ἀγρίππας. οὗτοι μὲν οὖν ἅπαντες ἐμαρτύρησαν, ὅτι τῆς ἀληθείας προὔστην ἐπιμελῶς, οὐκ ἂν ὑποστειλάμενοι καὶ σιωπήσαντες, εἴ τι κατ' ἄγνοιαν ἢ χαριζόμενος μετέθηκα τῶν γεγονότων ἢ παρέλιπον.

ι'. Φαῦλοι δέ τινες ἄνθρωποι διαβάλλειν μου τὴν ἱστορίαν ἐπικεχειρήκασιν, ὥσπερ ἐν σχολῇ μειρακίων γύμνασμα προκεῖσθαι νομίζοντες. [l] κατηγορίας παραδόξου καὶ διαβολῆς. δέον ἐκεῖνο γινώσκειν ὅτι δεῖ τὸν ἄλλοις παράδοσιν πράξεων ἀληθινῶν ὑπισχνούμενον, αὐτὸν ἐπίστασθαι ταύτας πρότερον ἀκριβῶς, ἢ παρηκολουθηκότα

[y] Τὸ νομίζειν] Ita *Euſeb.* antea editum erat ὀνομάζειν αὐτά.
[z] Ἐμμένειν,] Ἐμμένειν vel ἐμμένειν *Euſeb.*
[a] Ὑπὲρ αὐτῶν] Ita cum *Euſeb.* περὶ αὐτῶν in vulgatis *Joſephi.*
[b] Ἐπὶ τὸ μηδὲν ῥῆμα] Ita *Reg. Haſn. Hen.* & *Ruf.* ἕνεκα *Baſ.*
[c] Ὑπομείνειεν] Ὑπομείνειεν *Big.* ἔτι ἂν ὑπομείνειεν *Haſn.*
[d] Ἐγὼ δὲ καὶ περὶ — μέρος γενομένων,] Conf. Ἀλωσ. lib. 1. Joſef. SPANH.
[e] Γενομένων τῶν πραττομένων] Γενομένων delendum, aut πραττομένων. Huns. γενομένων *Haſn.* Verum alterutrum delendum quoque cenſeo, quod influxerit ex more conſueto amanuenſium duplicem ſcriptionem quam in MSS. invenerant, ponentium poſt invicem. HAV.

[f] Συνίην] Ita legendum cenſeo, antea συνιὼν διετέθην legiſſe videtur *Interpr. Vet.*
[g] Εἶτα σχολῆς ἐν τῇ Ῥώμῃ — τὴν παράδοσιν.] Conf. Ἀλωσ. Prœm. §. 1. προὐθέμην ἐγὼ τοῖς κατὰ τὴν Ῥωμαίων ἡγεμονίαν Ἑλλάδι γλώττῃ &c. & Antt. lib. 20. c. 10. §. 2. SPANH.
[h] Πρώτοις γὰρ δέδωκα τὰ βιβλία] Conf. de Vita §. 65. SPANH.
[i] Καὶ] Illud & è *Vet. Interpr.*
[k] Αὐτὸς] Conf. de Vita 65. SPANH. Mallem in Verſione, *& ipſe* &c. HAV.
[l] Κατηγορίας] Genitivus ille κατηγορίας παραδ. per ſe poſitus, eſt exclamationis Atticæ, cui aliquando etiam proponitur ὦ vel φεῦ. L.Boſ.

θηκότα τοῖς γεγονόσιν, ἢ παρὰ τῶν εἰδότων πυνθανόμενον. ὅπερ ἐγὼ μάλιστα περὶ ἀμφοτέρας νομίζω πεποιηκέναι τὰς πραγματείας. τὴν μὲν [m] γὰρ ἀρχαιολογίαν, ὥσπερ ἔφην, ἐκ τῶν ἱερῶν γραμμάτων μεθερμήνευκα, γεγονὼς ἱερεὺς ἐκ γένους, καὶ μετεσχηκὼς τῆς φιλοσοφίας τῆς ἐν ἐκείνοις τοῖς γράμμασι· τοῦ δὲ πολέμου τὴν ἱστορίαν ἔγραψα, πολλῶν μὲν αὐτουργὸς πράξεων, πλείστων δ' αὐτόπτης γενόμενος, ὅλως δὲ τῶν λεχθέντων ἢ πραχθέντων [n] οὐδοτιοῦν ἀγνοήσας. πῶς οὖν οὐκ ἂν θρασεῖς τις ἡγήσαιτο, τοὺς ἀνταγωνίζεσθαί μοι περὶ τῆς ἀληθείας ἐπικεχειρηκότας; οἳ κἂν τοῖς τῶν αὐτοκρατόρων ὑπομνήμασιν ἐντυχεῖν λέγωσιν, ἀλλ' οὔγε καὶ τοῖς ἡμετέροις τῶν ἀντιπολεμούντων πράγμασι παρέτυχον.

ια. Περὶ μὲν οὖν τούτων ἀναγκαίαν ἐποιησάμην τὴν παρέκβασιν, ἐπισημήνασθαι βουλόμενος [o] τῶν ἐπαγγελλομένων τὰς ἱστορίας συγγράφειν τὴν εὐχέρειαν. ἱκανῶς δὲ φανερόν, ὡς οἶμαι, πεποιηκώς, ὡς ὅτι πάτριός ἐστιν ἡ περὶ τῶν παλαιῶν ἀναγραφὴ τοῖς βαρβάροις μᾶλλον ἢ τοῖς Ἕλλησι. [p] βούλομαι δὴ μικρὰ πρότερον διαλεχθῆναι πρὸς τοὺς ἐπιχειροῦντας νέαν ἡμῶν ἀποφαίνειν τὴν κατάστασιν, ἐκ τοῦ μηδὲν περὶ ἡμῶν ὥς φασιν ἐκεῖνοι λελέχθαι παρὰ τοῖς Ἑλληνικοῖς συγγραφεῦσιν· εἶτα δὲ τὰς μαρτυρίας τῆς ἀρχαιότητος ἐκ τῶν παρ' ἄλλοις γραμμάτων παρέξω, [q] καὶ τοὺς μὲν βεβλασφημηκότας ἡμῶν τὸ γένος ἀποδείξω λίαν [r] ἀλόγως βλασφημοῦντας.

ιβ. Ἡμεῖς τοίνυν οὔτε χώραν οἰκοῦμεν παράλιον, οὔτ' ἐμπορίαις χαίρομεν, οὐδὲ ταῖς πρὸς ἄλλους διὰ τούτων ἐπιμιξίαις. ἀλλ' εἰσὶ μὲν ἡμῶν αἱ πόλεις μακρὰν ἀπὸ θαλάσσης [s] ἀπῳκισμέναι, χώραν δὲ ἀγαθὴν νεμόμενοι ταύτην ἐκπονοῦμεν· μάλιστα δὲ πάντων περὶ παιδοτροφίαν φιλοκαλοῦντες, καὶ τὸ φυλάττειν τοὺς νόμους, καὶ τὴν κατὰ τούτους παραδεδομένην εὐσέβειαν, ἔργον ἀναγκαιότατον παντὸς τοῦ βίου πεποιημένοι. προσούσης τοίνυν τοῖς εἰρημένοις καὶ τῆς περὶ τὸν βίον ἡμῶν ἰδιότητος, οὐδὲν [t] ἦν ἐν τοῖς παλαιοῖς χρόνοις τὸ ποιοῦν πρὸς τοὺς Ἕλληνας [v] ἡμῖν ἐπιμιξίαν, ὥσπερ Αἰγυπτίοις μὲν τὰ παρ' αὐτῶν ἐξαγόμενα καὶ πρὸς αὐτοὺς εἰσαγόμενα· τοῖς δὲ τὴν παράλιον τῆς Φοινίκης κατοικοῦσιν, ἡ περὶ τὰς καπηλείας [x] καὶ τὰς ἐμπορίας σπουδή, διὰ τὸ φιλοχρηματεῖν. οὐ μὴν οὐδὲ πρὸς λῃστείας ὥσπερ ἄλλοι τινές, [y] ἢ τὸ πλέον ἔχειν ἀξιοῦν, πολεμοῦντες ἐτράπησαν ἡμῶν οἱ πατέρες, καίτοι πολλὰς τῆς χώρας ἐχούσης μυριάδας ἀνδρῶν οὐκ ἀτόλμων. διὰ τοῦτο Φοίνικες μὲν αὐτοὶ κατ' ἐμπορίαν τοῖς Ἕλλησιν ἐπιπλέοντες εὐθὺς ἐγνώσθησαν, καὶ δι' ἐκείνων Αἰγύπτιοι, καὶ πάντες ἀφ' ὧν τὸν φόρτον εἰς τοὺς Ἕλληνας διεκόμιζον, μεγάλα πελάγη [z] διαίροντες. Μῆδοι δὲ μετὰ ταῦτα καὶ Πέρσαι φανεροὶ κατέστησαν, τῆς Ἀσίας ἐπάρξαντες, οἱ δὲ καὶ μέχρι τῆς [a] ἑτέρας ἠπείρου Πέρσαι στρατεύσαντες. Θρᾷκες δὲ διὰ γειτονίαν, καὶ τὸ Σκυθικὸν ἀπὸ τῶν εἰς τὸν Πόντον ἐγνώσθη πλεόντων. ὅλως γὰρ ἅπαντες οἱ παρὰ τὴν θάλατταν, καὶ τὴν πρὸς ταῖς ἀνατολαῖς καὶ πρὸς τὴν ἑσπέριον κατοικοῦντες, τοῖς συγγράφειν τι βουλομένοις γνωριμώτεροι κατέστησαν. οἱ δὲ ταύτης [b] ἀνωτέρω τὰς οἰκήσεις ἔχοντες ἐπιπλεῖστον [c] ἠγνοήθησαν. καὶ τοῦτο φαίνεται καὶ περὶ τὴν Εὐρώπην συμβεβηκός, ὅπου γε τῆς Ῥωμαίων πόλεως, τοιαύτην ἐκ μακροῦ

prius exacte eas noſſe, aut quòd adfuerit cum gererentur, aut quòd ex gnaris eas didicerit. id quod ego in utroque opere me feciſſe exiſtimo. Antiquitatis namque libros, ſicuti dixi, ex voluminibus ſacris interpretatus ſum, cum eſſem genere ſacerdos, & à philoſophia in ſcriptis iſtis comprehenſa non alienus: hiſtoriam vero belli conſcripſi, ut qui ipſe res quidem multas geſſerim, plurimas vero ipſe viderim, & eorum quæ dicta vel geſta erant nihil prorſus ignorarim. Quo modo ergo non procaces iſti exiſtimarentur, qui mecum de veritate contendere aggreſſi ſunt? qui licet imperatorum commentarios legiſſe dicantur, non tamen noſtrorum qui illis adverſabantur rebus intererant.

11. Et de iſtis quidem neceſſariam feci digreſſionem, ſignificare volens facultatem eorum, qui hiſtoriam ſcribere promittunt: atque abunde me declaratum reliquiſſe arbitror, quod rerum vetuſtarum memoriam ſcriptis conſignare magis in uſu eſt apud barbaros quam Græcos. Volo igitur in primis eos paucis redarguere, qui noſtrum ſtatum recentem eſſe contendunt, eo quod nihil de nobis, ut ajunt, illis memorarint ſcriptores Græci: deinde teſtimonia antiquitatis *noſtræ* ex aliorum ſcriptis afferam, & eos qui noſtræ genti maledixerunt nulla prorſus cum ratione *nobis* maledicere oſtendam.

Barbari antiquiſſimi Hiſtoriarum ſcriptores.

12. Quod ad nos attinet terram habitamus quæ neque mari vicina eſt, neque negotiationibus gaudemus, neque earum cauſa nobis conſuetudo cum aliis gentibus eſt. Sed ſunt urbes quidem noſtræ procul à mari ſitæ; ipſi autem nos regionem bonam incolentes hanc cum labore exercemus: maxime vero omnium liberis educandis ſtudentes & legum cuſtodiæ, ut qui pietatem ad illas exactam opus totius vitæ maxime neceſſarium fecerimus. Cum igitur ad ea quæ dicta ſunt accedat etiam vivendi ratio propria, nihil erat priſcis temporibus quod faceret nobis commercium Græcorum, ſicut Ægyptiis mercimonia, ex rebus quæ importarentur aut exportarentur *ad alias gentes*, & Phœnicibus oram maritimam accolentibus, cauponandi & negotiandi ſtudium ex amore pecuniæ. Sed neque ad latrocinia ſicut alii quidam, aut amplius habere deſiderantes, bellum exercendo converſi ſunt patres noſtri, licet regio multis virorum ſtrenuorum myriadibus abundaret. Quo factum ut Phœnices negotiationis ergo ad Græcos navigantes ſtatim agniti fuerint, & per illos Ægyptii, dein omnes à quibus ad Græcos onera perferebant, immenſa maria pertranſeuntes. Medi vero poſtea atque Perſæ illis innotuerunt poſtquam Aſiæ imperarunt, Perſæque *præcipue* cum uſque ad alteram continentem expeditiones feciſſent; Thraces autem propter vicinitatem, & Scythæ ab iis qui in Pontum navigant cogniti ſunt: atque in univerſum omnes, ad mare vel Orientale vel Heſperium habitantes, in eorum notitiam facilius venerunt, quibus in animo fuit hiſtoriæ aliquid ſcribere. Superiora vero incolentes & procul à mari maximam in partem ignorati erant. Hoc idem & iis contigit qui in Europa habitant. Siquidem Romanorum urbis, in tantam potentiam jam

Judæa fere admodum Græcis incognita.

Unde aliæ gentes in Græcorum notitiam venerunt.

Romani diu Græcis ignoti.

m Γὰρ ἀρχαιολογίαν,] Γὰρ non agnoſcit *El.*
n Οὐδοτιοῦν ἀγνοήσας] Οὐδ' ὅτι οὖν *El.*
o Τῶν ἐπαγγελλομένων] Καὶ τῶν ἐπαγγ. *El.*
p Βούλομαι δὲ] Βούλομαι μικρὰ πρ. in *MSS.*
q Καὶ τοὺς μὲν] μὲν inſeritur ex *Hafn.* Hav.
r Ἀλόγως βλασφημοῦντας.] Ita ex *Vet. Interprete.* ἐν τοῖς λόγοις in *Joſephi* Græcis tam *Editis* quam *MSS.*
s Ἀπῳκισμέναι.] Ita *Budæus* & *MS. El.* antea ἀνῳκισμέναι.
t Ἦν ἐν τοῖς παλαιοῖς χρόνοις τὸ ποιοῦν] Οὐδὲν ἐν τοῖς π. χρ. ποιοῦν in aliquot *MSS.* ut & *Hafn.*
v Ἡμῖν ἐπιμιξίαν,] Illud ἡμῖν non agnoſcit *El.*
x Καὶ τὰς] καὶ περὶ τὰς *Hafn.*
y Ἢ τὸ πλέον ἔχειν] Οἱ τὸ πλέον ἔχειν ἀξιοῦντες *El.*
z Διαίροντες.] Διαιροῦντες in uno *MS.*
a Ἑτέρας] Ita ex *Vet. Interpr.* antea erat ἑσπερίας ἠπείρου.
b Ἀνωτέρω] Ita ex *MSS.* (ut & *Hafn.*) ἄνω in *Editis.*
c Ἠγνοήθησαν.] ἠγνόηνται *Hafn.*

Tomus II. Kkk 3 Olim

jam inde olim evectæ, & tantas res bellicas proſpere gerentis, neque Herodotus neque Thucydides quoquo modo meminerunt, nec omnino alius eorum æqualis ſcriptor, ſed ſero & vix tandem eorum nomen in Græcia auditum. Gallorum etiam & Hiſpanorum res uſque adeo ignoræ iis fuerunt qui accuratiſſimi ſcriptores fuiſſe videntur, in quibus eſt Ephorus, ut Iberos unam civitatem eſſe exiſtimaverit, cum tam late in occidentem fines eorum pateant: & ritus eorum, qui nec fuerunt nec fuiſſe unquam dicti ſunt, ſcribere, tanquam ita illis uterentur, non dubitarunt. Cauſa vero earum quidem rerum ignorantia fuit, quod illi ſecum ipſi viverent commercia aliarum gentium averſantes; ſcriptorum vero mendacii, quod volebant illi quippiam ultra alios memoriæ mandaſſe videri. Quomodo ergo mirari convenit; ſi neque noſtra gens plurimis erat nota, neque ad ſcribendum de ſe aliquam ſuppeditavit occaſionem, tam longo ſcilicet intervallo disjuncta à mari, talibus vitæ inſtitutis ſeſe accommodans.

Græcorum genus non antiquum.

13. Pone igitur nos argumento uti vel Græcorum, quod non ſit genus eorum antiquum, eo quod nihil in libris noſtris de iis dictum reperiatur. Nonne omnino nos riſu exciperent, ipſas ut arbitror à me nunc allatas proferentes cauſas, & teſtes è vicinis regionibus adducerent antiquitatis ſuæ. Igitur & ego hoc conabor efficere. Ægyptiis enim & Phœnicibus præcipue teſtibus utar, cum nemo eorum teſtimonio tanquam falſo detrahere potuerit. Videntur enim & maxime in nos iniqui, communiter quidem omnes Ægyptii, Phœnicum vero Tyrii. De Chaldæis autem nequaquam hoc idem dicere potero, quoniam & generis noſtri principes exſtiterunt, & propter cognationem in hiſtoriis ſuis Judæorum meminerunt. Cum vero de iſtis probationes afferam, tunc etiam *iſtos* Græcorum hiſtoricos memorabo qui Judæorum mentionem fecere; ne quis *eorum* ex invidia & detrectatione hujuſmodi occaſionem arripiat nobis contradicendi.

Ægyptii & Tyrii Judæis infenſi.

Manetho Hiſtoricus apud Ægyptios.

14. Initium jam faciam ab Ægyptiorum literis. Ipſas quidem eorum literas ut proferam fieri non poteſt. Manetho autem genere fuit Ægyptius, vir Græcam eruditionem aſſequutus, uti ex eo intelligitur, quod Græce patriam hiſtoriam ſcripſerit, eam, ut ipſe profitetur, è * ſacris interpretatus libris; qui etiam Herodotum in multis convicit de rebus Ægyptiacis per ignorantiam mentitum. Ille certe Manetho hiſtoriarum Ægyptiarum ſecundo ita de nobis ſcribit (ejus quippe verba proferre libet, ut qui ipſum illum pro teſte producam.) „ Regem olim habuimus Timaum, „ cujus tempore, cum nobis Deus neſcio quo pacto „ eſſet iratior, ex partibus orientalibus homines „ ignobili genere illi quidem, ſed tamen audaciæ „ pleni, repentinum hanc in regionem impetum „ fecerunt, eamque facile admodum ac ſine pugna ſubegerunt: atque principibus ejus in ſuam „ poteſtatem redactis, de cætero & civitates crudeliter incenderunt, & Deorum templa everterunt. Porroque in omnes indigenas inimiciſſime

Teſtimonium ex Manethone.

δύναμιν κεκτημένης, καὶ τοιαύτας πράξεις κατορθώσης πολεμικὰς, οὔθ᾽ ὁ Ἡρόδοτος [d] οὔθ᾽ ὁ Θουκυδίδης, οὔτε τῶν ἅμα τούτοις γενομένων οὐδὲ εἷς [e] ἐμνημόνευκεν, ἀλλ᾽ [f] ὀψέ ποτε καὶ μόλις αὐτῶν εἰς τοὺς Ἕλληνας ἡ γνῶσις διεξῆλθεν. περὶ μὲν [g] γὰρ Γαλατῶν τε καὶ Ἰβήρων οὕτως ἠγνόησαν οἱ δοκοῦντες ἀκριβέσταλοι συγγραφεῖς, ὧν ἐστιν Ἔφορος, ὥς τε πόλιν οἴεται μίαν εἶναι τοὺς Ἴβηρας, τοὺς τοσοῦτο μέρος τῆς ἑσπερίου γῆς κατοικοῦντας καὶ τὰ μήτε γενόμενα παρ᾽ αὐτοῖς ἔθη μήτε λεγόμενα γράφειν, ὡς ἐκείνων αὐτοῖς χρωμένων, ἐτόλμησαν· αἴτιον δὲ τοῦ μὲν μὴ γινώσκειν τἀληθὲς, τὸ λίαν ἀνεπίμικτον· τοῦ δὲ γράφειν ψευδῆ, τὸ βούλεσθαι δοκεῖν τι πλέον τῶν ἄλλων ἱστορεῖν. πῶς οὖν ἔτι θαυμάζειν προσήκει, εἰ μηδὲ τὸ ἡμέτερον ἔθνος πολλοῖς ἐγιγνώσκετο, μηδὲ τῆς ἐν τοῖς συγγράμμασι μνήμης ἀφορμὴν παρέσχεν, [h] οὕτω μὲν ἀπῳκισμένον τῆς θαλάσσης, οὕτω δὲ βιοτεύειν προῃρημένον.

ιγ΄. Φέρε τοίνυν ἡμᾶς ἀξιοῦν τεκμηρίῳ [i] χρῆσθαι περὶ τῶν Ἑλλήνων, ὅτι μὴ παλαιόν ἐστιν αὐτῶν τὸ γένος, τὸ μηδὲν ἐν ταῖς ἡμετέραις ἀναγραφαῖς περὶ αὐτῶν εἰρῆσθαι. ἆρ᾽ οὐχὶ πάντως ἂν κατεγέλων, αὐτὰς οἶμαι τὰς ὑπ᾽ ἐμοῦ νῦν εἰρημένας κομίζοντες αἰτίας, καὶ μάρτυρας ἂν τοὺς πλησιοχώρους παρείχοντο τῆς αὐτῶν ἀρχαιότητος. κἀγὼ τοίνυν πειράσομαι τοῦτο ποιεῖν. Αἰγυπτίοις γὰρ καὶ Φοίνιξι μάλιστα δὴ χρήσομαι μάρτυσιν, οὐκ ἄν τινος ὡς ψευδῆ τὴν μαρτυρίαν διαβάλλειν δυνηθέντος. φαίνονται γὰρ καὶ δὴ μάλιστα πρὸς ἡμᾶς δυσμενῶς διατεθέντες, κοινῇ μὲν ἅπαντες Αἰγύπτιοι, Φοινίκων δὲ Τύριοι. περὶ μέν τοι Χαλδαίων οὐκέτι δυναίμην ἂν ταυτὸ λέγειν, ἐπεὶ καὶ τοῦ γένους ἡμῶν ἀρχηγοὶ καθεστήκασι, καὶ διὰ τὴν συγγένειαν ἐν ταῖς αὐτῶν ἀναγραφαῖς Ἰουδαίων μνημονεύουσιν. ὅταν δὲ τὰς περὶ τούτων πίστεις παράσχω, τότε καὶ τῶν Ἑλλήνων συγγραφέων ἀποφανῶ τοὺς μνήμην Ἰουδαίων πεποιηκότας, ἵνα μηδὲ ταύτην ἔτι τὴν πρόφασιν οἱ βασκαίνοντες ἔχωσι τῆς πρὸς ἡμᾶς ἀντιλογίας.

ιδ΄. [k] Ἄρξομαι δὴ πρῶτον ἀπὸ τῶν παρ᾽ Αἰγυπτίοις γραμμάτων, αὐτὰ μὲν οὖν [l] οὐχ οἷόν τε παρατίθεσθαι κἀκεῖνα. [m] Μανεθὼν δ᾽ ἦν τὸ γένος ἀνὴρ Αἰγύπτιος, τῆς Ἑλληνικῆς μετεσχηκὼς παιδείας, ὡς δῆλός ἐστι· γέγραφε γὰρ Ἑλλάδι φωνῇ τὴν πάτριον ἱστορίαν, ἔκ τε τῶν [n] ἱερῶν, ὥς φησιν αὐτὸς, μεταφράσας, καὶ πολλὰ τὸν Ἡρόδοτον ἐλέγχει τῶν Αἰγυπτιακῶν ὑπ᾽ ἀγνοίας ἐψευσμένον. αὐτὸς δὴ τοίνυν ὁ Μανεθὼν ἐν τῇ δευτέρᾳ τῶν [o] Αἰγυπτιακῶν ταῦτα περὶ ἡμῶν γράφει. παραθήσομαι δὲ τὴν λέξιν αὐτοῦ, καθάπερ αὐτὸν ἐκεῖνον παραγαγὼν μάρτυρα. „ [p] ἐγένετο βασιλεὺς ἡμῖν, „ [q] Τίμαιος ὄνομα, ἐπὶ τούτου οὐκ οἶδ᾽ ὅπως ὁ „ Θεὸς ἀντέπνευσεν, καὶ παραδόξως ἐκ τῶν πρὸς ἀνα„ τολὴν μερῶν, ἄνθρωποι τὸ γένος ἄσημοι, κατα„ θαρσήσαντες ἐπὶ τὴν χώραν [r] ἐστράτευσαν, καὶ ῥᾳδίως „ ἀμαχητὶ ταύτην κατὰ κράτος εἷλον. καὶ τοὺς ἡγε„ μονεύσαντας ἐν αὐτῇ χειρωσάμενοι, τὸ λοιπὸν τάς „ τε πόλεις ὠμῶς ἐνέπρησαν, καὶ τὰ ἱερὰ τῶν θεῶν „ κατέσκαψαν. πᾶσι δὲ τοῖς ἐπιχωρίοις ἐχθρότατά „ πως

d Οὐδ᾽ ὁ Θουκυδίδης.] Οὔτε Θουκυδίδης *El.*
e Ἐμνημόνευκεν,] Ἐμνημόνευσεν *El.*
f Ὀψέ ποτε] Ὀψὲ καὶ μόλις *El.*
g Γὰρ Γαλατῶν] Illud γὰρ non agnoſcit *El.*
h Οὕτω] οὕτως *Haſn.*
i Χρῆσθαι.] Χρῆσθαι *El.*
k Ἄρξομαι δὴ] Locus ab *Euſebio* citatus in *Præp. Evangel.* l. 10. c. 13.
l Οὐχ οἷόν τε] Ita ex *Euſebio* & *MS. Big.* antea erat οὐχ οἷόν τε & mox κἀκεῖνα.
m Μανεθὼν] *Al.* Μανέθως & Μανεθώς. Hud. Μανέθως *Euſeb.* *Præp.* p. 506. Spanh.
n Ἱερῶν,] Ἱερῶν *Baſ.* ἱερῶν *cæteri omnes.*
o Αἰγυπτιακῶν] Inde apud *Euſeb.* Προπαρ. lib. X. cap. XIII. p. 500. &c. Spanh.
p Ἐγένετο βασιλεὺς ἡμῖν,] Deſunt in *Haſn.*
q Τίμαιος] *Al.* Τίμαυος. Τὶ ἡμαιος *Haſn.* Τίμαιος *Euſeb.* Spanh.
r Ἐστράτευσαν,] Ita ex *Euſebio.* (ita & in *Haſn.* extat) antea ἀπεστράτευσαν.

* *Vel ſacerdotum annalibus.*

τως ἐχρήσαντο, τοὺς μὲν σφάζοντες, τῶν δὲ καὶ τὰ τέκνα καὶ γυναῖκας εἰς δουλείαν ἄγοντες. πέρας δὲ καὶ βασιλέα ἕνα ἐξ αὐτῶν ἐποίησαν, ᾧ ὄνομα ἦν [s] Σάλατις. καὶ οὗτος ἐν τῇ Μέμφιδι κατεγίνετο, τήν τε ἄνω καὶ κάτω χώραν δασμολογῶν, καὶ φρουρὰν ἐν τοῖς ἐπιτηδειοτάτοις [t] καταλείπων τόποις. μάλιστα δὲ καὶ τὰ πρὸς ἀνατολὴν ἠσφαλίσατο μέρη, προορώμενος Ἀσσυρίων, [v] τότε μεῖζον ἰσχυόντων, ἐσομένην ἐπιθυμίαν τῆς αὐτῆς βασιλείας [x] ἐφόδου. εὑρὼν δὲ [y] ἐν νομῷ τῷ Σαΐτῃ πόλιν ἐπικαιροτάτην, κειμένην μὲν πρὸς ἀνατολὴν [z] τοῦ Βουβαστίτου ποταμοῦ, καλουμένην δ' [a] ἀπό τινος ἀρχαίας θεολογίας [b] Αὔαριν, ταύτην ἔκτισέν τε, καὶ τοῖς τείχεσιν ὀχυρωτάτην ἐποίησεν ἐνοικίσας αὐτῇ καὶ πλῆθος ὁπλιτῶν εἰς εἴκοσι καὶ τέσσαρας μυριάδας ἀνδρῶν πρὸς φυλακήν. ἐνθάδε κατὰ θέρειαν ἤρχετο, τὰ μὲν σιτομετρῶν καὶ μισθοφορίαν παρεχόμενος, τὰ δὲ [c] καὶ ταῖς ἐξοπλισίαις πρὸς φόβον τῶν ἔξωθεν ἐπιμελῶς γυμνάζων. ἄρξας δ' ἐννεακαίδεκα ἔτη τὸν βίον ἐτελεύτησεν. μετὰ τοῦτον δὲ ἕτερος ἐβασίλευσεν τέσσαρα καὶ τετταράκοντα ἔτη, καλούμενος [d] Βηών. μεθ' ὃν ἄλλος Ἀπαχνᾶς, ἓξ καὶ τριάκοντα ἔτη καὶ μῆνας ἑπτά. ἔπειτα δὲ καὶ Ἄπωφις ἓν καὶ ἑξήκοντα, καὶ [e] Ἰανίας πεντήκοντα καὶ μῆνα ἕνα. ἐπὶ πᾶσι δὲ καὶ [f] Ἄσσις ἐννέα καὶ τεσσαράκοντα καὶ μῆνας δύο. καὶ οὗτοι μὲν ἓξ ἐν αὐτοῖς ἐγενήθησαν πρῶτοι ἄρχοντες, [g] πολεμοῦντες ἀεὶ καὶ ποθοῦντες μᾶλλον τῆς Αἰγύπτου ἐξᾶραι τὴν ῥίζαν. ἐκαλεῖτο δὲ τὸ [h] σύμπαν αὐτῶν ἔθνος [i] ΥΚΣΩΣ, τοῦτο δέ ἐστι βασιλεῖς ποιμένες. τὸ γὰρ [k] ΥΚ καθ' ἱερὰν γλῶσσαν βασιλέα σημαίνει, τὸ δὲ [l] ΣΩΣ ποιμήν ἐστι καὶ ποιμένες κατὰ τὴν κοινὴν διάλεκτον, καὶ οὕτω συντιθέμενον γίνεται [m] ΥΚΣΩΣ. τινὲς δὲ λέγουσιν αὐτοὺς Ἄραβας εἶναι.” [n] ἐν δ' ἄλλῳ ἀντιγράφῳ οὐ βασιλεῖς σημαίνεσθαι διὰ [o] τῆς τοῦ ΥΚ προσηγορίας, [p] ἀλλὰ τοὐναντίον αἰχμαλώτους δηλοῦσθαι ποιμένας. τὸ γὰρ [q] ΥΚ πάλιν Αἰγυπτιαστὶ καὶ τὸ ΑΚ δασυνόμενον, αἰχμαλώτους ῥητῶς μηνύει. καὶ τοῦτο μᾶλλον πιθανώτερόν μοι φαίνεται, καὶ παλαιᾶς ἱστορίας ἐχόμενον. „ [r] Τούτους δὲ τοὺς προκατωνομασμένους βασιλέας [s] τοὺς τῶν ποιμένων καλουμένων, καὶ τοὺς ἐξ αὐτῶν γενομένους, κρατῆσαι τῆς Αἰγύπτου φησὶν ἔτη πρὸς τοῖς πεντακοσίοις ἕνδεκα. μετὰ ταῦτα δὲ, τῶν ἐκ τῆς Θηβαΐδος καὶ τῆς ἄλλης Αἰγύπτου βασιλέων γενέσθαι φησὶν ἐπὶ τοὺς ποιμένας ἐπανάστασιν, καὶ πόλεμον [t] αὐτοῖς συῤῥαγῆναι μέγαν καὶ πολυχρόνιον. ἐπὶ δὲ βασιλέως, ᾧ ὄνομα εἶναι [u] Ἀλισφραγμούθωσις, ἡττωμένους φησὶ τοὺς [x] ποιμένας ὑπ' αὐτοῦ, ἐκ μὲν τῆς ἄλλης Αἰγύπτου

ſe geſſerunt, alios quidem perimentes, aliorum vero & liberos & conjuges in ſervitutem agentes. tandem vero unum ex illis regem crearunt, cui nomen Salatis. Atque hic in Memphide verſabatur, provinciam ſuperiorem & inferiorem tributariam faciens, præſidiaque in locis opportuniſſimis relinquens. Quin & maxime partes munivit orientales, proſpiciens Aſſyriis, tunc aliis *populis* potentioribus, futuram cupiditatem invadendi illud ipſum regnum. Cum nactus eſſet in Saïte nomo civitatem opportuniſſimam ad orientem fluvii Bubaſtitæ ſitam, quæ vero ab antiquis theologis Avaris appellabatur, & ipſam ædificavit & muris firmiſſimis communivit, poſtquam illic collocaſſet ad cuſtodiam ejus armatorum multitudinem uſque ad CCXL. millia virorum. Illic veniebat æſtatis tempore, tam ut frumenta meteret & conductitiis mercedem ſolveret, quam ut armatos ad terrorem extraneorum diligenter exerceret. Cum autem regnaſſet annis XIX, vitam finivit. Poſt hunc etiam regnavit alter annis XLIV, Bæon nomine. Poſt quem alius Apachnas nomine, annis XXXVI. & menſibus VII. Dein etiam Apophis LXI, & Janias L. & menſe uno. Poſt omnes autem Aſſis annis XLIX. & menſibus II. Et iſti quidem ſex inter eos fuere primi principes, bellum ſemper gerentes, & maxime Ægyptum radicitus exſtinguere cupientes. Vocabatur autem gens *eorum* univerſa HYCSOS, id eſt Reges paſtores. *Reges paſtores.* HYC enim in ſacra lingua Regem ſonat, SOS vero paſtorem ſive paſtores ſecundum dilectum communem, unde vox compoſita HYCSOS. Sunt autem qui Arabas illos exſtitiſſe dicunt.” In alio autem exemplari nomine illo HYCSOS non Reges ſignificari *comperi*, ſed è diverſo captivos paſtores indicari. HYC enim iterum Ægyptiaca lingua, & HAC cum aſpiratione, captivos proprie nominatimque ſignificat. Atque id mihi veriſimilius videtur, & *magis* cum antiqua hiſtoria conſentiens. „ Illos autem Regum olim Paſtorumque nomine appellatos, illorumque poſteros Ægyptum in ſua poteſtate habuiſſe dicit, annis circiter XI. ſupra quingentos. tum vero ſuſceptam adverſus paſtores à Thebaïdis ac reliquæ Ægypti regibus expeditionem, bellumque grave ac diuturnum inter ipſos conflatum fuiſſe. Sub rege autem cui Aliſfragmuthoſis nomen erat, debellatos Paſtores illos, ac reliqua Ægypto „ pul-

s Σάλατις.] Σάλτις *Vet. Interpr.*
t Καταλείπων] καταλιπὼν *Hafn.*
v Τότε μεῖζον ἰσχυόντων,] Ita cum Cl. *Perizonio.* ποτὲ in Editis & MSS.
x Ἐφόδου] Iterum cum viris Cll. *Perizonio* & *Lowthio*, pro ἐφόδῳ.
y Ἐν νομῷ] E. *Bernardus* legendum cenſet (ex *Georgio Syncello*, p. 61.) ἐν νομῷ Σεθρωΐτῃ. Cum ſatis conſtet (ut inquit) Saïn ſitam eſſe prope oſtium Nili *Sebennyticum*, *Sethro* vero ſuper oſtium ejus *Bubaſticum*, ut nos docet *Ptolemæus* ipſis fere *Joſephi* verbis. Huds. in MSS. quibuſd. μόνῳ & νόμῳ, utrumque male. Hav.
z Τοῦ Βουβαστίτου ποταμοῦ,] Conf. Antt. lib. 13. c. 3. §. 1. Spanh.
a Ἀπό τινος ἀρχαίας θεολογίας] Ita *Big.* & *Vet. Interpr.* τῆς *Baſ.*
b Αὔαριν,] Αὔαριν vel (quod idem eſt) Ἄβαριν in *libris* omnibus. Conf. infr. §. 26. Spanh.
c Καὶ ταῖς ἐξοπλισίαις] Καὶ τοὺς ἐκλίτας juxta *Vet. Interpr.*
d Βηών.] Βαίων *Georg. Syncell.* p. 108.
e Ἰανίας] Ἰαννᾶς *Big.* & *Hafn.* haud male.
f Ἄσσις] Ἄσης *Vet. Interpr.* Σέθως aut Ἀσσὴθ *Georg. Syncell.* p. 123. Ἀρχλὴς aut Ἀρχλὰς *Africano* & *Euſebio.*
g Πολεμοῦντες] Ita *Big. Hafn.* & *Vet. Interpr.* antea erat ποθοῦντες ἀεὶ ἢ μᾶλλον.

h Σύμπαν] Ita τὸ σύμπαν αὐτῶν ex *Euſebio.*
i ΥΚΣΩΣ.] Ὑκουσὼς *Euſeb.* Ὑκσὼς h. e. βασιλεῖς ποιμένες; Ὑκ ſacra Ægyptiorum lingua *Rex*, Σῶς, communi lingua *Paſtor.* Ὀρασὼς *Euſeb.* Spanh.
k ΥΚ καθ'] Οὐακ *Euſeb.*
l ΣΩΣ] Οὐσὼς *Euſeb.*
m ΥΚΣΩΣ.] Ὑκουσὼς *Euſeb.*
n Ἐν δ' ἄλλῳ ἀντιγράφῳ] Ἐν δ' ἄλλοις ἀντιγράφοις legiſſe videtur *Vet. Interpr.*
o Τῆς τοῦ ΥΚ προσηγορίας,] Τῆς τοῦ Ὑκουσὼς πρ. *Euſeb.* Forſan. διὰ τῆς τοῦ Ὑκὼν πρ.
p Ἀλλὰ τοὐναντίον αἰχμαλώτους δηλοῦσθαι ποιμένας.] Ἀλλὰ τοὐναντίον βασιλεῖς αἰχμαλώτους δηλοῦσθαι ὁ Ποιμένας. *Big.* & *Hafn.*
q ΥΚ] Ὑκουσὼς *Euſeb.*
r Τούτους] Ita cum *Euſebio.* τούτους δὴ [vel οὖν] τοὺς *Vet. Interpr.* antea erat τούτους τοὺς πρ.
s Τοὺς τῶν ποιμένων] Καὶ τοὺς τῶν π. *Euſeb.* ut & *Hafn.* Forſan τοὺς ἐκ τῶν ποιμένων, quòd eorum ex numero reges crearentur. *Vigor.*
t Αὐτοῖς συῤῥαγῆναι] Illud αὐτοῖς non agnoſcit *Euſeb.*
u Ἀλισφραγμούθωσις,] Μισφραγμούθωσις *Euſeb.* hic & alibi Μισφραγμούθωσιν *Georg. Syncell.* p. 103. Huds. Μισφραγμούθωσιν *Euſebio* Spanh.
x Ποιμένας ὑπ' αὐτοῦ,] Ποιμένας, καὶ ἐκ μὲν τῆς ἄλλης *Euſeb.* ποιμένας ἐξ αὐτοῦ μὲν *Big.*

 y Αὐα-

„ pulſos, unum in locum incluſos eſſe tradit, cujus ambitus decem jugerum millia contineret. Avaris locus ille dicebatur. Hunc Manetho dicit univerſum à Paſtoribus ingenti validoque muro ſeptum ac munitum, ut quicquid ſibi fortunarum eſſet ac prædæ id omne tutum ac ſecurum habere poſſent. At vero Aliſfragmuthoſeos filium Thummoſin CCCCLXXX. millium hominum exercitu muros obſediſſe, atque ipſos per vim expugnare conatum illum quidem; ſed, obſidionis exitu deſperato, cum iiſdem ea conditione pepigiſſe, uti Ægypto relicto, omnes quocunque vellent ſine ullo ſuo detrimento commigrarent. Eos igitur cum univerſis familiis atque omni poſſeſſione ſua, uti per ictum fœdus poterant, haud pauciores CCXL. millibus ab Ægypto per ſolitudinem in Syriam tetendiſſe. Quod autem ſibi ab Aſſyriorum principatu metuerent, (tum enim Aſiam tenebant) in ea quam hodie Judæam appellamus regione urbem ædificaſſe, quæ tot hominum millia caperet, eandemque Hieroſolyma nominaſſe." In alio vero quodam de rebus Ægyptiacis libro Manetho dicit, „ hanc *ipſam* gentem Paſtores appellatam, captivos in ſacris ſuorum libris haberi;" idque recte. Nam antiquis progenitoribus noſtris patrium erat *greges* paſcere: & paſcualem agentes vitam, inde Paſtores vocabantur. rurſuſque captivi non temere in Ægyptiorum libris dicti ſunt, quoniam progenitor noſter Joſephus dixit ad Ægyptiorum regem, ſe captivum eſſe, & poſtea fratres in Ægyptum evocavit regis permiſſu. Sed de iſtis quidem alibi inquiſitionem faciemus diligentiorem.

Manethonis teſtimonium uberius.

15. Nunc autem hujus antiquitatis teſtes producam Ægyptios. Itaque rurſus ea quæ tradidit Manetho, ad quod tempus referantur, ſubjiciam. Sic enim ait: „ Poſtquam ex Ægypto egreſſus eſt Paſtorum populus ad Hieroſolyma, qui illos ex Ægypto pepulit rex *nomine* Tethmoſis, poſtea regnavit annis viginti & quinque, & menſibus quatuor, & defunctus eſt: regnumque ſibi vendicavit filius ejus Chebron per annos tredecim. Poſt quem Amenophis, *annis* viginti & menſibus VII. hujus autem ſoror *Ameſſes*, XXI. & menſibus IX. poſt hanc Mephres *annis* XII. & menſibus IX. poſt hunc Mephramuthoſis *annis* XXV. & menſibus X. poſt eum Thmoſis annis IX. & menſibus VIII. poſt eum Amenophis *annis* XXX. & menſibus V. poſt eum Orus *annis* XXXVI. & menſibus V. Hujus autem filia Acenchres *annis* XII. & menſe I. poſt eam frater Rathotis *annis* IX. poſt hunc Acenceres *annis* XII. & menſibus V. poſt hunc Acencheres alter annis XX. & menſibus III. poſt hunc Armaïs *annis* IV. & menſe I. poſt hunc Rameſſes *anno* I. & menſibus IV. poſt hunc Armeſſes

„ πάσης ἐκπεσεῖν, κατακλεισθῆναι δ' εἰς τόπον, ἀρουρῶν ἔχοντα μυρίων τὴν περίμετρον. [y] Αὔαριν ὄνομα τῷ τόπῳ. τοῦτόν φησιν ὁ Μανεθὼν ἅπαντα, τείχει τε μεγάλῳ καὶ ἰσχυρῷ περιβαλεῖν τοὺς ποιμένας, ὅπως τήν τε κτῆσιν ἅπασαν ἔχωσιν ἐν [z] ὀχυρῷ, καὶ τὴν λείαν τὴν ἑαυτῶν. τὸν δὲ Ἀλισφραγμουθώσεως υἱὸν [a] Θούμμωσιν ἐπιχειρῆσαι μὲν αὐτοὺς [b] διὰ πολιορκίας ἑλεῖν κατὰ κράτος, ὀκτὼ καὶ τεσσαράκοντα μυριάσι προσεδρεύσαντα τοῖς τείχεσιν· ἐπεὶ δὲ [c] τὴν πολιορκίας ἀπέγνω, ποιήσασθαι συμβάσεις, ἵνα τὴν Αἴγυπτον ἐκλιπόντες [d] ὅποι βούλονται πάντες ἀβλαβεῖς ἀπέλθωσι. τοὺς δὲ ἐπὶ ταῖς ὁμολογίαις πανοικεσίᾳ μετὰ τῶν κτήσεων οὐκ ἐλάττους μυριάδων ὄντας εἴκοσι καὶ τεσσάρων ἀπὸ τῆς Αἰγύπτου τὴν ἔρημον εἰς Συρίαν [e] ὁδοιπορῆσαι. φοβουμένους δὲ τὴν Ἀσσυρίων δυναστείαν, τότε γὰρ ἐκείνους τῆς Ἀσίας κρατεῖν, [f] ἐν τῇ νῦν [g] Ἰουδαίᾳ καλουμένῃ πόλιν οἰκοδομησαμένους [h] τοσαύταις μυριάσιν ἀνθρώπων ἀρκέσουσαν, Ἱεροσόλυμα ταύτην [i] ὀνομάσαι. ἐν ἄλλῃ δέ τινι βίβλῳ τῶν Αἰγυπτιακῶν Μανεθὼν τοῦτό φησιν ἔθνος τοὺς καλουμένους ποιμένας, αἰχμαλώτους ἐν ταῖς ἱεραῖς αὐτῶν βίβλοις γεγράφθαι," λέγων ὀρθῶς. καὶ γὰρ τοῖς ἀνωτάτω προγόνοις ἡμῶν τὸ ποιμαίνειν πάτριον ἦν, καὶ νομαδικὸν ἔχοντες τὸν βίον, οὕτως ἐκαλοῦντο ποιμένες. αἰχμάλωτοί τε πάλιν οὐκ ἀλόγως ὑπὸ τῶν Αἰγυπτίων ἀνεγράφησαν, ἐπειδήπερ ὁ [k] πρόγονος ἡμῶν Ἰώσηπος ἑαυτὸν ἔφη πρὸς τὸν βασιλέα τῶν Αἰγυπτίων αἰχμάλωτον εἶναι, καὶ τοὺς ἀδελφοὺς εἰς τὴν Αἴγυπτον ὕστερον μετεπέμψατο, τοῦ βασιλέως ἐπιτρέψαντος. ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις ποιήσομαι τὴν ἐξέτασιν ἀκριβεστέραν.

ιε'. Νυνὶ δὲ τῆς ἀρχαιότητος ταύτης παρατίθεμαι τοὺς Αἰγυπτίους μάρτυρας. πάλιν οὖν τὰ τοῦ Μανεθῶνος, πῶς ἔχει πρὸς τὴν τῶν χρόνων τάξιν, ὑπογράψω. φησὶ δὲ οὕτως. „ μετὰ τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου τὸν λαὸν [l] τῶν ποιμένων εἰς Ἱεροσόλυμα, ὁ ἐκβαλὼν αὐτοὺς ἐξ Αἰγύπτου βασιλεὺς [m] Τέθμωσις, ἐβασίλευσε μετὰ ταῦτα ἔτη εἴκοσι πέντε καὶ μῆνας τέσσαρας, καὶ ἐτελεύτησεν, καὶ παρέλαβε τὴν ἀρχὴν [n] αὐτοῦ υἱὸς Χέβρων ἔτη δεκατρία. [o] μεθ' ὃν Ἀμένωφις [p] εἴκοσι καὶ μῆνας ἑπτά. τοῦ δὲ ἀδελφὴ [q] Ἀμεσσὴς εἰκοσιὲν καὶ μῆνας ἐννέα. τῆς δὲ [r] Μήφρης δώδεκα καὶ μῆνας ἐννέα. τοῦ δὲ [s] Μηφραμούθωσις εἴκοσι πέντε καὶ μῆνας δέκα. τοῦ δὲ [t] Θμῶσις ἐννέα καὶ μῆνας ὀκτώ. τοῦ δ' [v] Ἀμένωφις τριάκοντα καὶ μῆνας δέκα. τοῦ δὲ Ὧρος τριακονταὲξ καὶ μῆνας πέντε. τοῦ δὲ θυγάτηρ [x] Ἀκεγχρὴς δώδεκα καὶ μῆνα ἕνα. τῆς δὲ [y] Ῥάθωτις ἀδελφὸς ἐννέα. τοῦ δὲ Ἀκεγχήρης δώδεκα καὶ μῆνας πέντε. τοῦ δὲ Ἀκεγχήρης ἕτερος δώδεκα καὶ μῆνας τρεῖς. τοῦ δὲ Ἁρμαῒς τέσσαρα καὶ μῆνα ἕνα. τοῦ δὲ Ῥαμέσσης ἓν καὶ μῆνας τέσσαρας. τοῦ δὲ Ἁρμέσσης „ Μιαμ-

y Αὔαρις ὄνομα] Ita ex *Euſebio* & *MSS.* minus correcte Αὔαρις in *Vulgatis Joſephi.*

z Ὀχυρῷ,] [illegible] *Euſeb.*

a Θούμμωσιν] Θμούθωσιν *Euſeb.* Θμῶσιν & Τέθμωσιν mox ipſe *Flavius* e *Manethone.* Idem vero princeps ex eodem *Manethone* Τέθμωσις *Africano* & *Euſebio* apud *G. Syncell.* & in *Canone Chronico*; Τέθμωσις *Theophilo Antiocheno* ex *Joſepho.* [illegible] *Euſebio* [illegible]. SPANH.

b Διὰ πολιορκίας ἑλεῖν] Διὰ πολιορκίας *Euſeb.*

c Τὴν πολιορκίας] Τὴν πολιορκίαν *Euſeb.*

d Ὅποι βούλονται] Ita *Big.* & *Euſeb.* ὅπη in *cæteris.*

e Ὁδοιπορῆσαι.] Διοδοιπορῆσαι *Euſeb.*

f Ἐν τῇ νῦν] Omnia hæc ab *Hafn.* abſunt.

g Ἰουδαίᾳ καλουμένῃ] Ita cum *Euſebio* & *Joſephi Codd. MSS.* antea erat Ἰουδαίαν.

h Τοσαύταις] ἐν ταῖς *Hafn.*

i Ὀνομάσαι] [illegible] *Hafn.*

k Πρόγονος] [illegible] *Codd. Big. Hen.* & *Hafn.* apponuntur iſta ab *Editis* non [illegible] diverſa, ὁ πρόγονος ἡμῶν Ἰώσηπος [illegible] παρὰ [illegible] εἰς Αἴγυπτον πρὸς βασιλέα τῶν Αἰγυπτίων, καὶ πάλιν ὕστερον τοὺς αὐτοῦ ἀδελφοὺς μετεπέμψατο, τοῦ βασιλέως ἐπιτρέψαντος.

l Τῶν ποιμένων] Illa τῶν ποιμένων deſunt *Cod. El.*

m Τέθμωσις.] Θμῶσις *Vet. Interpr.* Ἄμωσις *Philoſtrato.* Ἀμῶς *Africano*, Ἄμωσις *Euſebio* & *Georg. Syncello.* Vide *Lambertum Bos* in *Animadverſ.* ad *Scriptores* Gr. cap. XXVII. pag. 116.

n Αὐτοῦ υἱὸς Χέβρων] Ὁ υἱὸς αὐτοῦ *El.*

o Μεθ' ὃν Ἀμένωφις] Τοῦτο δὲ *Vet. Interpr.*

p Εἴκοσι καὶ μῆνας ἑπτά.] Εἰκοσιὲν *African.* & *Euſeb.*

q Ἀμεσσῆς] Ἀμεσσις *El.* [illegible] *Syncell.* [illegible] *Theophil.* quem pariter ac *Syncellum* velim cum *Joſepho* in his & ſequentibus conferas.

r Μήφρης] [illegible] *El.* [illegible] *Syncell.*

s Μηφραμούθωσις] [illegible] *Syncell.*

t Θμῶσις] Τούθμωσις *Theophil.* & *Syncell.*

v Ἀμένωφις] *Al.* [illegible].

x Ἀκεγχρὴς] [illegible] *El.* [illegible] & [illegible] apud *Syncellum.* [illegible] *Big.* [illegible] *Hafn.*

y Ῥάθωτις] *Al.* [illegible].

z Τῷ

» Μιαμμοῦ ἑξηκονταέξ καὶ μῆνας δύο. Μετὰ δὲ Ἀμένωφις δέκα καὶ ἐννέα καὶ μῆνας ἕξ. [a] Μετὰ δὲ Σέθωσις, καὶ Ραμέσσης, ἱππικὴν καὶ ναυτικὴν ἔχων δύναμιν. [a] Οὗτος τὸν μὲν ἀδελφὸν Ἀρμαῒν ἐπίτροπον τῆς Αἰγύπτου κατέστησεν, καὶ πᾶσαν μὲν αὐτῷ τὴν ἄλλην βασιλικὴν περιέθηκεν ἐξουσίαν, μόνον δὴ ἐνετείλατο διάδημα μὴ φορεῖν, μηδὲ τὴν βασιλίδα μητέρα τε τῶν τέκνων ἀδικεῖν, ἀπέχεσθαι δὲ καὶ τῶν ἄλλων βασιλικῶν παλλακίδων. αὐτὸς δὲ ἐπὶ Κύπρον καὶ Φοινίκην καὶ πάλιν Ἀσσυρίους τε καὶ Μήδους στρατεύσας, ἅπαντας, τοὺς μὲν δόρατι, τοὺς δὲ ἀμαχητὶ, φόβῳ δὲ τῆς πολλῆς δυνάμεως, ὑποχειρίους ἔλαβε· καὶ μέγα φρονήσας ἐπὶ ταῖς εὐπραγίαις, ἔτι καὶ θαρσαλεώτερον [b] ἐπορεύετο, τὰς πρὸς ἀνατολὰς πόλεις τε καὶ χώρας καταστρεφόμενος. χρόνου τε ἱκανοῦ γεγονότος, Ἀρμαῒς ὁ καταλειφθεὶς ἐν Αἰγύπτῳ, [c] πάντα τοὔμπαλιν, οἷς ἀδελφὸς παρῄνει μὴ ποιεῖν, ἀδεῶς ἔπραττεν. καὶ γὰρ τὴν βασιλίδα βιαίως ἔσχεν, καὶ ταῖς ἄλλαις παλλακίσιν ἀφειδῶς διετέλει χρώμενος. πειθόμενος δὲ ὑπὸ τῶν φίλων διάδημα ἐφόρει, καὶ ἀντῆρε τῷ ἀδελφῷ. ὁ δὲ τεταγμένος ἐπὶ [d] τῶν ἱερῶν τῆς Αἰγύπτου, γράψας βιβλίον ἔπεμψε τῷ Σεθώσει, δηλῶν αὐτῷ πάντα, καὶ ὅτι ἀντῆρεν ὁ ἀδελφὸς αὐτοῦ Ἀρμαῒς. παραχρῆμα οὖν ὑπέστρεψεν εἰς Πηλούσιον, καὶ ἐκράτησεν τῆς ἰδίας βασιλείας. ἡ δὲ χώρα ἐκλήθη ἀπὸ τοῦ αὐτοῦ ὀνόματος Αἴγυπτος. λέγει γὰρ ὅτι ὁ μὲν [e] Σέθωσις ἐκαλεῖτο Αἴγυπτος, Ἀρμαῒς δὲ ὁ ἀδελφὸς αὐτοῦ Δαναός.

ιϛ΄. Ταῦτα μὲν ὁ [f] Μανέθων. δῆλον δέ ἐστιν ἐκ τῶν εἰρημένων ἐτῶν τοῦ χρόνου συλλογισθέντος, ὅτι [g] οἱ καλούμενοι ποιμένες, ἡμέτεροι [h] δὲ πρόγονοι, τρισὶ καὶ ἐνενήκοντα καὶ τριακοσίοις πρόσθεν ἔτεσιν, ἐκ τῆς Αἰγύπτου ἀπαλλαγέντες, τὴν χώραν ταύτην [i] ἀπῴκησαν, ἢ [k] Δαναὸν εἰς Ἄργος ἀφικέσθαι. καίτοι [l] τοῦτον ἀρχαιότατον Ἀργεῖοι νομίζουσι. δύο τοίνυν ὁ Μανέθων ἡμῖν τὰ μέγιστα μεμαρτύρηκεν ἐκ τῶν [m] παρ᾽ Αἰγυπτίοις γραμμάτων· πρῶτον μὲν τὴν ἑτέρωθεν ἄφιξιν εἰς Αἴγυπτον, ἔπειτα δὲ τὴν ἐκεῖθεν ἀπαλλαγὴν, οὕτως ἀρχαίαν τοῖς χρόνοις, ὡς ἐγγύς που [n] προτερεῖν αὐτὴν τῶν Ἰλιακῶν ἔτεσι χιλίοις. ὑπὲρ ὧν δ᾽ ὁ Μανέθων οὐκ ἐκ τῶν παρ᾽ Αἰγυπτίοις [o] γραμμάτων, ἀλλ᾽ ὡς αὐτὸς ὡμολόγηκεν, ἐκ τῶν ἀδεσπότως μυθολογουμένων προστέθεικεν, ὕστερον ἐξελέγξω κατὰ μέρος, ἀποδεικνὺς τὴν ἀπίθανον αὐτοῦ ψευδολογίαν.

ιζ΄. Βούλομαι τοίνυν ἀπὸ τούτων ἔτι μετελθεῖν ἐπὶ τὰ παρὰ τοῖς Φοίνιξιν ἀναγεγραμμένα περὶ τοῦ γένους ἡμῶν, καὶ τὰς ἐξ ἐκείνων μαρτυρίας παρασχεῖν. ἔστι τοίνυν παρὰ Τυρίοις [p] πολλῶν ἐτῶν γράμματα, δημοσίᾳ γεγραμμένα, καὶ πεφυλαγμένα λίαν ἐπιμελῶς, περὶ τῶν παρ᾽ αὐτοῖς γενομένων καὶ πρὸς ἀλ-

» Miammi *annis* LXVI. & menſibus II. poſt hunc Amenophis annis XIX. & menſibus VI. poſt hunc Sethoſis, & Rameſſes, qui *plurimas* copias habuit equeſtres & navales. Hic fratrem quidem Armaïn procuratorem Ægypti conſtituit, & aliam ei omnem regalem contulit poteſtatem, tantummodo autem ei injunxit, ne coronam geſtaret, neque reginam matremque liberorum injuria afficeret, inſuperque ut abſtineret ab aliis regalibus concubinis. Ille vero in Cyprum & Phœnicen, rurſuſque in Aſſyrios & Medos expeditione ſuſcepta, univerſos, alios quidem ferro, alios vero ſine pugna magnæ ſuæ poteſtatis terrore ſibi ſubjugavit: atque proſpero rerum ſucceſſu valde elatus, aliquanto audacius progrediebatur, orientales urbes & provincias ſubvertendo. Multoque poſt tempore, Armaïs, qui in Ægypto fuerat relictus, omnia contra quam frater monuerat ne faceret, ſine timore faciebat. Nam & reginæ vim inferebat, aliiſque concubinis ad libitum miſceri non ceſſabat: perſuaſuſque ab amicis corona utebatur, & contra fratrem inſurgebat. Is vero qui conſtitutus erat ſuper * ſacra Ægyptiaca codicillos Sethoſi miſit, eum de omnibus certiorem faciens, quodque frater ipſius Armaïs contra eum bellum movebat. Illico igitur Peluſium reverſus eſt, & proprium tenuit regnum. Provincia vero ex ejus nomine appellata eſt Ægyptus. dicit enim quod Sethoſis quidem Ægyptus vocabatur, Armaïs autem frater ejus Danaus.

16. Atque hæc quidem Manetho. Ergo ſi tempus ad initam annorum iſtorum rationem exigemus, conſtabit omnino, quos Paſtores ipſi vocabant, majores noſtros, annis ante tribus nonaginta ſupra trecentos, ubi ex Ægypto migraſſent, regionem illam inſediſſe, quàm Danaus Argos veniſſet; qui tamen ab Argivis pro antiquiſſimo celebratur. Ita duo nobis eaque ſane præcipua, hoc Manethonis quod Ægyptiarum literarum fidem ſequitur, teſtimonio confecta ſunt: alterum eos in Ægyptum aliunde profectos eſſe; alterum indidem ipſos alið commigraſſe, quod etiam poſterius adeo vetuſtum, ut Trojana tempora annis prope mille antecederet. Iſta vero quæ Manetho non ex literis Ægyptiacis, ſed (ſicut ipſe profeſſus eſt) ab incertis auctoribus memorata, adjecit, poſtea particulatim excutiam, ea mendacia eſſe oſtendens ſine veriſimilitudine conſicta.

Quæ ſequuntur ex Manethonis teſtimonio.

17. Volo itaque ab iſtis etiam nunc tranſire ad ea, quæ apud Phœnicas de noſtro genere conſcripta ſunt; & in hanc rem teſtimonia ex illis afferam. Apud Tyrios ſane literæ ſunt à multis annis conſignatæ publicis monumentis, & magna cum cura adſervatæ, ad ea ſpectantes quæ memoria digna ab illis geſta erant & cum alii

Phœnicum de Judæis teſtimonia.

a Τῶν δὲ Σέθωσις] Margini *Codd. Big.* & *Haſn.* hæc nota apponitur, εἰρη. ἐν ἄλλῳ ἀντιγράφῳ ἕτερος. μεθ᾽ ὃν Σέθωσις ὁ Ραμέσσης δύο ἀδελφοί, ὁ μὲν ναυτικὴν ἔχων δύναμιν, τοὺς κατὰ θάλατταν ἀπαντῶντας διεχειρίζετο πολιορκῶν· μετ᾽ οὐ πολὺ δὲ καὶ τὸν Ραμέσσην ἀνελὼν, Ἀρμαῒν ἄλλον αὐτοῦ ἀδελφὸν ἐπίτροπον τῆς Αἰγύπτου κατέστησεν.

a Οὗτος] Οὗτος deeſt *Big.*

b Επορεύετο,] Επεστρέφετο *Big.* & *Haſn.*

c Πάντα τοὔμπαλιν,] Πάντα τὰ ἔμπαλιν *Haſn.*

d Τῶν ἱερῶν τῆς Αἰγύπτου,] Ita cum *Vet. Interpr.* ἐπὶ τῶν ἱερῶν in *Græcis.*

e Σέθωσις] Σέθως *Big.*

f Μανέθων.] *Al.* Μανέθως & Μανεθῶς.

g Οἱ καλούμενοι ποιμένες, ἡμέτεροι] Eadem ex Joſepho *Euſeb. Dem.* p. 501. D. SPANH.

h Δὲ πρόγονοι, &c.] Illud δὲ ex *Euſebio de Præp. Evang.* Pag. 501.

i Απῴκησαν,] Ita ex *MSS.* & *Euſeb.* ἐπῴκησαν in *Editis Joſephi.*

k Δαναόν] Imo Inachum antiquiſſimum regem Argivi, non Danaum jactant. Confer *Theophilum* ad *Autolycum* l. 3. p. 251. *Edit. Oxon.*

l Τοῦτον ἀρχαιότατον Ἀργεῖοι νομίζουσι.] Immo Inachum antiquiſſimum Regem Argivi, non Danaum jactant. SPANH.

m Παρ᾽ Αἰγυπτίοις γραμμάτων.] Παρὰ τοῖς Αἰγ. *Euſeb.*

n Προτερεῖν] Ita ex *Euſebio*, antea erat προτέραν. *MSS.* πρότερον. Peccat (inquit Cl. *Lowthius*) duplo majorem annorum ſummam computando, quam vera temporum ratio ſtatuit. Ab ingreſſu enim Iſraelitarum in Ægyptum ad Trojæ excidium vix effluxerunt anni D. multo minus ab exitu, quem hæc verba reſpicere videntur. Certe ab Inacho, quem Moyſe multo antiquiorem recte facit *Euſebius*, ad Trojam captam annos tantum DCXLI recenſet *Petavius*, annos autem DCVII. R. P. *Epiſc. Vigorn.* in *Tabb. Chronol.*

o Γραμμάτων,] Πραγμάτων *Haſn.* quod viro docto non diſplicuit propter ſequens μυθολογουμένων.

p Πολλῶν ἐτῶν] Ἀπὸ παμπόλλων ἐτῶν γρ. & mox ἐν οἷς *Syncell.*

* Sacra Ægyptiaca] Sacerdotes ἱερέων. SPANH.

q Σαλο-

aliis interceſſerant. In iſtis ſcriptum eſt, à Solomone rege Hieroſolymis templum fuiſſe conſtructum, annis CXLIII. & menſibus octo priusquam à Tyriis Carthago ædificaretur, atque in illis templi noſtri apparatus deſcriptus legitur. Hiromus enim Tyriorum rex amicus erat regis noſtri Solomonis, patris in amicitia cum eo inita ſucceſſor. Is itaque ſuam Solomoni munificentiam exhibens ad claritatem fabricæ, auri quidem talenta centum & viginti donavit; cumque pulcherrimam ſylvam ex monte, cui nomen Libanus, excidiſſet, *lignum* ad tecti contignationem miſit: Solomon vero donis aliis quamplurimis eum remuneravit, & terra in Galilææ regione quæ Chabulon dicitur. Præcipue autem illos ſapientiæ ſtudium ad invicem conſtrinxit. Problemata enim ſolvenda mutuo mittebant, & in his ſuperior uſquequaque erat Solomon, inque cæteris ſapientia præſtare viſus eſt. Hactenus vero plures ex epiſtolis ad ſe invicem ſcriptis apud Tyrios aſſervantur. Quod autem ſermo de Tyriorum literis à me non fingitur, teſtem producam Dium, virum qui Phœnicum hiſtoriam accurate ſcripſiſſe creditur. Ille igitur ſua de Phœnicibus narratione in hunc modum ſcribit: „Abibalo vivis erepto, filius ejus Hiromus regnavit. Hic partes urbis orientales aggere cinxit & ampliorem eam reddidit; & Olympii Jovis templum, ab omni vicinarum ædium ſtrue ſejunctum & in inſula poſitum, aggere interjecto copulavit urbi, & aureis donariis exornavit, aſcendenſque in Libanum materiam incidit ad fanorum exſtructionem. Regem autem Hieroſolymorum Solomonem ad eum ajunt ænigmata miſiſſe & ab eo alia repoſciſſe ea lege, ut qui diſſolvere non poſſet, diſſolventi *mulcta nomine* pecunias penderet. Quam conditionem cum Hiromus accepiſſet, nec reſolvere ambages potuiſſet, mulctam ingentem pecuniarum pependiſſe. Pòſt virum quendam Tyrium nomine Abdemonum exſtitiſſe, qui problemata propoſita ſolveret aliaque invicem proponeret: quæ cum Solomon non reſolviſſet, pecunias multas Hiromo inſuper rependiſſe." Ita quidem Dius de iis quæ jam diximus teſtatus eſt.

Ex Dio hiſtorico.

18. Sed & Menandrum Epheſium huic adjungam. Is enim ſingulorum regum tempore res geſtas apud Græcos Barbaroſque memoriæ mandabat, ex vernaculis cujuſque provinciæ *vel gentis* actis, ſtudens hiſtoriæ veritatem pandere. De iis itaque qui in Tyro regnarunt ſcribens, & deinde veniens ad Hiromum regem, iſta dicit. „Abibalo vita functo, Hiromus filius ejus regnum accepit, qui regnavit annos XXXIV, vita annum LIII. pro-

λήλους πραχθέντων μνήμης ἄξιον. ἐν τούτοις γέγραπται, ὅτι ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ναὸς ὑπὸ [q] Σολομῶνος τοῦ βασιλέως, [r] ἔτεσι θᾶττον ἑκατὸν τεσσαράκοντα καὶ τρισὶ καὶ μησὶν ὀκτὼ [s] τοῦ κτίσαι Τυρίους [t] Καρχηδόνα, ἀνεγράφη δὲ παρ' ἐκείνοις ἡ τοῦ ναοῦ κατασκευὴ τοῦ παρ' ἡμῖν. [v] Εἴρωμος γὰρ ὁ τῶν Τυρίων βασιλεὺς φίλος ἦν τοῦ βασιλέως ἡμῶν Σολομῶνος, πατρικὴν πρὸς αὐτὸν φιλίαν [x] διαδεδεγμένος. αὐτὸς οὖν συμφιλοτιμούμενος εἰς τὴν τοῦ κατασκευάσματος τῷ Σολομῶνι λαμπρότητα, χρυσίου μὲν εἴκοσι καὶ ἑκατὸν ἔδωκε τάλαντα· τεμὼν δὲ καλλίστην ὕλην ἐκ τοῦ ὄρους, ὃ καλεῖται Λίβανος, εἰς τὸν ὄροφον ἀπέστειλεν. ἀντεδωρήσατο δὲ αὐτὸν ὁ Σολομὼν ἄλλοις τε πολλοῖς, καὶ γῇ κατὰ χώραν τῆς Γαλιλαίας τῇ [y] Χαβουλὼν λεγομένῃ. μάλιστα δὲ αὐτοὺς εἰς φιλίαν [z] τῆς σοφίας συνῆγεν ἐπιθυμία· προβλήματα γὰρ ἀλλήλοις [a] ἀντεπέστελλον λύειν κελεύοντες, καὶ κρείττων ἐν τούτοις ἦν ὁ Σολομών, καὶ τἆλλα σοφώτερος. σώζονται δὲ μέχρι νῦν παρὰ τοῖς Τυρίοις πολλαὶ τῶν ἐπιστολῶν, ἃς ἐκεῖνοι πρὸς ἀλλήλους [b] ἔγραψαν. ὅτι δ' [c] οὐ λόγος ἐστὶν ὑπ' ἐμοῦ συγκείμενος, ὁ περὶ τῶν παρὰ τοῖς Τυρίοις γραμμάτων παραθήσομαι μάρτυρα [d] Δῖον, ἄνδρα περὶ τὴν Φοινικὴν ἱστορίαν ἀκριβῆ γεγονέναι [e] πεπιστευμένον. οὗτος τοίνυν ἐν ταῖς περὶ Φοινίκων ἱστορίαις γράφει τὸν τρόπον τοῦτον· „Ἀβιβάλου τελευτήσαντος, ὁ υἱὸς αὐτοῦ Εἴρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς ἀνατολὰς μέρη [f] τῆς πόλεως προσέχωσεν. καὶ μεῖζον τὸ ἄστυ [g] πεποίηκεν, καὶ τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερὸν καθ' ἑαυτὸ ὂν [h] ἐν νήσῳ, χώσας τὸν μεταξὺ τόπον, συνῆψε τῇ πόλει, καὶ χρυσοῖς ἀναθήμασιν ἐκόσμησεν· ἀναβὰς δὲ εἰς τὸν Λίβανον ὑλοτόμησε πρὸς τὴν τῶν ναῶν κατασκευήν. τὸν δὲ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα πέμψαι φασὶ πρὸς τὸν Εἴρωμον αἰνίγματα, καὶ [i] παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν· τὸν δὲ μὴ δυνηθέντα διακρῖναι, τῷ λύσαντι χρήματα ἀποτίνειν. ὁμολογήσαντα δὲ τὸν Εἴρωμον, καὶ μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα, πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. εἶτα δὴ [k] Ἀβδήμονόν τινα Τύριον ἄνδρα τὰ προτεθέντα λῦσαι, καὶ αὐτὸν ἄλλα προβαλεῖν· ἃ μὴ λύσαντα τὸν Σολομῶνα, πολλὰ τῷ Εἰρώμῳ προσαποτῖσαι χρήματα." Δῖος μὲν οὕτω περὶ τῶν προειρημένων ἡμῖν μεμαρτύρηκεν.

ιη'. Ἀλλὰ πρὸς τούτῳ παραθήσομαι [l] Μένανδρον τὸν Ἐφέσιον. γέγραφε δὲ οὗτος τὰς ἐφ' ἑκάστου τῶν βασιλέων πράξεις παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γενομένας, ἐκ τῶν παρ' ἐκείνοις ἐπιχωρίων γραμμάτων σπουδάσας τὴν ἱστορίαν μαθεῖν. γράφων δὴ περὶ τῶν βεβασιλευκότων ἐν Τύρῳ, ἔπειτα γενόμενος κατὰ τὸν Εἴρωμον, ταῦτά φησι. „[m] τελευτήσαντος δὲ Ἀβιβάλου, διεδέξατο τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Εἴρωμος, [n] ὃς βιώσας ἔτη πεντήκοντα τρία ἐβασίλευσεν ἔτη τριάκοντα „τέσ-

q Σολομῶνος] *Al.* Σαλωμῶνος.

r Ἔτεσι θᾶττον ἑκατὸν τεσσαράκοντα καὶ τρισὶν] Hunc calculum redarguit *Scaliger* in *Prologo* ad Librum *de Emendatione Temporum*, p. 38. Vide *Petavium* in parte ſecunda *de doctrina Temporum*, p. 146.

s Τοῦ κτίσαι Τυρίους] Templum Salomonis An. CXLIII. & Menſ. VIII. conditum ante Carthaginem, vid. mox §. 18. ſeq. Quem calculum redarguit Scaliger *Proleg. Emend. Temp.* p. 38. Unde Petav. de Doctr. Temp. Part. 2. p. 146. SPANH.

t Καρχηδόνα,] *Al.* Καλχηδόνα.

v Εἴρωμος] De Hiromo & Solomone videſis Ant. l. 8. c. 2. §. 6. 7. 8. & c. 5. §. 3.

x Διαδεδεγμένος.] Διαδεδεγμένος. οὗτος οὖν *Syncell.* p. 182.

y Χαβουλὼν] Ita cum *Bocharto* in *Canaan*, l. 2. c. 4. prius erat ἐν τῇ Ζαβουλὼν λεγ. *Gen.* Ζαβουλών. Conf. ſupr. *Antiq.* l. 2. c. 18. §. 9. lib. 3. c. 3. §. 1. SPANH.

z Τῆς σοφίας συνῆγεν ἐπιθυμία] Ἡ σοφίας ἐπήγαγεν ἐπιθυμία *Syncell.*

a Ἀντεπέστελλον] Ἀντέστελλον *Syncell.*

b Ἔγραψαν.] Ἔγραφον *Idem.*

c Οὐ λόγος ἐστὶν] Ὅτι δ' ὁ λόγος *Idem.*

d Δῖον,] Δαῖον *Idem.* Conf. Ant. l. VIII. c. 5. §. 3. SPANH.

e Πεπιστευμένον.] Πεπιστευμένον Δῖον *Idem.*

f Τῆς πόλεως προσέχωσεν.] Illa τῆς πόλεως non agnoſcit *Syncellus.* p. 182.

g Πεποίηκεν,] Ἐποίησε *Syncell.*

h Ἐν νήσῳ,] Ἐν ἴσῳ *Idem.*

i Παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν.] Παρ' αὐτοῦ τὸ λύειν λαβεῖν *El.*

k Ἀβδήμονον] Ἀβδέμονον *Hafn.*

l Μένανδρον τὸν Ἐφέσιον.] Conf. Ant. Jud. lib. VIII. c. 5. §. 3. SPANH. Μένανδρον *Hafn.*

m Τελευτήσαντος δὲ &c.] Iſta *Menandri* occurrunt & apud *Joſephum* Ant. l. 8. c. 5. §. 3. & apud *Syncellum* p. 682. ex quibus *Scaliger* teſtimonium *Menandri* reſtituit in *Græcorum Fragmentis Selectis*, libro de *Emendatione Temporum* annexis. Hoc Menandri de Regibus Tyri Fragmentum impenſe laudat *Scaliger Proleg. Emend. Temp.* p. 38. SPANH.

n Ὃς βιώσας ἔτη πεντήκοντα τρία] Iſta ſupplevi ex *Joſepho*, Ant. l. 8. c. 5. §. 3. & *Syncello* p. 583. Antea erat βιώσας ἔτη τριάκοντα τέσσαρα, omiſſis quæ in medio erant.

τέσσαρα. οὗτος ἔχωσε τὸ εὐρύχωρον, τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν· [o] ἔτι τε ὕλην ξύλων ἀπελθὼν ἔκοψεν, ἀπὸ τοῦ λεγομένου ὄρους Λιβάνου, κέδρινα ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας· καθελών τε τὰ ἀρχαῖα ἱερὰ [p] καινοὺς ναοὺς ᾠκοδόμησε, τό, τε τοῦ Ἡρακλέους καὶ τῆς Ἀστάρτης τέμενος ἀνιέρωσε, [q] καὶ τὸ μὲν τοῦ Ἡρακλέους πρῶτον ἐποιήσατο ἐν τῷ Περιτίῳ μηνί, εἶτα τὸ τῆς Ἀστάρτης, ὁπότε [r] Τιτυοῖς ἐπεστράτευσεν, μὴ ἀποδιδοῦσι τοὺς φόρους· οὓς καὶ ὑποτάξας ἑαυτῷ πάλιν ἀνέστρεψεν. [s] ἐπὶ τούτου δέ τις ἦν Ἀβδήμονος παῖς νεώτερος, [t] ὃς ἐνίκα τὰ προβλήματα, ἃ ἐπέτασσε Σολομὼν ὁ Ἱεροσολύμων βασιλεύς." [u] ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ βασιλέως ἄχρι τῆς Καρχηδόνος κτίσεως οὕτως· "τελευτήσαντος Εἰρώμου διεδέξατο τὴν βασιλείαν [x] Βαλεάζαρος ὁ υἱός, ὃς, βιώσας ἔτη τεσσαράκοντα τρία, ἐβασίλευσεν ἔτη ἑπτά. μετὰ τοῦτον [y] Ἀβδάσταρτος ὁ αὐτοῦ υἱός, βιώσας ἔτη εἴκοσι ἐννέα, ἐβασίλευσεν ἔτη ἐννέα. τοῦτον οἱ τῆς τροφοῦ αὐτοῦ υἱοὶ τέσσαρες ἐπιβουλεύσαντες ἀπώλεσαν, ὧν ὁ πρεσβύτερος ἐβασίλευσεν ἔτη δεκαδύο. [z] μεθ' οὓς Ἄσταρτος ὁ [a] Δελαιαστάρτου, ὃς, βιώσας ἔτη πεντήκοντα τέσσαρα, ἐβασίλευσεν ἔτη δώδεκα. μετὰ τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Ἀσέρυμος, βιώσας ἔτη τέσσαρα καὶ πεντήκοντα, ἐβασίλευσεν ἔτη ἐννέα. οὗτος ἀπώλετο ὑπὸ τοῦ ἀδελφοῦ [b] Φέλλητος, ὃς λαβὼν τὴν βασιλείαν ἦρξε μῆνας ὀκτώ, βιώσας ἔτη πεντήκοντα. τοῦτον ἀνεῖλεν Εἰθώβαλος ὁ τῆς Ἀστάρτης ἱερεύς, ὃς, βασιλεύσας ἔτη τριακονταδύο, ἐβίωσεν ἔτη ἑξηκονταοκτώ. τοῦτον διεδέξατο Βαδέζωρος υἱός, ὃς, βιώσας ἔτη τεσσαρακονταπέντε, ἐβασίλευσεν ἔτη ἕξ. τούτου διάδοχος γέγονε Μάτγηνος ὁ υἱός, ὃς, βιώσας ἔτη τριακονταδύο, ἐβασίλευσεν ἔτη ἐννέα. τούτου διάδοχος γέγονε Φυγμαλίων, βιώσας δ' ἔτη πεντηκονταέξ, ἐβασίλευσεν ἔτη τεσσαρακονταεπτά. ἐν δὲ τῷ ἐπ' αὐτοῦ ἑβδόμῳ ἔτει, [c] ἡ [d] ἀδελφὴ αὐτοῦ φυγοῦσα, ἐν τῇ Λιβύῃ πόλιν ᾠκοδόμησε Καρχηδόνα." συνάγεται δὴ πᾶς ὁ χρόνος ἀπὸ τῆς Εἰρώμου βασιλείας ἄχρι Καρχηδόνος κτίσεως, ἔτη ρνε΄. [e] μῆνες η΄. ἐπεὶ δὲ δωδεκάτῳ ἔτει τῆς Εἰρώμου βασιλείας ἐν Ἱεροσολύμοις [f] ᾠκοδομήθη ὁ ναός, γέγονεν [g] οὖν ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ ἄχρι Καρχηδόνος κτίσεως, [h] ἔτη ἑκατὸν τεσσαράκοντα τρία, μῆνες ὀκτώ. τῆς μὲν οὖν παρὰ Φοινίκων μαρτυρίας τί δεῖ προσθεῖναι πλείω. βλέπεται γὰρ τἀληθὲς ἰσχυρῶς ὁμολογούμενον. καὶ πολὺ δήπου προάγει τῆς τοῦ ναοῦ κατασκευῆς ἡ τῶν προγόνων ἡμῶν εἰς τὴν χώραν ἄφιξις. ὅτε γὰρ αὐτὴν πᾶσαν πολέμῳ παρέλαβον, τότε τὸν ναὸν κατεσκεύασαν. καὶ ταῦτα σαφῶς ἐκ τῶν ἱερῶν γραμμάτων ὑπ' ἐμοῦ δεδήλωται διὰ τῆς [i] ἀρχαιολογίας.

ιθ΄. Λέξω δὲ νῦν ἤδη τὰ παρὰ Χαλδαίοις ἀναγεγραμμένα καὶ ἱστορούμενα περὶ ἡμῶν, ἅπερ ἔχει πολλὴν ὁμολογίαν καὶ περὶ τῶν ἄλλων τοῖς ἡμετέροις γράμμασι. μάρτυς δὲ τούτων [k] Βηρωσσός,

ducta. Hic aggere Vaſtum, *qui dicitur*, locum exæquavit; prætereaque auream columnam in Jovis templo collocavit: & ad lignorum ſylvam profectus, è monte Libano appellato conſtruendis templorum tectis cedros excidit; demoliteſque antiqua delubra, nova templa ædificavit, Herculiſque & Aſtartæ fana conſecravit, primumque Herculis *templum* fecit in menſe Peritio, deinde Aſtartæ, quando bellum movit adverſus Tityos, quod tributa *illis imperata* non ſolverint: quos cum ſibi etiam iterum ſubjeciſſet, reverſus eſt. Hujus ætate quidam Abdemonis filius junior clarebat, qui problemata, quæ Solomon rex Hieroſolymorum *explicari* juſſit *ingenio ſemper* ſuperabat." Supputatur vero tempus ab hoc rege uſque ad conſtructionem Carthaginis, hoc modo: "Hiromo defuncto, in ejus regnum ſucceſſit Baleazarus *ejus* filius, qui, cum vixiſſet annis XLIII, ſeptem regnavit annis. Poſt hunc Abdaſtartus illius filius vita exacta annorum XXIX. regnavit novem. Hunc nutricis ſuæ filii quatuor inſidiis peremerunt, quorum ſenior regnavit annis XII. Poſt quos Aſtartus filius Deleaſtarti regnavit, qui vixit annis LIV, regnavit annis XII. Poſt hunc frater ejus Aſerymus, qui vixit annis LIV, regnavit annis novem. Hic à fratre Phelete interfectus eſt, qui regno ſuſcepto menſibus imperavit octo, cum vixiſſet annis L. Hunc interfecit Ithobalus Aſtartæ ſacerdos, qui, cum vixiſſet annis LXVIII, regnavit annis XXXII. Huic ſucceſſit Badezorus filius, qui, cum vixiſſet annis XLV, regnavit annis ſex. Huic ſucceſſor factus eſt Matgenus *ejus* filius, qui cum vixiſſet annis XXXII. novem regnavit annis. Huic ſucceſſit Pygmalion, qui vixit annis LVI, & regnum tenuit XLVII. Hujus regni anno ſeptimo ſoror ejus *Dido*, fuga elapſa, in Libya civitatem condidit Carthaginem". Itaque colligitur omne tempus à regno Hyromi uſque ad conditam Carthaginem, ad annos CLV. & menſes VIII. Cum vero anno XII. Hiromi regis in Hieroſolymis ædificatum ſit templum, fluxit igitur à templi conditu uſque ad conſtructionem Carthaginis tempus annorum CXLIII, menſium VIII. Et ex Phœnicum quidem *de gente noſtra* teſtimoniis quid opus eſt plura adſcribere. cernitur enim veritas *ex adductis* valde comprobata. & multum, videlicet, conſtructionem templi præcedit progenitorum noſtrorum in hanc regionem adventus. Cum enim eam univerſam debellaſſent, tum demum templum ædificare cœperunt. Et hæc aperte ex ſacris literis à me declarata ſunt in Antiquitatum libris.

19. Jam vero ea nunc referam quæ de nobis apud Chaldæos literarum monumentis mandata ſunt, quæ cum libris noſtris etiam ſuper aliis rebus in pleriſque conſentiunt. Teſtis autem horum eſt Beroſus, vir *Beroſi Chaldæi teſtimonium.*

o Ἔτι τε ὕλην ξύλων] Ita ex iiſdem. ἔπειτα in *Vulgatis Joſephi* & *MSS.*

p Καινοὺς] καὶ νεὼς. *Haſn.*

q Καὶ τὸ μὲν τοῦ Ἡρακλέους] Πρῶτον τε τὸ ἔγερσιν τοῦ Ἡρακλέους ἐποιήσατο. *Al.*

r Τιτυοῖς ἐπεστράτευσεν,] Τύριος *El.* Τυρίοις reponendum cenſet *Cl. Lowthius.*

s Ἐπὶ τούτου] Ita *Antt.* 8. c. 5. & *Syncell.* p. 183. pro ἀπὸ τούτου.

t Ὃς ἐνίκα] Ὃς ἀεὶ ἐνίκα *Antt.* 8. c. 5. & *Syncell.* p. 183.

u Ψηφίζεται] Iſta omnia uſque ad τελευτήσαντος ejicit *Scaliger*, tanquam *Menandri* non eſſent, ſed *Joſephi.*

x Βαλεάζαρος] Βαλεάζαρος *Syncell.*

y Ἀβδάσταρτος] Ἀβδάσταρτος *Syncell.*

z Μεθ' οὓς Ἄσταρτος] Μεθ' ὃν *Syncell.*

a Δελαιαστάρτου,] Ἐλαιαστάρτου *Syncell.*

b Φέλλητος,] Φέλητος *Idem*, ut & *Haſn.*

c Ἡ ἀδελφὴ &c.] De condita Carthagine à Didone ſorore Pygmalionis vid. infr. lib. 2. §. 2. Spanh.

d Ἀδελφὴ αὐτοῦ φυγοῦσα,] *Scaliger* legit ἡ ἀδελφὴ αὐτοῦ Διδὼ φυγ. ex *Vet. Interpr.* conſentiente *Theophilo* ad *Autolycum*, quem pariter ac *Syncellum* velim in iſtis conferas cum *Joſepho*, adjiciaſque *Scaligeri Prolegomena* ad lib. *de Emendatione Temporum* p. 38. & Notas ejuſdem ad *Fragmenta Gr.* p. 28.

e Μῆνες η΄.] Ita ex *Theophilo.* (cui jam accedit *Haſn.*) antea erat μῆνες ε΄.

f Ὠκοδομήθη ὁ ναὸς, γέγονεν &c.] Conf. ſupr. §. 17. Spanh.

g Οὖν ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ] Οὖν omittit *Haſn.* ut & *Vet. Interpr.*

h Ἔτη ἑκατὸν τεσσαράκοντα τρία, μῆνες ὀκτώ.] Ἔτη φμγ΄. *Theophil. Antioch.*

i Ἀρχαιολογίας.] *Sc.* l. 8. c. 2. &c.

k Βηρωσσός,——γένει τῶν] Βηρωσσὸς *Haſn.* paſſim. Conf. *Antt.* lib. 10. c. 11. §. 1. Spanh.

vir genere quidem Chaldæus, iis vero non ignotus qui in literarum ſtudiis verſantur, quoniam ſcripta de Aſtronomia & Chaldæorum philoſophia ipſe Græcorum in uſum edidit. Is igitur Beroſus, antiquiſſimas ſequutus hiſtorias, de diluvio & hominibus in eo pereuntibus eadem plane ac Moyſes narravit: ſimul & de Arca in qua Noëus generis noſtri princeps ſervatus eſt, ipſa ſcilicet in ſummitatem montium Armeniorum delata. Deinde ortos à Noëo numerans & ſua quibuſque tempora aſſignans, ad Nabopollaſſarum tandem venit, Babylonis & Chaldæorum regem, reſque ab eo geſtas memorans refert, „quemadmodum in Ægyptum & terram noſtram miſſo filio ſuo Nabuchodonoſoro multis cum copiis, poſtquam eos defeciſſe intellexit, omnes devicit, & templum Hieroſolymitanum incendit, cunctumque gentis noſtræ populum ſuis è ſedibus excitatum Babylonem tulit. Unde & civitatem contigit deſolatam manſiſſe annis LXX. uſque ad Cyrum regem Perſarum." Dicit inſuper, „quod Babylonius tenuerit Ægyptum, Syriam, Phœniciam, Arabiam; quódque priores Chaldæorum & Babyloniorum reges univerſos rebus à ſe *præclara* geſtis ſuperarit." Deinde inferius paulo hæc iterum refert Beroſus in Antiquitatibus. Ipſa vero Beroſi verba proferam, ad hunc modum ſe habentia: „Cum autem audiſſet pater ejus Nabopollaſſarus, eum, qui in Ægypto & Cœle-Syria & Phœnice præpoſitus fuerat, ſatrapen ab eo deſeciſſe, ipſe, ferendis laboribus per ætatem impar, filio Nabuchodonoſoro * ætate valenti tradidit partem exercitus, miſitque ad illum bello perſequendum. Nabuchodonoſorus autem, cum *ſatrapa* deſertore congreſſus, idque juſta acie, & eum devicit & regionem denuo in regni ſui ditionem redegit. At ſub id tempus evenit, ut Nabopollaſſarus pater, cum morbum contraxiſſet, in urbe Babyloniorum diem obiret ſupremum, poſtquam regnaſſet annis XXIX. Nabuchodonoſorus autem, cum non multo poſt patris interitum accepiſſet, rebuſque in Ægypto & reliqua regione ordinatis, Judæorum & Phœnicum ac Syrorum & gentium in Ægypto captivis amicorum quorundam fidei commendatis, ut eos una cum gravis armaturæ militibus & impedimentis in Babyloniam deportarent, ipſe cum paucis itinere per deſertum facto Babylonem ſe conferebat. Potitus autem rerum quas Chaldæi adminiſtraverunt, regnique ſibi ab eorum potiſſimo aſſervati, totum patris quod fuerat imperium adeptus, captivis quidem, ubi *eo* venerant, colonias in Babyloniæ locis maxime opportunis aſſignari juſſit: ipſe vero poſtquam de belli manubiis Beli templum aliaque largiter ornaverat, urbemque *Babylonis* quæ jam erat, *nova*

ἀνὴρ Χαλδαῖος μὲν τὸ γένος, γνώριμος δὲ τοῖς περὶ παιδείαν ἀναστρεφομένοις, ἐπειδὴ περί τε ἀστρονομίας, καὶ περὶ τῶν [l] παρὰ Χαλδαίοις φιλοσοφουμένων αὐτὸς εἰς τοὺς Ἕλληνας ἐξήνεγκε τὰς συγγραφάς. [m] οὗτος τοίνυν ὁ Βηρωσὸς ταῖς ἀρχαιοτάταις ἐπακολουθῶν ἀναγραφαῖς, περί τε τοῦ γενομένου κατακλυσμοῦ καὶ τῆς ἐν αὐτῷ φθορᾶς τῶν ἀνθρώπων, καθάπερ Μωϋσῆς οὕτως ἱστόρηκε· καὶ [n] περὶ τῆς λάρνακος, ἐν ᾗ Νῶχος ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς διεσώθη, προσενεχθείσης αὐτῆς ταῖς ἀκρωρείαις τῶν Ἀρμενίων ὀρῶν. εἶτα τοὺς ἀπὸ Νώχου καταλέγων, καὶ τοὺς χρόνους αὐτοῖς προστιθεὶς, ἐπὶ [o] Ναβολάσσαρον παραγίνεται, τὸν Βαβυλῶνος καὶ Χαλδαίων βασιλέα, καὶ τὰς τούτου πράξεις ἀφηγούμενος λέγει, „τίνα τρόπον πέμψας ἐπὶ τὴν Αἴγυπτον καὶ ἐπὶ τὴν ἡμετέραν γῆν τὸν υἱὸν τὸν ἑαυτοῦ Ναβουχοδονόσορον μετὰ πολλῆς δυνάμεως, ἐπειδήπερ ἀφεστῶτας αὐτοὺς [p] ἐπύθετο, πάντων ἐκράτησε, καὶ τὸν ναὸν ἐνέπρησε τὸν ἐν Ἱεροσολύμοις, ὅλως τε πάντα τὸν παρ' ἡμῶν λαὸν ἀναστήσας, εἰς Βαβυλῶνα μετῴκισεν. συνέβη δὲ καὶ τὴν πόλιν ἐρημωθῆναι χρόνον ἐτῶν ἑβδομήκοντα, μέχρι Κύρου τοῦ Περσῶν βασιλέως." „κρατῆσαι δέ φησι τὸν Βαβυλώνιον Αἰγύπτου, Συρίας, Φοινίκης, Ἀραβίας, πάντας δὲ [q] ὑπερβαλλόμενον ταῖς πράξεσι τοὺς πρὸ [r] αὐτοῦ Χαλδαίων καὶ Βαβυλωνίων βεβασιλευκότας." εἶθ' ἑξῆς ὑποκαταβὰς ὀλίγον ὁ Βηρωσὸς, πάλιν παρατίθεται ἐν τῇ τῆς ἀρχαιότητος ἱστοριογραφίᾳ. αὐτὰ δὲ παραθήσομαι τὰ τοῦ Βηρωσοῦ τοῦτον ἔχοντα τὸν τρόπον. „[s] ἀκούσας δ' ὁ πατὴρ αὐτοῦ [t] Ναβολάσσαρος, ὅτι ὁ τεταγμένος σατράπης ἔν τε Αἰγύπτῳ καὶ τοῖς περὶ τὴν Συρίαν τὴν Κοίλην καὶ τὴν Φοινίκην τόποις ἀποστάτης γέγονεν, οὐ δυνάμενος αὐτὸς ἔτι κακοπαθεῖν, συστήσας τῷ υἱῷ Ναβουχοδονοσόρῳ ὄντι ἔτι ἐν ἡλικίᾳ μέρη τινὰ τῆς δυνάμεως, ἐξέπεμψεν ἐπ' αὐτόν. συμμίξας δὲ Ναβουχοδονόσορος τῷ ἀποστάτῃ, καὶ παραταξάμενος, αὐτοῦ τε ἐκυρίευσεν, καὶ τὴν χώραν [v] ἐξ ἀρχῆς ὑπὸ τὴν [x] αὐτοῦ βασιλείαν ἐποιήσεν. [y] τῷ δὲ πατρὶ αὐτοῦ συνέβη Ναβολασσάρῳ, κατὰ τοῦτον τὸν καιρὸν ἀρρωστήσαντι, ἐν τῇ Βαβυλωνίων πόλει μεταλλάξαι τὸν βίον, ἔτη βεβασιλευκότι [z] εἴκοσιν ἐννέα. αἰσθόμενος δὲ μετ' οὐ πολὺ τὴν τοῦ πατρὸς τελευτὴν Ναβουχοδονόσορος, καταστήσας τὰ κατὰ τὴν Αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν, καὶ τοὺς αἰχμαλώτους Ἰουδαίων τε καὶ Φοινίκων καὶ Σύρων καὶ τῶν κατὰ τὴν Αἴγυπτον ἐθνῶν συντάξας τισὶ τῶν φίλων, μετὰ [a] βαρυτάτης δυνάμεως καὶ τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐτὸς ὁρμήσας ὀλιγοστὸς παρεγένετο διὰ τῆς ἐρήμου εἰς Βαβυλῶνα. καταλαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ [b] Χαλδαίων, καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ [c] βελτίστου αὐτῶν, κυριεύσας ἐξ ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς, τοῖς μὲν αἰχμαλώτοις παραγενομένοις συνέταξεν αὐτοῖς ἀποικίας ἐν τοῖς ἐπιτηδειοτάτοις τῆς Βαβυλωνίας τόποις ἀποδεῖξαι. αὐτὸς δὲ ἀπὸ τῶν ἐκ τοῦ πολέμου λαφύρων τό, τε Βήλου ἱερὸν καὶ τὰ λοιπὰ κοσμήσας φιλοτίμως, τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν,

l Παρὰ Χαλδαίοις—συγγραφάς.] Illud παρὰ è MSS.

m Οὗτος τοίνυν Βηρωσὸς—κατακλυσμοῦ] Conf. Antt. lib. 1. c. 3. §. 6. τοῦ δὲ κατακλυσμοῦ τούτου, καὶ τῆς λάρνακος &c. ... Βηρωσὸς ὁ Χαλδαῖος. Spanh.

n Περὶ τῆς λάρνακος,] Vide lib. 1. *Antiqq.* p. 14.

o Ναβολάσσαρον] Ναβοπαλάσσαρον legit *Scaliger* in *Prolegomenis* ad Librum *de Emendatione Temporum* p. 13.

p Ἐπύθετο,] Ita cum *Lamb. Bos.* antea erat ἐπείθετο, nullo plane ſenſu.

q Ἐπιτεταγμένος] Τεταγμένος in MSS.

r Αὐτοῦ] αὐτῶν *Hafn.*

s Ἀκούσας δ' ὁ πατὴρ αὐτοῦ] Conf. Antt. lib. 10. c. 11. §. 1. Spanh.

t Ναβολάσσαρος.] Potius Ναβοπαλλάσαρος.

v Ἐξ ἀρχῆς] Ἐξαυτῆς *Euſeb.* in l. IX. *Præpar. Evangel.* p. 455. Confer *Perizonium* in *Originibus Ægyptiacis*, pag. 422, 423.

x Αὐτοῦ] Ita pro αὐτοῦ apud *Euſeb.* & αὐτῶν in *Joſephi* Exemplaribus. Vide *Scaligerum* ad *Fragm. Gr.* p. 10.

y Τῷ δὲ πατρὶ αὐτοῦ] Sic in *Antiqq.* lib. 10. cap. 6. antea erat τῷ τε.

z Εἴκοσιν ἐννέα.] Recte (inquit *Scaliger* p. 10.) non εἴκοσι ἓν prout in *Originum* l. X.

a Βαρυτάτης δυνάμεως] Ita *Hafn. Big.* & *Joſephus* in *Originibus*, pro μετὰ τῆς δυν.

b Χαλδαίων,] Non gentem intelligit, ſed philoſophos Babyloniæ. *Scalig.*

c Βελτίστου αὐτῶν,] Hoc plane oſtendit de Chaldæis philoſophis (qui plurimum gratia & auctoritate potuerunt apud reges & populum) non de gente dictum. *Idem.* quem vide ubi fuſe de iſtis agentem in *Notis* ad *Fragmenta Græcorum*.

* *Al.* adhuc juveni, vel adulto.

ſ Ante

„πόλιν, καὶ ἑτέραν ἔξωθεν προσχαρακωσάμενος, καὶ [d] ἀνακαινίσας, πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέφοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν, ὑπερεβάλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, τρεῖς δὲ τῆς ἔξω τούτων, [e] τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίνθου. καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν, καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς, προσκατεσκεύασε τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα ἐκείνων, [f] ὑπεραίροντα ἀνάστημα καὶ τὴν πολλὴν πολυτέλειαν. μακρὰ δ' ἴσως ἔσται ἐάν τις ἐξηγῆται. πλὴν ὄντα γε [g] εἰς ὑπερβολὴν ὡς μεγάλα καὶ ὑπερήφανα, συνετελέσθη ἡμέραις δεκαπέντε. ἐν δὲ τοῖς βασιλείοις τούτοις [h] ἀναλήμματα λίθινα ὑψηλὰ ἀνοικοδομήσας, καὶ τὴν ὄψιν [i] ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι, καταφυτεύσας δένδρεσι παντοδαποῖς ἐξειργάσατο, καὶ [k] κατασκευάσας τὸν καλούμενον [l] κρεμαστὸν παράδεισον, διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς ὀρείας διαθέσεως, τεθραμμένην ἐν τοῖς κατὰ τὴν Μηδίαν τόποις.

κ'. Ταῦτα μὲν [m] οὗτος ἱστόρησε περὶ τοῦ προειρημένου βασιλέως, καὶ πολλὰ πρὸς τούτοις [n] ἐν τῇ τρίτῃ βίβλῳ τῶν Χαλδαϊκῶν, ἐν ᾗ μέμφεται τοῖς Ἑλληνικοῖς συγγραφεῦσιν, ὡς μάτην οἰομένοις ὑπὸ [o] Σεμιράμιδος τῆς Ἀσσυρίας κτισθῆναι τὴν Βαβυλῶνα, καὶ τὰ θαυμάσια κατασκευασθῆναι περὶ αὐτὴν ὑπ' ἐκείνης ἔργα ψευδῶς γεγραφόσι. καὶ κατὰ ταῦτα τὴν μὲν τῶν Χαλδαίων [p] γραφὴν ἀξιόπιστον ἡγητέον· οὐ μὴν [q] ἀλλὰ κἀν τοῖς [r] ἀρχείοις τῶν Φοινίκων σύμφωνα τοῖς ὑπὸ Βηρώσου λεγομένοις ἀναγέγραπται, περὶ τοῦ τῶν Βαβυλωνίων βασιλέως, ὅτι καὶ τὴν Συρίαν καὶ τὴν Φοινίκην ἅπασαν ἐκεῖνος κατεστρέψατο. περὶ τούτων γοῦν συμφωνεῖ [s] καὶ Φιλόστρατος ἐν ταῖς ἱστορίαις, μεμνημένος τῆς Τύρου πολιορκίας. καὶ [t] Μεγασθένης ἐν τῇ τετάρτῃ τῶν Ἰνδικῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τὸν προειρημένον βασιλέα τῶν Βαβυλωνίων, Ἡρακλέους ἀνδρείᾳ καὶ μεγέθει πράξεων διενηνοχέναι. καταστρέψασθαι γὰρ αὐτόν φησι καὶ Λιβύης τὴν πολλὴν καὶ Ἰβηρίαν. τὰ δὲ περὶ τοῦ ναοῦ προειρημένα τοῦ ἐν Ἱεροσολύμοις, ὅτι κατεπρήσθη μὲν ὑπὸ τῶν Βαβυλωνίων ἐπιστρατευσάντων, ἤρξατο δὲ πάλιν ἀνοικοδομεῖσθαι, Κύρου τῆς Ἀσίας τὴν βασιλείαν παρειληφότος, [u] ἐκ τῶν Βηρώσου σαφῶς ἐπιδειχθήσεται παρατεθέντων. λέγει γὰρ οὕτως διὰ τῆς τρίτης. „Ναβουχοδονόσορος μὲν οὖν μετὰ τὸ ἄρξασθαι τοῦ προειρημένου τείχους, ἐμπεσὼν εἰς ἀρρωστίαν, μετηλλάξατο τὸν βίον, βεβασιλευκὼς ἔτη τεσσαρακοντατρία. τῆς δὲ βασιλείας κύριος ἐγένετο ὁ υἱὸς αὐτοῦ [x] Εὐειλμαράδουχος. οὗτος προστὰς τῶν πραγμάτων ἀνόμως καὶ ἀσελγῶς, ἐπιβουλευθεὶς ὑπὸ τοῦ τὴν ἀδελφὴν ἔχοντος αὐτοῦ [y] Νηριγλισσοόρου ἀνῃρέθη, βασιλεύσας ἔτη δύο. μετὰ δὲ τὸ ἀναιρεθῆναι τοῦτον, διαδεξάμενος τὴν ἀρχὴν ὁ ἐπιβουλεύσας αὐτῷ Νηριγλισσόορος, ἐβασίλευσεν ἔτη τέσσαρα. τούτου υἱὸς [z] Λαβοροσοάρχοδος ἐκυρίευσε μὲν τῆς βασιλείας παῖς ὢν μῆνας ἐννέα· ἐπιβουλευθεὶς δὲ, διὰ τὸ πολλὰ ἐμφαίνειν κακοήθη, ὑπὸ τῶν φίλων ἀπετυμπανίσθη. ἀπο-

„etiam altera addita, inſtauraverat; ne poſſent poſthac qui ad urbem *iſtam* venirent obſidendam abacto flumine eam *facilius* aggredi, ternos quidem interiori urbi, ternoſque pariter exteriori murorum ambitus circumdedit, partim quidem è cocto latere & bitumine, partim vero ex eodem latere *ſolo*. Cumque urbem bene muniviſſet, & portas magnifice adornaſſet, paternæ regiæ contiguam aliam exſtruxit, ſupereminentem & altitudine & omni ſplendore. Longum fortaſſe eſſet ejus deſcriptionem facere. Suffecerit dicere hoc opus & magnitudine & omni rerum paratu eximium intra dies perfectum eſſe quindecim. In hac autem regia * pylas è lapidibus exſtruxit excelſas, eaſdemque omnis generis arboribus conſitas, ut ſpeciem montibus quam ſimillimam referrent, elaboravit, facto etiam paradiſo, qui nuncupatur penſilis, quod uxor ejus, utpote in Mediæ locis educata, † montoſi ſitûs deſiderio teneretur.

20. Atque hæc quidem Beroſus de rege prædicto retulit, inſuperque multa in tertio Chaldaïcorum libro, in quo reprehendit hiſtoricos Græcos, ut qui vane arbitrantur à Semiramide Aſſyria Babylonem ædificatam, falſoque ſcripſerunt miranda opera illic ab ipſa fuiſſe conſtructa. Atque in iſtis Chaldæorum quidem hiſtoria fide digna habenda eſt: maxime quod in archivis Phœnicum ſcripta reperiantur quæ cum iis conveniunt à Beroſo narratis de rege Babyloniorum, Syriam ſcilicet & univerſam Phœniciam illum ſubegiſſe. His ſane adſtipulatur Philoſtratus in Hiſtoriis, quo in loco Tyri obſidionis meminit; & Megaſthenes in quarto volumine rerum Indicarum, ubi oſtendere contendit prædictum Babyloniorum regem & fortitudine Herculem & magnitudine præſtitiſſe. dicit enim eum Libyæ bonam partem & Iberiam ſubjugaſſe. Quæ vero de Hieroſolymorum templo jam dicta ſunt, & concrematum eſſe à Babyloniorum exercitu, & cœptum rurſus ædificari, cum Cyrus Aſiæ imperium accepiſſet, ex iis quæ præterea refert Beroſus clare manifeſtabimus. Sic enim in *libro* tertio ait: „Et Nabuchodonoſorus quidem, poſteaquam inchoavit prædictum murum morbo implicitus, mox è vita exceſſit cum regnaſſet annos tres & quadraginta. In regnum autem ſuccedebat filius ejus Evilmaradouchus. Hic, quod ſumma rerum nefarie ac petulanter abuteretur, anno altero quam regnare cœperat, Neriglíſſoori ſororis ſuæ conjugis inſidiis occubuit. Hujus autem poſt necem, idem ipſe Neriglíſſoorus, qui ei fecit inſidias, imperium ſuſcepit & annis regnavit quatuor. Hujus filius Laboroſoarchodus, cum adhuc puer eſſet, regnum quidem tenuit menſes novem: per inſidias vero, quod multam indolis pravitatem præ ſe ferret, à neceſſariis ſuis cum cruciatu interfectus eſt. Hoc „autem

Alia ex Beroſo teſtimonia.

Quibus adſtipulantur Philoſtratus & Megaſthenes.

Iterum aliud Beroſus teſtimonium ſuppeditat.

d Ἀνακαινίσας.] Ita cum *Scaligero* ad *Fragmenta Gr.* p. 13: antea erat ἀνοιγνύσας. Confer *Originum* l. 10. p. 459.
e Τὰς] τοὺς *Haſn.*
f Ὑπεραίροντα] ὑπεραίροντα *Haſn.*
g Εἰς ὑπερβολὴν] Illud εἰς è *Cod. Elienſi.*
h Ἀναλήμματα λίθινα] Confer *Scaligeri* notas ad *Fragmenta Gr.* p. 13.
i Ἀποδοὺς] Παραδοὺς *El.*
k Κατασκευάσας] κατεσκεύασε *Haſn.*
l Κρεμαστὸν παράδεισον,] Conf. Antt. lib. 10. c. 11. §. 1. Spanh.
m Οὗτος ἱστόρησε] Οὕτως ἱστόρησε *Big.*
n Ἐν τῇ τρίτῃ βίβλῳ] Illa ἐν τῇ τρίτῃ βίβλῳ addidi ex *MSS.* quorum unus eſt *Haſn.*
o Σεμιράμιδος] Σεμιράμεως in *MSS.*
p Γραφὴν] Ἀναγραφὴν *Big.* & *Haſn.*
q Ἀλλὰ] ἅμα *Haſn.*
r Ἀρχείοις] Ita *Big.* & *Haſn.* ἀρχαίοις in *cæteris.*
s Καὶ Φιλόστρατος] Illud καὶ è *MSS.*
t Μεγασθένης ἐν τῇ τετάρτῃ τῶν Ἰνδικῶν,] Conf. Antt. lib. 10. c. 11. §. 1. Spanh.
u Ἐκ τῶν Βηρώσου—Ναβουχοδονόσορος] Conf. Antt. lib. 10. c. 11. §. 2. Spanh.
x Εὐειλμαράδουχος.] Εὐιλμαλούρουχος *Euſeb.* in *Præp. Evang.* p. 455. & mox Νηριγλισσάρος.
y Νηριγλισσοόρου] Ita *Scaliger.* Νηριγλισσοόρου in *Editis Joſephi.* Νηριγλισάρου & Νηριγλισάρος *Euſeb.*
z Λαβοροσοάρχοδος] Λαβοροσάρχοδος *Al.* Λαβασσαρασκος *Euſeb.*

* *Al.* ex lapide ſublimia extulit ambulacra.
† *Al.* montium aſpectu delectaretur.

„ autem perempto, cum inter ſe coïiſſent inſidiatores ejus, communi conſenſu regnum detulere ad Nabonnidum quendam Babylonium, qui & ipſe in eadem conjuratione fuerat. Hoc regnante Babylonis mœnia, quæ flumini adjacebant, ex cocto latere & bitumine ſplendidius ædificata ſunt. Cum autem regni ejus annus decimus ſeptimus ageretur, Cyrus ex Perſide cum ingenti profectus exercitu, ac reliquum ejus imperium populatus, in Babyloniam ipſam invaſit. Quam ejus impreſſionem cum ſenſiſſet Nabonnidus, obviam egreſſus cum exercitu, acieque conſerta pugna victus, & cum paucis in fugam conjectus, ſeſe in Borſippenorum oppidum incluſum dedit. Cyrus autem Babylone capta, conſtitutoque exteriora ejus munimenta diruere, quod civitatem videret ad res novas mobilem, urbem vero expugnatu difficilem, inde in Porſippum proficiſcitur, Nabonnidum obſeſſurus. Nabonnidum autem, cum non tuliſſet obſidionem, ſed prius ſeſe dedidiſſet, perhumaniter habuit Cyrus, dataque ei ad habitandum Carmania, Babylonia dimitti voluit. Et Nabonnidus quidem, reliquo tempore in iſta regione exacto, diem obiit ſupremum.

Cum quo conſentiunt ſacræ literæ.

21. Atque hæc narratio conſentientem habet cum noſtris ſcripturis veritatem. Proditum enim in illis eſt, Nabuchodonoſorum anno regni ſui decimo octavo templum noſtrum diruiſſe, ejuſque excidium totos quinquaginta annos duraſſe; anno autem Cyri regni ſecundo jactis fundamentis reſtitui cœptum, denuo vero Darii regni ſecundo partibus omnibus abſolutum eſſe. Quin & *iſtis* adjiciam Phœnicum hiſtorias. haud enim omittendum eſt probationum ſat ſuperque afferre. Eſt autem in illis temporum dinumeratio hujuſmodi.

Phœnicumque hiſtoria.

„ Ithobalo apud Tyrios regnante Nabuchodonoſorus Tyrum obſedit per annos XIII. Poſt hunc regnavit Baal annos decem. Poſt hunc Judices conſtituti ſunt & ipſi rexêre; Ecnibalus Baſlaci menſes duos, Chelbes Abdæi menſes decem, Abbarus ſummus pontifex menſes tres, Mytgonus & Geraſtratus Abdelemi judices per annos ſex; poſt quos annum unum cum poteſtate regia Tyro præfuit Balatorus. Quo mortuo miſere Tyrii qui ex Babylone Merbalum advocarent, regnavitque annos quatuor. Eo mortuo advocarunt fratrem ejus Hiromum, qui regnavit annos XX. Hujus tempore Cyrus apud Perſas potens erat. Quapropter omne tempus eſt annorum LIV, triumque inſuper menſium. Septimo ſiquidem anno regni ſui Nabuchodonoſorus cœpit obſidere Tyrum: quartodecimo autem anno regis Hiromi Cyrus Perſa imperium accepit. Et conſonant quidem quæ de templo tradita à

„ λαβόντος δὲ τούτου, συνελθόντες οἱ ἐπιβουλεύσαντες αὐτῷ, κοινῇ τὴν βασιλείαν περιέθηκαν [a] Ναβοννήδῳ τινὶ τῶν ἐκ Βαβυλῶνος, ὄντι ἐκ τῆς αὐτῆς [b] ἐπισυστάσεως. ἐπὶ τούτου τὰ περὶ τὸν ποταμὸν τείχη τῆς Βαβυλωνίων πόλεως, ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου κατεκοσμήθη. οὔσης δὲ τῆς βασιλείας αὐτοῦ ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει, [c] προεξεληλυθὼς Κῦρος ἐκ τῆς Περσίδος μετὰ δυνάμεως πολλῆς, καὶ καταστρεψάμενος [d] τὴν λοιπὴν Ἀσίαν πᾶσαν, ὥρμησεν ἐπὶ τῆς Βαβυλωνίας. αἰσθόμενος δὲ Ναβόννηδος τὴν ἔφοδον αὐτοῦ, ἀπαντήσας μετὰ τῆς δυνάμεως καὶ παραταξάμενος, ἡττηθεὶς τῇ μάχῃ καὶ φυγὼν ὀλιγοστὸς, συνεκλείσθη εἰς τὴν Βορσιππηνῶν πόλιν. Κῦρος δὲ Βαβυλῶνα καταλαβόμενος, καὶ συντάξας τὰ ἔξω τῆς πόλεως τείχη κατασκάψαι, διὰ τὸ λίαν αὐτῷ πραγματικὴν καὶ δυσάλωτον φανῆναι τὴν πόλιν, ἀνέζευξεν ἐπὶ Βόρσιππον, ἐκπολιορκήσων τὸν Ναβόννηδον. τοῦ δὲ Ναβοννήδου οὐχ ὑπομείναντος τὴν πολιορκίαν, ἀλλ' ἐγχειρίσαντος αὐτὸν, πρότερον χρησάμενος Κῦρος φιλανθρώπως, καὶ δοὺς οἰκητήριον αὐτῷ Καρμανίαν, ἐξέπεμψεν ἐκ τῆς Βαβυλωνίας. Ναβόννηδος μὲν οὖν, τὸ λοιπὸν τοῦ χρόνου διαγενόμενος ἐν ἐκείνῃ τῇ χώρᾳ, κατέστρεψε τὸν βίον.

κα'. Ταῦτα σύμφωνον ἔχει ταῖς ἡμετέραις βίβλοις τὴν ἀλήθειαν. γέγραπται γὰρ ἐν αὐταῖς ὅτι Ναβουχοδονόσορος ὀκτωκαιδεκάτῳ τῆς αὐτοῦ βασιλείας ἔτει τὸν παρ' ἡμῖν ναὸν ἠρήμωσε, καὶ ἦν ἀφανὴς [e] ἐπὶ ἔτη πεντήκοντα· δευτέρῳ δὲ τῆς Κύρου βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων, [f] δευτέρῳ πάλιν τῆς Δαρείου βασιλείας [g] ἀπετελέσθη. προσθήσω δὲ καὶ τὰς τῶν Φοινίκων ἀναγραφάς. οὐ γὰρ παραλειπτέον τῶν ἀποδείξεων τὴν περιουσίαν. ἔστι δὲ τοιαύτη τῶν χρόνων ἡ καταρίθμησις. „ [h] ἐπὶ Εἰθωβάλου τοῦ βασιλέως ἐπολιόρκησε Ναβουχοδονόσορος [i] τὴν Τύρον ἐπ' ἔτη δεκατρία. [k] μετὰ τοῦτον ἐβασίλευσε Βαὰλ ἔτη δέκα. μετὰ τοῦτον δικασταὶ κατεστάθησαν καὶ ἐδίκασαν Ἐκνίβαλος [l] Βασλάχου μῆνας δύο, Χέλβης Ἀβδαίου μῆνας δέκα, Ἄββαρος ἀρχιερεὺς μῆνας τρεῖς, [m] Μύττυνος καὶ Γεράστρατος τοῦ Ἀβδηλίμου δικασταὶ ἔτη ἕξ, ὧν μεταξὺ ἐβασίλευσε Βαλάτορος ἐνιαυτὸν [n] ἕνα. τούτου τελευτήσαντος, ἀποστείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βαβυλῶνος, καὶ ἐβασίλευσεν ἔτη τέσσαρα. τούτου τελευτήσαντος, μετεπέμψαντο τὸν ἀδελφὸν αὐτοῦ Εἴρωμον, ὃς ἐβασίλευσεν ἔτη εἴκοσιν. ἐπὶ τούτου [o] Κῦρος Περσῶν ἐδυνάστευσεν. οὐκοῦν ὁ σύμπας χρόνος ἔτη πεντήκοντα τέσσαρα [p] καὶ τρεῖς μῆνες πρὸς αὐτοῖς. [q] ἑβδόμῳ [r] μὲν γὰρ [s] περὶ τῆς Ναβουχοδονοσόρου βασιλείας ἤρξατο πολιορκεῖν Τύρον· τεσσαρεσκαιδεκάτῳ δ' ἔτει τοῦ Εἰρώμου Κῦρος ὁ Πέρσης τὸ κράτος παρέλαβεν. καὶ σύμφωνα μὲν ἐπὶ τοῦ ναοῦ τοῖς ἡμετέροις γράμμασι τὰ Χαλ-

a Ναβοννήδῳ] [illegible] in *MS. El.*

b Ἐπισυστάσεως.] Ita ex *Euſebio* pro ἐπιστάσεως, quod antea obtinebat in *Joſephi* libris. Huds. *Gen.* [illegible] *emenda.* [illegible], conſpiratione, ut apud *Euſeb.* lib. XX. Præp. vid. *Petav. D. Temp. P.* II. p. 169. Spanh.

c Προεξεληλυθὼς] Προσεληλυθὼς *Euſeb.* ἐξεληλυθὼς *Syncell.* pag. 216.

d Τὴν λοιπὴν Ἀσίαν πᾶσαν,] Βασιλείαν ἅπασαν *Euſeb.*

e Ἐπὶ ἔτη πεντήκοντα.] Prius editum ἐπὶ ἔτη [illegible]. [illegible] *Haſn.* malui ſane ἐπὶ ἔτη πεντήκοντα ex *Euſebio* & *Syncello.* [illegible] omnino legendum eſſe cenſet Cl. *Lowthius.*

f Δευτέρῳ] [illegible] πάλιν *Syncell.* quod tuetur *N. Abramus* in *Piſtro Vet. Teſt.* p. 304. quem videlis. δευτέρῳ πάλιν *Euſeb.*

g Ἀπετελέσθη.] Ἐτελέσθη *Euſeb.* & *Syncell.*

h Ἐπὶ Εἰθωβάλου—Ναβουχοδονόσορος.] Vide *Petavium de Doctrina Temp.* parte ſecunda p. 147. &c. Huds. E Phœnicum Hiſtoriis. vid. [illegible] lib. 10. c. 11. §. 1. Spanh.

i Τὴν Τύρον ἐπ' ἔτη δεκατρία.] Τὴν Τύρον ἐπ' ἔτη δέκα τρία in *MSS. Big. Haſn. El.* & *Vet. Interpr.* Ideoque verba, quæ excidiſſe videntur, illorum auctoritate reſtituimus.

k Μετὰ τοῦτον ἐβασίλευσε Βαὰλ ἔτη δέκα.] Tyriorum Reges & Judices, de quibus & bis Joſephi vide *Petav. de Doctr. Temp.* P. II. c. LXIII. p. 147. Spanh.

l Βασλάχου] Βασλάχου *Haſn.*

m Μύττυνος] Μύττυνος *Haſn.*

n Ἕνα.] ἔτη *Haſn.*

o Κῦρος] *Gen.* Κύρου Vel Κῦρος, ſub quo Iromus Rex Tyri. Spanh.

p Καὶ τρεῖς μῆνες] Καὶ ἓξ μῆνες in *Cod. Haſn.* & *Big.*

q Ἑβδόμῳ] Ἑβδόμῳ [illegible] in *Cod. Haſn.* Eſt qui hoc modo, neſcio qua auctoritate, legit: [illegible] &c. Locus *Jacobo Cappello* [in *Hiſt. Sacr.* & *Exot.*] ita legendus videtur: [illegible]. Vide *Uſſerium* ad A. M. 3419. & *Petavium* in *Doctrina Temp.* parte *ſecunda* p. 147, 148. Huds. Subint. ἔτει Spanh.

r Μὲν γὰρ] [illegible] ἔτει *Haſn.*

s Περὶ τῆς Ναβουχοδονοσόρου—πολιορκεῖν Τύρον] Vid. Antt. l. 10. c. 11. §. §. 1. Spanh.

Χαλδαίων καὶ Τυρίων. ὁμολογηθείη δὲ καὶ ἀναντίῤῥητος ἡ περὶ τῶν εἰρημένων μοι μαρτυρία τοῦ γένους ἡμῶν ἀρχαιότητος. τοῖς μὲν οὖν μὴ σφόδρα φιλονείκως ἀρκέσειν ὑπολαμβάνω τὰ προειρημένα.

κβ΄. Δεῖ δ' ἄρα καὶ τῶν ἀπιστούντων ταῖς [t] μὲν ἐν ταῖς βαρβάροις ἀναγραφαῖς, μόνοις δὲ τοῖς Ἕλλησι πιστεύειν ἀξιούντων, ἀποπληρῶσαι τὴν ἐπιζήτησιν, καὶ παρασχεῖν πολλοὺς καὶ τούτων ἐπισταμένους τὸ ἔθνος ἡμῶν, καὶ καθ' ὃ καιρὸς ἦν αὐτοῖς, μνημονεύσαντας παραθέσθαι ἐν ἰδίοις αὐτῶν συγγράμμασιν. Πυθαγόρας τοίνυν ὁ Σάμιος ἀρχαῖος ὤν, σοφίᾳ δὲ καὶ τῇ περὶ τὸ θεῖον εὐσεβείᾳ πάντων ὑπειλημμένος διενεγκεῖν τῶν φιλοσοφησάντων, οὐ μόνον ἐγνωκὼς τὰ παρ' ἡμῖν δῆλός ἐστιν, ἀλλὰ καὶ ζηλωτὴς αὐτῶν ἐκ πλείστου γεγενημένος. αὐτοῦ μὲν οὖν οὐδὲν ὁμολογεῖται σύγγραμμα, πολλοὶ δὲ τὰ περὶ αὐτὸν ἱστορήκασι, καὶ τούτων ἐπισημότατός ἐστιν Ἕρμιππος, ἀνὴρ περὶ πᾶσαν ἱστορίαν ἐπιμελής. λέγει τοίνυν ἐν τῷ πρώτῳ τῶν περὶ Πυθαγόρου βιβλίων, „ ὅτι Πυθαγόρας, ἑνὸς αὐτοῦ τῶν συνουσιαστῶν τελευτήσαντος, τοὔνομα Καλλιφῶντος, τὸ „ γένος Κροτωνιάτου, τὴν ἐκείνου ψυχὴν ἔλεγε συνδιατρίβειν αὐτῷ καὶ νύκτωρ καὶ [u] καθ' ἡμέραν. καὶ ὅτι παρεκελεύετο μὴ διέρχεσθαι τόπον ἐφ' ὃν ἂν ὄνος ὀκλάσῃ, καὶ τῶν διψίων ὑδάτων ἀπέχεσθαι, καὶ πάσης ἀπέχειν βλασφημίας. “ εἶτα προστίθησι μετὰ ταῦτα καὶ τάδε. „ ταῦτα δ' ἔπραττε καὶ ἔλεγε, τὰς Ἰουδαίων καὶ „ Θρᾳκῶν δόξας μιμούμενος, καὶ μεταφέρων εἰς ἑαυτόν. [x] λέγεται γὰρ ὡς ἀληθῶς ὁ ἀνὴρ ἐκεῖνος πολλὰ τῶν παρὰ Ἰουδαίοις νομίμων, εἰς τὴν αὐτοῦ μετενεγκεῖν φιλοσοφίαν. ἦν δὲ καὶ κατὰ πόλεις οὐκ ἄγνωστον ἡμῶν πάλαι τὸ ἔθνος, καὶ πολλὰ τῶν ἐθῶν εἴς τινας ἤδη διαπεφοιτήκει, καὶ ζήλου παρ' ἐνίοις ἠξιοῦτο. δηλοῖ δὲ [y] ὁ Θεόφραστος ἐν τοῖς περὶ νόμων. λέγει γὰρ ὅτι [z] κωλύουσιν [a] οἱ Τυρίων νόμοι ξενικοὺς ὅρκους ὀμνύειν. ἐν οἷς μετά τινων ἄλλων καὶ τὸν καλούμενον ὅρκον Κορβὰν καταριθμεῖ. παρ' οὐδενὶ δ' ἂν οὗτος εὑρεθείη πλὴν μόνοις Ἰουδαίοις. δηλοῖ δ' ὡς ἂν εἴποι τις ἐκ τῆς Ἑβραίων μεθερμηνευόμενος διαλέκτου, [b] δῶρον Θεοῦ. καὶ μὴν [c] οὐδὲ Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς ἠγνόηκεν ἡμῶν τὸ ἔθνος, ἀλλὰ τρόπῳ τινὶ φαίνεται μεμνημένος. περὶ γὰρ Κόλχων ἱστορῶν ἐν τῇ δευτέρᾳ βίβλῳ, φησὶν οὕτως. „ [d] μοῦνοι δὲ „ πάντων, φησὶ, Κόλχοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες „ περιτέμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. Φοίνικες δὲ καὶ Σύ„ ριοι οἱ ἐν τῇ Παλαιστίνῃ, καὶ οὗτοι [e] ὁμολογοῦσι παρ' „ Αἰγυπτίων μεμαθηκέναι. Σύριοι δὲ οἱ περὶ [f] Θερμώ„ δοντα καὶ Παρθένιον ποταμὸν, καὶ Μάκρωνες οἱ τούτοισιν „ ἀστυγείτονες ὄντες, ἀπὸ Κόλχων φασὶν νεωστὶ [g] με„ μαθηκέναι. οὗτοι γάρ εἰσιν οἱ περιτεμνόμενοι ἀνθρώπων „ μοῦνοι, καὶ οὗτοι Αἰγυπτίοισι φαίνονται ποιοῦντες κατὰ „ ταῦτα. αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰθιόπων οὐκ ἔχω „ εἰπεῖν, ὁπότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον. “ οὐκοῦν εἴρηκε [h] Σύρους τοὺς ἐν τῇ Παλαιστίνῃ περιτέμνεσθαι. τῶν δὲ τὴν Παλαιστίνην κατοικούντων μόνοι τοῦτο ποιοῦσιν Ἰουδαῖοι. τοῦτο ἄρα γινώσκων εἴρηκεν περὶ αὐτῶν. καὶ [i] Χοιρίλος

Chaldæis ac Tyriis cum ſcriptis noſtris. Manifeſtum vero, cuique contradici nequit, eſt teſtimonium de gentis noſtræ antiquitate ex prædictis. Et his quidem, qui non ſunt valde contentionis cupidi, ſufficere arbitror quæ jam præmiſſa ſunt.

22. Oportet autem non credentibus ſcriptis Barbaricis, ſed ſolis Græcis fidem habendam eſſe dicentibus, quæſitis ſatisfacere, multoſque ex illis *teſtes* exhibere, quibus nota erat gens noſtra, illoſque adjicere qui in ſcriptis ſuis, prout ipſis commodum viſum eſt, noſtri meminerunt. Pythagoram igitur Samium, valde quidem antiquum, ſapientia vero & erga Deum pietate philoſophorum præſtantiſſimum habitum, non ſolum noſtra inſtituta cognoviſſe certum eſt, ſed etiam in pleriſque ea ſequutum eſſe & æmulatum. Et ipſum quidem nihil ſcriptum reliquiſſe in confeſſo eſt, multi tamen de eo retulere, & ex illis celeberrimus eſt Hermippus, vir circa omnem hiſtoriam indagator diligens. Refert utique in primo de Pythagora libro, „ quod Pythagoras, uno familiarium ſuo„ rum defuncto, nomine Calliphonte, genere „ Crotoniate, illius animam dicebat ſecum degere „ die noctuque, & quòd præciperet, ut non „ tranſiret locum ubi aſinus lapſus eſſet, & ab „ aqua fœculenta averteret, & ab omni maledicto „ abſtineret. “ Deinde poſt hæc & iſta adjicit. „ Hæc autem faciebat dicebatque, Judæorum ac „ Thracum opiniones imitans & ſibi vindicans.“ Vere enim dicitur quod vir ille multa Judæorum inſtituta in ſuam philoſophiam tranſtulit. Quin & per civitates non olim ignota fuit gens noſtra, multæque ex illius conſuetudinibus ad quaſdam jam tranſierunt, & imitatione dignæ à nonnullis habebantur. Quod indicat Theophraſtus in iis quæ ſcripſit de Legibus. dicit enim „ Tyrio„ rum legibus prohiberi, ne quis adhibeat ex„ terna juramenta. “ in quibus cum quibuſdam aliis etiam id juramentum, quod Corban vocatur, recenſet. Apud nullos autem hoc invenitur juramentum, niſi apud ſolos Judæos. ſignificat autem, quaſi quis dicat, ex Hebraica dialecto vocem interpretans, donum Dei. Verum neque Herodotus Halicarnaſſenſis noſtram ignoravit gentem, ſed quodammodo ejus meminiſſe videtur. De Colchis enim referens, in ſecundo libro iſta habet: „ ſoli autem omnium „ hominum Colchi & Ægyptii & Æthiopes „ ab initio pudenda circumcidunt. Phœnices „ vero & Syri, qui ſunt in Palæſtina, didiciſſe „ ab Ægyptiis & ipſi confitentur. Syri autem „ qui fluvium Thermodontem & Parthenium „ accolunt, & horum contermini Macrones à „ Colchis ſe nuper *id* didiciſſe ajunt. Hi enim „ ex hominibus ſoli ſunt qui circumciduntur: „ & apparet eos hoc facere more eodem ac „ Ægyptii. Ipſi vero Ægyptii atque Æthio„ pes, non queo dicere utri ab utris didice„ rint. “ Dixit ergo Syros, qui in Palæſtina ſunt, circumcidi: omnium autem qui habitant Palæſtinam ſoli Judæi circumciduntur. Hoc igitur ſciens de ipſis pronunciavit. Quin & Chœrilus ex

Græcorum teſtimonia.

Pythagora.

Ex Hermippo:

Theophraſti.

Herodoti.

Chœrili teſtimonium,

t *Μὲν ἐν ταῖς βαρβάροις*] Illud μὲν è *Cod. Big.*

u *Καθ' ἡμέραν*] Ita *Cod. Hafn.* antea μεθ' ἡμέραν.

x *Λέγεται γὰρ ὡς ἀληθῶς ὁ ἀνὴρ*] Ita cum *Cod. Big.* (jam & *Hafn.*) & *Vet. Interpr.* Prius erat, λέγει γὰρ ὡς ἀληθῶς ὁ ἀνήρ.

y *Ὁ Θεόφραστος ἐν τοῖς περὶ νόμων.*] Aliud Theophraſti de Judæis teſtimonium è Porphyrio adducit *Euſeb.* προπαρ. p. 404. Spanh.

z *Κωλύουσι*] Conf. inſt. lib. 2. §. 37. Spanh.

a *Οἱ Τυρίων νόμοι ξενικοὺς ὅρκους ὀμνύειν.*] Παρὰ Τυρίων in *Cod. Elienſ.*

b *Δῶρον Θεοῦ.*] Δῶρον τῷ κυρίῳ reddunt LXX. *Levit.* c. 1. v. 10. & 2. 4. & 3. 1. δῶρον τῷ Θεῷ apud *Epiphanium* in *Hæreſ.* 33. c. 4. Neque tamen [cum *Borharto*] ſollicitare oportet *Joſephi* lectionem; cum δῶρον Θεοῦ eodem modo dicat, quo alibi χρήματα Θεοῦ & Θεοῦ θησαυρὸν quo re *Lucas* (c. 21. v. 4.) poſuit τὰ δῶρα τοῦ Θεοῦ. *Cotelerius* in *Notis* ad *Conſt. Apoſt.* p. 166. *Edit. Pariſ.*

c *Οὐδὲ*] οὔτε *Hafn.*

d *Μοῦνοι δὲ πάντων,*] Herodoti verba de circumciſis Populis lib. II. c. CIV. Spanh.

e *Ὁμολογοῦσι*] ὁμ. γε *Herod.* Spanh.

f *Θερμώδοντα*] καὶ Παρθένιον adjicit *Hafn.*

g *Μεμαθηκέναι.*] μεμαχθηκέναι *Hafn.*

h *Σύρους,*] Ἄρυς *Hafn.*

i *Χοιρίλος*] Sc. qui floruit Perſicis temporibus & expeditionem Xerxis in Græcum epico carmine conſcripſit. Vide (præter *Voſſium* & *Fabrum* de *Poetis Gr.*) *Scaligerum* in *Animadverſ. Euſeb.* ad numerum MDXXXIV. & *Sam. Petitum* in *Obſervat.*

ex antiquioribus poëtis de gente noſtra meminit, quod cum Xerxe Perſarum rege expeditionis contra Græcos particeps fuerit. Cum enim gentes omnes enumeraſſet, noviſſimam noſtram poſuit, dicens,

Exin miranda ſpecie gens caſtra ſecuta eſt,

Phœnicum ignoto quæ voces ederet ore.

Hæc Solymos habitans montes ſtagnum prope vaſtum,

Circumtonſa comis, ſqualenti vertice, equini

Exuvias capitis duratas igne gerebat.

Palam ergo eſt, ſicut arbitror, omnibus, noſtri illum meminiſſe, quod & Solymi montes in noſtra regione ſint in quibus habitamus, & palus quæ dicitur Aſphaltites. ipſa enim omnium quæ in Syria ſunt latiſſima & maxima. Et Chœrilus quidem ita noſtri meminit. Quod autem non ſolum Judæos agnoſcebant, ſed ut inciderant in eos admirabantur, non è vulgo Græci, ſed ob ſapientiam maximè celebres, oſtendere facile eſt. *Clearchi-que.* Clearchus enim Ariſtotelis diſcipulus, & Peripateticorum nulli ſecundus, libro primo de Somno dicit Ariſtotelem doctorem ſuum de quodam viro Judæo iſta referre, Ariſtotelem in hunc modum loquentem inducens. Ita enim ſcriptum eſt. „Sed longum „ eſſet narrare quamplurima: quicquid vero hoc „ in homine admirationis aliquid habere ac philo„ſophum ſapere videtur, eodem modo perſequi „ nihilominus utile fuerit. Tibi autem Hypero„chida, ut aperte quod res eſt dicam, mirum „ quiddam ſomniorumque perſimile narrare vide„bor. Cui Hyperochides verecunde, & hac „ ipſa de cauſa, inquit, nobis omnibus audiendi „ deſiderium cietur. Ergo, ſubjicit Ariſtoteles, „ genus hominis, ut præcipiunt Rhetores, in„primis aperiamus, ne ſcilicet non auditi à no„bis eſſe narrationum magiſtri videantur. Tu „ vero uti libuerit, inquit Hyperochides. Ille „ ergo gente quidem Judæus erat ex Cœle-Sy„ria. Iſti vero originem ducunt à Philoſophis *Indi πρόγονοι Judæorum.* „ apud Indos: vocanturque (ut ajunt) Philo„ſophi apud Indos quidem Calani, apud Sy„ros autem Judæi, nomen à loco acci„pientes; quæ enim ab iis regio incolitur, „ Judæam vulgo nominant. Urbis autem ipſo-

δὲ ἀρχαιότερος γενόμενος ποιητὴς μέμνηται [k] τοῦ ἔθνους ἡμῶν, ὅτι συνεστράτευται Ξέρξῃ τῷ Περσῶν βασιλεῖ ἐπὶ τὴν Ἑλλάδα. καταριθμησάμενος γὰρ πάντα τὰ ἔθνη, τελευταῖον καὶ τὸ ἡμέτερον ἐνέταξε λέγων,

Τῷ δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ἰδέσθαι,

Γλῶσσαν μὲν Φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες.

[l] Ὤικεῖτ' ἐν Σολύμοις ὄρεσι πλατέῃ [m] ἐνὶ λίμνῃ.

[n] Αὐχμαλέοι κορυφάς. [o] τροχοκούριδες· αὐτὰρ ὕπερθεν

Ἵππων [p] δαρτὰ πρόσωπ' ἐφόρευν ἐσκληκότα καπνῷ.

δῆλον οὖν ἐστιν, ὡς οἶμαι, πᾶσιν ἡμῶν [q] αὐτὸν μεμνῆσθαι, τῷ καὶ τὰ [r] Σόλυμα ὄρη ἐν τῇ ἡμετέρᾳ εἶναι χώρᾳ, ἃ κατοικοῦμεν, καὶ τὴν Ἀσφαλτῖτιν λεγομένην λίμνην. αὕτη γὰρ πασῶν τῶν ἐν τῇ Συρίᾳ [s] λίμνη πλατυτέρα καὶ μείζων καθέστηκεν. καὶ [t] Χοιρίλος [v] μὲν οὕτω μέμνηται ἡμῶν. ὅτι δὲ οὐ μόνον ἠπίσταντο τοὺς Ἰουδαίους, ἀλλὰ καὶ [x] ἐθαύμαζον, ὅσοις αὐτῶν ἐντύχοιεν, οὐχ οἱ φαυλότατοι τῶν Ἑλλήνων, ἀλλ' οἱ ἐπὶ σοφίᾳ μάλιστα τεθαυμασμένοι, ῥᾴδιον γνῶναι. [y] Κλέαρχος γὰρ ὁ Ἀριστοτέλους ὢν μαθητὴς, καὶ τῶν ἐκ τοῦ Περιπάτου φιλοσόφων οὐδενὸς δεύτερος, ἐν τῷ πρώτῳ περὶ ὕπνου βιβλίῳ φησὶν, Ἀριστοτέλην τὸν διδάσκαλον αὐτοῦ περί τινος ἀνδρὸς Ἰουδαίου ταῦτα ἱστορεῖν, [z] αὐτόν τε τὸν λόγον Ἀριστοτέλει παρατίθησι. ἔστι δ' οὕτω γεγραμμένον. „ [a] ἀλλὰ τὰ μὲν πολλὰ μακρὸν [b] ἂν εἴη λέγειν. ὅσα „ δ' ἔχει τῶν ἐκείνου [c] θαυμασιότητά τινα, καὶ φιλοσοφίαν „ ὁμοίως, διελθεῖν [d] οὐ χεῖρον. [e] ὡς σαφῶς δέ σοι εἰπεῖν, „ Ὑπεροχίδη, [f] θαυμαστὸν τι ὀνείροις ἴσα σοὶ δόξω „ λέγειν. καὶ ὁ Ὑπεροχίδης εὐλαβούμενος, δι' αὐτὸ γὰρ „ ἔφη τοῦτο, καὶ ζητοῦμεν ἀκοῦσαι πάντες. οὐκοῦν, εἶ„πεν ὁ Ἀριστοτέλης, κατὰ τὸ τῶν ῥητορικῶν παράγγελ„μα, τὸ γένος αὐτοῦ πρῶτον διέλθωμεν, ἵνα μὴ „ ἀπειθῶμεν τοῖς τῶν [g] ἀπαγγελιῶν διδασκάλοις. λέγε, „ εἶπεν ὁ Ὑπεροχίδης, [h] ὅτι σοι δοκεῖ. κἀκεῖνος, „ τοίνυν τὸ μὲν γένος ἦν Ἰουδαῖος ἐκ τῆς Κοίλης „ Συρίας. οὗτοι δέ εἰσιν [i] ἀπόγονοι τῶν ἐν Ἰνδοῖς φιλοσό„φων. καλοῦνται δὲ ὥς φασιν οἱ φιλόσοφοι παρὰ μὲν „ Ἰνδοῖς [k] Καλανοὶ, παρὰ δὲ Σύροις Ἰουδαῖοι, τοὔνο„μα λαβόντες ἀπὸ τοῦ τόπου. προσαγορεύεται γὰρ ὃν „ κατοικοῦσι τόπον, Ἰουδαία. τὸ δὲ τῆς πόλεως αὐ„ τῶν

vatt. l. 2. c. 2. Eundemque in *Animadverſ.* ἀνεκδότους p. 447. & 448. Huds. Chœrilus antiquus Poeta de Judæis loquitur apud *Euſeb.* προπαρ. p. 412. Spanh.

k Τοῦ ἔθνους ἡμῶν.] Fallitur *Joſephus*, de Judæis enim non loquitur. Barlovius. Vide & *Cunæum*.

l Ὤικεῖτ' ἐν] Ὤικει δ' ἐν *Euſeb.* in *Præpar. Evang.* lib. 9. cap. 9. pag. 412. ᾤκει δ' ἐν *Big.* & *Hafn.* ᾤκει τ' ἐν & ᾤκει τ' ἐν *Aliis.*

m Ἐνὶ λίμνῃ.] Παρὰ *Euſeb.* ἐπὶ *Hafn.*

n Αὐχμαλέοι κορυφάς.] Αἰχμαλέοι (quod *Heſychius* exponit σεμνοί, *graves, venerabiles*) mallit L. Bos in *Animadverſ.* ad *Script. Gr.* p. 118. Huds. Αὐχ. κεφαλὰς τροχοκουράδες *Euſeb.* Spanh.

o Τροχοκουριδές] Τροχοκουράδες *Euſeb.* τριχοκουρεῖς (i. e. *omnino tonſo capite*) legendum cenſet *Petitus*, p. 446. Scilicet quod præter morem cæterarum gentium, quæ comam alebant, neque quando tondebantur totum deponebant capillitium, ſed alia alio tondebantur tonſuræ modo.

p Δαρτὰ] Α' ἀργὰ in MS. *Elienſi.*

q Αὐτὸν μεμνῆσθαι.] Αὐτῶν *El.*

r Σόλυμα ὄρη] *Euſeb.* p. 412. Spanh.

s Λίμνη πλατυτέρα] Λιμνῶν *Euſeb.* & *Edit. Gen.*

t Χοιρίλος] Viri ſummi, (*Scaliger* in Notis ad *Fragmenta Vett.* p. 12. *Bochartus* de *Coloniis Phœnicum*, l. 1. c. 6. & *Cunæus* de *Rep. Hebr.* l. 2. c. 8.) *Flavium* haud recte mentem *Chœrili* percepiſſe exiſtimant. contra quos faciunt *Grotius* (ad *Levit.* c. 19. v. 27. & ad *Luc.* c. 3. v. 14.) *Salmaſ.* in *Epiſt.* ad *Colvium*, p. 60. & *Sam. Petitus* in *Animadverſ.* ἀνεκδότους pag. 446.

v Μὲν] μὲν οὖν *Hafn.*

x Ἐθαύμαζον.] Θαυμάζουσι *El.*

y Κλέαρχος] Clearchi Solenſis verba etiam apud *Euſebium* extant, lib. IX. de *Præp. Evang.* c. 5. Vide *Jonſium* de *Script. Hiſt. Phil.* l. 1. c. 18.

z Αὐτόν τε τὸν λόγον] Αὐτῷ τε in MSS.

a Ἀλλὰ τὰ μὲν πολλὰ] Clearchi verba è libro de ſomno, item ap. *Euſeb.* προπ. p. 407. Spanh.

b Ἂν] Abeſt *Hafn.*

c Θαυμασιότητά τινα,] Θαυμασιότητα καὶ φιλοσοφίαν *El.* ὅσα δ' ἔχει τοῦ ἀνδρὸς θαυμασιότητά τινα *Hafn.*

d Οὐ χεῖρον.] Οὐχ ἧττον *Big. El.* & *Hafn.*

e Ὡς σαφῶς] Illud ὡς non agnoſcit *Big. Hafn.* nec *Euſeb.* qui legit, σαφῶς δ' ἐστὶν, εἰπεῖν, Ὑπ. σαφῶς δεῖν εἰπεῖν, Ὑπεροχίδα, θαυμαστὸν, ὀνείροις ἴσα *Hafn.*

f Θαυμαστὸν] Θαυμαστὸν καὶ ὀνείροις *Euſeb.*

g Ἀπαγγελιῶν διδασκάλοις.] Ita, cum *Euſebio*, intelligatur de *narrationum præceptoribus, qui de rebus narrandis præcepta tradunt.* antea erat ἐπαγγελιῶν.

h Ὅτι σοι δοκεῖ.] Οὕτως εἰ δοκεῖ *Euſeb.* εἴ τι σοι δοκεῖ *Hafn.* & *El.*

i Ἀπόγονοι] Ἀπόγονοι τῶν ἐν Ἰνδοῖς Καλανῶν, παρὰ δ' Ἰνδοῖς *Euſeb.* quem velim conferas. Huds. Apud *Euſeb.* προπαρ. pag. 409. ἀπόγονοι τῶν ἐν Ἰνδοῖς Καλανῶν παρὰ δὲ Σύροις &c. Spanh.

k Καλανοὶ,] Ita ex *Euſebio* & *Suida*, antea Κάλανοι. Confer *Euſebium.*

l legi-

„ τῆς ὄνομα πάνυ σκολιόν ἐστιν, [l] Ἱερουσαλὴμ γὰρ αὐτὴν καλοῦσιν. οὗτος οὖν ὁ ἄνθρωπος ἐπιξενούμενός τε πολλοῖς, κἀκ τῶν ἄνω τόπων εἰς τοὺς [m] ἐπιθαλαττίους ὑποκαταβαίνων Ἑλληνικὸς ἦν, οὐ τῇ διαλέκτῳ μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ. καὶ τότε διατριβόντων ἡμῶν περὶ τὴν Ἀσίαν, [n] παραβαλὼν εἰς [o] αὐτοὺς τόπους, ἐν οἷς ἦμεν, ἐντυγχάνει ἡμῖν τε [p] καί τισιν ἑτέροις τῶν σχολαστικῶν, πειρώμενος αὐτῶν τῆς σοφίας. [q] ὡς δὲ πολλοῖς τῶν ἐν παιδείᾳ συνῳκείωτο, παρεδίδου τι μᾶλλον ὧν εἶχεν." ταῦτ' εἴρηκεν Ἀριστοτέλης παρὰ τῷ Κλεάρχῳ, καὶ προσέτι πολλὴν καὶ θαυμάσιον καρτερίαν τοῦ Ἰουδαίου ἀνδρὸς ἐν τῇ διαίτῃ καὶ σωφροσύνην διεξιών. ἔνεστι δὲ τοῖς βουλομένοις ἐξ αὐτοῦ τὸ πλέον γνῶναι τοῦ βιβλίου. φυλάττομαι γὰρ ἐγὼ τὰ πλείω τῶν ἱκανῶν παρατίθεσθαι. [r] Κλέαρχος μὲν οὖν ἐν παρεκβάσει ταῦτ' εἴρηκεν· [s] τὸ γὰρ προκείμενον αὐτῷ ἦν ἕτερον. οὕτως ἡμῶν μνημονεύσας. [t] Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας, καὶ Πτολεμαίῳ τῷ [u] Λάγου συγγενόμενος, οὐ παρέργως, ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον, ἐξ οὗ βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἔνια τῶν εἰρημένων· καὶ πρῶτον ἐπιδείξω τὸν χρόνον. μνημονεύει γὰρ τῆς Πτολεμαίου περὶ Γάζαν πρὸς Δημήτριον μάχης· αὕτη δὲ γέγονεν ἑνδεκάτῳ μὲν ἔτει τῆς Ἀλεξάνδρου τελευτῆς, ἐπὶ δὲ Ὀλυμπιάδος ἑβδόμης καὶ δεκάτης καὶ ἑκατοστῆς, ὡς ἱστορεῖ [x] Κάστωρ. [y] προσθεὶς γὰρ ταύτην τὴν Ὀλυμπιάδα φησίν, ἐπὶ ταύτης Πτολεμαῖος [z] ὁ Λάγου ἐνίκα κατὰ Γάζαν μάχῃ Δημήτριον τὸν Ἀντιγόνου, τὸν ἐπικληθέντα Πολιορκητήν. Ἀλέξανδρον δὲ τεθνάναι πάντες ὁμολογοῦσιν ἐπὶ τῆς ἑκατοστῆς τεσσαρεσκαιδεκάτης Ὀλυμπιάδος. δῆλον οὖν ὅτι καὶ κατ' ἐκεῖνον καὶ κατὰ Ἀλέξανδρον ἤκμαζεν ἡμῶν τὸ ἔθνος. λέγει τοίνυν ὁ Ἑκαταῖος πάλιν τάδε· „ ὅτι μετὰ τὴν ἐν Γάζῃ μάχην ὁ Πτολεμαῖος ἐγένετο τῶν ἐπὶ Συρίας τόπων ἐγκρατής. καὶ πολλοὶ τῶν ἀνθρώπων πυνθανόμενοι τὴν ἠπιότητα καὶ φιλανθρωπίαν τοῦ Πτολεμαίου, συναπαίρειν εἰς Αἴγυπτον αὐτῷ, καὶ κοινωνεῖν τῶν πραγμάτων ἠβουλήθησαν. ὧν εἷς ἦν, φησίν, Ἐζεκίας [a] ὁ ἀρχιερεὺς τῶν Ἰουδαίων, ἄνθρωπος τὴν μὲν ἡλικίαν ὡς ἑξηκονταὲξ ἐτῶν, τῷ δ' ἀξιώματι τῷ παρὰ τοῖς ὁμοέθνοις μέγας, καὶ τὴν ψυχὴν οὐκ ἀνόητος, ἔτι δὲ καὶ λέγειν δυνατός, καὶ [b] τοῖς περὶ τῶν πραγμάτων, εἴπερ τις ἄλλος, ἔμπειρος. καί τοι, φησίν, οἱ πάντες ἱερεῖς τῶν Ἰουδαίων, οἱ τὴν δεκάτην τῶν γινομένων λαμβάνοντες, καὶ τὰ κοινὰ διοικοῦντες, περὶ χιλίους μάλιστα καὶ πεντακοσίους εἰσίν." πάλιν δὲ τοῦ προειρημένου μνημονεύων ἀνδρός, „ οὗτος, φησίν, ὁ ἄνθρωπος τετευχὼς τῆς τιμῆς ταύτης, καὶ συνήθης ἡμῖν γενόμενος, παραλαβών [c] τινας τῶν μεθ' ἑαυτοῦ, [d] τὴν διαφορὰν ἀνέγνω πᾶσαν αὐτοῖς, εἶχε γὰρ τὴν κατοίκησιν

„ rum nomen tortuoſum admodum *& impeditum* „ *eſt*, Hieruſalem enim vocatur. Hic igitur homo „ cum à pleriſque hoſpitio exciperetur, & à ſuperioribus partibus ad maritima loca deſcenderet, non ſermone tantum ſed etiam animo Græcus erat. Et tunc nobis, in Aſia forte degentibus, accidit, ut eadem appulſus ad loca, nobiſcum aliquandiu, ſimulque cum aliis quibuſdam philoſophiæ ſtudioſis, verſaretur, eorum ſapientiæ experimentum faciens. Atque, ut cum plurimis doctrina præſtantibus familiariter vixerat, plus aliquanto quam acciperet nobiſcum ille communicabat." Hæc dixit Ariſtoteles apud Clearchum, & ſuper hæc multam ac mirabilem Judæi viri in victu continentiam & caſtimoniam narrat. Licet autem volentibus plus ex ipſius libro cognoſcere. Mihi enim cautum eſt, ne plura quam decet adjiciam. Et Clearchus quidem ex digreſſione iſta dixit (aliud enim ipſi propoſitum erat) noſtri generis ad hunc modum mentione facta. Hecatæus autem Abderita, vir non modo philoſophus, ſed etiam rebus gerendis aptiſſimus, Alexandri regis æqualis, cum quo etiam floruit, & poſtea cum Ptolemæo Lagi converſatus eſt, non obiter, ſed *integrum* de Judæis ipſis librum conſcripſit, ex quo volo ſummatim quædam eorum quæ ab eo ſunt dicta percurrere: primumque tempus oſtendam. Meminit enim prælii, quo circa Gazam conflixit Ptolemæus cum Demetrio: illud vero contigit undecimo quidem anno à morte Alexandri, Olympiade vero CXVII, ſicuti narrat Caſtor. Appoſita enim hac Olympiade, dicit, „ Sub hac Ptolemæus Lagi circa „ Gazam prælio ſuperavit Demetrium Antigoni, „ qui vocabatur Poliorcetes." Alexandrum vero agnoſcunt univerſi Olympiade CXIV. è vita exceſſiſſe. Palam ergo eſt, quod illius tempore & ſub Alexandro gens noſtra floruerit. Quare & Hecatæus inſuper dicit, ſcilicet, „ Ptolemæum poſt „ prælium ad Gazam locorum in Syria factum „ eſſe compotem; magnumque hominum numerum, cognita Ptolemæi manſuetudine & clementia, cum eo profectum eſſe ad Ægyptum, eo animo, ut rerum *illic* gerendarum participes fierent. quorum unus, inquit, erat Ezecias pontifex Judæorum: homo ætate quidem quaſi annorum LXVI, dignitate vero apud populares ſuos magnus, & animi ſapientia non mediocri, & dicendi facultate pollens, &, ſi quis alius, rerum peritus: quanquam, *ut* ait, omnes Judæorum ſacerdotes, qui decimas in lucem editorum accipiunt, & res in communi poſitas adminiſtrant, mille omnes & quingenti ſint." Rurſus autem viri jam laudati mentionem faciens, „ Hic, inquit, homo hunc „ honorem aſſequutus, factuſque nobis familiaris, ubi quoſdam è ſuis acceperat, differentiam omnem illis expoſuit, & habitationem eorum & civilem rationem, quam ſcri- „ ptam

Hecatæus Abderita de Judæis librum conſcripſit.

Ezecias pontifex Judæorum.

l Ἱερουσαλὴμ] Ad hunc modum ex *Euſebio*. Ἱεροσόλυμα aut Ἱερουσαλὴμ in *Joſephi libris*. Vide *Euſeb.* in *Præp. Evang.* pag. 409.

m Ἐπιθαλαττίους] Ita *Euſebius* pro θαλαττίους, quod antea obtinuit.

n Παραβαλὼν] Παραβαλὼν ἄνθρωπος *El.*

o Αὐτοὺς τόπους,] Illud αὐτοὺς ex *Euſebio*, in quo legitur εἰς τοὺς αὐτοὺς τόπους ἄνθρωπος, ἐντυγχάνει ἡμῖν τε καὶ &c. Eſt qui legit εἰς τοὺς αὐτοὺς τόπους ὁ ξένος ἄνθρωπος.

p Καί τισιν] καὶ ἀνθρώποις τισὶν *Hafn.*

q Ὡς δὲ πολλοῖς] Ita cum *Euſeb.* antea ὡς δὲ πολλοὶ συνῳκειοῦντο. Vulgata autem *Joſephi* (inquit *Vigerus*) longe aliam ſententiam efficiunt; quaſi eò libentius ſua cum aliis communicaret, quò plures eruditione præſtantes conveniret.

r Κλέαρχος μὲν] Ita lego cum Cl. *Lowthio*, veſtigia *Veteris Interpretis* ſequutus, qui reddit, *Clearchus igitur, facta digreſſione, cum aliud propoſitum haberet, noſtri generis ita meminit.*

s Τὸ γὰρ προκείμενον αὐτῷ ἦν ἕτερον.] Antea erat, καὶ γὰρ προκείμενον ἦν αὐτῷ καθ' ἕτερον οὕτως ἡμῶν μνημονεῦσαι. Eſt qui malit, καὶ, ὅ τι γὰρ προκείμενον ἦν αὐτῷ, ἕτερον ἡμῶν ἐμνημονεύετο. Vel hoc modo, καθ' ἕτερον τὸ ἡμῶν μνημονεῦσαι.

t Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος] Conf. Antt. lib. 12. c. 2. §. 3. Spanh.

u Λάγου συγγενόμενος,] Λάγῳ & mox Λάγος in *Cod. El.*

x Κάστωρ.] De quo ſupr. Antt. lib. 5. c. 7. §. 4. & infr. l. 2. §. 7. Spanh.

y Προσθεὶς] Προσθεὶς δὲ καὶ ταύτην in *Eodem.*

z Ὁ Λάγου] ὁ Λάγος *Hafn.*

a Ὁ ἀρχιερεὺς τῶν Ἰουδαίων,] Secundanus fortaſſe pontifex, nam ſummus tum erat Onias I. *Uſſerius* ad *Annum Mundi* 3693.

b Τοῖς περὶ τῶν πραγμάτων,] Illa τοῖς περὶ commode abeſſe poſſunt.

c Τινας τῶν μεθ' ἑαυτοῦ,] Ita in *MSS.* τινα in *Editis.*

d Τὴν διαφορὰν] Antea τήν τε διαφορὰν ἀνέγνω.

e Νεωσ.

„ ptam habebat; pariter indicavit." Deinde palam facit Hecatæus, erga leges qualiter noſmet habemus; quodque omnia pati malimus, quam contra illas facere, hoc pulchrum eſſe perſuaſum habentes. „ Quare, inquit, quanquam
Judæi inſtitutorum patriorum tenaces.
„ & maledictis impeti ſolent à vicinis advenisque, & injurioſe ſæpe tractati ſunt à Perſicis regibus & ſatrapis, non poſſunt à ſententia deduci, ſed pro ea maxime omnium forti animo omne genus cruciatus ſæviſſimaſque mortes ſubeunt, nec adduci poſſunt ut patria inſtituta abdicent." Quin & indicia perhibet non exigua animi eorum propoſiti tenacis & validi circa legem obſervandam. Dicit enim, „ cum aliquando apud Babylonem eſſet Alexander, & vellet is Beli templum quod conciderat reponere, & omnibus militibus præcepiſſet humum aggerere, ſolos Judæos non opitulatos, imo & verbera & mulctas graves pertuliſſe, donec rex eis ignoſcens laboris talis gratiam fecit. Qui cum in regionem, inquit, ad ſuos reverſi fuiſſent, & templa & altaria exſtruxiſſent, iſta omnia diruerunt: & pro aliis quidem mulctam Satrapis quidem exſolvêre, pro aliis vero veniam conſequuti ſunt." Et præterea adjicit, quod merito ob hæc admirationem habent." Atque inſuper memorat, gentem noſtram populo maxime abundaſſe.
Judæi populoſiſſimi.
„ nam multas noſtrorum, inquit, myriadas è ſedibus ſuis primum abduxerunt Perſæ: non paucæ autem etiam poſt obitum Alexandri in Ægyptum & Phœnicen migrarunt, propter ſeditionem in Syria factam." Hic idem vir & magnitudinem regionis quam incolimus & pulcritudinem prodidit. „ ad tricies, inquit, centena millia ararum habitant optimi fere & feraciſſimi ſoli. Judæa namque hujus eſt amplitudinis." Imò & urbem eandem, Hieroſolyma, pulcherrimam & maximam ex multis retro ſeculis habitari, & de virorum multitudine, & de templi exſtructione, idem ipſe ſic refert: „ Sunt autem Judæorum caſtella multa & vici per regionem ſparſa: una autem urbs munita, ambitu ferme L. ſtadiorum, quam incolunt quidem hominum circiter centum & viginti millia. iſtam
Hieroſolymorum deſcriptio.
„ vero Hieroſolyma vocant. illic autem in meditullio ſcilicet urbis ſeptum eſt lapideum, quinque fere jugerum longitudinis, latitudinis cubitorum centum, portas habens geminas. Ibidem altare quadratum, ex impolitorum & candidorum lapidum coagmentatione conflatum; cujus latera ſingula viginti

„ αὐτὴν καὶ τὴν πολιτείαν γεγραμμένην." εἶτα Ἑκαταῖος δηλοῖ πάλιν πῶς ἔχομεν πρὸς τοὺς νόμους, „ ὅτι πάντα πάσχειν ὑπὲρ τοῦ μὴ παραβῆναι τούτους προαιρούμεθα, καλὸν εἶναι [e] νομίζοντες. τοιγαροῦν, φησί, καὶ κακῶς ἀκούοντες ὑπὸ τῶν ἀστυγειτόνων, καὶ τῶν εἰσαφικνουμένων [f] πάντων, καὶ προπηλακιζόμενοι πολλάκις ὑπὸ τῶν Περσικῶν βασιλέων καὶ σατραπῶν, οὐ δύνανται μεταπεισθῆναι τῇ διανοίᾳ, ἀλλὰ γεγυμνωμένως περὶ τούτων καὶ αἰκίαις καὶ θανάτοις [g] δεινοτάτοις μάλιστα πάντων ἀπαντῶσι, μὴ ἀρνούμενοι τὰ πάτρια." παρέχεται δὲ καὶ τεκμήρια τῆς ἰσχυρογνωμοσύνης τῆς περὶ τῶν νόμων οὐκ ὀλίγα. φησὶ γάρ, „ Ἀλεξάνδρου ποτὲ ἐν Βαβυλῶνι γενομένου, καὶ προελομένου τὸ τοῦ Βήλου πεπτωκὸς ἱερὸν ἀνακαθᾶραι, καὶ πᾶσιν αὐτοῦ [h] τοῖς στρατιώταις ὁμοίως φέρειν τὸν χοῦν προστάξαντος, [i] μόνους τοὺς Ἰουδαίους οὐ προσχεῖν, ἀλλὰ καὶ πολλὰς ὑπομεῖναι πληγάς, καὶ ζημίας ἀποτῖσαι μεγάλας, [k] ἕως αὐτοῖς συγγνόντα τὸν βασιλέα δοῦναι τὴν ἄδειαν. [l] τῶν γε μὴν τῶν εἰς τὴν χώραν, φησί, πρὸς αὐτοὺς ἀφικνουμένων, [m] καὶ νεὼς καὶ βωμοὺς κατασκευασάντων, ἅπαντα ταῦτα κατέσκαπτον. καὶ τῶν μὲν ζημίαν τοῖς σατράπαις ἐξέτινον, περί τινων δὲ καὶ [n] συγγνώμης μετελάμβανον." [o] προσεπιτίθησιν, „ ὅτι δίκαιον ἐπὶ τούτοις αὐτούς ἐστι θαυμάζειν." λέγει δὲ καὶ περὶ τοῦ πολυανθρωπότατον γεγονέναι ἡμῶν τὸ ἔθνος. „ πολλὰς μὲν γὰρ ἡμῶν φησιν ἀνασπάστους εἰς Βαβυλῶνα Πέρσαι πρότερον αὐτῶν ἐποίησαν μυριάδας οὐκ ὀλίγας δὲ καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον εἰς Αἴγυπτον καὶ Φοινίκην μετέστησαν, διὰ τὴν ἐν Συρίᾳ στάσιν." ὁ δὲ αὐτὸς οὗτος ἀνὴρ καὶ τὸ μέγεθος τῆς χώρας, ἣν κατοικοῦμεν, καὶ τὸ κάλλος ἱστόρηκε. „ [p] τριακοσίας γὰρ μυριάδας [q] ἀρουρῶν, σχεδὸν τῆς ἀρίστης καὶ παμφορωτάτης χώρας, νέμονται, φησίν. ἡ καὶ Ἰουδαία [r] τοσαύτη πλάτος ἐστίν." ἀλλὰ μὴν ὅτι καὶ τὴν πόλιν [s] αὐτὴν τὰ Ἱεροσόλυμα καλλίστην τε καὶ μεγίστην ἐκ παλαιοτάτου [t] κατοικουμένην, καὶ περὶ πλήθους ἀνδρῶν, καὶ περὶ τῆς τοῦ νεὼ κατασκευῆς, οὕτως αὐτὸς διηγεῖται. „ ἔστι γὰρ τῶν Ἰουδαίων τὰ μὲν πολλὰ ὀχυρώματα κατὰ τὴν χώραν καὶ κῶμαι. „ [v] μία δὲ πόλις ὀχυρὰ πεντήκοντα μάλιστα σταδίων τὴν περίμετρον, ἣν οἰκοῦσι [x] μὲν ἀνθρώπων περὶ δώδεκα μυριάδες. καλοῦσι δ' αὐτὴν Ἱεροσόλυμα. ἐνταῦθα δ' ἐστὶ κατὰ μέσον μάλιστα τῆς πόλεως περίβολος λίθινος, μῆκος ὡς πεντάπλεθρος, εὖρος δὲ πηχῶν ἑκατόν, ἔχων διπλᾶς πύλας. ἐν ᾧ βωμός ἐστι τετράγωνος, [y] οὐκ ἐκ τμητῶν ἀλλ' ἐκ συλλέκτων ἀργῶν λίθων [z] οὕτω συγκείμενος· [a] πλευρὰν μὲν ἑκάστην „ εἴκοσι

e Νομίζοντες.] Νομίζομεν Big. & Hafn.
f Πάντων,] Πάντες καὶ προπ. Big. & Hafn.
g Δεινοτάτοις] Δεινοτάτων Hafn.
h Τοῖς στρατιώταις] Καὶ στρατιώταις El.
i Μόνους τοὺς Ἰουδαίους οὐ προσχεῖν] Conf. infr. lib. 2. §. 4. Spanh.
k Ἕως αὐτοῖς συγγνόντα] Ἕως ἂν αὐτοῖς El.
l Τῶν γε μὴν τῶν] Ἐπεί γε μὴν Big. & El. Forſan legendum τῶν γε μὴν στρατιωτῶν & mox πρὸς αὐτοὺς. Huds. Hafn. quoque habet ἐπεί γε μὴν &c. quod magis placet quam bis repetitum τῶν; niſi forte totus locus & aliter eſt conſtituendus & vertendus; ut legas τῶν γε Μακεδόνων εἰς τὴν χώρ. φ. πρὸς αὐτοὺς &c. i. e. Quum vero etiam Macedones in illorum veniſſent regionem, atque &c. Ut ita innuat ſucceſſores Alexandri, quos mox Satrapas vocat, qui tale quid patrare auſi fuerint in Judæa. Facilis eſt lapſus in ΜΗΝ ΓΕ ΤΩΝ ex vetuſtiori ΜΑΚΕΔΟΝΩΝ. Præterea Judæi id circa Tyrum facere non potuerunt, ſed potius in ſua alicubi terra. Hav.
m Καὶ νεὼς καὶ βωμοὺς] Prius καὶ abeſt ab Hafn.
n Συγγνώμης μετελάμβανον.] Ita ex MSS. συγγνώμας in Editis.
o Προσεπιτίθησιν,] Προστίθησι El.
p Τριακοσίας γὰρ μυριάδας] Conf. Ant. lib. 12. c. 2. §. 3. Julian. Imp. Epiſt. XXV. τὰς ἀρούρας δὲ τὰς ἑκατονταπήχεις, de Ægyptiis Herodot. l. II. c. 168. ἡ δὲ ἄρουρα ἑκατὸν πηχέων ἐστὶ Αἰγυπτίων πάντῃ. Spanh.

q Ἀρουρῶν.] Arura menſura eſt apud Græcos quinquaginta pedes capiens, i. e. octo ulnas & trientem, vel paſſus decem, ita ut ulnam pro ſenis pedibus, & paſſum pro quinis accipiamus. Budæus.
r Τοσαύτη πλάτος ἐστί.] Ita lego ex Vet. Interpr. ſi quis cum Cl. Lowthio malit τοσαύτη πλάτους, per me licet.
s Αὐτὴν τὰ Ἱεροσόλυμα] Αὐτῶν El.
t Κατοικουμένην] Ita reſtitui ex Hafn. Neque poterat Joſephus deſtructa jam urbe dicere κατοικοῦμεν ſed bene κατοικουμένην. Unde quoque in Verſione pro quod & urbem — incolimus, ſcripſi habitari, priori quod deleto. Hav.
v Μία δὲ πόλις ὀχυρὰ] Μία δὲ ἡ Ἱεροσόλυμα πόλις ὀχ. Euſeb. de Præp. Evang. p. 408.
x Μὲν ἀνθρώπων] Illud μὲν ex Euſebio. ut & mox δὲ poſt εὖρος in ead. §. ſeq. v. 3.
y Οὐκ ἐκ τμητῶν — ἀργῶν λίθων] Ex lapidibus non dolatis, ſed collectis juxta Vet. Interpr. ἀτμήτων ἀργῶν λίθων apud Euſebium & Codd. MSS. unde pro ἐκ τῶν ἀργῶν repoſui ἐκ συλλέκτων ἀργῶν λίθων. Confer Deut. 27. 5. Huds. Veram hanc eſſe conjecturam apparet ex Cod. Hafn. in quo ita legitur τετράγωνος ἀτμήτων συλλεκτῶν ἀργῶν &c. Hav. Conf. ſupr. Ant. lib. 5. c. 5. §. 6. Spanh.
z Οὕτω συγκείμενος.] Οὕτως Hafn.
a Πλευρὰν] Ita ex Euſebio & MSS. prius erat πλευρὰ μὲν ἑκάστη.

b Ἐκ]

„ εἴκοσι πηχῶν, ὕψος δὲ δεκάπηχυ. καὶ παρ' αὐτὸν οἴκημα μέγα, οὗ βωμός ἐστι καὶ λυχνίον, ἀμφότερα χρυσᾶ, δύο τάλαντα τὴν ὁλκήν. [b] ἐπὶ τούτων φῶς ἐστιν ἀναπόσβεστον καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας. ἄγαλμα δὲ οὐκ ἔστιν οὐδὲ ἀνάθημα τὸ παράπαν. οὐδὲ φύτευμα παντελῶς [c] οὐδὲν, οἷον ἀλσῶδες ἤ τι τοιοῦτον. διατρίβουσι δ' ἐν αὐτῷ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας ἱερεῖς, ἁγνείας τινὰς ἁγνεύοντες, καὶ τὸ παράπαν [d] οἶνον οὐ πίνοντες ἐν τῷ ἱερῷ." ἔτι γε μὴν ὅτι καὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνεστρατεύσαμεν, [e] καὶ μετὰ ταῦτα τοῖς διαδόχοις αὐτοῦ, μεμαρτύρηκεν. [f] οἷς αὐτὸς [g] παρατυχεῖν φησιν ὑπ' ἀνδρὸς Ἰουδαίου κατὰ τὴν στρατείαν γενομένοις, [h] τοῦτο παραθήσομαι. λέγει δ' οὕτως. „ ἐμοῦ γοῦν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν βαδίζοντος, συνηκολούθει τις μετὰ τῶν ἄλλων τῶν παραπεμπόντων [i] ἡμᾶς ἱππέων Ἰουδαίων, ὄνομα [k] Μεσόλλαμος, ἄνθρωπος [l] ἱκανὸς κατὰ ψυχὴν, εὔρωστος, καὶ τοξότης ὑπὸ δὴ πάντων ὁμολογούμενος καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἄριστος. οὗτος οὖν ὁ ἄνθρωπος [m] διαβαδιζόντων πολλῶν κατὰ τὴν ὁδὸν, καὶ [n] μάντεώς τινος ὀρνιθευομένου, καὶ πάντας ἐπισχεῖν ἀξιοῦντος, ἠρώτησε διὰ τί προσμένουσι. δείξαντος δὲ τοῦ μάντεως αὐτῷ [o] τὸν ὄρνιθα, καὶ φήσαντος, [p] ἐὰν μὲν αὐτοῦ μένῃ, προσμένειν [q] συμφέρειν πᾶσιν, [r] ἂν δ' ἀναστὰς εἰς τοὔμπροσθεν πέτηται, προάγειν, ἐὰν δὲ εἰς τοὔπισθεν, [s] ἀναχωρεῖν αὖθις, σιωπήσας [t] καὶ παρελκύσας τὸ τόξον ἔβαλε, καὶ τὸν ὄρνιθα πατάξας ἀπέκτεινεν. [v] ἀγανακτούντων δὲ τοῦ μάντεως καί τινων ἄλλων, καὶ καταρωμένων αὐτῷ, τί μαίνεσθε, ἔφη, [x] κακοδαιμονέστατοι ὄρνιθα λαβόντες εἰς τὰς χεῖρας; πῶς γὰρ [y] οὗτος, τὴν αὐτοῦ σωτηρίαν οὐ [z] προϊδὼν, περὶ τῆς ἡμετέρας πορείας ἡμῖν ἄν τι ὑγιὲς [a] ἀπήγγελλεν; εἰ γὰρ ἠδύνατο προγινώσκειν τὸ μέλλον, εἰς τὸν τόπον τοῦτον οὐκ ἂν ἦλθε, φοβούμενος μὴ τοξεύσας αὐτὸν ἀποκτείνῃ [b] Μεσόλλαμος Ἰουδαῖος." ἀλλὰ τῶν μὲν Ἑκαταίου μαρτυριῶν ἅλις. τοῖς γὰρ βουλομένοις πλείω μαθεῖν, τῷ βιβλίῳ ῥᾴδιόν ἐστιν ἐντυχεῖν. οὐκ ὀκνήσω δὲ καὶ [c] τὸν ἐπ' εὐηθείας διασυρμῷ, καθάπερ αὐτὸς οἴεται, μνήμην πεποιημένον ἡμῶν Ἀγαθαρχίδην ὀνομάσαι. διηγούμενος γὰρ τὰ περὶ Στρατονίκην, „ ὃν τρόπον ἦλθε μὲν [d] εἰς Συρίαν ἐκ Μακεδονίας, καταλιποῦσα τὸν ἑαυτῆς ἄνδρα Δημήτριον, Σελεύκου δὲ γαμεῖν αὐτὴν οὐ θελήσαντος, ὅπερ ἐκείνη προσεδόκησε, ποιουμένου δὲ τὴν ἀπὸ Βαβυλῶνος στρατείαν αὐτοῦ, τὰ περὶ τὴν Ἀντιόχειαν ἐνεωτέρισεν. εἶθ' ὡς ἀνέστρεψεν ὁ βασιλεὺς, ἁλισκομένης τῆς Ἀντιοχείας, εἰς Σελεύκειαν φυγοῦσα, παρὸν αὐτῇ ταχέως ἀποπλεῖν, ἐνυπνίῳ

„ cubitorum ſunt, altitudo vero duodecim. & præter hoc altare, ingens tabernaculum eſt, quo & ara & lychnuchus continentur, utrumque aureum, pondus talentorum duûm. inſuper autem lumen inexſtinctum dies noctesque continenter ardet. Nullum ibi ſimulachrum, donarium omnino nullum, adeoque nec planta nec lucus, nec aliud quicquam ejuſmodi. Sacerdotes in eo, noctu pariter atque interdiu aſſidui, certis quibuſdam expiationibus dant operam, quos in templo vinum omnino guſtare nefas." Sed præterea teſtis eſt, militaſſe nos cum Alexandro, & poſtea ejus cum ſucceſſoribus. Subjiciam illud ex iis quibus ipſe ſe interfuiſſe dicit, ab homine quodam Judæo geſtum in expeditione. Ita enim *rem* narrat. „ Cum proficiſcerer ad mare Rubrum, una cum aliis equitibus Judæis quos itineris duces habebamus, unus eorum aliquis comitabatur, nomine Moſollamus, vir cum animi magnitudine tum corporis robore non vulgari, idemque ſagittarius omnium tam Græcorum quam barbarorum confeſſione peritiſſimus. Is igitur homo, cum univerſa multitudo iter illud agerent, & vates quidam augurium captaret peteretque ut cuncti ſtarent, interrogavit quorſum ſubſtitiſſent. Cum autem augur ei avem oſtendiſſet, ſimulque dixiſſet, ſi quidem ibi reſideret avis, omnibus *etiam* ut eo in loco manerent expedire, ſin protinus volando contenderet, porro pergerent ipſi quoque, ſin denique retro, retro ſimiliter illi redirent. *Judæus* nihil contra, ſed intento arcu jaculatur, avemque confixam peremit. Hic augure aliiſque nonnullis graviter indignantibus, ipſique una diras imprecantibus, Quid, inquit, uſque adeo furitis *hac de re*, infauſtiſſimam avem in manus ſumentes? Quomodo iſta, *inquit*, quæ vitæ ipſa ſuæ providere non potuit, ſani quicquam de ſuſcepto à nobis itinere prænunciare valuit? Enimvero ſi prænôſſe futurum potuiſſet, nunquam *utique* hunc in locum veniſſet, præ metu ne Moſollami Judæi ſagittis confixa moreretur." Verum teſtimoniorum ex Hecatæo ſatis *habuimus*. Nam quibus in animo eſt plura cognoſcere, facile eſt librum ipſum adire. Non vero me pigebit nominare Agatharchidem, cum irriſione ſimplicitatis, ut ei viſum eſt, noſtrûm mentionem facientem. Is enim narrans de Stratonice, „ quemadmodum in Syriam quidem è Macedonia venerit, viro ſuo Demetrio derelicto: Seleuco autem uxorem eam ducere nolente, id quod ipſa exſpectaverat; exercitum vero apud Babylonem ipſo colligente, res novas circa Antiochiam molita eſt. deinde, poſt regis reverſionem capta Antiochia, in Seleuciam fugerit; cumque liceret ipſi ſtatim navi diſcedere, ſomnio „ id

Moſollamus Judæus avem oſcinem occidit præſente Hecatæo.

Agatharchides irriſor Judæorum.

b Ἐπὶ τούτων] Ἐπὶ δὲ τούτων *Euſeb.*
c Οὐδὲν,] Οὐδὲ οἷον ἀλσ. *Euſeb.*
d Οἶνον] οἶον *Haſe.*
e Καὶ μετὰ ταῦτα] Illud καὶ non agnoſcunt *MSS.*
f Οἷς αὐτὸς] Οἷς δ' αὐτὸς *Euſeb. de Præp. Evang.* p. 408.
g Παρατυχεῖν] Παρατυχὼν & mox γενομένῳ in *Cod. Elienſ.*
h Τοῦτο παραθήσομαι.] Ita cum *Cod. Big.* (& *Haſe.*) ταῦτα in *cæteris.*
i Ἡμᾶς ἱππέων Ἰουδαίων,] Ita ex *Euſebio.* ἡμῶν in *Joſephi* exemplaribus.
k Μεσόλλαμος,] Μοσόμαμος vel Μοσόμαμος *Euſeb.* 408.
l Ἱκανὸς κατὰ ψυχὴν,] Ita ex *Euſebio.* antea lectum erat, ἱκανὸς κατὰ ψυχὴν εὔρωστος, καὶ τοξότης δὲ πάντων.
m Διαβαδιζόντων πολλῶν] Βαδιζόντων *Euſeb.*
n Μάντεώς τινος ὀρνιθευομένου,] Vate auguria captante. Spanh.
o Τὸν ὄρνιθα,] Sic *Euſeb.* antea τὴν ὀρ. ut & paulo poſt.
p Ἐὰν μὲν] Ἐὰν μὴ ἐν *Big.*
q Συμφέρει πᾶσιν,] Ita *Euſeb.* συμφέρειν in libris pleriſque *Joſephi.* συμφέρῃ *Big.*

r Ἂν δ' ἀναστὰς] Ἐὰν δ' ἀναστὰς *Euſeb.*
s Ἀναχωρεῖν αὖθις,] Ita diſtinxi cum *Euſebio.* antea ἀναχωρεῖν, αὖθις [pro quo αὐτὸς legendum conjicit *Van-Dale de Idololatria* p. 393.] σιωπήσας.
t Καὶ παρελκύσας] Καὶ ἑλκύσας *Haſe.*
v Ἀγανακτούντων] Ἀγανακτοῦντος *Euſeb.*
x Κακοδαιμονέστατοι] Κακοδαίμονες, εἶτα τὸν ὄρνιθα λαβὼν εἰς τὰς χεῖρας *Euſeb.* τί μαίνεσθε, ἔφη, κακοδαιμονέστατοι ὄρνιθα λαβόντες εἰς τὰς χεῖρας; *Quid furitis, inquit, ex infeliciſſima ave fatalia captantes?* ex conjectura *Petiti* in *Animadverſ.* ἀνελόντες, Tom. IV. p. 5.
y Οὗτος,] Οὗτος, ἔφη, ὁ *Euſeb.*
z Προϊδὼν,] Προειδὼς *Euſeb.*
a Ἀπήγγελλεν;] Ἀπήγγειλεν *Euſeb.*
b Μεσόλλαμος] Μοσόμαμος *Euſeb. Ibid.* p. 409. Spanh. Μοσόλλαμος *Haſe.*
c Τὸν ἐπ' εὐηθείας] Τῷ οἷον ἐπ' εὐηθείᾳ διασυρμῷ *El.*
d Εἰς Συρίαν ἐκ Μακεδονίας,] Ita ex *Vet. Interpr.* & *Codd. MSS.* inter quos *Haſe.* antea erat, ἐκ Συρίας εἰς Μακεδονίαν.

„ id facere prohibenti parendo capta eſt & interiit." Iſta præfatus Agatharchides, & cum dicteriis Stratonice exprobrans ſuperſtitionem, in exemplum adhibet quod de genere noſtro dicitur, & in hunc modum ſcripſit. „ Ii qui appellantur Judæi, cum urbem habeant firmiſſimam, quam ab indigenis Hieroſolyma vocari accidit, ſolitis otiari diebus ſeptimis, ita ut eo tempore nec arma ferant, nec agrum colant, nec alterius omnino cujuſquam miniſterii curam habeant, ſed in templo extenſis manibus preces faciant ad veſperam uſque, cum illam urbem intraret Ptolemæus Lagi filius cum exercitu, * & hominibus, qui urbem cuſtodire debuerant, ſtultitiam obſervantibus, patria quidem ipſorum acerbum accepit dominum, lex vero convicta eſt ſtultam habere conſuetudinem. Docuit autem alios omnes, præter ipſos, eventus ille, ut tunc ſomnia fugerent, & à concepta per legem opinione deſiſterent, ubi in rebus ambiguis humana eos conſilia deſtituunt." Hoc autem Agatharchidi ridiculum videtur; eis autem qui non animo infeſto hæc examinant magnum apparet & multa laude dignum, ſi & ſaluti & patriæ quidam cuſtodiam legum inque Deum pietatem ſemper præferunt.

Cur quidam hiſtoriographi Judæorum mentionem omiſerint.

23. Quod vero ſcriptorum nonnulli gentem noſtram non ignorantes, ſed propter invidiam quandam aut alias ob cauſas non juſtas memoriam noſtri omiſerint, indicium me daturum eſſe arbitror. Hieronymus enim, qui ſucceſſorum *Alexandri* hiſtoriam conſcripſit, æqualis quidem Hecatæi, regis vero Antigoni amicus, Syriæ erat procurator. Verum Hecatæus etiam librum quidem ſcripſit de gente noſtra: Hieronymus autem nequaquam noſtri in hiſtoria meminit, licet pene in ipſis locis nutritus eſſet. In tantum hominum voluntates inter ſe diſſident. alter namque dignos exiſtimavit quos ſtudioſe memoraret; alteri vero omnino iniqua quædam paſſio ad veritatem diſcernendam tenebras offudit. Sufficiunt tamen ad fidem hujus antiquitatis faciendam, Syrorum & Chaldæorum ac Phœnicum hiſtoriæ, prætereaque tot è Græcis hiſtorici. quibus inſuper etiam licet addere, Theophilum, & Theodotum, & Mnaſeam, & Ariſtophanem, & Hermogenem, & Euhemerum, & Cononem, & Zopyrionem, alioſque forte quamplurimos; nec enim omnes evolvi libros, qui rerum noſtrarum ex profeſſo meminerunt. Et quanquam eorum etiam, quos nominatim citavimus, plerique quòd literas noſtras minime attigerint, à rerum jam inde ab initio geſtarum veritate aberrarunt; communi tamen conſenſu omnes eidem antiquitati ſuffragati ſunt, quod unum mihi hoc loco propoſitum fuerat. Ex quibus ſane Demetrius Phalereus, & Philo ſenior, & Eupolemus, à vero propius abfuerunt: quibus etiam, ſi quid peccarunt, veniam hoc nomine dare æquum utique ſit, quòd librorum noſtrorum ſenſum minus accurate capere & aſſequi potuerint.

„ κωλύοντι πεισθεῖσα ἑάλω καὶ ἀπέθανε." ταῦτα προειπὼν ὁ Ἀγαθαρχίδης, καὶ ἐπισκώψας τὴν Στρατονίκης τὴν δεισιδαιμονίαν, παραδείγματι χρῆται τῷ περὶ ἡμῶν λόγῳ, καὶ γέγραφεν οὕτως. „ οἱ [e] καλέμενοι Ἰουδαῖοι πόλιν οἰκοῦντες ὀχυρωτάτην πασῶν, ἣν καλεῖν Ἱεροσόλυμα συμβαίνει τοὺς ἐγχωρίους, ἀργεῖν εἰθισμένοι δι' ἑβδόμης ἡμέρας, καὶ μήτε τὰ ὅπλα βαστάζειν ἐν τοῖς εἰρημένοις χρόνοις, [f] μήτε γεωργίας ἅπτεσθαι, μήτε ἄλλης ἐπιμελεῖσθαι λειτουργίας μηδεμιᾶς, ἀλλ' ἐν τοῖς ἱεροῖς ἐκτετακότες τὰς χεῖρας εὔχεσθαι μέχρι τῆς ἑσπέρας, [g] εἰσιόντος εἰς τὴν πόλιν Πτολεμαίου τοῦ Λάγου μετὰ τῆς δυνάμεως, καὶ τῶν ἀνθρώπων [h] ἀντὶ τοῦ φυλάττειν τὴν πόλιν διατηρούντων τὴν ἄνοιαν, ἡ μὲν πατρὶς εἰλήφει δεσπότην πικρὸν, ὁ δὲ νόμος ἐξηλέγχθη φαῦλον ἔχων ἐθισμόν. τὸ δὲ συμβὰν πλὴν [i] ἐκείνων τοὺς ἄλλους πάντας δεδίδαχε, τηνικαῦτα [k] φυγεῖν ἐνύπνια, καὶ τὴν περὶ τοῦ νόμου παραδεδομένην ὑπόνοιαν, ἡνίκ' ἂν τοῖς ἀνθρωπίνοις λογισμοῖς περὶ τῶν διαπορουμένων ἐξασθενήσωσιν." τοῦτο μὲν Ἀγαθαρχίδῃ καταγέλωτος ἄξιον δοκεῖ. τοῖς δὲ μὴ μετὰ δυσμενείας ἐξετάζουσι φαίνεται μέγα καὶ πολλῶν ἄξιον ἐγκωμίων, εἰ καὶ σωτηρίας καὶ πατρίδος ἄνθρωποί τινες νόμων φυλακὴν καὶ τὴν πρὸς Θεὸν εὐσέβειαν ἀεὶ προτιμῶσιν.

κγ'. Ὅτι δὲ οὐκ ἀγνοοῦντες ἔνιοι τῶν συγγραφέων τὸ ἔθνος ἡμῶν, ἀλλ' ὑπὸ φθόνου τινὸς, ἢ δι' ἄλλας αἰτίας οὐχ ὑγιεῖς, τὴν μνήμην παρέλιπον, τεκμήριον οἶμαι παρέξειν. Ἱερώνυμος γὰρ ὁ τὴν περὶ τῶν διαδόχων ἱστορίαν συγγεγραφὼς, κατὰ τὸν αὐτὸν μὲν ἦν [l] Ἑκαταίῳ χρόνον, φίλος δ' ὢν [m] Ἀντιγόνου τοῦ βασιλέως, τὴν Συρίαν ἐπετρόπευεν. ἀλλ' ὅμως [n] Ἑκαταῖος μὲν καὶ βιβλίον ἔγραψε περὶ ἡμῶν· Ἱερώνυμος δ' οὐδαμοῦ κατὰ τὴν ἱστορίαν ἐμνημόνευσε, καίτοι σχεδὸν ἐν τοῖς τόποις διατετριφώς. τοσοῦτον αἱ προαιρέσεις τῶν ἀνθρώπων διήνεγκαν. τῷ μὲν γὰρ ἐδόξαμεν καὶ σπουδαίας εἶναι μνήμης ἄξιοι· τῷ δὲ πρὸς τὴν ἀλήθειαν πάντως τι πάθος οὐκ εὐγνῶμον ἐπεσκότησεν. ἀρκοῦσι δὲ ὅμως εἰς τὴν ἀπόδειξιν τῆς ἀρχαιότητος αἵ τε Αἰγυπτίων καὶ Χαλδαίων καὶ Φοινίκων ἀναγραφαὶ, πρὸς ἐκείναις τε τοσοῦτοι τῶν Ἑλλήνων συγγραφεῖς. ἔτι δὲ καὶ πρὸς τοῖς εἰρημένοις, Θεόφιλος, καὶ Θεόδοτος, καὶ Μνασέας, καὶ Ἀριστοφάνης, καὶ Ἑρμογένης, Εὐήμερός τε καὶ Κόνων, καὶ Ζωπυρίων, καὶ πολλοί τινες ἄλλοι τάχα· οὐ γὰρ ἔγωγε πᾶσιν ἐντετύχηκα τοῖς βιβλίοις· οὐ παρέργως ἡμῶν ἐμνημονεύκασιν. οἱ πολλοὶ δὲ τῶν εἰρημένων ἀνδρῶν, τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγμάτων διήμαρτον, ὅτι μὴ ταῖς ἱεραῖς ἡμῶν βίβλοις ἐνέτυχον· κοινῶς μέντοι περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασιν, ὑπὲρ ἧς τὰ νῦν λέγειν προτεθέμην. ὁ μέντοι [o] Φαληρεὺς Δημήτριος, καὶ [p] Φίλων ὁ πρεσβύτερος, καὶ Εὐπόλεμος, οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. οἷς συγγινώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν.

κδ'. Ει

e Καλέμενοι Ἰουδαῖοι] Confer pag. 508. Antt. lib. 12. c. 1. §. 1. med.

f Μήτε γεωργίας ἅπτεσθαι,] Neque rus colere. SPANH.

g Εἰσιόντος] Εἰσιόντος δὲ εἰς legiſſe videtur *Vet. Interpr.*

h Ἀντὶ τοῦ φυλάττειν] Ita *Haſn.* & *El.* pro αὐτὴν φυλ.

i Ἐκείνων] ἐκεῖνον *Haſn.*

k Φυγεῖν ἐνύπνια,] Sic lego cum *Grotio.* antea erat φυγεῖν εἰς ἐνύπνια.

l Ἑκαταίῳ] Ἑκαταίῳ *Haſn.*

m Ἀντιγόνου τοῦ βασιλέως,] Ita ex *Vet. Interpr.* Ἀντιόχου in *Græcis.*

n Ἑκαταῖος μὲν καὶ βιβλίον ἔγραψε περὶ ἡμῶν.] Conf. Antt. l. 12. c. 2. §. 3. SPANH.

o Φαληρεὺς Δημήτριος,] *Huetius* (in *Dem. Evangel.* lib. 1. c. 23. & 29.) exiſtimat *Joſephum* confudiſſe *Demetrium Phalereum* cum *Demetrio Judæo*; qui de *Regibus Judæorum* ſcripſit.

p Φίλων ὁ πρεσβύτερος,] Qui itidem de *Regibus Judæorum* ſcripſit, teſte *Clemente Alexandrino*: ſed parum convenientia cum iis quæ à *Demetrio Phalereo* tradebantur, διαφόρως τῷ Δημητρίῳ, *Strom.* l. 1 p. 404. *Edit. Oxon.* Hunc *Philonem* inter Ethnicos recenſet *Joſephus*, quem ſi ſequamur (inquit *Lowthius*) concidit illorum ſententia, qui *Librum Sapientiæ* ipſi tanquam *Auctori* aut ſaltem *Interpreti* tribuunt.

* Per ſtultitiam hominum qui urbem defendere verebantur; *Grotius* ad *Maccab.* 1. c. 2. qui *Græca* dat ad hunc modum, καὶ τῶν ἀνθρώπων ἀντὶ τοῦ φυλάττειν τὴν πόλιν διατηρούντων τὴν ἄνοιαν.

q Ταῦτ

κδ'. Ἓν ἔτι μοι κεφάλαιον ὑπολείπεται τῶν κατὰ τὴν ἀρχὴν προτεθέντων τοῦ λόγου, τὰς διαβολὰς καὶ τὰς λοιδορίας, αἷς κέχρηνταί τινες κατὰ τοῦ γένους ἡμῶν, ἀποδεῖξαι ψευδεῖς, καὶ τοῖς γεγραφόσι [q] ταύτας καθ' ἑαυτῶν χρήσασθαι μάρτυσιν. ὅτι μὲν οὖν [r] καὶ ἑτέροις τοῦτο πολλοῖς συμβέβηκε, διὰ τὴν ἐνίων δυσμένειαν οἶμαι γιγνώσκειν τοὺς πλείονα ταῖς ἱστορίαις ἐντυγχάνοντας. καὶ γὰρ ἐθνῶν τινες καὶ τῶν ἐνδοξοτάτων πόλεων ῥυπαίνειν τὴν εὐγένειαν, [s] καὶ τὰς πολιτείας ἐπεχείρησαν λοιδορεῖν. Θεόπομπος μὲν τὴν Ἀθηναίων, τὴν δὲ Λακεδαιμονίων Πολυκράτης, ὁ δὲ τὸν [t] Τριπολιτικὸν γράψας· οὐ γὰρ δὴ Θεόπομπός ἐστιν ὥς τινες οἴονται· καὶ τὴν Θηβαίων πόλιν [u] διέβαλε. πολλὰ δὲ καὶ Τίμαιος ἐν ταῖς ἱστορίαις περὶ τῶν προειρημένων καὶ περὶ ἄλλων βεβλασφήμηκεν. μάλιστα δὲ τοῦτο ποιοῦσι, τοῖς ἐνδοξοτάτοις προσπλεκόμενοι, τινὲς μὲν διὰ φθόνον καὶ κακοήθειαν, ἄλλοι δὲ διὰ τοῦ καινολογεῖν μνήμης ἀξιωθήσεσθαι νομίζοντες. παρὰ μὲν οὖν τοῖς ἀνοήτοις ταύτης [x] οὐδαμῶς ἁμαρτάνουσι τῆς ἐλπίδος, οἱ δ' ὑγιαίνοντες τῇ [y] κρίσει, πολλὴν αὐτῶν μοχθηρίαν καταδικάζουσι.

κε'. Τῶν δὲ εἰς ἡμᾶς βλασφημιῶν ἤρξαντο μὲν Αἰγύπτιοι. βουλόμενοι δ' ἐκείνοις τινὲς χαρίζεσθαι, παρατρέπειν ἐπεχείρησαν τὴν ἀλήθειαν, οὔτε τὴν εἰς Αἴγυπτον ἄφιξιν ὡς ἐγένετο τῶν ἡμετέρων προγόνων ὁμολογοῦντες, οὔτε τὴν ἔξοδον ἀληθεύοντες. αἰτίας δὲ πολλὰς ἔλαβον τοῦ μισεῖν καὶ φθονεῖν, τὸ μὲν ἐξ ἀρχῆς ὅτι κατὰ τὴν χώραν αὐτῶν ἐδυνάστευσαν ἡμῶν οἱ πρόγονοι, κἀκεῖθεν ἀπαλλαγέντες ἐπὶ τὴν οἰκείαν, πάλιν εὐδαιμόνησαν, εἶθ' ἡ [z] τῶν [a] ἱερῶν ὑπεναντιότης πολλὴν αὐτοῖς ἐνεποίησεν ἔχθραν, τοσοῦτον τῆς ἡμετέρας διαφερούσης εὐσεβείας πρὸς τὴν ὑπ' ἐκείνων νομιζομένην, ὅσον Θεοῦ φύσις ζώων ἀλόγων διέστηκεν. κοινὸν μὲν γὰρ αὐτοῖς ἐστι πάτριον τὸ ταῦτα Θεοὺς νομίζειν, ἰδίᾳ δὲ πρὸς ἀλλήλους ἐν ταῖς τιμαῖς αὐτῶν διαφέρονται. κοῦφοι δὲ καὶ ἀνόητοι παντάπασιν ἄνθρωποι, κακῶς ἐξ ἀρχῆς ἐθισμένοι δοξάζειν περὶ Θεῶν, μιμήσασθαι μὲν τὴν σεμνότητα τῆς ἡμετέρας θεολογίας οὐκ ἐχώρησαν, ὁρῶντες δὲ ζηλουμένους ὑπὸ πολλῶν ἐφθόνησαν. εἰς τοσοῦτον γὰρ ἦλθον ἀνοίας καὶ μικροψυχίας ἔνιοι τῶν παρ' αὐτοῖς, ὥστ' οὐδὲ ταῖς ἀρχαίαις αὐτῶν ἀναγραφαῖς ὤκνησαν τἀναντία λέγειν, ἀλλὰ καὶ σφίσιν αὐτοῖς ἐναντία γράφοντες, ὑπὸ τυφλότητος τοῦ πάθους ἠγνόησαν.

κϛ'. Ἐφ' ἑνὸς δὲ πρώτου στήσω τὸν λόγον, ᾧ καὶ μάρτυρι μικρὸν ἔμπροσθεν τῆς ἀρχαιότητος ἐχρησάμην. ὁ γὰρ Μανεθὼς οὗτος, ὁ τὴν Αἰγυπτιακὴν ἱστορίαν ἐκ τῶν ἱερῶν γραμμάτων μεθερμηνεύειν ὑπεσχημένος, προειπὼν „ τοὺς ἡμετέρους πολλαῖς μυριάσιν ἐπὶ τὴν „ Αἴγυπτον ἐλθόντας κρατῆσαι τῶν ἐνοικούντων, εἶτ' „ αὐτὸς ὁμολογῶν χρόνῳ πάλιν ὕστερον ἐκπεσόντας „ τὴν [b] νῦν Ἰουδαίαν κατασχεῖν, καὶ κτίσαντας Ἱεροσόλυμα „ τὸν νεὼν κατασκευάσασθαι," μέχρι μὲν τούτων ἠκολούθησε ταῖς ἀναγραφαῖς· ἔπειτα δὲ δοὺς ἐξουσίαν αὑτῷ, διὰ τοῦ φάναι γράψειν τὰ μυθευόμενα καὶ λεγόμενα περὶ τῶν Ἰουδαίων, λόγους ἀπιθάνους [c] παρενέβαλεν, ἀναμῖξαι βουλόμενος ἡμῖν Αἰγυπτίων πλῆθος

24. Unum adhuc mihi capitulum reſtat, ex iis quæ ſub initium orationis propoſui; *ſcilicet* ut calumnias & convicia, quibus noſtrum genus onerant nonnulli, falſa eſſe oſtendam, auctoreſque eorundem teſtes contra ſemetipſos adducam. Et quod quidem multis aliis hoc evenit propter quorundam inimicitias, eos intelligere arbitror, qui majori ſtudio in hiſtoriis verſantur. Nam & gentium nonnulli & glorioſiſſimarum civitatum nobilitatem fœdare, rerumque publicarum formas maledictis inſectari tentarunt. Theopompus quidem Athenienſium, Lacedæmoniorum vero Polycrates; atque is qui Tripoliticum ſcripſit (non enim Theopompus eſt, ut quidam arbitrantur) etiam * Thebanorum civitatem calumniatus eſt. Multa vero etiam Timæus in hiſtoriis *ſuis* de prædictis aliiſque detraxit. Maximeque hoc faciunt, quando rem habent cum præclariſſimis, quidam propter invidiam atque malevolentiam, alii vero propter inanem loquacitatem memoria ſe dignos fore exiſtimantes. Et apud ſtultos quidem nequaquam hac de ſpe decidunt; ſani vero judicii viri illis hanc malignitatem vitio vertunt.

25. Quæ vero probra & maledicta in noſtrates jactata ſunt, iis cauſam & originem Ægyptii præbuerunt; quorum gratiæ nonnulli ſcriptores inſervire cupientes veritatem rerum geſtarum pervertere aggreſſi ſunt, nec majorum noſtrorum adventum in Ægyptum, ut re vera fuit, ingenue fatentes, nec inde egreſſum bona fide commemorantes. Cauſas autem multas *Ægyptii* odii atque invidiæ habuerunt, queis in noſtram gentem exſtimulati ſunt. Et ab initio quidem quod noſtri olim rerum in patria eorum potiti ſunt; deinde quod illinc digreſſi, in propria patria ſecunda omnia nacti ſunt: poſtremo religionum diverſitas ingens eis odium in nos accendit, tantum religione noſtra ab ea quam ipſi veram pietatem putant differente, quantum divina natura brutis animalibus præſtat. Communis namque apud illos ritus eſt patrius, ejuſcemodi bruta Deos arbitrari; ſingillatim autem alii alia colunt, homines fatui omnino & inſipientes, & ab initio malas de Diis opiniones habere conſueti. Noluerunt quidem ad gravitatem noſtræ de Diis doctrinæ imitandam perduci: cum autem noſtra inſtituta viderent à multis probata, nobis inviderunt. Nam eò quidem amentiæ animique puſilli proceſſere quidam apud ipſos, ut non pigeret eos etiam contra antiquas ſuorum hiſtorias aliqua dicere: immo odio & invidia occœcati ignorarunt, quod ſibimet contraria ſcripſerint.

Cauſa calumniarum quibus onerati fuerunt Judæi.

Ægyptii cur oderint Judæos?

26. Ad unum itaque præcipuum orationem referam, quem paulo ante antiquitatis noſtræ teſtem adhibui. Hic enim Manetho, qui hiſtoriam Ægyptiacam è ſacris literis interpretari pollicitus eſt, præfatus „ noſtros progenitores cum multis myriadibus in Ægyptum adveniſſe ejuſque incolas ſub„ jugaſſe, deinde ipſe agnoſcens quod tempore po„ ſtea ſequuto illa regione exciderint & Judæam „ nunc *dictam* occuparint, atque Hieroſolymis æ„ dificatis templum exſtruxerint," eouſque hiſtorias quidem antiquas ſequutus eſt: poſtea vero ſumpta ſibi licentia, ut videretur ſcripſiſſe relata & dicta de Judæis, incredibilia quædam inſeruit, volens permiſcere nobis multitudinem Ægyptiorum lepro-

Manethonis mendacia de Judæis.

q Ταύτας καθ' ἑαυτῶν] Ita ex Codd. Hafn. & El. ταῦτα in Editis Aliiſque.
r Καὶ ἑτέροις] Illud καὶ pro μὲν è MSS.
s Καὶ τὰς πολιτείας] Et Reipubl. formam ac inſtitutum. Spanh.
t Τριπολιτικὸν γράψας] Sic MSS. antea Τριπολιτικόν.
u Διέβαλε,] Ita cum Vet. Interpr. προσέβαλε in Editis & MSS.
x Οὐδαμῶς ἁμαρτάνουσι] Οὐ διαμαρτάνουσι Big.
y Κρίσει,] Ita cum Cod. Big. (quomodo etiam ſcribendum eſſe ad marg. Hafn. eadem vetuſta manu adnotatur) antea erat ἀκροάσει.
z Τῶν] Forte τῶν ἱερῶν ἐν. Spanh.
a Ἱερῶν ὑπεναντιότης] Eo modo cum Vet. Interprete, pro ἡ τούτων ὑπεναντιότης.
b Νῦν Ἰουδαίαν] Illud νῦν è MSS.
c Παρενέβαλεν,] Sic in MS. Hafn. antea erat παρέβαλεν.

* Thebanorum momordit urbem Vet. Interpr.

proſorum & alios ob morbos (ut dicit) ex Ægypto fugere compulſorum. Amenophin enim regem, * falſum nomen, adjiciens, & idcirco tempus ipſius regni definire non auſus, quamvis aliis regibus accurate annos apponeret, huic annectit quaſdam fabulas, oblitus ferme tradidiſſe ſe, quingentis & octodecim annis prius eveniſſe Paſtorum exitum ad Hieroſolyma. Rex enim, quando illi exierunt, fuit Tethmoſis. Et ab hoc tempore regum qui poſtea fuere, anni ſunt trecenti nonaginta tres, uſque ad fratres *nomine* Sethonem & Hermæum; quorum Sethonem quidem Ægyptum, Hermæum vero Danaum denominatum dicit. quem cum Sethon expuliſſet, regnavit annis quinquaginta & novem, & poſt illum filiorum natu major Rampſes annis LXVI. Ante tot igitur annos patres noſtros ex Ægypto egreſſos confeſſus, dein cum Amenophin regem ſuppoſuiſſet, „ hunc ait concupiviſſe Deorum ſpectatorem eſſe, ſicut & Orum quendam priorum regum, & hoc ſuum deſiderium communicaſſe cum filio cujuſdam Papios, cui idem cum eo nomen erat Amenophis, quique de divina viſus eſt participare natura, propter ſapientiam præſcientiamque futurorum. Itaque regi dixiſſe hunc cognominem, quod poſſet videre Deos, ſi regionem univerſam de leproſis hominibus & immundis purgare vellet. Regem gaudio *ex reſponſo* perfuſum omnes corporis aliqua injuria affectos ex Ægypto congregaſſe dicit; & multitudinem creviſſe ad numerum octo myriadum; eoſque ad ſectiones lapidum in partem Nili orientalem miſiſſe, ut in opere exercerentur pariter ac alii Ægyptii eò deſtinati. Fuiſſe autem quoſdam inter eos etiam eruditorum ſacerdotum lepra perfuſos ait. Amenophin vero illum ſapientem divinumque virum ſubveritum eſſe, ne in ſe regemque Dei iram concitaret, ſi illis vis adhiberetur; prætereaque dixiſſe *animo præſagiente*, " nonnullos auxilio venturos pollutis, „ & Ægypto dominaturos tredecim annis. Et ipſum quidem iſta regi dicere non auſum eſſe, omnia vero ſcripta reliquiſſe & ſemet interemiſſe. Qua de cauſa regem anxietate laboraſſe." Deinde ad verbum hoc narravit: „ Cum autem illi ſatis longo tempore in lapicidinis graviter laboraſſent, rex imploratus ut ad requiem & tutamen eorum ſecerneret civitatem, urbem incolis exhauſtam, quæ fuerat Paſtorum, nomine Avarim, eis conceſſit. Eſt autem *hæc* urbs, juxta theologiam antiquam, Tiphonis. Porro illi in eam ingreſſi, atque hunc locum ad res novas moliendas opportunum nacti, ducem ſibimet quendam Heliopolitanorum pontificum Oſarſiphum conſtituere, & huic ſe in omnibus obtemperaturos juraverunt. At ille primam quidem eis legem poſuit, ut neque Deos adorarent, neque ab animalibus ullis, quæ præcipue ſacra apud Ægyptios erant, ſe *penitus* abſtinerent, ſed ut omnia mactarent atque conſumerent: nullique copularentur niſi qui ejuſdem conjurationis eſſet. Cum

λεπρῶν, καὶ ἐπὶ ἄλλοις ἀρρωστήμασιν, ὥς φησι, φυγεῖν ἐκ τῆς Αἰγύπτου καταγνωσθέντων. Ἀμένωφιν γὰρ βασιλέα προσθεὶς, ψευδὲς ὄνομα, καὶ διὰ τοῦτο χρόνον αὐτοῦ τῆς βασιλείας ὁρίσαι μὴ τολμήσας, καί τοι γε ἐπὶ τῶν ἄλλων βασιλέων ἀκριβῶς τὰ ἔτη προστιθεὶς, τούτῳ προσάπτει τινὰς μυθολογίας, ἐπιλαθόμενος σχεδὸν ὅτι πεντακοσίοις ἔτεσι καὶ δεκαοκτὼ πρότερον ἱστόρηκε γενέσθαι τὴν τῶν ποιμένων ἔξοδον εἰς Ἱεροσόλυμα. [d] Τέθμωσις γὰρ ἦν βασιλεὺς ὅτε ἐξῄεσαν. ἀπὸ δὲ τούτου μεταξὺ τῶν βασιλέων κατ' αὐτόν ἐστι τριακόσια ἐνενηκοντατρία ἔτη, μέχρι τῶν δύο ἀδελφῶν Σέθω καὶ Ἑρμαίου, ὧν τὸν μὲν Σέθων Αἴγυπτον, τὸν δὲ [e] Ἑρμαῖον Δαναὸν μετονομασθῆναί φησιν. ὃν ἐκβαλὼν ὁ Σέθως ἐβασίλευσεν ἔτη νθ'. καὶ μετ' αὐτὸν ὁ πρεσβύτερος τῶν υἱῶν αὐτοῦ [f] Ῥάμψης ξϛ'. τοσούτοις οὖν πρότερον ἔτεσιν ἀπελθεῖν ἐξ Αἰγύπτου τοὺς πατέρας ἡμῶν ὡμολογηκὼς, εἶτα τὸν Ἀμένωφιν εἰσποιήσας ἐμβόλιμον βασιλέα, φησὶ „ τοῦτον ἐπιθυμῆσαι θεῶν γενέσθαι θεατὴν, [g] ὥσπερ Ὧρος εἷς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων· ἀνενεγκεῖν δὲ τὴν ἐπιθυμίαν ὁμωνύμῳ μὲν αὐτῷ Ἀμενώφει, πατρὸς δὲ [h] Πάπιός ἐστι, θείας δὲ δοκοῦντι μετεσχηκέναι φύσεως, κατά τε σοφίαν καὶ πρόγνωσιν τῶν ἐσομένων. εἰπεῖν οὖν αὐτῷ τοῦτον τὸν ὁμώνυμον, ὅτι δυνήσεται θεοὺς ἰδεῖν, εἰ καθαρὰν ἀπό τε λεπρῶν καὶ τῶν [i] ἄλλων μιαρῶν ἀνθρώπων τὴν χώραν ἅπασαν ποιήσειεν. ἡσθέντα δὲ τὸν βασιλέα πάντας τοὺς τὰ σώματα λελωβημένους ἐκ τῆς Αἰγύπτου συναγαγεῖν· γενέσθαι δὲ τὸ πλῆθος μυριάδας ὀκτώ· καὶ τούτους εἰς τὰς λιθοτομίας τὰς ἐν τῷ πρὸς ἀνατολὴν μέρει τοῦ Νείλου ἐμβαλεῖν αὐτὸν, ὅπως ἐργάζοιντο καὶ τῶν ἄλλων Αἰγυπτίων οἱ [k] ἐγκεχωρισμένοι. εἶναι δέ τινας ἐν αὐτοῖς καὶ τῶν λογίων ἱερέων φησὶ λέπρᾳ συγκεχυμένους. τὸν δὲ Ἀμένωφιν ἐκεῖνον, τὸν σοφὸν καὶ μαντικὸν ἄνδρα, ὑποδεῖσαι πρός αὐτόν τε καὶ τὸν βασιλέα χόλον τῶν θεῶν, εἰ βιασθέντες ὀφθήσονται." καὶ [l] προσθέμενον εἰπεῖν, „ ὅτι συμμαχήσουσί τινες τοῖς μιαροῖς, καὶ τῆς Αἰγύπτου κρατήσουσιν ἐπ' ἔτη δεκατρία. μὴ τολμῆσαι μὲν αὐτὸν εἰπεῖν ταῦτα τῷ βασιλεῖ, γραφὴν δὲ καταλιπόντα περὶ πάντων ἑαυτὸν ἀνελεῖν. ἐν ἀθυμίᾳ δὲ εἶναι τὸν βασιλέα." κἄπειτα κατὰ λέξιν οὕτω γέγραφεν. „ τῶν δὲ ταῖς λατομίαις ὡς χρόνος ἱκανὸς διῆλθεν ταλαιπωρούντων, ἀξιωθεὶς ὁ βασιλεὺς, ἵνα πρὸς κατάλυσιν αὐτοῖς καὶ σκέπην ἀπομερίσῃ τὴν τότε τῶν ποιμένων ἐρημωθεῖσαν [m] πόλιν, [n] Αὔαριν συνεχώρησεν. ἔστι δ' ἡ πόλις κατὰ τὴν θεολογίαν ἄνωθεν Τυφώνιος. οἱ δὲ εἰς ταύτην εἰσελθόντες, καὶ τὸν τόπον τοῦτον [o] εἰς ἀπόστασιν ἔχοντες, ἡγεμόνα αὐτῶν λεγόμενόν τινα τῶν Ἡλιοπολιτῶν ἱερέων [p] Ὀσάρσιφον ἐστήσαντο. καὶ τούτῳ πειθαρχήσοντες ἐν πᾶσιν ὡρκωμότησαν. ὁ δὲ πρῶτον μὲν αὐτοῖς νόμον ἔθετο, [q] μήτε προσκυνεῖν θεοὺς μήτε τῶν μάλιστα ἐν Αἰγύπτῳ θεμιστευομένων ἱερῶν ζώων ἀπέχεσθαι μηδενὸς, πάντα τε θύειν καὶ ἀναλοῦν· συνάπτεσθαι δὲ μηδενὶ πλὴν τῶν συνομωμοσμένων. τοιαῦτα δὲ

„ νο-

d Τέθμωσις γὰρ ἦν βασιλεὺς ὅτε ἐξῄεσαν.] Idem dicitur Φαραώθης ἀρχ. lib. 2. c. 14. c. 6. Φαραώθης, ὃ ἐν ταύτῃ ὑπὸ ἀφρόνων &c. Conf. infr. lib. 2. §. 2. SPANH.

e Ἑρμαῖον] Ἑρμαῖον *Haſn.*

f Ῥάμψης] Ita ex *MSS.* Ῥάμψης in *Editis.*

g Ὥσπερ Ὧρος] Sic ex *Vet. Interpr.* antea erat ὥσπερ ὢν εἷς τῶν &c.

h Πάπιός ἐστι,] Iterum ex *MSS.* Παάπιος in *Editis.*

i Ἄλλων μιαρῶν ἀνθρώπων] Illud ἄλλων ex *MSS.* ut & mox τὰς poſt λιθοτομίας.

k Ἐγκεχωρισμένοι.] An legendum ἐγκεχειρισμένοις?

l Προσθέμενον εἰπεῖν,] Sic *MS.* antea προθέμενον.

m Πόλιν,] Ita *MSS.* & *Vet. Interpr.* prius deerat πόλιν.

n Αὔαριν] Ἄβαριν *Gen.* quæ urbs fuit Typhonis ſupr. §. 14. SPANH. Αυαριν *Haſn.*

o Εἰς ἀπόστασιν ἔχοντες,] Εἰς ἀποκατάστασιν *Haſn.*

p Ὀσάρσιφον] Ita cum *Vet. Interpr.* Ὀσάρσιφον in *Editis.* Ὀσαρσηφιν *Haſn.*

q Μήτε προσκυνεῖν θεούς,] Illa μήτε προσκυνεῖν θεοὺς adjecta eſſe volui ex *Vet. Interpr.* & *MSS.*

* *Id eſt*, hominem qui non extitit, idcirco falſo inſignitum nomine, quod nullum virum illius temporis regem deſignavit, licet cæteroquin aliis Ægypti regibus recte & vere tributum fuerit.

r Ek-

νομοθετήσας, καὶ πλεῖστα ἄλλα, μάλιστα τοῖς Αἰγυπτίοις [r] ἐθισμοῖς ἐναντιούμενα, ἐκέλευσε πολυχειρίᾳ τὰ τῆς πόλεως ἐπισκευάζειν τείχη, καὶ πρὸς πόλεμον ἑτοίμους γίνεσθαι τὸν πρὸς [s] Ἀμένωφιν τὸν βασιλέα. αὐτὸς δὲ προσλαβόμενος μεθ' ἑαυτοῦ καὶ τῶν ἄλλων ἱερέων καὶ συμμεμιασμένων, ἔπεμψε πρέσβεις [t] πρὸς τοὺς ὑπὸ Τεθμώσεως [u] ἀπελαθέντας ποιμένας, εἰς πόλιν τὴν καλουμένην Ἱεροσόλυμα. καὶ τὰ καθ' ἑαυτὸν καὶ τοὺς ἄλλους τοὺς συνατιμασθέντας δηλώσας, ἠξίου συνεπιστρατεύειν ὁμοθυμαδὸν ἐπ' Αἴγυπτον. [x] ἐπάξειν μὲν οὖν αὐτοὺς ἐπηγγείλατο, πρῶτον μὲν εἰς Αὔαριν τὴν προγονικὴν αὐτῶν πατρίδα, καὶ τὰ ἐπιτήδεια τοῖς ὄχλοις παρέξειν ἀφθόνως, ὑπερμαχήσεσθαι δὲ ὅτε δέοι, καὶ ῥᾳδίως ὑποχείριον αὐτοῖς τὴν χώραν ποιήσειν. οἱ δὲ ὑπερχαρεῖς [y] γενόμενοι πάντες προθύμως εἰς εἴκοσι μυριάδας ἀνδρῶν συνεξώρμησαν, καὶ μετ' οὐ πολὺ ἧκον εἰς Αὔαριν. Ἀμένωφις δ' ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ὡς ἐπύθετο τὰ κατὰ τὴν ἐκείνων ἔφοδον, οὐ μετρίως συνεχύθη, τῆς παρ' Ἀμενώφεως τοῦ Πάπιος μνησθεὶς προδηλώσεως. καὶ πρότερον συναγαγὼν πλῆθος Αἰγυπτίων, καὶ βουλευσάμενος μετὰ τῶν ἐν τούτοις ἡγεμόνων, τά τε ἱερὰ ζῷα τὰ πρῶτα μάλιστα ἐν τοῖς ἱεροῖς τιμώμενα ὡς γ' ἑαυτὸν μετεπέμψατο, καὶ τοῖς κατὰ μέρος ἱερεῦσιν [z] παρήγγελεν, ὡς ἀσφαλέστατα τῶν Θεῶν συγκρύψαι τὰ ξόανα. τὸν δὲ υἱὸν [a] Σέθων τὸν καὶ Ῥαμέσσην ἀπὸ Ῥάμψεως τοῦ πατρὸς ὠνομασμένον, πενταέτη ὄντα, ἐξέθετο πρὸς τὸν ἑαυτοῦ φίλον. αὐτὸς δὲ διαβὰς τοῖς ἄλλοις Αἰγυπτίοις, οὖσιν εἰς τριάκοντα μυριάδας ἀνδρῶν μαχιμωτάτων, καὶ τοῖς πολεμίοις ἀπαντήσασιν οὐ συνέβαλεν· ἀλλὰ μέλλειν θεομαχεῖν νομίσας, παλινδρομήσας ἧκεν εἰς Μέμφιν. ἀναλαβών τε τόν τε Ἆπιν, καὶ τὰ ἄλλα τὰ ἐκεῖσε μεταπεμφθέντα ἱερὰ ζῷα, εὐθὺς εἰς Αἰθιοπίαν σὺν ἅπαντι τῷ στόλῳ καὶ πλήθει τῶν Αἰγυπτίων ἀνήχθη. χάριτι γὰρ ἦν αὐτῷ ὑποχείριος ὁ τῶν Αἰθιόπων βασιλεύς· ὅθεν ὑποδεξάμενος, καὶ τοὺς ὄχλους πάντας ὑπολαβὼν οἷς ἔσχεν ἡ χώρα τῶν πρὸς ἀνθρωπίνην τροφὴν ἐπιτηδείων, [b] καὶ πόλεις καὶ κώμας πρὸς τὴν τῶν πεπρωμένων τρισκαίδεκα ἐτῶν ἀπὸ τῆς ἀρχῆς αὐτοῦ [c] ἔκπτωσιν αὐτάρκεις, οὐχ ἧττον δὲ καὶ στρατόπεδον Αἰθιοπικὸν πρὸς φυλακὴν ἐπέταξε τοῖς παρ' Ἀμενώφεως τοῦ βασιλέως ἐπὶ τῶν ὁρίων τῆς Αἰγύπτου. καὶ τὰ μὲν κατὰ τὴν Αἰθιοπίαν τοιαῦτα. οἱ δὲ Σολυμῖται κατελθόντες, σὺν τοῖς μιαροῖς τῶν Αἰγυπτίων οὕτως ἀνοσίως [d] τοῖς ἀνθρώποις προσηνέχθησαν, ὥστε τὴν τῶν προειρημένων κράτησιν [e] χαρίστην φαίνεσθαι, τοῖς τότε τὰ τούτων ἀσεβήματα θεωμένοις. καὶ γὰρ οὐ μόνον πόλεις καὶ κώμας ἐνέπρησαν, οὐδὲ ἱεροσυλοῦντες, οὐδὲ λυμαινόμενοι ξόανα Θεῶν ἠρκοῦντο, ἀλλὰ καὶ τοῖς αὐτοῖς ὀπτανίοις τῶν σεβαστευομένων ἱερῶν ζῴων χρώμενοι διετέλουν, καὶ θύτας καὶ σφαγεῖς τούτων ἱερεῖς καὶ προφήτας ἠνάγκαζον γίνεσθαι, καὶ γυμνοὺς ἐξέβαλον. λέγεται δ' ὅτι τὴν πολιτείαν καὶ τοὺς νόμους αὐτοῖς καταβαλόμενος ἱερεὺς, τὸ γένος Ἡλιοπολίτης, ὄνομα Ὀσαρσὶφ, ἀπὸ τοῦ ἐν Ἡλιουπόλει Θεοῦ Ὀσίρεως, ὡς μετέβη εἰς τοῦτο τὸ γένος, μετετέθη τοὔνομα καὶ προσηγορεύθη Μωϋσῆς.

autem iſta finxiſſet & alia quamplurima maxime Ægyptiorum moribus adverſantia, multarum manuum opera juſſit ædificare civitatis muros, & ad bellum ſeſe parare adverſus Amenophin regem. Ipſe vero, aſſumptis ſecum etiam aliis ſacerdotibus & pollutorum quibuſdam, miſit legatos ad Paſtores, qui à Tethmoſi depulſi in urbem Hieroſolyma dictam ſe contulerant. Et declaratis iis quæ ſibi aliiſque ignominioſe habitis acciderant, rogavit ut una expeditionem facerent in Ægyptum. & quidem promiſit ſe primum eos ducturum in Avarim avitam ſuam patriam, & neceſſaria ſe copioſe exhibiturum turbæ, propugnaturum autem cum opus foret, & facile regionem ſub poteſtatem eorum redacturum. Illi vero ſupra modum læti, omnes alacriter uſque ad ducenta millia virorum pariter ſunt egreſſi & non multo poſt ad Avarim veniebant. Amenophis autem Ægyptiorum rex, quamprimum illorum invaſionem inaudivit, non mediocriter animum deſpondere cœpit, *præcipue* cum ei in mentem venirent quæ prædixerat Amenophis Papios *filius*. Et primum quidem congregata plebe Ægyptiaca, initoque conſilio cum principibus eorum, & animalia ſacra, maxime illa quæ præcipue in templis colebantur, ad ſe arceſſivit; & ſacerdotibus ſigillatim præcepit ut ſimulachra deorum quam ſecuriſſime occultarent. Filium vero Sethonem, qui etiam Rameſſes à Rampſe patris nomine vocabatur, cum quinque eſſet annorum, tranſportandum curavit ad amicum. Ipſe autem tranſgreſſus cum aliis Ægyptiis ad trecenta millia virorum pugnaciſſimorum, hoſtibus ei obviam factis *prælio* non congreſſus eſt: ſed fore ratus, ut contra Deum pugnaret, retrorſum reverſus Memphim petebat: aſſumptoque Api & aliis animalibus ſacris, quæ ad ſe accerſiverat, mox in Æthiopiam cum univerſis navibus & Ægyptiorum multitudine ſe tranſtulit. Beneficiis enim ipſi obſtrictus erat Æthiopum rex: unde cum eum ſuſcepiſſet, populumque univerſum omnibus iſtius regionis ad hominum victum neceſſariis excepiſſet, & urbes & vicos, qui ad fatale illud tredecim annorum exſilium ſufficerent, tribui juſſit, ut & exercitum Æthiopicum, qui in cuſtodiam Amenopheos ſuorumque excubias ageret ad fines Ægypti. Et in Æthiopia quidem hæc geſta ſunt. Solymitæ vero, ubi deſcenderant, cum pollutis Ægyptiorum, male adeo homines tractarunt, ut eorum victoria peſſima illis videretur, qui tunc eorum impietates inſpiciebant. Etenim non ſolum urbes & vicos incenderunt: neque ſacrilegia committere, aut Deorum ſimulachra vaſtare ſatis habebant; [f] ſed iiſdem etiam continuo utebantur ad aſſandas carnes animalium ſacrorum quæ cultu divino afficiebantur, hiſque mactandis jugulandiſque ſacerdoteſque & vates adhiberi coëgerunt, nudoſque ejecerunt. Dicitur autem quod reipublicæ conditor erat legumque lator, ſacerdos, genere Heliopolitanus, nomine Oſarſiph, ex Oſiride Deo, quem colit urbs Heliopolis, denominatus, cum ad hoc *hominum* genus tranſiſſet, nomen mutavit, & vocatus erat Moyſes.

27. Et

r Ἐθισμοῖς ἐναντιούμενα,] Sic MSS. θεσμοῖς in Editis.
s Ἀμένωφιν τὸν βασιλέα.] Ita Vet. Interpr. Μένωφιν in Græcis.
t Πρὸς τοὺς ὑπὸ Τεθμώσεως] Illud πρὸς è MSS.
u Ἀπελαθέντας ποιμένας,] Sic MSS. ἀπελθόντας in Editis.
x Ἐπάξειν] Ἀπάξειν malit Cl. Lowthius.
y Γενόμενοι πάντες] Antea diſtinctum erat, γενόμενοι πάντες προθύμως &c.
z Παρήγγελεν,] Παρήγγελλεν Big.

a Σέθων] Σέθω Big.
b Καὶ πόλεις καὶ κώμας] Παρασχὼν aut ſimile vocabulum poſt πόλεις excidiſſe ſuſpicor.
c Ἔκπτωσιν αὐτάρκεις,] Εἰς τὴν ἔκπτωσιν in MSS.
d Τοῖς ἀνθρώποις προσηνέχθησαν,] Καὶ τοῖς ἀνθρ. Hafn.
e Χαρίστην φαίνεσθαι,] Ita cum Cl. Lowthio ex Vet. interpr. antea erat χρυσὸν φαίνεσθαι, nullo plane ſenſu.

f Ὥστε

27. Et quæ quidem Ægyptii de Judæis ferunt, ejuſmodi ſunt cum aliis multis, quæ brevitatis ergo prætereo. Iterum autem dicit Manethos „ quod poſtea Amenophis ex Æthiopia re„ greſſus eſt cum magna militum manu, & fi„ lius ejus Rampſes itidem cum exercitu; quód„ que hi duo congreſſi cum Paſtoribus atque „ pollutis eos ſuperarint; & multis cæſis perſe„ quuti ſint eos uſque ad Syriæ fines." Hæc quidem & ejuſcemodi alia ſcripſit Manetho. Illum autem nugari & manifeſte mentiri oſtendam, facta prius diſtinctione illorum gratia quæ mox contra illum proferam. Is quippe conceſſit nobis atque agnovit, iſtos origine nequaquam Ægyptios eſſe, ſed ipſos aliunde adveniſſe & Ægyptum occupaſſe, & inde rurſus egreſſos eſſe. Quod vero nobis poſtea non permixti fuerint Ægyptii morbidi, quódque ex illis non fuerit Moyſes populi ductor, ſed multis eos ætatibus præceſſerit, ex illius dictis iſta probare *pro virili* conabor.

Elegans Joſephi diſputatio, qua ſuperiora mendacia elenchi.

28. Primum itaque figmenti cauſam poſuit ridiculam. „ Rex enim, inquit, Amenophis videre „ Deos deſideravit." Quos *putas?* ſiquidem legibus apud eos receptos, Bovem, & Hircum, & Crocodilos, & Cynocephalos, videbat. Cœleſtes autem quomodo poterat? & cur hoc habuit deſiderium? quia utique & prior rex alter hos viderat. Ab illo ergo audierat, quales eſſent, & quemadmodum eos vidiſſet: adeo ut nova nequaquam egeret arte. Sed forſan *dicatur* ſapientem exſtitiſſe vatem illum, per quem hæc rex poſſe agere confidebat. Quod ſi ita fuiſſet, quomodo non præſcivit, fieri id non poſſe cujus deſiderio tenebatur? non enim evenit *quod voluit*. Proinde quid cauſæ fuerit quod propter mutilos aut leproſos oculorum ejus obtutum effugerent dii? Iraſcuntur enim propter flagitia, non propter corpora mutilata & debilitata. Deinde qui fieri potuit, ut octo myriadas leproſorum & male ſe habentium uno propemodum die congregaret? aut quomodo rex vati dicto audire non recuſavit? Nam hic quidem præcepit corpore debilitatos Ægypti finibus pelli: ille vero eos in latumias conjiciendos curavit, tanquam operariis egeret, non autem regionem purgare vellet. Dicit etiam, „ quod vates ſibimet „ mortem conſciverit, ut qui Deorum iram præ„ videret, & ea quæ Ægypto eventura eſſent „ mala; quodque prædictionem regi in ſcriptis re„ liquerit? Proinde quomodo ab initio vates ſuum interitum non præſcivit? quomodo non è veſtigio regi contradixit volenti videre Deos? quomodo autem juſtus ille metus calamitatum non ſui temporis? aut quid gravius paſſurus eſſet, ut ſeipſum interimere feſtinaret? Quod vero omnium ſtultiſſimum *jam* videamus. Cum enim iſta audiviſſet & de futuris jam metuiſſet, debiles illos quibus Ægyptum ex prædictione purgare debuerat, neque tunc de regione pepulit; ſed „ rogantibus eis, ſicut ait, civitatem de„ dit, dudum à Paſtoribus habitatam, quæ vo„ cabatur Avaris. Ad quam congregati princi„ pem, inquit, delegére ex ſacerdotibus olim „ Heliopolitanis. atque hunc apud illos intro„ duxiſſe, ut neque Deos adorarent, neque ab „ animalibus abſtinerent quæ in Ægypto cultu

κζ'. Ἃ μὲν οὖν Αἰγύπτιοι φέρουσι περὶ τῶν Ἰουδαίων ταῦτ' ἐστὶ καὶ ἕτερα πλείονα, ἃ [i] παρίημι συντομίας ἕνεκα. λέγει δὲ ὁ Μανεθὼν πάλιν, ὅτι μετὰ ταῦτα ἐπῆλ„ θεν ὁ Ἀμένωφις ἀπὸ Αἰθιοπίας μετὰ μεγάλης δυνά„ μεως, καὶ ὁ υἱὸς αὐτοῦ Ῥάμψης καὶ αὐτὸς ἔχων δύνα„ μιν καὶ συμβαλόντες οἱ δύο [g] τοῖς ποιμέσι καὶ τοῖς „ μιαροῖς, ἐνίκησαν αὐτοὺς, καὶ πολλοὺς ἀποκτείναντες „ ἐδίωξαν αὐτοὺς ἄχρι τῶν ὁρίων τῆς Συρίας." ταῦτα μὲν καὶ τὰ τοιαῦτα Μανεθὼν συνέγραψεν. ὅτι δὲ ληρεῖ καὶ ψεύδεται περιφανῶς, ἐπιδείξω, προδιαστειλάμενος ἐκεῖνο [h] τῶν ὕστερον [i] πρὸς αὐτὸν λεχθησομένων ἕνεκα. δέδωκε γὰρ οὗτος ἡμῖν καὶ ὡμολόγηκεν, ἐξ ἀρχῆς τε μὴ εἶναι τὸ γένος Αἰγυπτίους, ἀλλ' αὐτοὺς ἔξωθεν ἐπελθόντας κρατῆσαι τῆς Αἰγύπτου, καὶ πάλιν ἐξ αὐτῆς ἀπελθεῖν. ὅτι δ' οὐκ ἀνεμίχθησαν ἡμῖν ὕστερον τῶν Αἰγυπτίων οἱ τὰ σώματα λελωβημένοι, καὶ ὅτι ἐκ τούτων οὐκ ἦν Μωϋσῆς ὁ τὸν λαὸν ἀγαγὼν, ἀλλὰ πολλαῖς ἐγεγόνει γενεαῖς πρότερον, ταῦτα πειράσομαι διὰ τῶν ὑπ' αὐτοῦ λεγομένων ἐλέγχειν.

κη'. Πρώτην δὴ τὴν αἰτίαν τοῦ πλάσματος ὑπόκειται καταγέλαστον. „ ὁ βασιλεὺς γὰρ, φησὶν, Ἀμένωφις „ ἐπεθύμησε τοὺς θεοὺς ἰδεῖν." ποίους; εἰ μὲν τοὺς παρ' αὐτοῖς νενομοθετημένους, τὸν βοῦν, καὶ τράγον, καὶ κροκοδείλους, καὶ κυνοκεφάλους, ἑώρα. τοὺς οὐρανίους δὲ πῶς ἐδύνατο; καὶ διατί ταύτην ἔσχε τὴν ἐπιθυμίαν; ὅτι νὴ Δία καὶ πρότερος αὐτοῦ βασιλεὺς ἄλλος ἑωράκει. παρ' ἐκείνου τοίνυν ἐπέπυστο ποταποί τινές εἰσι, καὶ τίνα τρόπον αὐτοὺς εἶδεν. ὥς τε καινῆς αὐτῷ τέχνης οὐκ ἔδει. ἀλλὰ σοφὸς ἦν ὁ μάντις, δι' οὗ τοῦτο κατορθώσειν ὁ βασιλεὺς ὑπελάμβανε. καὶ πῶς οὐ προέγνω τὸ ἀδύνατον αὐτοῦ τῆς ἐπιθυμίας; οὐ γὰρ ἀπέβη. τίνα δὲ καὶ λόγον εἶχε διὰ τοὺς ἠκρωτηριασμένους ἢ λεπρῶντας ἀφανεῖς εἶναι τοὺς θεούς; ὀργίζονται γὰρ ἐπὶ τοῖς ἀσεβήμασιν, οὐκ ἐπὶ τοῖς ἐλαττώμασι τῶν σωμάτων. ὀκτὼ δὲ μυριάδας τῶν λεπρῶν καὶ κακῶς διακειμένων, πῶς οἷόν τε μιᾷ σχεδὸν ἡμέρᾳ συλλεγῆναι; πῶς δὲ παρήκουσε τοῦ μάντεως ὁ βασιλεύς; ὁ μὲν γὰρ αὐτὸν ἐκέλευσεν ἐξορίσαι τῆς Αἰγύπτου τοὺς λελωβημένους. ὁ δ' αὐτοὺς εἰς τὰς λιθοτομίας ἐνέβαλεν, ὥσπερ τῶν ἐργαζομένων δεόμενος, ἀλλ' οὐχὶ καθᾶραι τὴν χώραν προαιρούμενος. φησὶ δὲ, „ τὸν μὲν μάντιν αὑτὸν ἀνε„ λεῖν, τὴν ὀργὴν τῶν θεῶν [k] προορώμενον, καὶ τὰ συμ„ βησόμενα περὶ τὴν Αἴγυπτον, τῷ δὲ βασιλεῖ γε„ γραμμένην τὴν [l] πρόρρησιν καταλιπεῖν." εἶτα πῶς οὐκ ἐξ ἀρχῆς ὁ μάντις τὸν αὐτοῦ θάνατον προηπίστατο; πῶς δὲ οὐκ εὐθὺς ἀντεῖπε τῷ βασιλεῖ βουλομένῳ τοὺς θεοὺς ἰδεῖν; πῶς δ' εὔλογος ὁ φόβος τῶν μὴ παρ' αὐτὸν συμβησομένων κακῶν; ἢ τί χεῖρον ἔδει παθεῖν, [m] διὸ ἀπελῶ ἑαυτὸν ἔσπευδεν; τὸ δὲ δὴ πάντων εὐηθέστατον ἴδωμεν. πυθόμενος γὰρ ταῦτα, καὶ περὶ τῶν μελλόντων φοβηθεὶς τοὺς λελωβημένους ἐκείνους, ὧν αὐτῷ καθαρεῦσαι προείρητο τὴν Αἴγυπτον, οὐδὲ τότε τῆς χώρας ἐξήλασεν ἀλλὰ „ δεηθεῖσιν [n] αὐτοῖς ἔδωκε πόλιν, ὥς φησι, τὴν „ πάλαι μὲν [o] οἰκηθεῖσαν ὑπὸ τῶν Ποιμένων, Αὔαριν „ δὲ καλουμένην. εἰς ἣν ἀθροισθέντας αὐτοὺς ἡγεμόνα „ φησὶν ἐξελέσθαι τῶν ἐξ Ἡλιουπόλεως πάλαι γεγο„ νότων ἱερέων. καὶ τοῦτον, αὐτοῖς εἰσηγήσασθαι, μήτε „ θεοὺς προσκυνεῖν, μήτε τῶν ἐν Αἰγύπτῳ θρη-

„ σκευ-

f Ποιμέσι] παρ' ἡμῶν Hafn.
g Τοῖς ποιμέσι καὶ τοῖς μιαροῖς,] Illa τοῖς ποιμέσι καὶ debemus MSS. & Vet. Interpreti.
h Τὸν ὕστερον] Sic MSS. τὸν ὕστερον in Editis.
i Πρὸς αὐτὸν λεχθησομένων ἕνεκα.] Πρὸς ἀλλήλους in MSS.
k Προεωρακέναι,] προεωρακότα Hafn.
l Πρόρρησιν] πρόρρησιν Hafn.

m Διὸ ἀπελῶ ἑαυτὸν ἔσπευδεν;] Ita in ora Exemplaris cujuſdam Joſephi. in textu erat οὐδ' ἂν ἑαυτὸν ἔσπευδεν. Aliquid dee… viderat Cl. Lowthius, atque locum in hunc modum refingendum eſſe conjecit, ἂν μὴ ἑαυτὸν ἀπάγειν ἔσπευδεν.
n Αὐτοῖς ἔδωκε πόλιν] Sic è Cod. Big. αὐτοὺς in Impreſſis.
o Οἰκηθεῖσαν ὑπὸ τῶν Ποιμένων,] Iterum cum Cod. Big. & Hafn. οἰκισθεῖσαν in cæteris.

p Ἐκεῖ-

„ σεβομένων ζῴων ἀπέχεσθαι, πάντα δὲ θύειν καὶ κατεσθίειν, [p] συνάπτεσθαι δὲ μηδενὶ πλὴν τῶν συνομωμοσμένων. ὅρκοις τε τὸ πλῆθος ἐνδησάμενον, ἦ μὴν τούτοις ἐμμενεῖν τοῖς νόμοις, καὶ τειχίσαντα τὴν Αὔαριν πρὸς τὸν βασιλέα πόλεμον ἐξενεγκεῖν." καὶ προστίθησιν, „ ὅτι ἔπεμψεν εἰς Ἱεροσόλυμα, παρακαλῶν ἐκείνους [q] αὐτοῖς συμμαχεῖν, καὶ δώσειν αὐτοῖς τὴν Αὔαριν ὑπισχνούμενος. εἶναι γὰρ αὐτὴν τοῖς ἐκ τῶν Ἱεροσολύμων ἀφιξομένοις προγονικήν. ἀφ' ἧς ὁρμωμένους [r] αὐτοὺς πᾶσαν τὴν Αἴγυπτον καθέξειν." εἶτα, „ τοὺς μὲν ἐπελθεῖν εἴκοσι στρατοῦ μυριάσι, λέγει τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων Ἀμένωφιν, οὐκ οἰόμενον δεῖν θεομαχεῖν, εἰς τὴν Αἰθιοπίαν εὐθὺς ἀποδρᾶναι, τὸν δὲ Ἆπιν καί τινα τῶν ἄλλων ἱερῶν ζῴων παρακατατεθεικέναι τοῖς ἱερεῦσι, διαφυλάττεσθαι κελεύσαντα. εἶτα, „ τοὺς Ἱεροσολυμίτας ἐπελθόντας, τάς τε πόλεις ἀνιστάναι, καὶ τὰ ἱερὰ κατακαίειν, καὶ τοὺς ἱππέας ἀποσφάττειν, ὅλως τε μηδεμιᾶς ἀπέχεσθαι παρανομίας μηδὲ ὠμότητος. ὁ δὲ τὴν πολιτείαν καὶ τοὺς νόμους αὐτοῖς καταβαλόμενος ἱερεύς, φησίν, ἦν τὸ γένος Ἡλιοπολίτης, ὄνομα δ' [s] Ὀσαρσὶφ, ἀπὸ τοῦ ἐν Ἡλιουπόλει Θεοῦ [t] Ὀσίρεως· μεταθέμενος δὲ Μωϋσῆν αὐτὸν προσηγόρευσεν. τρισκαιδεκάτῳ δέ, φησίν, ἔτει τὸν Ἀμένωφιν, τοσοῦτον γὰρ αὐτῷ [v] χρόνον εἶναι τὸν ἐκ τῆς βασιλείας πεπρωμένον, ἐξ Αἰθιοπίας ἐπελθόντα μετὰ πολλῆς στρατιᾶς, καὶ συμβαλόντα τοῖς ποιμέσι καὶ τοῖς μιαροῖς, νικῆσαί τε τῇ μάχῃ, καὶ κτεῖναι πολλοὺς ἐπιδιώξαντα μέχρι τῶν τῆς Συρίας ὁρίων."

κθ'. Ἐν τούτοις πάλιν οὐ συνίησιν ἀπιθάνως ψευδόμενος. οἱ γὰρ λεπροὶ καὶ τὸ μετ' αὐτῶν πλῆθος, εἰ καὶ πρότερον ὠργίζοντο τῷ βασιλεῖ, καὶ τοῖς τὰ περὶ αὐτοὺς πεποιηκόσι, κατά τε τὴν τοῦ μάντεως προαγόρευσιν, ἀλλ' ὅτε τῶν λιθοτομιῶν ἐξῆλθον, καὶ πόλιν παρ' αὐτοῦ καὶ χώραν ἔλαβον, [x] πάντως ἂν ἐγεγόνεισαν πρᾳότεροι πρὸς αὐτόν. εἰ δὲ δὴ κἀκεῖνον ἐμίσουν, ἰδίᾳ μὲν ἂν [y] αὐτῷ ἐπεβούλευον, οὐκ ἂν δὲ πρὸς ἅπαντας ἤραντο πόλεμον, δηλονότι πλείστας ἔχοντες συγγενείας, τοσοῦτοί γε τὸ πλῆθος ὄντες. ὅμως δὲ καὶ τοῖς ἀνθρώποις πολεμεῖν διεγνωκότες, οὐκ ἂν εἰς τοὺς αὐτῶν θεοὺς πολεμεῖν ἐτόλμησαν, οὐδ' ὑπεναντιωτάτους ἔθεντο νόμους τοῖς πατρίοις αὐτῶν καὶ οἷς ἐνετράφησαν. δεῖ δ' ἡμᾶς τῷ Μανέθωνι χάριν ἔχειν, ὅτι ταύτης τῆς παρανομίας οὐχὶ τοὺς ἐξ Ἱεροσολύμων ἐλθόντας ἀρχηγοὺς γενέσθαι φησίν, ἀλλ' αὐτοὺς ἐκείνους ὄντας Αἰγυπτίους, καὶ τούτων μάλιστα τοὺς ἱερέας ἐπινοῆσαί τε ταῦτα καὶ ὁρκωμοτῆσαι τὸ πλῆθος. ἐκεῖνο [z] μέντοι πῶς οὐκ ἄλογον; τῶν μὲν οἰκείων αὐτοῖς καὶ τῶν φίλων συναποστῆναι οὐδένα, μηδὲ τοῦ πολέμου τὸν κίνδυνον συνάρασθαι, πέμψαι δὲ τοὺς μιαροὺς εἰς Ἱεροσόλυμα, καὶ τὴν παρ' ἐκείνων ἐπάγεσθαι συμμαχίαν. ποίας αὐτοῖς φιλίας, ἢ τίνος αὐτοῖς οἰκειότητος προϋπηργμένης; τοὐναντίον γὰρ ἦσαν πολέμιοι, καὶ τοῖς ἔθεσι πλεῖστον διέφερον. ὁ δέ φησιν εὐθὺς ὑπακοῦσαι τοῖς ὑπισχνουμένοις, ὅτι τὴν Αἴγυπτον καθέξουσιν, ὥσπερ αὐτῶν οὐ σφόδρα τῆς χώρας ἐμπείρως ἐχόντων, ἐξ ἧς βιασθέντες ἐκπεπτώκασιν. εἰ μὲν οὖν ἀπόρως ἢ κακῶς ἔπραττον, ἴσως ἂν καὶ [a] παρεβάλλοντο. πόλιν δὲ κατοικοῦντες εὐδαίμονα, καὶ χώραν πολλὴν κρείττω τῆς Αἰγύπτου καρπούμενοι, διατί ποτ' ἂν ἐχθροῖς μὲν πάλαι, τὰ δὲ σώματα λελωβημένοις, οὓς μηδὲ τῶν οἰκείων οὐδεὶς

„ divino afficiebantur, ſed omnia mactarent atque conſumerent, & nemini niſi ejuſdem conjurationis connubio jungerentur; fideque jurejurando data eos divinxiſſe ad perſeverandum in iſtis legibus; cumque Avarin muniviſſet, regi bellum intuliſſe." Deinde adjicit, „ quod Hieroſolyma miſit, incolas obſecrans ut ſeſe illis adjungerent, promittenſque ſe illis daturum eſſe Avarin, avitam ſcilicet Hieroſolymis exire volentibus patriam. unde facto impetu poſſe illos Ægyptum omnem in ſuam poteſtatem redigere. Mox ſubjungit, „ illos quidem eò veniſſe cum ducentis armatorum millibus, regem vero Ægyptiorum Amenophin, ut qui putaret cum Deo non pugnandum eſſe, ſtatim in Æthiopiam ſe fuga recepiſſe, & Apim cum aliis ſacris animalibus apud ſacerdotes depoſuiſſe, ea ſervare juſſos." Dein, „ Hieroſolymitas, poſtquam veniſſent, urbes evertiſſe & templa concremaſſe & equites peremiſſe, *refert*, & omnino nulla iniquitate aut crudelitate abſtinuiſſe. Qui vero reip. formam & leges eis poſuit, erat, inquit, genere Heliopolites, nomine Oſarſiph, ab Oſiri Heliopolitano Deo denominatus; qui cum nomen ſibi mutaſſet Moyſen ſe appellavit. Amenophin vero dicit anno tertiodecimo (tantum enim temporis quo regno pelleretur ei fatis decretum erat) ex Æthiopia profectum cum magnis copiis, congreſſumque cum Paſtoribus & pollutis, & prælio eos ſuperaſſe & multos interfeciſſe, ad fines uſque Syriæ *eos* perſequutum.

29. In his iterum non intellexit ſine veriſimilitudine ſe mentiri. Leproſi namque & multitudo quæ cum illis erat, licet prius iraſcerentur regi, illiſque qui eos male adeo tractarunt, etiam juxta prædictionem vatis: tamen cum latomiis exiiſſent, & urbem ab ipſo & provinciam accepiſſent, omnes in eum *procul dubio* mitiores evaſiſſent. Quod ſi & ipſum odio habuiſſent, ſeorſum ei inſidiari potuiſſent, & non omnibus bellum inferre; cum ſcilicet totidem numero plurimas illic cognationes habere poſſent. Proinde etiam ſi contra homines pugnare decreverint; non erat ut auderent contra Deos illorum pugnare, & leges patriis eorum & quibus educti erat *&* *aſſueti* contrarias ferre. Oportet itaque nos Manethoni gratias agere, quod hujus iniquitatis principes exſtitiſſe dicat, non eos qui Hieroſolymis egreſſi ſunt, ſed illos ipſos utpote Ægyptios, & ex illis maxime ſacerdotes & iſta excogitaſſe & multitudinem ad jurandum adegiſſe. Illud autem quomodo rationi non abſonum? Familiarium quidem & amicorum nemo à rep. defecit, neque periculorum belli particeps factus eſt: ſed miſere pollutos Hieroſolyma, ut inde auxilia adducerent. quanam amicitia aut familiaritate intercedente? nam è contra hoſtes erant, & moribus plurimum differebant. Illi vero, *ut* dicit, ſine mora eis obſequuti ſunt, pollicitationibus *ſcilicet* inducti, quod Ægyptum occupaturi eſſent; quaſi ipſi non admodum ejus regionis gnari, ex qua per vim pulſi fuerant. qui ſi tum miſeram aut egenam vitam egiſſent, forſan periculum adiiſſent. Cum autem urbem habitarent beatam, & regione *ſatis* ampla Ægypto meliori fruerentur, quid tandem erat, cur ob veteres hoſtes, eoſque corporibus morbidos, quos nemo è ſuis libenter ſuſti-

Manetho nulla nititur veriſimilitudine.

p Συνάπτεσθαι] συναποθάπτεσθαι *Hafn.*
q Αὐτοῖς] αὐτῆς *Hafn.*
r Αὐτοὺς] αὐτοῦς *Hafn.*
s Ὀσαρσὶφ.] Αρσιφ *Hafn.*
t Ὀσίρεως] Perperam Ὀρίσεως in *Ed. Gen.*
v Χρόνον εἶναι] Sic *MSS.* antea erat χρόν.

x Πάντως ἂν ἐγεγόνεισαν] Πάντες in aliquot *MSS.*
y Αὐτῷ] ὡς ἀνθρώπῳ habet *Hafn.*
z Μέντοι] μὲν *Hafn.*
a Παρεβάλλοντο.] Hinc *Parabolanus.* Vide *Huetium* in *Demonſt. Evangelica*, Prop. III. §. 20. Conf. Antt. lib. 2. c. 6. §. 8 Spanh.

b Του-

ſuſtinet, illis ut opem ferant diſcrimen adituri eſſent: neque enim futuram regis fugam præſciebant. nam ipſe è contra dixit, „ filium Amenophios cum trecentis millibus ad Peluſium occurriſſe:" id quod omnino cognitum erat univerſis qui advenerant. Mutationem vero propoſiti & fugam ejus unde conjectare poterant? Deinde, „ occupatis horreis Ægypti, multa mala feciſſe ait exercitum Hieroſolymitanum." atque hæc eis exprobrat, quaſi non hoſtes eis induxiſſet, aut quaſi hæc ſint aliunde accito militi objicienda, cum eadem ante adventum eorum feciſſent, facturoſque ſe juraſſent qui genere erant Ægyptii. Quinetiam, „ aliquanto poſt Amenophin, *ait*, hoſtes aggreſſum prælio ſuperaſſe, ſuſoſque ac fugatos Syriam uſque perſequutum eſſe." Adeo ſcilicet Ægyptus eſt omnibus undecunque eam invadentibus captu facilis; & qui tunc ea jure belli potiebantur, cum ſcirent Amenophin vivere, neque aditus ex Æthiopia communiverant, cum ad hoc bene parati inſtructique eſſent; neque de aliis copiis comparandis cogitaverant. „ Ille vero etiam Syriam uſque trucidans eos (*ut* ait) perſequutus eſt per arenoſa & inaquoſa loca." Scilicet cum haud facile eſſet exercitui etiam abſque pugna ea pertranſire.

30. Jam quidem juxta Manethonem, neque ex Ægypto genus noſtrum oriundum, neque inde aliqui admixti ſunt. Leproſorum enim & morbidorum multos quidem in lapidicinis periiſſe veriſimile eſt, qui longo tempore illic fuerint & duriter tractati; multos vero in pugnis quas poſtea iniverunt, plurimoſque in poſtrema & in fuga.

Vana de Moyſe finxit Manetho.

31. Reliquum mihi ut de Moyſe illi contradicam. Hunc virum mirandum quidem Ægyptii & divinum exiſtimant: volunt autem eum ſibimet vindicare cum obtrectatione incredibili; dicentes Heliopoliten eſſe, unum è ſacerdotibus iſtius loci, ob lepram cum aliis pulſum. Oſtenditur autem ex hiſtoriis eum LXVIII. annis priorem exſtitiſſe, & patres noſtros ex Ægypto in regionem quam nunc tenemus eduxiſſe. Quod vero nulla ejuſmodi calamitas in corpus ejus inciderit, manifeſtum eſt ex iis quæ ab ipſo dicebantur. Lepra contracta vetuit aut in urbe aut in vico habitare, ſed ſolos ambulare voluit, & quidem conſciſſis veſtibus. Et, qui eos tetigerit, aut eodem uſus fuerit tecto, eum cenſet impurum. Præterea ſi ſanetur morbus, & corpus ad ſuam naturam redeat, imperat purificationes quaſdam per ablutiones in fontanis aquis & per abraſiones omnium pilorum: multiſque & multiplicibus ſacris peractis tum demum eis permittit redire ad ſacram urbem. Quanquam è contra par erat, ut qui talem calamitatem expertus eſſet, provida quadam cura & humanitate uteretur erga eos, quibus accideret malo ejuſmodi conflictari. Non ſolum autem de leproſis ad hunc modum leges tulit, ſed ne minima quidem corporis parte mutilatos ad ſacrorum curam admiſit. Verum etſi quis ſacris admotus in talem calamitatem incideret, honore eum privari juſſit. Quomodo igitur veriſimile eſt illum has adverſus ſemetipſum

[b] ὑπομένειν, τούτοις ἔμελλον παρακινδυνεύσειν βοηθοῦντες. οὐ γὰρ δή γε τὸν γενησόμενον προῄδεσαν δρασμὸν τοῦ βασιλέως. τοὐναντίον γὰρ αὐτὸς εἴρηκεν, „ ὡς ὁ παῖς τοῦ Ἀμενώφιος τριάκοντα μυριάδας ἔχων, εἰς Πηλούσιον ὑπηντίαζεν." καὶ τοῦτο μὲν ᾔδεσαν πάντως οἱ παραγινόμενοι, τὸ δὲ μετανοήσειν αὐτὸν καὶ τὴν φυγὴν πόθεν εἰκάζειν ἔμελλον; „ [c] τὰ σιτία κρατήσαντας, φησὶ, τῆς Αἰγύπτου πολλὰ καὶ δεινὰ δρᾶν τοὺς ἐκ τῶν Ἱεροσολύμων ἐπιστρατεύσαντας." καὶ περὶ τούτων ὀνειδίζει, καθάπερ οὐ πολεμίους αὐτοὺς ἐπαγαγὼν, ἢ δέον τοῖς ἔξωθεν ἐπικληθεῖσιν ἐγκαλεῖν, ὁπότε ταῦτα πρὸ τῆς ἐκείνων ἀφίξεως ἔπραττον, καὶ πράξειν ὀμωμόκεσαν, [d] οἱ τὸ γένος Αἰγύπτιοι. ἀλλὰ καὶ „ χρόνοις ὕστερον Ἀμένωφις ἐπελθὼν ἐνίκησε μάχῃ, καὶ κτείνων τοὺς πολεμίους μέχρι τῆς Συρίας ἤλασεν." οὕτω γὰρ παντάπασίν ἐστιν ἡ Αἴγυπτος τοῖς ὁποθενδηποτοῦν ἐπιοῦσιν εὐάλωτος· καὶ οἱ τότε πολέμῳ κρατοῦντες αὐτὴν, ζῆν πυνθανόμενοι τὸν Ἀμένωφιν, οὔτε τὰς ἐκ τῆς Αἰθιοπίας ἐμβολὰς ὠχύρωσαν, πολλὴν εἰς τοῦτο παρασκευὴν ἔχοντες, οὔτε τὴν ἄλλην ἡτοίμασαν δύναμιν. „ ὁ δὲ καὶ μέχρι τῆς Συρίας ἀναιρῶν, φησὶν, αὐτοὺς ἠκολούθησε διὰ τῆς ψάμμου τῆς ἀνύδρου." [e] δηλονότι οὐ ῥᾴδιον οὐδ' ἀμαχεὶ στρατοπέδῳ διελθεῖν.

λ'. Κατὰ μὲν οὖν τὸν Μανεθῶνα, οὔτε ἐκ τῆς Αἰγύπτου τὸ γένος ἡμῶν ἐστιν, οὔτε τῶν ἐκεῖθέν τινες ἀνεμίχθησαν. τῶν γὰρ λεπρῶν καὶ νοσούντων πολλοὺς μὲν εἰκὸς ἐν ταῖς λιθοτομίαις ἀποθανεῖν, πολὺν χρόνον ἐκεῖ γενομένους καὶ κακοπαθήσαντας· πολλοὺς δ' ἐν ταῖς μετὰ ταῦτα μάχαις, πλείστους δ' ἐν τῇ τελευταίᾳ καὶ τῇ φυγῇ.

λα'. Λοιπόν μοι πρὸς αὐτὸν εἰπεῖν περὶ Μωϋσέως. τοῦτον δὲ τὸν ἄνδρα θαυμαστὸν μὲν Αἰγύπτιοι καὶ θεῖον νομίζουσι, βούλονται δὲ προσποιεῖν αὐτοῖς μετὰ βλασφημίας ἀπιθάνου, λέγοντες Ἡλιοπολίτην εἶναι τῶν ἐκεῖθεν ἱερέων ἕνα, διὰ τὴν λέπραν συνεξεληλασμένον. δείκνυται δ' ἐν ταῖς ἀναγραφαῖς, ὀκτωκαίδεκα σὺν τοῖς πεντακοσίοις πρότερον ἔτεσι γεγονὼς, καὶ τοὺς ἡμετέρους ἐξαγαγὼν ἐκ τῆς Αἰγύπτου πατέρας εἰς τὴν χώραν τὴν νῦν οἰκουμένην ὑφ' ἡμῶν. ὅτι δὲ οὐδὲ συμφορᾷ τινι τοιαύτῃ περὶ τὸ σῶμα κεχρημένος ἦν, ἐκ τῶν λεγομένων ὑπ' αὐτοῦ δῆλός ἐστι. τοῖς γὰρ λεπρῶσιν ἀπείρηκε, μήτε μένειν ἐν πόλει, μήτ' ἐν κώμῃ κατοικεῖν, ἀλλὰ μόνους περιπατεῖν κατεσχισμένους τὰ ἱμάτια. καὶ τὸν ἁψάμενον αὐτῶν ἢ [f] ὁμόροφον γενόμενον, οὐ καθαρὸν ἡγεῖται. καὶ μὴν κἂν θεραπευθῇ τὸ νόσημα, καὶ τὴν αὐτοῦ φύσιν ἀπολάβῃ, προείρηκέ τινας ἁγνείας, καθαρμοὺς πηγαίων ὑδάτων λουτροῖς, καὶ [g] ξυρήσεις πάσης τριχὸς, [h] πολλάς τε κελεύει καὶ παντοίας ἐπιτελέσαντα θυσίας τότε παρελθεῖν εἰς τὴν ἱερὰν πόλιν. [i] καίτοι τοὐναντίον εἰκὸς ἦν προνοίᾳ τινὶ καὶ φιλανθρωπίᾳ χρήσασθαι, τὸν ἐν τῇ συμφορᾷ ταύτῃ γεγονότα, πρὸς τοὺς [k] ὁμοίως αὐτῷ δυστυχήσαντας. οὐ μόνον δὲ περὶ τῶν λεπρῶν οὕτως ἐνομοθέτησεν, ἀλλ' οὐδὲ τοῖς καὶ τὸ βραχύτατόν τι τοῦ σώματος ἠκρωτηριασμένοις ἱερᾶσθαι συγκεχώρηκεν. ἀλλ' εἰ καὶ μεταξύ [l] τις ἱερώμενος τοιαύτῃ χρήσαιτο συμφορᾷ, τὴν τιμὴν αὐτὸν ἀφείλετο. πῶς οὖν εἰκὸς ἐκεῖνον ταῦτα νομοθετεῖν καθ' [m] ἑαυ-

b Ὑπομένειν,] Ὑπέμενον in *Cod. Hafn.*

c Τὰ σιτία κρατήσαντας,] Σιτία κρατήσαντας in margine *impreſſi exemplaris* Viri docti manu notati.

d Οἱ] ὅτι *Hafn.*

e Δηλονότι οὐ ῥᾴδιον — διελθεῖν.] Δηλονότι οὐ ῥᾴδιον οὐδ' ἀμαχεὶ στρατοπέδῳ διελθεῖν *Hafn.*

f Ὁμόροφον] Dicitur & ὁμωρόφιος (quomodo & in *Hafn.* extat,) pro eodem. Ὁμόροφος de eo, qui ſub eodem tecto cum homicidis aut proditoribus habitat apud Demoſthen. de Corona p. 353. & Mid. p. 402. Spanh.

g Ξυρήσεις] Sic è *MSS.* ξυρήσας in *Editis.* magis emphaticè καὶ ξυρήσεις πάσης τῆς τριχός.

h Πολλάς] πολλὰ *Hafn.*

i Καίτοι τοὐναντίον] Similia habet in *Originibus*, l. 6. c. 5. p. 8. καὶ τὸ ἐναντίον. *Hafn.*

k Ὁμοίως] ὁμοίοις *Hafn.*

l Τις ἱερώμενος] τοῦτο ἱερώμενος *Hafn.*

m Ἑαυ-

[m] ἑαυτῷ, εἰς ὄνειδός τε καὶ βλάβην νόμους συντιθεμένους; ἀλλὰ μὴν καὶ τοὔνομα λίαν ἀπιθάνως μετατέθεικεν. „Ὀσαρσὶφ γὰρ, φησὶν, ἐκαλεῖτο." τοῦτο μὲν οὖν εἰς τὴν μετάθεσιν οὐκ ἐναρμόζει. τὸ δ' ἀληθὲς ὄνομα δηλοῖ τὸν ἐκ τοῦ ὕδατος σωθέντα Μωϋσῆν· τὸ γὰρ ὕδωρ οἱ Αἰγύπτιοι Μῶϋ καλοῦσιν. ἱκανῶς οὖν γεγονέναι νομίζω καὶ δῆλον, [n] ὅτι Μανεθὼς, ἕως μὲν ἠκολούθει ταῖς ἀρχαίαις [o] ἀναγραφαῖς, οὐ πολὺ τῆς ἀληθείας διημάρτανεν· [p] ἐπὶ δὲ τοὺς ἀδεσπότους μύθους τραπόμενος, ἢ συνέθηκεν αὐτοὺς ἀπιθάνως, ἤ τισι τῶν πρὸς ἀπέχθειαν εἰρηκότων ἐπίστευσεν.

λβ'. Μετὰ τοῦτον ἐξετάσαι βούλομαι Χαιρήμονα. καὶ γὰρ οὗτος Αἰγυπτιακὴν φάσκων ἱστορίαν συγγράφειν, καὶ προσθεὶς ταυτὸ ὄνομα τοῦ βασιλέως, ὅπερ ὁ Μανεθὼς, Ἀμένωφιν, καὶ τὸν υἱὸν αὐτοῦ Ῥαμέσσην, φησὶν, ὅτι „κατὰ τοὺς ὕπνους ἡ Ἶσις ἐφάνη τῷ Ἀμενώφει, μεμφομένη αὐτὸν, ὅτι τὸ ἱερὸν αὐτῆς ἐν τῷ πολέμῳ κατέσκαπται. [q] Φριτιφάντην δὲ ἱερογραμματέα φάναι, ἐὰν τῶν τοὺς μολυσμοὺς ἐχόντων ἀνδρῶν καθάρῃ τὴν Αἴγυπτον, παύσασθαι τῆς [r] πτοίας αὐτόν. ἐπιλέξαντα δὲ τῶν ἐπισινῶν μυριάδας εἰκοσιπέντε ἐκβαλεῖν. ἡγεῖσθαι δ' αὐτῶν γραμματέας Μωϋσῆν τε καὶ Ἰώσηπον, καὶ τοῦτον ἱερογραμματέα· Αἰγύπτια δὲ αὐτοῖς ὀνόματα εἶναι, τῷ μὲν Μωϋσῇ Τισιθὲν, τῷ δὲ Ἰωσήπῳ Πετεσήφ. τούτους δ' εἰς Πηλούσιον ἐλθεῖν καὶ ἐπιτυχεῖν μυριάσι τριακονταοκτὼ καταλελειμμέναις ὑπὸ τοῦ Ἀμενώφιος, ἃς οὐ θέλειν εἰς τὴν Αἴγυπτον διακομίζειν. [s] οἷς φιλίαν συνθεμένους ἐπὶ τὴν Αἴγυπτον στρατεῦσαι. τὸν δὲ Ἀμένωφιν οὐχ ὑπομείναντα τὴν ἔφοδον αὐτῶν, εἰς Αἰθιοπίαν φυγεῖν καταλιπόντα τὴν γυναῖκα ἔγκυον· ἣν [t] κρυπτομένην ἔν τισι σπηλαίοις τεκεῖν παῖδα, ὄνομα [u] Μεσσήνην, ὃν ἀνδρωθέντα ἐκδιῶξαι τοὺς Ἰουδαίους εἰς τὴν Συρίαν, ὄντας περὶ εἴκοσι μυριάδας, καὶ τὸν πατέρα Ἀμένωφιν ἐκ τῆς Αἰθιοπίας [x] καταδέξασθαι.

λγ'. Καὶ ταῦτα μὲν ὁ Χαιρήμων. οἶμαι δ' αὐτόθεν φανερὰν εἶναι ἐκ τῶν εἰρημένων [y] τὴν ἀμφοῖν ψευδολογίαν. ἀληθείας μὲν γάρ τινος ὑποκειμένης, ἀδύνατον ἦν διαφωνεῖν ἐπὶ τοσοῦτον. οἱ δὲ τὰ ψευδῆ συντιθέντες, οὐχ ἑτέροις σύμφωνα γράφουσιν, ἀλλ' αὐτοῖς τὰ δόξαντα πλάττουσιν. ἐκεῖνος μὲν οὖν ἐπιθυμίαν τοῦ βασιλέως ἵνα τοὺς θεοὺς ἴδῃ, φησὶν ἀρχὴν γενέσθαι τῆς τῶν μιαρῶν ἐκβολῆς· ὁ δὲ Χαιρήμων ἴδιον ὡς τῆς Ἴσιδος ἐνύπνιον συντέθεικεν. κἀκεῖνος μὲν Ἀμένωφιν εἶναι λέγει τὸν προειπόντα τῷ βασιλεῖ τὸν καθαρμόν· οὗτος δὲ Φριτιφάντην. ὁ δὲ δὴ τοῦ πλήθους ἀριθμὸς καὶ σφόδρα σύνεγγυς, ὀκτὼ μὲν μυριάδας ἐκείνου λέγοντος, [z] τούτου δὲ πέντε πρὸς ταῖς εἴκοσιν. ἔτι τοίνυν ὁ μὲν Μανεθὼς πρότερον εἰς τὰς λιθοτομίας τοὺς μιαροὺς ἐκβαλὼν, εἶτα αὐτοῖς τὴν Αὔαριν δοὺς ἐγκατοικεῖν, καὶ τὰ πρὸς τοὺς ἄλλους Αἰγυπτίους [a] ἐκπολεμώσας, τότε φησὶν ἐπικαλέσασθαι τὴν παρὰ τῶν Ἱεροσολυμιτῶν αὐτοὺς ἐπικουρίαν. ὁ δὲ Χαιρήμων ἀπαλλαττομένους ἐκ τῆς Αἰγύπτου, περὶ Πηλούσιον εὑρεῖν ὀκτὼ καὶ τριάκοντα μυριάδας ἀνθρώπων, καταλελειμμένας ὑπὸ τοῦ Ἀμενώφιος, καὶ μετ' ἐκείνων πάλιν εἰς τὴν Αἴγυπτον ἐμβαλεῖν, φυγεῖν δὲ τὸν Ἀμένωφιν εἰς τὴν Αἰθιοπίαν. τὸ δὲ δὴ γενναιότατον οὐδὲ τίνες ἢ πόθεν ἦσαν αἱ τοσαῦται τοῦ στρατοῦ μυριάδες εἴρηκεν, εἴτε Αἰγύπτιοι τὸ γένος, εἴτ' ἔξωθεν ἥκοντες. ἀλλ' οὐδὲ τὴν αἰτίαν διεσάφησε, δι' ἣν αὐτοὺς ὁ βασιλεὺς εἰς τὴν Αἴγυπτον ἀγαγεῖν [b] οὐκ ἠθέλησεν, ὁ περὶ τῶν λεπρῶν τὸ τῆς Ἴσιδος ἐνύπνιον συμπλά-

cum opprobrio & damno leges tuliſſe? Quin & nomen quidem ei valde incredibiliter mutatum. „Oſarſiph enim (inquit) vocabatur." Et hoc quidem mutationi parum congruum. Verum autem nomen ſignificat ex aqua ſervatum Moyſen. nam aquam Moy vocant Ægyptii. Satis igitur declaratum eſſe exiſtimo, quod Manetho, quatenus veterum ſcripta ſequitur, non multum à veritate aberraverit: ubi vero ad fabulas ab incerto auctore ſe vertit, aut parum veriſimiliter eas confinxit, aut iis qui ex odio in gentem eas narraverant fidem habuit.

Chæremonis locus ex Ægyptiaca historia.

32. Poſt hunc volo in Chæremonem inquirere. Hic enim Ægyptiacam ſe ſcribere hiſtoriam profeſſus, addenſque idem nomen regis quod Manethon, Amenophin, & filium ejus Rameſſen, ait, „Iſidem in ſomnis Amenophi apparuiſſe, de eo querentem, quod templum illius per bellum dirutum eſſet. Phritiphantem vero ſacrum ſcribam dixiſſe, ſi de pollutis hominibus Ægyptum purgare vellet, fore ut liberetur à nocturnis terroribus. Atque ita morbidorum millia CCL. collegiſſe & è finibus ejeciſſe. Duces vero eorum fuiſſe ſcribas Moyſen & Joſephum, atque hunc ſacrorum ſcribam *fuiſſe*: Ægyptia vero eis nomina eſſe, Moyſi quidem Tiſithen, Joſepho vero Peteſeph. Hos Peluſium veniſſe, ibique offendiſſe CCCLXXX. millia ab Amenophi relicta, quæ is in Ægyptum transferre noluerat. Cum his icto fœdere contra Ægyptum expeditionem factam. Amenophin autem, impetum illorum non ſuſtinentem, in Ægyptum fugiſſe, relicta uxore gravida: quam, in ſpeluncas quaſdam abditam, puerum enixam eſſe, nomine Meſſenen, eumque adultum expuliſſe Judæos in Syriam, numero circiter ducenta millia; & patrem Amenophin ex Æthiopia recepiſſe.

Pugna inter Manethonem & Chæremonem de fuga Judæorum ex Ægypto.

33. Et hæc quidem Chæremon. Reor autem ex his ipſis quæ dicta ſunt amborum manifeſtam fore mentiendi voluntatem. Si quid enim veritatis ſubeſſet, fieri non potuit ut in tantum diſcreparent. at qui mendacia componunt, non quæ cum aliis conſentiunt iſta ſcribunt, ſed quod ipſis viſum eſt confingunt. Et ille quidem regiam cupiditatem videndi Deos ait cauſam exſtitiſſe ejiciendi impuros: Chæremon autem ſuum de Iſide ſomnium finxit. Et ille quidem Amenophin eſſe dicit, qui regem præmonuit de luſtratione facienda: hic vero Phritiphantem. in multitudinis autem numero ſane non multum diſcordant, illo octoginta millia referente, hoc ducenta quinquaginta. Præterea Manetho quidem primum in lapicidinas ejici pollutos, deinde ad Avarim habitandam traduci: ac reliqua Ægypto bello vexata, tum demum ab illis accita eſſe dicit Hieroſolymitanorum auxilia. Chæremon autem Ægypto diſcedentes circa Peluſium inveniſſe trecenta & octoginta millia hominum ab Amenophi relicta, & cum illis rurſus Ægyptum invaſiſſe, Amenophin vero in Æthiopiam ſe recepiſſe. Quod vero eſt omnium lepidiſſimum, ne illud quidem, quinam & unde erant tot militum myriades dixit, neque Ægyptiine fuerint genere, an aliunde advenientes. Sed neque cauſam indicavit, cur eos rex in Ægyptum ducere noluerit, qui de leproſis & Iſide ſomnium confinxit.

m Ἑαυτῷ,] ἑαυτοῦ Hafn.
n Ὅτι] δ' ὅτι Hafn.
o Ἀναγραφαῖς.] ἱστορίαις in Cod. Elienſi.
p Ἐπὶ] ἐπεὶ Hafn.
q Φριτιφάντην] Φριθιφάντην vel Φριθοβάντην in aliquot MSS. & hic & inf.
r Πτοίας αὐτόν.] Πτόης in Cod. Hafn. & Elienſi.
s Οἷς] οἷ Hafn.
Tomus II.

t Κρυπτομένην] κρυβομένην Hafn.
u Μεσσήνην,] Ῥαμέσσην in Cod. Elienſ.
x Καταδέξασθαι.] In Marg. Hafn. adſcrib. leg. eſſe ὑποδέξασθαι.
y Τὴν ἀμφοῖν] τοῖν ἀμφοῖν Hafn.
z Τούτου δὲ] Τοῦ δὲ in MS.
a Ἐκπολεμώσας,] Ἐκπολεμῶσαι in MS.
b Οὐκ ἠθέλησεν,] Οὐκ ἤθελεν in MS.

finxit. Moyſi vero & Joſephum, quaſi eodem tempore ſimul expulſum, Chæremon adjunxit, & quidem quatuor ætatibus ante Moyſen defunctum, quorum ſunt anni centum fere & ſeptuaginta. Quin & Rameſſes Amenophios filius, ſecundum Manethonem quidem, adoleſcens bellum adminiſtrat cum patre, & cum eodem exſulat, fuga elapſus in Æthiopiam. Hic autem finxit eum poſt patris obitum in ſpelunca quadam natum, & poſtea in prælio victoriam reportantem, & Judæos in Syriam abigentem, numero circiter CC. millia. O facilitatem *hominis!* neque enim prius, quinam erant illa CCCLXXX. millia, dixit, neque quomodo CLXXX. millia perierint; in aciéne ceciderint, an ad Rameſſen transfugerint. quod vero maxime mirandum, ne cognoſcere quidem ex eo licet, quoſnam vocet Judæos, vel utris eorum det hanc appellationem; illiſne CCL. millibus leproſorum, an his CCCLXXX. millibus, quæ circa Peluſium erant. Sed ſtultum fortaſſe eſſet eos pluribus redarguere, qui à ſemetipſis redarguti ſunt. Si ab aliis, hoc utique ferendum eſſet.

Lyſimachus diſſentit ab utroque.

34. His autem addam Lyſimachum, idem quidem habentem cum prædictis mendacii argumentum, illorum vero incredibilitatem figmentorum enormitate ſuperantem. unde conſtat eum ex magno *in nos* odio *ſua* confinxiſſe. dicit enim, „ ſub Bocchori rege Ægyptiorum, populum Judæorum, quod eſſent lepra, ſcabie, & aliis quibuſdam morbis infecti, ad templa confugiſſe, & victum mendicaſſe. multis autem hominibus morbo correptis, ſterilitatem in Ægypto accidiſſe. Bocchorim vero, Ægyptiorum regem, ad Ammonem ſciſcitatum oracula de ſterilitate miſiſſe: reſponſumque à Deo, repurganda eſſe templa ab hominibus impuris & impiis, ejiciendo eos è templis in loca deſerta, cæterum ſcabioſos ac leproſos mergendos, tanquam ſole ut iſti viverent ægre ferente; & templa expianda, atque ita fore ut terra fructum ferat. Bocchorim autem accepto oraculo, accerſitiſque ſacerdotibus & ſacrificiis, juſſiſſe, ut impuri collecti militibus traderentur, deportandi in deſertum; utque leproſi plumbeis laminis involuti in pelagus dejicerentur. Submerſis autem leproſis ac impetiginoſis, reliquos congregatos in loca deſerta expoſitos eſſe ut perirent. Eos autem habito concilio de ſeipſis conſultaſſe: & nocte ſuperveniente, accenſis ignibus ac lucernis cuſtodias agitaſſe; ſequentique nocte jejunaſſe ut Deos ſaluti ſuæ propitios haberent. Inſequenti vero luce, à Moyſe quodam ipſis conſilium datum, ut irent intrepidi una via, uſque dum ad loca culta perveniretur: tum præcepiſſe, ne cui hominum in poſterum benevoli eſſent, neque optima ſuggererent ſed deteriora; utque Deorum templa & altaria, prout in ea inciderent, everterent. Cum autem alii iſta comprobaſſent, & facere decreviſſent, iter factum eſſe per deſertum, & poſt multa incommoda tandem ad loca culta perventum: dein & hominibus injurioſe tractatis, & fanis compilatis ac incenſis,

σας. τῷ δὲ Μωϋσεῖ καὶ τὸν Ἰώσηπον ὁ Χαιρήμων, ὡς ἐν ταὐτῷ χρόνῳ συνεξεληλασμένον, προστέθεικεν, τὸν πρὸ Μωϋσέως πρεσβύτερον τέσσαρσι γενεαῖς τετελευτηκότα, ὧν ἐστιν ἔτη σχεδὸν ἑβδομήκοντα καὶ ἑκατόν. ἀλλὰ μὴν ὁ Ῥαμέσσης ὁ τοῦ Ἀμενώφιος υἱὸς, κατὰ μὲν τὸν Μανέθωνα, νεανίας συμπολεμεῖ τῷ πατρὶ, καὶ συνεκπίπτει, φυγὼν εἰς τὴν Αἰθιοπίαν. οὗτος δὲ πεποίηκεν αὐτὸν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, ἐν σπηλαίῳ τινὶ γεγεννημένον. καὶ μετὰ ταῦτα νικῶντα μάχῃ, καὶ τοὺς Ἰουδαίους εἰς Συρίαν ἐξελαύνοντα, τὸν ἀριθμὸν ὄντας περὶ μυριάδας εἴκοσιν. ὢ τῆς εὐχερείας. οὔτε γὰρ πρότερον οἵτινες ἦσαν αἱ τριάκοντα καὶ ὀκτὼ μυριάδες εἶπεν, οὔτε πῶς αἱ [c] τεσσαράκοντα καὶ τρεῖς διεφθάρησαν. πότερον ἐν τῇ μάχῃ [d] κατέπεσον, ἢ πρὸς τὸν Ῥαμέσσην [e] μετεβάλλοντο. τὸ δὲ δὴ θαυμασιώτατον, οὐδὲ τίνας καλεῖ τοὺς Ἰουδαίους δυνατόν ἐστι παρ' αὐτοῦ μαθεῖν, ἢ ποτέροις αὐτῶν τίθεται ταύτην τὴν προσηγορίαν ταῖς εἰκοσιπέντε μυριάσι τῶν λεπρῶν, ἢ ταῖς ὀκτὼ καὶ τριάκοντα ταῖς περὶ τὸ Πηλούσιον. ἀλλὰ γὰρ εὔηθες ἴσως ἂν εἴη διὰ πλειόνων ἐλέγχειν τοὺς ὑφ' ἑαυτῶν ἐληλεγμένους. τὸ γὰρ ὑπ' ἄλλων ἦν μετριώτερον.

λδ'. Ἐπισυνάξω δὲ τούτοις Λυσίμαχον, εἰληφότα μὲν τὴν αὐτὴν τοῖς προειρημένοις ὑπόθεσιν [f] τοῦ ψεύσματος, ὑπερπεπαικότα δὲ τὴν ἐκείνων ἀπιθανότητα τοῖς πλάσμασι. [g] δι' ὃ καὶ δῆλός ἐστι συντεθεικὼς κατὰ πολλὴν ἀπέχθειαν. λέγει γάρ, „ ἐπὶ Βοκχόρεως τοῦ Αἰγυπτίων βασιλέως, τὸν λαὸν τῶν Ἰουδαίων λεπροὺς ὄντας καὶ ψωροὺς, καὶ ἄλλα νοσήματά τινα ἔχοντας, εἰς τὰ ἱερὰ καταφεύγοντας μεταιτεῖν τροφήν. παμπόλλων δὲ ἀνθρώπων νοσηλείᾳ περιπεσόντων, ἀκαρπίαν ἐν τῇ Αἰγύπτῳ γενέσθαι. Βόκχοριν δὲ, τὸν τῶν Αἰγυπτίων βασιλέα, [h] εἰς Ἄμμωνα πέμψαι περὶ τῆς ἀκαρπίας τοὺς μαντευσομένους τὸν θεὸν δὲ [i] εἰπεῖν, τὰ ἱερὰ καθᾶραι ἀπ' ἀνθρώπων ἀνάγνων καὶ δυσσεβῶν, [k] ἐκβαλόντα αὐτοὺς ἐκ τῶν ἱερῶν εἰς τόπους ἐρήμους, τοὺς δὲ ψωροὺς καὶ λεπροὺς βυθίσαι, ὡς τοῦ ἡλίου ἀγανακτοῦντος ἐπὶ τῇ τούτων ζωῇ, καὶ τὰ ἱερὰ ἁγνίσαι, καὶ οὕτω τὴν γῆν καρποφορήσειν. τὸν δὲ Βόκχοριν τοὺς χρησμοὺς λαβόντα, τούς τε ἱερεῖς καὶ [l] ἐπιβωμίτας προσκαλεσάμενον, κελεῦσαι ἐπιλογὴν ποιησαμένους τῶν ἀκαθάρτων, τοῖς στρατιώταις τούτους παραδοῦναι κατάξειν αὐτοὺς εἰς τὴν ἔρημον· τοὺς δὲ λεπροὺς εἰς μολυβδίνους χάρτας ἐνδήσαντας, ἵνα καθῶσιν εἰς τὸ πέλαγος. βυθισθέντων δὲ τῶν λεπρῶν καὶ ψωρῶν, τοὺς ἄλλους συναθροισθέντας εἰς τόπους ἐρήμους ἐκτεθῆναι ἐπ' ἀπωλείᾳ· συναχθέντας δὲ βουλεύσασθαι περὶ αὐτῶν, νυκτὸς δ' ἐπιγενομένης, πῦρ καὶ λύχνους καύσαντας φυλάττειν ἑαυτοὺς, τήν τ' ἐπιοῦσαν νύκτα νηστεύσαντας ἱλάσκεσθαι τοὺς θεοὺς, περὶ τοῦ σῶσαι αὐτούς. τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Μωϋσῆν τινα συμβουλεῦσαι αὐτοῖς, παραβαλλομένους μίαν ὁδὸν τέμνειν, [m] ἄχρις ἂν ἔλθωσιν εἰς τόπους οἰκουμένους, παρακελεύσασθαί τε αὐτοῖς, μήτε ἀνθρώπων τινὶ εὐνοήσειν, μήτε ἄριστα συμβουλεύσειν, ἀλλὰ τὰ χείρονα· θεῶν τε ναοὺς καὶ βωμοὺς, οἷς ἂν περιτύχωσιν, ἀνατρέπειν. συναινεσάντων δὲ τῶν ἄλλων, τὰ δοχθέντα ποιοῦντας διὰ τῆς ἐρήμου πορεύεσθαι, ἱκανῶς δὲ ὀχληθέντας ἐλθεῖν εἰς τὴν οἰκουμένην χώραν, καὶ τούς τε ἀνθρώπους ὑβρίζοντας, καὶ τὰ ἱερὰ συλῶντας καὶ ἐμπρήσαντας,

» ἐλθεῖν

c Τεσσαράκοντα καὶ τρεῖς διεφθάρησαν] Εἴκοσι καὶ τρεῖς in *MSS. Big.* & *Haf.* In *Vet. Interpr.* habemus, *neque quomodo* CLXXX. *millia perierint.*

d Κατέπεσον,] κατέπεσαν *Hafn.*

e Μετεβάλλοντο.] Μετεβάλοντο in *MSS.*

f Τοῦ ψεύσματος.] Poſt hæc iterum *Hafn.* ψεύσματος περὶ τῶν λεπρῶν καὶ λελωβημένων. quod apparet Gloſſatoris eſſe.

g Δι' ὃ καὶ δῆλός ἐστι συντεθεικὼς] καὶ δῆλος συνθεὶς, reliquis avulſis *Hafn.*

h Εἰς Ἄμμωνα] Εἰς Ἄμμωνος in *MSS.* & hic loci & infra, §. ſeq. 35. initio.

i Εἰπεῖν,] Ἔφη in *MSS.*

k Ἐκβαλόντα αὐτοὺς] *Al.* ἐκβάλλοντα.

l Ἐπιβωμίτας] πῦρ ἐπιβώμιον *Euripid. Electr.* v. 715. & ἐπιβώμια ῥέζειν *Theocrit. Idyll.* VI. v. 26. Spanh. ἐπιβωμίτας *Hafn.*

m Ἄχρις ἂν ἔλθωσιν]. Ἄχρις ἂν ὅτε ἔλθωσιν in *Cod. Big.* & *Hafn.*

„ ἐλθεῖν εἰς τὴν νῦν Ἰουδαίαν προσαγορευομένην, κτίσαντας δὲ πόλιν ἐνταῦθα κατοικεῖν. τὸ δὲ ἄστυ τοῦτο [n] Ἱερόσυλα ἀπὸ τῆς ἐκείνων διαθέσεως [o] ὀνομάσθαι. ὕστερον δ' αὐτοὺς ἐπικρατήσαντας, χρόνῳ διαλλάξαι τὴν ὀνομασίαν [p] πρὸς τὸ μὴ ὀνειδίζεσθαι, καὶ τήν τε πόλιν Ἱεροσόλυμα, καὶ αὐτοὺς Ἱεροσολύμους προσαγορεύεσθαι.

λέ. Οὗτος δὲ [q] οὐ τὸν αὐτὸν ἐκείνοις εὗρεν εἰπεῖν βασιλέα, καινότερον δ' ὄνομα συνέθηκεν, καὶ παρεὶς ἐνύπνιον καὶ προφήτην Αἰγύπτιον, εἰς [r] Ἄμμωνα ἀπελήλυθε περὶ τῶν ψωρῶν καὶ λεπρῶν χρησμὸν οἴσων. φησὶ γὰρ εἰς τὰ ἱερὰ συλλέγεσθαι πλῆθος Ἰουδαίων. [s] ἆρά γε [t] τούτοις τοῖς λεπροῖς ὄνομα θέμενος, [v] ἢ μόνων τῶν Ἰουδαίων τοῖς νοσήμασι περιπεσόντων; λέγει γὰρ ὁ λαὸς τῶν Ἰουδαίων. ὁποῖος; ἔπηλυς, ἢ τὸ γένος ἐγχώριος; διατί τοίνυν Αἰγυπτίους αὐτοὺς ὄντας Ἰουδαίους καλεῖς; εἰ δὲ ξένοι, διατί πόθεν οὐ λέγεις; πῶς δὲ, τοῦ βασιλέως πολλοὺς μὲν αὐτῶν βυθίσαντος εἰς τὴν θάλασσαν, τοὺς δὲ λοιποὺς εἰς ἐρήμους τόπους ἐκβαλόντος, τοσοῦτο τὸ πλῆθος ὑπελείφθησαν; ἢ τίνα τρόπον διεξῆλθον μὲν τὴν ἔρημον, ἐκράτησαν δὲ τῆς χώρας ἣν νῦν κατοικοῦμεν, ἔκτισαν δὲ καὶ πόλιν, καὶ νεὼν ᾠκοδομήσαντο πᾶσι περιβόητον; ἐχρῆν δὲ καὶ περὶ τοῦ νομοθέτου μὴ μόνον εἰπεῖν τοὔνομα, δηλῶσαι δὲ καὶ τὸ γένος ὅς τις ἦν καὶ τίνων. διατί δὲ τοιούτους ἂν αὐτοῖς ἐπεχείρησε τιθέναι νόμους περὶ θεῶν, καὶ τῆς πρὸς ἀνθρώπους ἀδικίας κατὰ τὴν πορείαν. εἴτε γὰρ Αἰγύπτιοι τὸ γένος ἦσαν, οὐκ ἂν ἐκ τῶν πατρίων ἐθῶν οὕτω ῥᾳδίως μετεβάλλοντο. εἴτ' ἀλλαχόθεν ἧκαν, πάντως τινὲς ὑπῆρχον αὐτοῖς νόμοι, διὰ μακρᾶς συνηθείας πεφυλαγμένοι. εἰ μὲν οὖν περὶ τῶν ἐξελασάντων αὐτοὺς ὤμοσαν μηδέ ποτε εὐνοήσειν, λόγον εἶχεν εἰκότα, πᾶσι δὲ πόλεμον ἀνθρώποις ἀκήρυκτον ἄρασθαι τούτους, εἴπερ ἔπραττον ὡς αὐτὸς λέγει κακῶς, καὶ τῆς πάντων βοηθείας δεομένους, ἄνοιαν οὐκ ἐκείνων, ἀλλὰ τοῦ ψευδομένου πάνυ πολλὴν παρίστησιν. ὅς γε καὶ τοὔνομα θέσθαι τῇ πόλει ἀπὸ τῆς [x] ἱεροσυλίας αὐτοὺς ἐτόλμησεν εἰπεῖν, τοῦτο δὲ μετὰ ταῦτα παρατρέψαι. δῆλον γὰρ ὅτι τοῖς μὲν ὕστερον γενομένοις αἰσχύνην τοὔνομα καὶ μῖσος ἔφερεν· αὐτοὶ δ' οἱ κτίζοντες τὴν πόλιν, κοσμήσειν αὑτοὺς ὑπελάμβανον οὕτως ὀνομάσαντες. ὁ δὲ γενναῖος οὗτος ὑπὸ πολλῆς τῆς λοιδορεῖν ἀκρασίας οὐ συνῆκεν, ὅτι ἱεροσυλεῖν οὐ κατὰ τὴν αὐτὴν φωνὴν Ἰουδαῖοι τοῖς Ἕλλησιν ὀνομάζομεν. τί οὖν [y] ἔτι πλείω τις λέγοι πρὸς τὸν ψευδόμενον οὕτως ἀναισχύντως; ἀλλ' ἐπειδὴ σύμμετρον ἤδη τὸ βιβλίον εἴληφε μέγεθος, ἑτέραν ποιησάμενος ἀρχὴν, τὰ λοιπὰ τῶν εἰς τὸ προκείμενον πειράσομαι προσαποδοῦναι.

„ veniſſe in locum qui nunc Judæa dicitur, „ conditaque civitate illic habitare. iſtam autem „ urbem *ἱερόσυλα* ab ipſorum * diſpoſitione no„ minatam eſſe : poſtea autem auctos viribus „ nomen mutaſſe ut probro non afficerentur, & „ urbem Hieroſolyma, & ſeipſos Hieroſolymos „ vocaſſe.

Facetus error de Hieroſolymis.

35. Hic non eundem cum illis invenit regem quem memoraret, ſed recentius nomen confinxit; & omiſſo ſomnio & vate Ægyptio ad Ammonem abiit de impetiginoſis ac leproſis reſponſum relaturus. Dicit enim ad templa collectam multitudinem Judæorum. incertum leproſiſne nomen imponens, an quod ſolos Judæos morbus occuparit? ait enim, populus Judæorum. qualis? advena an indigena? Cur igitur eos, cum ſint Ægyptii, Judæos vocas? Quod ſi hoſpites ſint, cur undenam ſunt non dicis? Quomodo autem, cum rex tam multos ex his in mare demerſiſſet, & reliquos in loca deſerta ejeciſſet, tanta multitudo ſuperfuit? aut quo pacto deſertum pertranſierunt, & regionem occuparunt quam nunc tenemus, & urbem inſuper condiderunt, & templum extruxerant apud omnes celebre? Oportebat autem non ſolum legiſlatorem nominaſſe, ſed & genus ejus indicaſſe, quiſnam erat, & ex quibus ortus; & quamobrem eis inter eundum tales voluerit ferre leges de Diis, deque iis quæ hominibus cederent in injuriam. Sive enim Ægyptii erant genere, non tam facile patrios mores abdicaſſent: ſive aliunde erant, omnino aliquas habebant leges ad quas longa conſuetudine inſtituti erant. At enim ſi quidem juraſſent, nunquam ſe illis qui eos expulerant fore benevolos, non immerito factum fuiſſet; illos vero bellum acerrimum adverſus omnes homines ſuſcepiſſe, cum eſſent (ut ipſe ait) miſeri, & omnium opis egeni, magnam plane non illorum, ſed qui iſta finxerit, ſtultitiam oſtendiſſet; qui ſcilicet affirmare auſus eſt, nomen impoſitum civitati à templorum ſpoliatione, & hoc poſtea fuiſſe mutatum. Manifeſtum enim poſteris quidem tale nomen probroſum fuiſſe & odioſum; ipſi vero qui fundarunt urbem, ſibi ornamento fore exiſtimarunt ejuſmodi nomen. Hic autem vir bonus præ immoderata conviciandi intemperantia non intellexit, quod ſacrorum direptio non eadem voce Græcis & Judæis exprimitur. Quid ergo amplius quilibet diceret contra mendacium impudenter adeo confictum? Sed quoniam juſtam ad magnitudinem excrevit libellus, alio facto principio, reliqua, quæ ad id quod propoſui ſpectant, faciam ſedulo ut adjiciantur.

n Ἱερόσυλα] Ἱεροσόλυμα in *MSS.*
o Ὀνομάσθαι.] Ὀνόμασαι in *MSS.*
p Πρὸς τὸ μὴ ὀνειδίζεσθαι.] Ita lego cum *Vet. Interp.* antea erat πρὸς τὸ ὀνειδίζεσθαι.
q Οὐ τὸν] οὐ δὲ τὸν *Hafn.*
r Ἄμμωνα] Ἄμμωνος *Hafn.*
s Ἆρά γε] Abſunt ab *Hafn.*
t Τούτοις τοῖς λεπροῖς ὄνομα θέμενος,] Illud τούτοις ex *MSS.*
v Ἢ μόνων τῶν Ἰουδαίων] Μόνον in *MSS.*
x Ἱεροσυλίας] Vide *Nicephorum Calliſtum* in *Eccl. Hiſt.* L IV, c. 33. ſub finem.
y Ἔτι] Εἰπὲ *Hafn.*

* *Viz.* quod ipſe ποιήσωσιν.

ΦΛ. ΙΩΣΗΠΟΥ,

ΠΕΡΙ

ΑΡΧΑΙΟΤΗΤΟΣ ΙΟΥΔΑΙΩΝ,

[a] ΚΑΤΑ ΑΠΙΩΝΟΣ

[b] ΛΟΓΟΣ Β'.

FLAVII JOSEPHI,

DE

ANTIQUITATE JUDÆORUM,

CONTRA APIONEM

LIBER II.

SUPERIORI quidem libro, mi chariſſime Epaphrodite, & gentis noſtræ antiquitatem demonſtravi, veritatem ex Phœnicum & Chaldæorum & Ægyptiorum ſcriptis confirmando, multis etiam Græcorum hiſtoricis in teſtes adductis, & calumnias Manethonis & Chæremonis & aliorum quorundam refutavi. Nunc vero ad reliquos, qui aliquid contra nos ſcripſerunt, refellendos arguendoſque aggrediar: quanquam ſubit mihi dubitare, an Apioni Grammatico refutando operam impenderem. Nam eorum quæ ab ipſo ſcripta ſunt, nonnulla quidem ſimilia ſunt dictis aliorum, quæ vero de ſuo adjecit valde frigida ſunt; & in pleriſque ſcurrilitatem prodit, ſeque (ſi vere *& libere loquendum*) plane indoctum eſſe oſtendit; ac ſi compoſita eſſent ab homine pravis moribus, quique omni vita ſua ſe pro circulatore geſſit. Quoniam vero multi hominum præ ſtultitia iſtiuſmodi potius orationibus capiuntur, quam iis quæ cura quadam *& diligentia* literis ſunt mandatæ, & contumeliis quidem gaudent, aliorum vero laudes moleſte ferunt, neceſſarium eſſe duxi ne hunc quidem ſine examine præterire, qui nos palam tanquam in judicio accuſavit. Etenim illud quoque hominum pleriſque inſitum video, ut valde delectentur, cum is, qui alteri orſus eſt maledicere, ſua ob vitia redarguitur. Ejus quidem certe orationem nec legere facile eſt, neque plane intelligere quid dicere velit:

Apion qualis homo.

ΔΙΑ μὲν οὖν τοῦ προτέρου βιβλίου, τιμιώτατέ μοι Ἐπαφρόδιτε, περί τε τῆς ἀρχαιότητος ἡμῶν ἐπέδειξα, τοῖς Φοινίκων καὶ Χαλδαίων καὶ Αἰγυπτίων γράμμασι πιστωσάμενος τὴν ἀλήθειαν, καὶ πολλοὺς τῶν Ἑλλήνων συγγραφεῖς παρασχόμενος μάρτυρας· τήν τε ἀντίρρησιν ἐποιησάμην πρὸς Μανεθῶνα καὶ Χαιρήμονα καί τινας ἑτέρους. ἄρξομαι δὲ νῦν τοὺς ὑπολειπομένους τῶν γεγραφότων τι καθ' ἡμῶν ἐλέγχειν· [c] καίτοι περὶ τῆς πρὸς Ἀπίωνα τὸν γραμματικὸν [d] ἀντιρρήσεως ἐπῆλθέ μοι διαπορεῖν, εἰ χρὴ σπουδάσαι. τὰ μὲν γάρ ἐστι τῶν ὑπ' αὐτοῦ γεγραμμένων τοῖς ὑπ' ἄλλων εἰρημένοις ὅμοια, τὰ δὲ λίαν ψυχρῶς προστέθεικε, τὰ πλεῖστα δὲ βωμολοχίαν ἔχει, καὶ πολλήν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἀπαιδευσίαν· ὡς ἂν ὑπ' ἀνθρώπου συγκείμενα καὶ φαύλου τὸν τρόπον, καὶ παρὰ πάντα τὸν βίον [e] ὀχλαγωγοῦ γεγονότος. ἐπεὶ δ' οἱ πολλοὶ τῶν ἀνθρώπων [f] διὰ τὴν ἄνοιαν ὑπὸ τῶν τοιούτων ἁλίσκονται λόγων μᾶλλον, ἢ τῶν μετά τινος σπουδῆς γεγραμμένων, καὶ χαίρουσι μὲν ταῖς λοιδορίαις, ἄχθονται δὲ τοῖς ἐπαίνοις, ἀναγκαῖον ἡγησάμην εἶναι, μηδὲ τοῦτον ἀνεξέταστον καταλιπεῖν, κατηγορίαν ἡμῶν ἄντικρυς ὡς ἐν δίκῃ γεγραφότα. καὶ γὰρ αὖ κἀκεῖνο τοῖς πολλοῖς ἀνθρώποις ὁρῶ παρακολουθοῦν, τὸ λίαν ἐφήδεσθαι, ὅταν τις ἀρξάμενος βλασφημεῖν ἕτερον, αὐτὸς ἐλέγχηται περὶ τῶν αὐτῷ προσόντων κακῶν. ἔστι μὲν οὖν οὐ ῥᾴδιον αὐτοῦ διελθεῖν τὸν λόγον, οὐδὲ σαφῶς γνῶναι τί λέγειν βούλεται.

σχεδὸν

a ΚΑΤΑ ΑΠΙΩΝΟΣ] Hæc in libro *Apioni* præcipue reſpondet *Joſephus*: nam prior liber aliis Judaicæ gentis obtrectatoribus [illegible] oppoſitus. *Hudſon.*

b ΛΟΓΟΣ Β'.] Ἀντιρρήσεως λόγος δεύτερος in aliquot MSS. ut [illegible]

c Καίτοι] Καὶ τοῖς περὶ τ. . . . . ἀντιρρήσεως [illegible] in MSS.

d Ἀντιρρήσεως] additur [illegible] in *Hafn.*

e Ὀχλαγωγοῦ] Cont. infr. §. 12. Spanh.

f Διὰ τὴν ἄνοιαν] Διὰ τὸ αὐτῶν (αὐτῶν *Hafn.*) ἄνοιαν MSS.

g Πᾶς

χεδὸν δ' ὡς ἐν πολλῇ ταραχῇ καὶ ψεύσμασι συγκεχυμένα, τὰ μὲν εἰς τὴν ὁμοίαν ἰδέαν πίπτει τοῖς προεξητασμένοις, περὶ τῆς ἐξ Αἰγύπτου τῶν ἡμετέρων προγόνων μεταναστάσεως· τὰ δ' ἐστὶ κατηγορία τῶν ἐν Ἀλεξανδρείᾳ κατοικούντων Ἰουδαίων. τρίτον δ' ἐπὶ τούτοις μέμικται, περὶ τῆς ἁγιστείας τῆς κατὰ τὸ ἱερὸν ἡμῶν καὶ τῶν ἄλλων νομίμων κατηγορίας.

ι'. [i] Καταψεύδεται δὲ καὶ ὅρκον ἡμῶν, „ὡς ὀμνυόντων τὸν „Θεὸν, τὸν ποιήσαντα τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θά„λασσαν, μηδενὶ εὐνοήσειν ἀλλοφύλῳ, μάλιστα δὲ Ἕλλησιν." ἔδει δὲ καταψευδόμενον ἅπαξ εἰπεῖν, μηδενὶ εὐνοήσειν ἀλλοφύλῳ, μάλιστα δ' Αἰγυπτίοις. οὕτω γὰρ ἂν τοῖς ἐξ ἀρχῆς αὐτοῦ πλάσμασιν ἥρμοττε τὰ περὶ τὸν ὅρκον, εἴπερ ἦσαν ὑπὸ Αἰγυπτίων τῶν συγγενῶν οἱ πατέρες ἡμῶν, οὐχὶ διὰ πονηρίαν, ἀλλ' ἐπὶ συμφοραῖς ἐξεληλαμένοι. τῶν Ἑλλήνων δὲ πλέον τοῖς τόποις ἢ τοῖς ἐπιτηδεύμασιν ἀφεστήκαμεν, ὥστε μηδεμίαν ἡμῖν εἶναι πρὸς αὐτοὺς ἔχθραν μηδὲ ζηλοτυπίαν. τοὐναντίον μέντοι πολλοὶ παρ' αὐτῶν εἰς τοὺς ἡμετέρους νόμους συνέβησαν εἰσελθεῖν, καὶ τινὲς μὲν [k] ἔμειναν, εἰσὶ δ' οἳ, τὴν καρτερίαν οὐχ ὑπομείναντες, πάλιν ἀπέστησαν. καὶ τοῦτον οὐδεὶς πώποτε τὸν ὅρκον εἶπεν ἀκοῦσαι παρ' ἡμῖν [l] ὀμοσμένον, ἀλλὰ [m] μόνος Ἀπίων ὡς ἔοικεν ἤκουσεν· αὐτὸς γὰρ ὁ συνθεὶς αὐτὸν ἦν.

ια'. Σφόδρα τοίνυν τῆς πολλῆς [n] συνέσεως, καὶ ἐπὶ τῷ μέλλοντι ῥηθήσεσθαι θαυμάζειν ἄξιόν ἐστιν Ἀπίωνα. „τεκμήριον γὰρ εἶναι, φησὶ, τοῦ μήτε νόμοις ἡμᾶς χρῆ„σθαι δικαίοις, μήτε τὸν Θεὸν εὐσεβεῖν ὡς προσῆκε, [o] τὸ „μὴ ἄρχειν, δουλεύειν δὲ μᾶλλον ἔθνεσι καὶ ἄλλοτε ἄλ„λοις, καὶ τὸ κεχρῆσθαι συμφοραῖς τισι περὶ τὴν πόλιν, „[p] αὐτῶν δηλονότι πόλεως ἡγεμονικωτάτης ἐκ τοῦ „ἄνωθεν ἄρχειν, ἀλλὰ μὴ Ῥωμαίοις δουλεύειν συνηθισ„μένων· καί τοι τούτων ἄν τις ἀπόσχοιτο τοιαύτης με„γαλοψυχίας." τῶν μὲν γὰρ ἄλλων οὐκ ἔστιν ὅς τις ἀνθρώ-

c Δῶρα πόλις ὀνομάζεται.] *Dora*, quatuor dierum ſpatio ab Idumæa diſſita. vid. ἀρχ. lib. 13. c. 6. §. 4. & ἁλωσ. l. 1. c. 2. §. 2. SPANH.

d Ἰουδαίας ἀφέστηκεν.] Ita cum *MSS.* & *Vet. Interpr.* antea Ἰδουμαίας.

e Λυχνοκαΐας.] Conf. Antt. l. 12. c. 7. §. 7. SPANH.

f Ταύτας ἔκλειον οὐκ ἐλάττους ὄντες ἄνδρες] Confer. de Porta Orientali Templi ænea ſupr. ἁλωσ. l. 6. c. 5. §. 3. SPANH.

g Διακόσιοι καθ' ἑκάστην ἡμέραν.] Legendum certe εἴκοσι. Vide lib. 7. *de Bello*, cap. 5. §. 3. paul. ant. med. ut & *Villalpandum* in *Ezechielem*, l. 3. fol. 576.

h Ἂν ἀνοίξειν οἰόμενος.] Ἠνέῳξεν ὡς καὶ ἀνοίξειν οἰόμενος malit Cl. *Lowthius*. Verbum ἀνέῳξεν omittunt *Codd. MSS.*

i Καταψεύδεται δὲ καὶ ὅρκον ἡμῶν.] Καταψευσάμενος τοῦ in *MSS.*

k Ἔμειναν.] Ἐνέμειναν in *MSS.*

l Ὀμοσμένον.] Ὀμωμοσμένον *Big.*

m Μόνος] μόνον *Hafn.*

n Συνέσεως.] Συνθέσεως in *MSS.*

o Τὸ μὴ ἄρχειν.] Illa τὸ μὴ ἄρχειν omittunt aliquot *MSS.* (ut & *Hafn.*) & *Vet. Interpr.*

p Αὐτῶν δηλονότι πόλεως—συνηθισμένων.] Αὐτοὶ δῆλον ὅτι πόλεως ἡγεμονικωτάτης Ῥωμαίοις ἐκ τοῦ ἄνωθεν ἄρχειν, ἀλλὰ μὴ δουλεύειν συνηθισμένοι in *Codd. Big.* & *Hafn.* Quomodo legerit *Vet. Interpr.* aliis conjiciendum relinquo ex hiſce verbis: *Cum atque principalis civitas Romanorum ſit, cujus cives ſoli ab initio regnare atque non ſervire conſueverunt.*

* Cubitorum VII.] *Gelen.* VII. Diſcrepant hæc cum altitudine & latitudine forium lib. de Bello VI. cap. v. §. 4. ubi dicuntur altæ fuiſſe cub. LXX. & latæ cub. XXV. ut videtur auctori *Antt. Jud.* Sed nodi hujus ſolutionem vide in meo examine Architecturæ Villalpandicæ p. 68. COCC.

† Quis etenim horum magnanimitati valeat obſiſtere? Nullus etenim aliorum poteſt dicere ſermonem quem Apion locutus eſt, quando paucis contigit in principatu continue præſidere, & non rurſus aliis facta mutatione ſervire &c. *a. Vet. Interpr.*

q Ian-

ἀνθρώπων οὐχ [q] ἱκανῶς καθ' αὐτοῦ φαίη τοῦτον ὑπ' Ἀπίωνος λελέχθαι τὸν λόγον. ὀλίγοις μὲν γὰρ ὑπῆρξεν ἐφ' ἡγεμονίας διὰ καιροπλίας γενέσθαι, καὶ τούτους αἱ μεταβολαὶ πάλιν ἄλλοις δουλεύειν ὑπέζευξαν. τὸ πλεῖστον δὲ φῦλον ἄλλων ὑπήκοον πολλάκις. Αἰγύπτιοι δ' ἄρα μόνοι διὰ τὸ καταφυγεῖν, ὥς [r] φασιν, εἰς τὴν χώραν αὐτῶν τοὺς θεοὺς, καὶ σωθῆναι μεταβαλόντας εἰς μορφὰς θηρίων, ἐξαίρετον γέρας εὕροντο τὸ μηδενὶ [s] δουλεύειν τῶν τῆς Ἀσίας ἢ τῆς Εὐρώπης κρατησάντων οἱ μίαν ἡμέραν ἐκ τοῦ παντὸς αἰῶνος ἐλευθερίας οὐ τυχόντες [t] φαίνονται, [u] ἀλλ' οὐδὲ παρὰ τῶν οἰκοδεσποτῶν. ὃν τινα μὲν γὰρ αὐτοῖς ἐχρήσαντο Πέρσαι τρόπον, οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλάκις πορθοῦντες τὰς πόλεις, ἱερὰ κατασκάπτοντες, τοὺς παρ' αὐτῶν νομιζομένους θεοὺς κατασφάζοντες, οὐκ ἂν ὀνειδίσαιμι. μιμεῖσθαι γὰρ οὐ προσῆκε [x] τὴν Ἀπίωνος ἀπαιδευσίαν, ὃς οὔτε τὰς Ἀθηναίων τύχας, οὔτε τὰς Λακεδαιμονίων ἐνενόησεν, ὧν τοὺς μὲν [y] ἀνδρειοτάτους, τοὺς δὲ εὐσεβεστάτους τῶν Ἑλλήνων ἅπαντες λέγουσιν. ἐῶ βασιλέας τοὺς ἐπ' εὐσεβείᾳ διαβοηθέντας, ὧν ἕνα Κροῖσον, οἵαις [z] ἐχρήσατο συμφοραῖς βίου. ἐῶ τὴν καταπρησθεῖσαν Ἀθηναίων ἀκρόπολιν, τὸν ἐν Ἐφέσῳ ναὸν, τὸν ἐν Δελφοῖς, ἄλλους μυρίους, καὶ οὐδεὶς ὠνείδισε ταῦτα τοῖς παθοῦσιν, ἀλλὰ τοῖς δράσασι. καινὸς δὲ κατήγορος ἡμῶν Ἀπίων εὑρέθη, τῶν ἰδίων αὐτοῦ περὶ τὴν Αἴγυπτον κακῶν ἐκλαθόμενος. ἀλλὰ Σέσωστρις αὐτὸν ὁ μυθευόμενος Αἰγύπτιος βασιλεὺς ἐτύφλωσεν. ἡμεῖς δὲ τοὺς ἡμετέρους οὐκ ἂν εἴποιμεν βασιλέας, Δαυίδην καὶ Σολομῶνα, πολλὰ [a] χειρωσαμένους ἔθνη τούτους μὲν οὖν παραλίπωμεν. τὰ δὲ γνώριμα πᾶσιν Ἀπίων ἠγνόηκεν. ὅτι Περσῶν καὶ [b] μετ' ἐκείνους ἡγεμόνων, τῆς Ἀσίας Μακεδόνων, Αἰγύπτιοι μὲν ἐδούλευον ἀνδραπόδων οὐδὲν διαφέροντες. ἡμεῖς δὲ ὄντες ἐλεύθεροι προσέτι καὶ τῶν πέριξ πόλεων ἤρχομεν, ἔτη σχεδὸν εἴκοσί που καὶ ἑκατὸν, μέχρι Μάγνου Πομπηΐου. καὶ πάντων ἐκπολεμηθέντων πρὸς Ῥωμαίων τῶν πανταχοῦ βασιλέων, μόνοι διὰ πίστιν οἱ παρ' ἡμῖν σύμμαχοι καὶ φίλοι διεφυλάχθησαν.

ιβ΄. „ Ἀλλὰ θαυμαστοὺς ἄνδρας οὐ παρεσχήκαμεν, „ οἷον τεχνῶν τινων εὑρετὰς, ἢ σοφίᾳ διαφέροντας. καὶ καταριθμεῖ Σωκράτην, καὶ Ζήνωνα, καὶ Κλεάνθην, καὶ τοιούτους τινάς. εἶτα τὸ θαυμασιώτατον τῶν εἰρημένων αὐτὸς ἑαυτὸν προστίθησι, καὶ μακαρίζει τὴν Ἀλεξάνδρειαν, ὅτι τοιοῦτον ἔχει πολίτην. ἔδει γὰρ αὐτῷ μάρτυρος ἑαυτοῦ. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν [c] ὀχλαγωγὸς ἐδόκει πονηρὸς εἶναι, καὶ τῷ βίῳ καὶ τῷ λόγῳ διεφθαρμένος· ὥστε εἰκότως ἐλεῆσαι τις ἂν τὴν Ἀλεξάνδρειαν, εἴπερ ἐπὶ τούτῳ μέγα ἐφρόνει. περὶ δὲ τῶν παρ' ἡμῖν ἀνδρῶν γεγονότων, οὐδενὸς ἧττον ἐπαίνου τυγχάνειν ἀξίων, ἴσασιν οἱ ταῖς ἡμετέραις ἀρχαιολογίαις ἐντυγχάνοντες.

ιγ΄. Τὰ δὲ λοιπὰ τῶν ἐν τῇ κατηγορίᾳ γεγραμμένων, ἄξιον ἦν ἴσως ἀναπολόγητα παραλιπεῖν, ἵν' αὐτὸς αὑτοῦ καὶ τῶν ἄλλων Αἰγυπτίων ᾖ ὁ κατήγορος. ἐγκαλεῖ γὰρ ὅτι ζῶα θύομεν, καὶ χοῖρον οὐκ ἐσθίομεν, καὶ τὴν τῶν αἰδοίων χλευάζει περιτομήν. τὸ μὲν οὖν περὶ τὴν τῶν [d] ἡμέρων ζώων ἀναιρέ-

affirmet, iſtiuſmodi verborum abunde contra ſeipſum feciſſe Apionem. Paucis etenim contigit in principatu continue præſidere, & non rurſus aliis facta mutatione ſervire. Plurimæ namque gentes aliæ ſæpe *aliis* obedire coactæ ſunt. Ægyptii autem ſoli, eo quod ſe receperint (ſicut ajunt) in eorum regionem Dii, & ſalutem conſequuti fuerint aſſumendo beſtiarum formas, eximiam gratiam invenerunt ut eorum nemini ſervirent, qui Aſiam Europamve tenuere: qui *ſcilicet* per unam diem ex omni ævo non habuere libertatem, ne quidem apud dominos indigenas. *Ægyptiorum ſervitus.* Nam quemadmodum eis uſi ſunt Perſæ, non ſemel ſolummodo, ſed frequenter urbes eorum vaſtantes, ſacra evertentes, & quos Deos eſſe crediderunt interficientes, *illis* exprobrare non ſtudeo. Haud enim convenit, ut nos indoctam Apionis ſtultitiam imitaremur, qui neque de caſibus Athenienſium neque Lacedæmoniorum cogitavit; quorum hos quidem fortiſſimos, illos vero Græcorum religioſiſſimos eſſe omnes affirmant. Taceo reges ob pietatem omnium ſermone celebratos, interque eos Crœſum, in quas vitæ calamitates incidit. Taceo incenſam Athenienſium arcem, templum Epheſinum & Delphicum, aliaque multa, quibus nemo calamitatem paſſis ſed *potius* inſerentibus *cujus* exprobravit. Novus autem noſtrorum accuſator inventus eſt Apion, malorum ſuorum, quæ in Ægypto ei acciderant, prorſus oblitus. Sed Seſoſtris illum excæcavit, Ægypti rex, cujus res * fabulis ſunt aſperſæ. Non eſt autem ut reges noſtros nos memoremus, Davidem & Solomonem, qui multas ſubegerunt gentes. Et hos quidem miſſos faciamus. Quæ vero cunctis nota ſunt ignoravit Apion; quod Perſis, & poſt illos Aſiæ dominantibus Macedonibus, Ægyptii quidem iis ſerviebant, à mancipiis nihil differentes. Nos autem liberi exiſtentes etiam civitatum finitimarum dominatum & principatum tenuimus, annis centum & viginti uſque ad Pompeium magnum. Et cum omnes à Romanis rerum ubique dominis expugnati fuiſſent, ſoli majores noſtri propter fidem *ſuam* ſocii & amici conſervati ſunt.

12. „ Sed viros admirabiles non tulimus, vel- „ uti artium quarundam inventores, aut ſapien- „ tia præcellentes." Atque inter hos enumerat Socratem, & Zenonem, & Cleanthem, alioſque hujuſmodi. Deinde, quod ex dictis maxime mirandum, *illis* ſemetipſum adjicit, & Alexandriam beatam prædicat, quæ civem habuerit tali *Apionis vanitas.* ingenio præditum. Oportebat enim ipſum de ſe teſtimonium dare. Nam aliis quidem circulator eſſe videbatur improbus, & vita & ſermone pravus: adeo ut merito quis Alexandriam miſeretur, ſi ſuper iſto ſeſe efferat. De viris autem qui fuere apud nos, non minus quam alii quicunque laude digni, probe ſciunt qui in noſtris verſati ſunt Originum libris.

13. Reliqua autem eorum quæ complectitur accuſatio, mereantur forſan ut præteream tanquam reſponſo indigna, ita ut ipſe ſui & aliorum Ægyptiorum accuſator habeatur. Nam vitio nobis vertit, quod animalia pro victimis mactemus, & non veſcamur carne ſuilla, & pudendorum circumciſionem irridet. Sane quod attinet ad manſuetorum animalium

q Ἱκανῶς] *ἱκανὸς Hafn.*
r Φασιν,] Sic cum *Vet. Interpr.* antea φησί.
s Δουλεύειν] *δουλεῦσαι Hafn.*
t Φαίνονται,] Φαίνονται non agnoſcunt *MSS.*
u Ἀλλ' οὐδὲ] Παρὰ τῶν ἀλλοτρίων, ἀλλ' οὐδὲ παρὰ τῶν οἰκοδεσποτῶν legiſſe videtur *Vet. Interpr.* qui habet, *neque apud indigenas dominos, neque apud externos.*
x Τὴν Ἀπίωνος ἀπαιδευσίαν,] Ita ex *MSS.* pro καὶ quod obtinuit in *Editis.*
y Ἀνδρειοτάτους,] εἶναι addit *Hafn.*
z Ἐχρήσατο συμφοραῖς βίου.] Prius erat ἐχρήσαντο.
a Χειρωσαμένους ἔθνη.] Ita ex *MS.* & *Vet. Interpr.* παρωσαμένους in *Editis.*
b Μετ' ἐκείνους ἡγεμόνων] Sic *MSS.* antea erat μετ' ἐκείνων.
c Ὀχλαγωγὸς] Conf. ſupr. §. 1. Spanh.
d Ἡμέρων ζώων ἀναιρέσεως,] Ἡμετέρων in *Cod. Big.* & *Hafn.*

* *Vel*, immodice celebratæ. nam μυθευόμενος hic loci non notat confictum plane regem, ſed cujus res geſtæ in vanum & falſum ſunt detortæ.

e Τὸ]

lium mactationem, id nobis cum aliis hominibus univerſis commune eſt. Apion autem, nos ſacra facientes redarguens, indicat ſemetipſum genere eſſe Ægyptium. Non enim ſi Græcus fuiſſet aut Macedo, hoc ægre tuliſſet. Iſti enim vovent Hecatombas diis ſacrificare, & victimas epulis apponunt. & non idcirco contigit mundum in penuria eſſe pecorum, quod veritus eſt Apion. Veruntamen ſi Ægyptiorum moribus omnes ſemet addicerent, mundus deſtitutus quidem eſſet ab hominibus, ferociſſimis autem beſtiis abundaret, quas pro diis iſti habentes cum cura ſtudioque nutriunt. Quod ſi quis eum interrogaret, quos putaret omnium Ægyptiorum eſſe ſapientiſſimos & *Sacerdotes Ægyptii.* maxime religioſos, illos proculdubio ſacerdotes eſſe agnoſceret. Hæc enim duo dicunt ſibimet ab initio à regibus eſſe præcepta, ut deos colant & ſapientiam diligant: illi igitur & circumciduntur omnes, & à porcinis abſtinent carnibus. Sed neque ullus alter Ægyptiorum cum eis ſacra diis facere dignoſcitur. Mentem igitur occæcatam habuit Apion, qui Ægyptiorum gratia nos data opera conviciis inſectatur, illoſque accuſat, qui non ſolum utuntur iiſdem, quos in nobis reprehendit, moribus, ſed etiam alios circumcidi docent, ſicuti dixit Herodotus. Unde jure mihi videtur Apion ob maledicta in patriæ ſuæ leges pœnas dediſſe quas commeruit. Nam ex neceſſitate circumciſus erat, utpote ulceratus circa pudenda: & cum nihil ei profuerit circumciſio, ſed *Apionis mors ex morbo circa pudenda.* putreſceret, magnis doloribus exſpiravit. Oportet enim bene ac ſapienter inſtitutos legibus propriis circa pietatem adhærere, & aliorum minime carpere. At iſte ſuas quidem deſeruit, de *Finis eorum quæ dicta ſunt contra Apionem.* noſtris vero mentitus eſt. Atque ita quidem vitam finivit Apion, & hic etiam *de eo* nobis finem dicendi facere par ſit.

Apollonii Molonis refutatio. 14. Quoniam vero & Apollonius Molonis, & Lyſimachus, & alii quidem nonnulli, partim quidem per ignorantiam, maxima vero ex parte per malevolentiam de legiſlatore noſtro Moyſe & legibus *ejus* verba fecerunt, nec juſta nec vera, hunc quidem ut præſtigiatorem & deceptorem calumniantes, leges autem malitiæ apud nos, nulliuſque virtutis magiſtras eſſe affirmantes, volo breviter & de omni reip. noſtræ conſtitutione, & de qualibet re ſingillatim (ſicuti potero) ſermonem proferre. Puto enim evidens fore, quod ad pietatem & ſocietatem inter homines ſervandam, & ad omnia humanitatis officia tuenda, prætereaque ad juſtitiam, & tolerantiam laborum, mortiſque contemptum, optime factas habeamus leges. Rogo tamen eos qui in iſta inciderint, ut non cum invidia lectionem adhibeant. Non enim propoſui noſmetipſos laudibus proſequi; ſed defenſionem eſſe juſtiſſimam puto, ductam à legibus juxta quas adhuc vivimus, adverſus eos, qui multa nobis eaque falſa objecerunt. præſertim cum Apollonius accuſationem non continue ſicut Apion inſtituit, ſed ſparſim & hinc inde per totam orationem. quippe qui aliquando quidem nobis tanquam atheis & hominum oſoribus conviciatur, aliquando vero iterum formidinem nobis exprobrat: & è diverſo rurſus aliquando temerariæ audaciæ & amentiæ nos inſimulat. Quin & nos è barbaris maxime omnium ineptos eſſe dicit: & propterea nos ſolos nihil ad vitæ emolumentum utile contuliſſe. Hæc autem omnia manifeſte redargui poſſe exiſtimo, ſi univerſa contra quam ab eo ſunt dicta

σιαν, κοινόν ἐστι καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους ἅπαντας. Ἀπίων δὲ τοῖς θύουσιν ἐγκαλῶν, αὐτὸν ἐξήλεγξεν ὄντα τὸ γένος Αἰγύπτιον. οὐ γὰρ ἂν Ἕλλην ὢν ἢ Μακεδὼν ἐχαλέπαινεν. οὗτοι γὰρ εὔχονται θύειν ἑκατόμβας τοῖς θεοῖς, καὶ χρῶνται τοῖς ἱερείοις πρὸς εὐωχίαν. καὶ οὐ διὰ τοῦτο συμβέβηκεν ἐρημωθῆναι τὸν κόσμον τῶν βοσκημάτων, ὅπερ Ἀπίων ἔδεισεν. εἰ μέντοι τοῖς Αἰγυπτίων ἔθεσιν ἠκολούθουν ἅπαντες, ἠρήμωτο μὲν ἂν ὁ κόσμος τῶν ἀνθρώπων, τῶν ἀγριωτάτων δὲ θηρίων ἐπληθύνθη, ἃ θεοὺς οὗτοι νομίζοντες ἐπιμελῶς ἐκτρέφουσι. καὶ μὴν εἴτις αὐτὸν ἤρετο, τῶν πάντων Αἰγυπτίων τίνας εἶναι καὶ σοφωτάτους καὶ θεοσεβεῖς νομίζει, πάντως ἂν ὡμολόγησε τοὺς ἱερεῖς. δύο γὰρ αὐτούς φασιν ὑπὸ τῶν βασιλέων ἐξ ἀρχῆς ταῦτα προστετάχθαι, τήν [e] τε τῶν θεῶν θεραπείαν, καὶ τὴν σοφίας τὴν ἐπιμέλειαν. ἐκεῖνοι τοίνυν ἅπαντες καὶ περιτέμνονται, καὶ χοιρείων ἀπέχονται βρωμάτων. οὐ μὴν οὐδὲ τῶν ἄλλων Αἰγυπτίων οὐδὲ εἷς συνθύει τοῖς θεοῖς. ἆρ' οὖν τυφλὸς ἦν τὸν νοῦν Ἀπίων ὑπὲρ Αἰγυπτίων ἡμᾶς λοιδορεῖν συνθέμενος, ἐκείνων δὲ κατηγορῶν, οἵγε μὴ μόνον χρῶνται τοῖς ὑπὸ τούτου λοιδορηθεῖσιν ἔθεσιν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐδίδαξαν περιτέμνεσθαι, καθάπερ εἴρηκεν [f] Ἡρόδοτος, ὅθεν εἰκότως μοι δοκεῖ τῆς εἰς τοὺς πατρίους αὐτοῦ νόμους βλασφημίας δοῦναι δίκην Ἀπίων τὴν πρέπουσαν. περιετμήθη γὰρ ἐξ ἀνάγκης, ἑλκώσεως αὐτῷ περὶ τὸ αἰδοῖον γενομένης καὶ μηδὲν ὠφεληθεὶς ὑπὸ τῆς περιτομῆς, ἀλλὰ σηπόμενος ἐν δειναῖς ὀδύναις ἀπέθανεν. δεῖ γὰρ τοὺς εὖ φρονοῦντας τοῖς μὲν οἰκείοις νόμοις περὶ τὴν εὐσέβειαν ἀκριβῶς ἐμμένειν, τοὺς δὲ τῶν ἄλλων μὴ λοιδορεῖν. ὁ δὲ τούτους μὲν ἔφυγε, τῶν ἡμετέρων δὲ κατεψεύσατο. τοῦτο μὲν Ἀπίωνι τοῦ βίου τὸ τέλος ἐγένετο, καὶ τοῦτο παρ' ἡμῶν ἐνταῦθα τὸ πέρας ἔστω τοῦ λόγου.

ιδ'. Ἐπειδὴ καὶ [g] Ἀπολλώνιος ὁ Μόλων, καὶ Λυσίμαχος, καί τινες ἄλλοι τὰ μὲν ὑπ' ἀγνοίας, τὸ πλεῖστον δὲ κατὰ δυσμένειαν, περί τε τοῦ νομοθετήσαντος ἡμῖν Μωϋσέως, καὶ περὶ τῶν νόμων πεποίηνται λόγους, οὔτε δικαίους οὔτε ἀληθεῖς, τὸν μὲν ὡς γόητα καὶ ἀπατεῶνα διαβάλλοντες, τοὺς νόμους δὲ κακίας ἡμῖν καὶ οὐδεμιᾶς ἀρετῆς φάσκοντες εἶναι διδασκάλους, βούλομαι συντόμως καὶ περὶ τῆς ὅλης ἡμῶν καταστάσεως τοῦ πολιτεύματος, καὶ περὶ τῶν κατὰ μέρος, ὡς ἂν ὦ δυνατὸς, εἰπεῖν. οἶμαι γὰρ ἔσεσθαι φανερὸν, ὅτι καὶ πρὸς εὐσέβειαν, καὶ πρὸς κοινωνίαν τὴν μετ' ἀλλήλων, καὶ πρὸς τὴν καθόλου φιλανθρωπίαν, ἔτι δὲ πρὸς δικαιοσύνην καὶ τὴν ἐν τοῖς πόνοις καρτερίαν, καὶ θανάτου περιφρόνησιν ἄριστα κειμένους ἔχομεν τοὺς νόμους. παρακαλῶ δὲ τοὺς ἐντευξομένους τῇ γραφῇ, μὴ μετὰ φθόνου ποιεῖσθαι τὴν ἀνάγνωσιν. οὐ γὰρ ἐγκώμιον ἡμῶν αὐτῶν προειλόμην συγγράφειν, ἀλλὰ πολλὰ καὶ ψευδῆ κατηγορημένοις ἡμῖν ταύτην ἀπολογίαν δικαιοτάτην εἶναι νομίζω, τὴν ἀπὸ τῶν νόμων, καθ' οὓς ζῶντες διατελοῦμεν. ἄλλως τε καὶ τὴν κατηγορίαν ὁ Ἀπολλώνιος οὐκ ἀθρόαν ὥσπερ ὁ Ἀπίων ἔταξεν, ἀλλὰ σποράδην καὶ διὰ πάσης τῆς συγγραφῆς. [h] ποτὲ μὲν ὡς ἀθέους καὶ μισανθρώπους λοιδορεῖ, ποτὲ δ' αὖ δειλίαν ἡμῖν ὀνειδίζει καὶ τοὔμπαλιν ἔστιν ὅπου τόλμαν κατηγορεῖ καὶ ἀπόνοιαν. λέγει δὲ καὶ ἀφυεστάτους εἶναι τῶν βαρβάρων καὶ διὰ τοῦτο μηδὲν εἰς τὸν βίον εὕρημα συμβεβλῆσθαι μόνους. ταῦτα δὲ πάντα διελεγχθήσεσθαι νομίζω σαφῶς, [i] εἰ τἀναντία τῶν εἰρημένων φανείη, διὰ τῶν νόμων ἡμῖν προ-

e Τε] Abeſt ab *Hafn.*
f Ἡρόδοτος,] Lib. 2. c. 104.
g Ἀπολλώνιος ὁ Μόλων,] Videſis *Salmaſium* in *præfat.* ad *Achillem Tatium*, *Caſaubonum* ad *Suetonium* in *Jul. Caſ.* c. 4. & *Huetium* in *Demonſtr. Evangel.* prop. IV. §. 33.

h Ποτὲ μὲν ὡς ἀθέους] Καὶ δὴ οὕτως ποτὲ μὲν ὡς ἀθέους in duobus (*Hafn.* inter eos) MSS.
i Εἰ τἀναντία] Εἰ τἀναντία τῶν εἰρημένων φανείη καὶ διὰ τῶν νόμων in *Cod. Hafn.*

k Κατ-

προστεταγμένα, καὶ πραττόμενα μετὰ πάσης ἀκριβείας ὑφ' ἡμῶν. εἰ δ' ἄρα βιασθείην μνησθῆναι τῶν παρ' ἑτέροις [k] ὑπεναντίως νενομισμένων, τούτου δίκαιοι τὴν αἰτίαν ἔχειν εἰσὶν, οἱ τὰ παρ' ἡμῖν ὡς χείρω παραβάλλειν ἀξιοῦντες. οἷς οὐδέτερον ἀπολειφθήσεσθαι νομίζω λέγειν, οὔθ' ὡς οὐχὶ τούτους ἔχομεν τοὺς νόμους, ὧν ἐγὼ παραθήσομαι τοὺς κεφαλαιωδεστάτους, οὔθ' ὡς οὐχὶ μάλιστα πάντων ἐμμένομεν τοῖς ἑαυτῶν νόμοις.

ιε'. Μικρὸν οὖν ἀναλαβὼν τὸν λόγον, τοῦτ' ἂν εἴποιμι πρῶτον. ὅτι τῶν ἀνόμως καὶ ἀτάκτως βιούντων, οἱ τάξεως καὶ νόμου [l] κοινωνίας ἐπιθυμηταὶ γενόμενοι, καὶ πρῶτοι κατάρξαντες, εἰκότως ἂν ἡμερότητι καὶ φύσεως ἀρετῇ διενεγκεῖν μαρτυρηθεῖεν. ἀμέλει πειρῶνται τὰ παρ' [m] ἑαυτοῖς ἕκαστοι πρὸς τὸ ἀρχαιότατον ἀνάγειν, ἵνα μὴ μιμεῖσθαι δόξωσιν ἑτέρους, [n] ἀλλ' αὐτοὶ τοῦ ζῆν νομίμως ἄλλοις ὑφηγήσασθαι. τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον ἀρετὴ μέν ἐστι νομοθέτου, τὰ βέλτιστα συνιδεῖν, καὶ πεῖσαι τοὺς χρησομένους περὶ τῶν ὑπ' αὐτοῦ τιθεμένων· πλήθους δὲ, τὸ πᾶσι τοῖς δόξασιν ἐμμεῖναι, καὶ μήτε εὐτυχίαις μήτε συμφοραῖς αὐτῶν μηδὲν μεταβάλλειν. φημὶ τοίνυν τὸν ἡμέτερον νομοθέτην τῶν ὁπουδηποτοῦν μνημονευομένων νομοθετῶν προάγειν ἀρχαιότητι. Λυκοῦργοι γὰρ καὶ Σόλωνες, καὶ [o] Ζάλευκος ὁ τῶν Λοκρῶν, καὶ πάντες οἱ θαυμαζόμενοι παρὰ τοῖς Ἕλλησιν, ὡς ἐχθὲς δὴ καὶ πρώην, ὡς πρὸς ἐκεῖνον παραβαλλόμενοι, φαίνονται γεγονότες. ὅπουγε μηδ' αὐτὸ τοὔνομα πάλαι ἐγιγνώσκετο [p] τοῦ νόμου παρὰ τοῖς Ἕλλησι· καὶ μάρτυς Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως [q] αὐτῷ χρησάμενος. οὐδὲ γὰρ ἦν κατὰ [r] τοῦτον, ἀλλὰ γνώμαις [s] ἀορίστοις τὰ πλήθη διῳκεῖτο, καὶ προστάγμασι τῶν βασιλέων. ἀφ' οὗ καὶ μέχρι πολλοῦ διέμειναν ἔθεσιν ἀγράφοις χρώμενοι, καὶ πολλὰ τούτων ἀεὶ πρὸς τὸ συντυγχάνον μετατιθέντες. ὁ δὲ ἡμέτερος νομοθέτης, ἀρχαιότατος γεγονὼς, τοῦτο γὰρ δήπουθεν ὁμολογεῖται καὶ παρὰ τοῖς πάντα καθ' ἡμῶν λέγουσιν, ἑαυτόν τε παρέσχεν ἄριστον τοῖς πλήθεσιν ἡγεμόνα καὶ σύμβουλον· τήν τε κατασκευὴν αὐτοῖς ὅλην τοῦ βίου τῷ νόμῳ περιλαβὼν, ἔπεισεν παραδέξασθαι, καὶ βεβαιοτάτην ἴσασι φυλαχθῆναι παρεσκεύασεν.

ις'. Ἴδωμεν δὲ τῶν ἔργων αὐτοῦ τὸ πρῶτον μεγαλεῖον. ἐκεῖνος γὰρ τοὺς προγόνους ἡμῶν, ἐπειδὴ ἔδοξεν αὐτοῖς, τὴν Αἴγυπτον ἐκλιποῦσιν, ἐπὶ τὴν πάτριον γῆν ἐπανιέναι, πολλὰς τὰς μυριάδας παραλαβὼν, ἐκ πολλῶν καὶ ἀμηχάνων διέσωσεν εἰς ἀσφάλειαν· καὶ γὰρ τὴν ἄνυδρον αὐτοὺς καὶ πολλὴν ψάμμον ἔδει διοδοιπορῆσαι, καὶ νικῆσαι [t] πολέμους, καὶ τέκνα καὶ γυναῖκας καὶ λείαν ὁμοῦ σώζειν μαχομένους. ἐν οἷς ἅπασι καὶ στρατηγὸς ἄριστος ἐγένετο, καὶ σύμβουλος συνετώτατος, καὶ πάντων κηδεμὼν ἀληθέστατος. ἅπαν δὲ τὸ πλῆθος εἰς ἑαυτὸν ἀνηρτῆσθαι παρεσκεύασεν, καὶ περὶ παντὸς ἔχων πειθομένους [v] αὐτοὺς τοῦ κελευσθέντος, εἰς οὐδεμίαν οἰκείαν ἔλαβε [x] ταῦτα πλεονεξίαν. [y] ἐν ᾧ μάλιστα τοῦ καιροῦ δυνάμεις μὲν αὐτοῖς περιβάλλονται καὶ τυραννίδας οἱ προεστῶτες, ἐθίζουσι δὲ τὰ πλήθη μετὰ πολλῆς ἀνομίας [z] ζῆν, ἐν τούτῳ τῷ

apparent & legibus imperata, & à nobis accurate admodum obſervata. Si vero coactus fuero mentionem facere legum contrariarum apud alios conſtitutarum, ob hoc merito culpandi ſunt, quibus in animo eſt noſtra ut pejora cum iis conferre quæ apud alios ſunt. Quibus neutrum puto relictum fore quod dicant: neque quod non eas habeamus leges, quarum ego ſummas in medium proferam; neque quod non maxime omnium in legibus propriis perſeveremus.

15. Paulo ergo altius exorſus volo primum dicere: quod ii qui ordinis & communium legum primi amatores exſtiterunt, eis qui ſine lege & ordine vivunt, manſuetudine & bonitate naturæ non immerito præſtantiores habeantur. Hinc fit quod ſinguli *legumlatores* ſummam ſuis vetuſtatem tribui affectant, ut non imitatores aliorum videantur, ſed ipſi potius aliis legitime vivendi duces exſtitiſſe. Iſtis hunc in modum ſe habentibus, virtus quidem legiſlatoris eſt, quæ optima ſunt perſpicere, eoſque de conſtitutis in bonam opinionem adducere qui illis uſuri ſunt: populi vero, ut maneant in omnibus quæ ſcita & juſſa fuerint; & neque ex felicitate, neque ex calamitatibus horum aliquid immutare. Dico igitur noſtrum legiſlatorem, quoſlibet qui memorantur legiſlatores antiquitate præcedere. Lycurgus enim, & Solon, & Zaleucus Locrenſis, & omnes qui in admiratione ſunt apud Græcos, non ita pridem exſtitiſſe videntur ſi illi conferantur. quando ne ipſum quidem legis nomen olim apud Græcos cognoſcebatur: quod & teſtatur Homerus, qui nuſquam in Poeſi ſua iſto eſt uſus. Nihil quippe hujuſmodi erat illo tempore, ſed optimis ſententiis, & regum juſſis populi regebantur. Unde etiam longo tempore permanſere conſuetudinibus non ſcriptis utentes, multaſque illarum ſemper prout res ceciderit ſubinde mutantes. Noſter vero legiſlator, qui & antiquiſſimus, (hoc etenim in confeſſo eſt etiam apud univerſos, qui omnia contra nos loquuntur) & ſemetipſum populo exhibuit ducem conſultoremque præſtantiſſimum; & totam vitæ rationem lege complexus, eis ſuaſit *hæc* libenter excipere, fecitque ut diligentiſſime obſervaretur à ſcientibus prudentibuſque.

Moſes legumlatorum antiquiſſimus.

16. Primum autem videamus quod inter opera ejus magnificum eſt. Ille enim progenitorum noſtrorum, poſtquam eis viſum eſt Ægypto relicta ad terram propriam revertere, cum multa millia aſſumpſiſſet, illos ex multis difficultatibus ad incolumitatem perduxit: nam & inaquoſam eos & valde arenoſam oportebat viam tranſire, & bella profligare, & liberos ac uxores cum præda inter pugnandum ſervare. in quibus omnibus, & ducem egregium & conſiliarium ſapientiſſimum ſe præſtitit, & omnium curatorem veriſſimum. Fecit autem ut omnis à ſe penderet multitudo, & cum omnia quæ vellet perſuadere poſſet, in nullo horum vindicavit ſibimet poteſtatem. Sed in quo maxime tempore potentiam quidem ſibimet comparant, & tyrannidem occupant qui aliis præſunt, populum vero licenter admodum vivere aſſuefaciunt, in hac ille pote-

Moſes dux egregius & conſiliarius optimus.

k Ὑπεναντίως νενομισμένων,] Ὑπεναντίων in duobus MSS.
l Κοινωνίας ἐπιθυμηταί.] Illud κοινωνίας ex MSS. & Vet. Interpr.
m Ἑαυτοῖς ἕκαστοι] Αὐτοῖς in MSS.
n Ἀλλ' αὐτοὶ] ἀλλ' οὐκ Hafn.
o Ζάλευκος] Ita etiam legendum apud *Coſmam Indicopleuſtam* (p. 342.) pro Τίουρος ὁ τῶν Λοκρῶν.
p Τοῦ νόμου] Illa τοῦ νόμου, quæ ſenſum explent, habemus ex Codd. MSS. & *Coſma Indicopleuſta* p. 343.
q Αὐτῷ χρησάμενος.] Videſis *Joſ. Barneſium* in verſum 20. *Hymni ad Apollinem.*
r Τοῦτον,] Τοῦτον pro τοῦτο repoſui ex *Indicopleuſta.*
s Ἀορίστοις] Ita ex *Coſma.* (itaque quoque *Hafn.*) ἀρίστοις in Editis. atque ἀρίστοις in MSS. & *Vet. Interpr.*
t Πολέμους,] Sic *Vet. Interpr.* & MSS. πολεμίους in Editis.
v Αὐτοὺς] αὐτοῦ *Hafn.*
x Ταῦτα] ταύτην *Hafn.*
y Ἐν ᾧ μάλιστα τοῦ καιροῦ] Ita juxta *Vet. Interpr.* ἐν ᾧ μάλιστα τῷ καιρῷ in Editis.
z Ζῆν,] Illud ζῆν adjiciendum cenſui ex *Vet. Interpr.*

poteſtate conſtitutus, è contrario ipſum oportere pie vivere cenſuit, multumque benevolentiæ populo præſtare: ita & ſe maxime virtutem ſuam oſtenſurum eſſe exiſtimans, & ſalutem certiſſimam illis daturum qui ipſum ſibimet ducem fecerunt. Itaque cum bonum ei propoſitum fuerit, & magnas res geſſerit, jure cenſemus ducem atque conſiliarium ſe Deum habere: & cum ſibimet prius perſuaſiſſet, quod ſecundum illius voluntatem omnia ageret atque mente agitaret, credidit modis omnibus oportere, ut etiam populus in ejuſmodi opinionem adduceretur. Nam qui Deum ſuam vitam reſpicere credunt, nulla in re peccare ſuſtinent. Hujuſmodi quidem noſter legiſlator fuit, non magus, non impoſtor, ſicut conviciatores injuſte pronunciant; ſed quales apud Græcos gloriantur fuiſſe Minoëm, & poſt eum legiſlatores alios. *Origo legum apud Græcos.* Namque quidam leges eorum poſitas à Deo dicebant: Minos vero ad Apollinem & Delphicum ejus oraculum legum vaticinia referebat, ſive hoc verum eſſe credentes, ſive hoc facile *alii* perſuaſuros eſſe exiſtimantes. Qui vero maxime *omnium* perfectiſſimam legum rationem inſtituerit, & [a] juſtiſſimam de Deo perſuaſionem habuerit, ex mutua legum ipſarum contentione quivis intelligat. Jam enim tempus eſt ut ad eas veniamus. Enimvero, infinita quidem, ſi ſingula expendantur, morum atque legum toto paſſim hominum genere diſcrimina ſunt; eas tamen in ſumma hæc capita facile licet colligere. Alii quippe uni tantum, paucis quibuſdam alii, alii denique populo ſummam reipublicæ poteſtatem commiſerunt. At legiſlator noſter, hiſce neglectis omnibus, Theocraticam (liceat enim hac voce tametſi paulo duriore uti) reip. formam inſtituit: *Theocratia apud Judæos.* atque ita ſummo principatu Dei numini attributo, id egit maxime ut in eo cunctorum oculi ac mentes acquieſcerent, tanquam in eo qui & omnium bonorum, ſeu quæ univerſe hominum generi eveniunt, ſeu quæ privatim ſinguli, difficilioribus ſuis temporibus, votis ac precibus impetrant, auctor & cauſſa ſit: atque ejuſmodi, cujus cognitionem nullum omnino factum, cogitatio nulla fugere ac latere poſſit. *Deus Moyſis.* Eum præterea cum ortu carere, tum nullam tota æternitate mutationem ſubire, omnis quoque mortalis formæ dignitatem pulchritudine ſuperare, poſtremo ut ſua nobis poteſtate notum, ſic natura & eſſentia prorſus ignotum eſſe profitetur. Mitto ſane Græcorum ſapientiſſimos hujus de Deo ſententiæ magiſtrum illum ac ducem habuiſſe: quam præclara quidem illa quamque Dei cum natura ac majeſtate conjuncta foret, graviſſime teſtatum ipſi quoque reliquerunt. *Sapientes Græci de* Pythagoras enim, & Anaxagoras, & Plato, quique Platonem excepere Stoici Philoſophi, ac cæ-

ἐξουσίας ἐκεῖνος καθεστηκώς, τοὐναντίον ᾠήθη δεῖν εὐσεβεῖν, καὶ πολλὴν εὔνοιαν τοῖς λαοῖς ἐμπαρασχεῖν· οὕτως αὐτός τε τὰ μάλιστα τὴν ἀρετὴν ἐπιδείξειν τὴν αὐτοῦ νομίζων, [a] καὶ σωτηρίαν τοῖς αὐτὸν ἡγεμόνα [b] ποιουμένοις βεβαιοτάτην παρέξειν. καλῆς οὖν αὐτῷ προαιρέσεως καὶ πράξεων μεγάλων ἐπιτυγχανομένων, εἰκότως [c] ἐνομίζομεν ἡγεμόνα τε καὶ σύμβουλον θεῖον ἔχειν· καὶ πείσας πρότερον ἑαυτόν, ὅτι κατὰ τὴν ἐκείνου βούλησιν ἅπαντα πράττει καὶ διανοεῖται, ταύτην ᾤετο δεῖν πρὸ παντὸς ἐμποιῆσαι τὴν ὑπόληψιν τοῖς πλήθεσιν. οἱ γὰρ πιστεύσαντες ἐπισκοπεῖν Θεὸν τοὺς ἑαυτῶν βίους, οὐδὲν ἀνέχονται ἐξαμαρτεῖν. τοιοῦτος μὲν δή τις αὐτὸς ἡμῶν ὁ νομοθέτης, οὐ γόης, οὐδ᾽ ἀπατεών, ἅπερ λοιδοροῦντες λέγουσιν ἀδίκως· ἀλλ᾽ [d] οἷον παρὰ τοῖς Ἕλλησιν [e] αὐχοῦσι τὸν Μίνω γεγονέναι, καὶ [f] μετ᾽ αὐτὸν τοὺς ἄλλους νομοθέτας. οἱ μὲν γὰρ αὐτῶν τοὺς νόμους [g] ὑποτίθενται· οἱ δέ γε Μίνως ἔλεγεν, ὅτι εἰς τὸν Ἀπόλλω καὶ τὸ Δελφικὸν αὐτοῦ μαντεῖον τὰς τῶν νόμων μαντείας ἀνέφερεν, ἤτοι τἀληθὲς οὕτως ἔχειν νομίζοντες, ἢ πείσειν ῥᾷον ὑπολαμβάνοντες. τίς δ᾽ ἦν ὁ μάλιστα κατορθώσας τοὺς νόμους, καὶ τίς ὁ δικαιοτάτης περὶ τοῦ Θεοῦ πίστεως ἐπιτυχών, πάρεστιν ἐξ αὐτῶν κατανοεῖν τῶν νόμων ἀντιπαραβάλλοντας. ἤδη γὰρ περὶ τούτων λεκτέον. ἐκεῖ ἄπειροι μὲν αἱ κατὰ μέρος τῶν [h] ἐθῶν καὶ τῶν νόμων παρὰ τοῖς ἅπασιν ἀνθρώποις [i] διαφοραί, ὡς δὲ ταύτας κεφαλαιωδῶς ἂν ἐπέλθοι τις. [k] οἱ μὲν γὰρ μοναρχίαις, οἱ δὲ ταῖς ὀλίγων δυναστείαις, ἄλλοι δὲ τοῖς πλήθεσιν ἐπέτρεψαν τὴν ἐξουσίαν τῶν πολιτευμάτων. ὁ δ᾽ ἡμέτερος νομοθέτης εἰς μὲν τούτων οὐδοτιοῦν ἀπεῖδεν· ὡς δ᾽ ἄν τις εἴποι βιασάμενος τὸν λόγον, θεοκρατίαν [l] ἀπέδειξε τὸ πολίτευμα, [m] Θεῷ τὴν ἀρχὴν καὶ τὸ κράτος ἀναθείς, καὶ πείσας εἰς ἐκεῖνον ἅπαντας ἀφορᾶν, ὡς αἴτιον μὲν ἁπάντων ὄντα τῶν ἀγαθῶν, [n] ἃ κοινῇ τε πᾶσιν ἀνθρώποις ἴδια τε ἑκάστοις ὑπάρχει, καὶ ὅσων ἔτυχον αὐτοὶ δεηθέντες ἐν ἀμηχάνοις· λαθεῖν δὲ τὴν ἐκείνου γνώμην οὐχ οἷόν, οὔτε τι τῶν πραττομένων οὐδέν, οὔθ᾽ ὧν ἄν τις παρ᾽ αὐτῷ διανοηθείη. ἀλλ᾽ αὐτὸν ἀπέφηνε καὶ ἀγέννητον, καὶ πρὸς τὸν ἀΐδιον χρόνον ἀναλλοίωτον, πάσης ἰδέας θνητῆς κάλλει διαφέροντα, καὶ δυνάμει μὲν ἡμῖν γνώριμον, ὁποῖος δὲ κατ᾽ οὐσίαν ἐστὶν ἄγνωστον. ταῦτα περὶ Θεοῦ φρονεῖν οἱ σοφώτατοι παρ᾽ Ἕλλησιν ὅτι μὲν ἐδιδάχθησαν, ἐκείνου τὰς ἀρχὰς παρασχόντος, ἐῶ νῦν λέγειν. ὅτι δ᾽ ἐστὶ καλὰ καὶ πρέποντα τῇ τοῦ Θεοῦ φύσει καὶ μεγαλειότητι, σφόδρα μεμαρτυρήκασι. καὶ γὰρ Πυθαγόρας καὶ Ἀναξαγόρας καὶ Πλάτων, καὶ οἱ μετ᾽ ἐκεῖνον ἀπὸ τῆς Στοᾶς φιλόσοφοι, καὶ μικροῦ

κροῦ

a Καὶ σωτηρίαν] Iſta in *Veteri Interprete* exſtant, *& ſalutem firmiſſimam præbere ſequacibus bona voluntate. Ex maximis actibus in ſingulis caſibus uſus eſt. Quapropter recte judicabat, ducem atque conſultorem ſe Deum habere.* Ex quibus haud facile eſt conjicere, quid in *ſuo codice* habuerit.

b Ποιουμένοις] πεποιημένοις *Hafn.*

c Ενομίζομεν] Ενόμιζε ἡγεμόνα τε καὶ σύμβουλον Θεὸν ἔχειν legiſſe videtur *Vet. Interpr.*

d Οἷον] ὢν *Hafn.*

e Αὐχοῦσι] αὐχοῦντες *Hafn.*

f Μετ᾽ αὐτὸν] μετὰ ταῦτα *Hafn.*

g Υποτίθενται.] Manca ſententia eſt, & forſan hoc modo ſuppleri debet. ὑποτίθενται δεῖν Θεοῦ εὑρέσεις. ita enim legiſſe videtur *Vet. Interpres* qui vertit, *namque quidam eorum leges poſitas à Jove dicebant.*

h Εθῶν καὶ τῶν νόμων] Ita lego ex *Euſebio* in *lib.* VIII. de *Præp. Evangel.* c. VIII. prius eorum erat ἰδῶν.

i Διαφοραί,] Poſt διαφοραί ex *Euſebio* κεφαλαιωδῶς ἂν ἐπέλθοι τις· quibus ὡς δὲ ταύτας præmiſit *Vigerus* ad ſenſum explendum.

k Οἱ μὲν γὰρ μοναρχίαις, — ἐπέτρεψαν] ὁ μὲν γ. μοναρχίας, οἱ δὲ ταῖς ὀ. δυναστείας, α. δ. τ. π. ἐπιτρέψαι *Hafn.*

l Απέδειξε τὸ πολίτευμα,] *Al.* ἀπένειμε.

m Θεῷ] Sic *Euſebius.* antea erat, Θεῷ (δὲ *Hafn.*) μᾶλλον [illegible] &c. *Deo principaliter converſationem noſtram atque poteſtatem aſſignans* &c. ut reddit *Vet. Interpr.*

n Α κοινῇ] Ex *Euſebio* & *Vigero* ejus interprete locum repræſentavi, qui antea in *Joſephi* libris ad hunc modum ſe habuit, [illegible] (& eorum, quæ prohibuit, in illam prohibitionem derivant. SEΛΚΗ.) [illegible] in *Hafn.* pro [illegible] legitur [illegible]. Sequentia [illegible] abſunt, & legitur [illegible] &c. paullo poſt ibidem [illegible], & [illegible], deletur vero [illegible].

* *Al.* æquiſſimam de Deo notionemque atque ſententiam animo informarit.

πρῶτον ἀπαθὲς οὕτω φαίνονται, περὶ τῆς τοῦ Θεοῦ φύσεως πεφρονηκότες. ἀλλ' οἱ μὲν πρὸς ὀλίγους φιλοσοφοῦντες [o] εἰς πλήθη δόξαις προκατειλημμένα, τὴν ἀλήθειαν τοῦ δόγματος ἐξενεγκεῖν οὐκ ἐτόλμησαν. ὁ δὲ ἡμέτερος νομοθέτης, ἅτε δὴ τὰ ἔργα παρέχων [p] τοῖς νόμοις σύμφωνα, οὐ μόνον τοὺς καθ' αὐτὸν ἔπεισεν, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γενησομένοις τὴν περὶ τοῦ Θεοῦ πίστιν [q] ἐνέφυσεν ἀμετακίνητον. αἴτιον δ' ὅτι καὶ τῷ τρόπῳ τῆς νομοθεσίας πρὸς τὸ χρήσιμον πάντων [r] ἀεὶ πολὺ διήνεγκεν· οὐ γὰρ μέρος τῆς ἀρετῆς ἐποίησε τὴν εὐσέβειαν, ἀλλὰ ταύτης [s] τὰ μέρη τἆλλα συνεῖδε καὶ κατέστησε· λέγω δὲ τὴν δικαιοσύνην, τὴν καρτερίαν, τὴν σωφροσύνην, τὴν τῶν πολιτῶν πρὸς ἀλλήλους ἐν ἅπασι συμφωνίαν. ἅπασαι γὰρ αἱ πράξεις καὶ διατριβαὶ καὶ λόγοι πάντες, ἐπὶ τὴν πρὸς Θεὸν [t] ἡμῖν εὐσέβειαν ἔχουσι τὴν ἀναφοράν· οὐδὲν γὰρ τούτων ἀνεξέταστον οὐδὲ ἀόριστον παρέλιπε. δύο μὲν γάρ εἰσιν ἁπάσης παιδείας τρόποι καὶ τῆς περὶ τὰ ἤθη κατασκευῆς, ὧν ὁ μὲν λόγῳ [u] διδασκαλικός, ἕτερος δὲ διὰ [x] τῆς ἀσκήσεως τῶν ἠθῶν. οἱ μὲν οὖν ἄλλοι νομοθέται ταῖς γνώμαις διέστησαν, καὶ τὸν ἕτερον αὐτῶν, ὃν ἔδοξεν ἕκαστοι ἑλόμενοι, τὸν ἄλλον παρέλιπον. οἷον Λακεδαιμόνιοι μὲν καὶ Κρῆτες ἔθεσιν ἐπαίδευον οὐ λόγοις· Ἀθηναῖοι δὲ καὶ σχεδὸν οἱ [y] ἄλλοι πάντες Ἕλληνες, ἃ [z] μὲν χρὴ πράττειν ἢ μή, προσέτασσον διὰ τῶν νόμων, τοῦ δὲ πρὸς αὐτὰ διὰ τῶν ἔργων ἐθίζειν [a] ὠλιγώρησαν.

ιζ'. Ὁ δ' ἡμέτερος νομοθέτης ἄμφω ταῦτα συνήρμοσε κατὰ πολλὴν ἐπιμέλειαν. οὔτε γὰρ κωφὴν ἀπέλιπε τὴν τῶν ἐθῶν ἄσκησιν, οὔτε τὸν ἐκ τοῦ λόγου νόμον ἄπρακτον εἴασεν. ἀλλ' εὐθὺς ἀπὸ τῆς πρώτης ἀρξάμενος τροφῆς, καὶ τῆς [b] κατὰ τὸ οἰκεῖον ἑκάστῳ διαίτης, οὐδὲν οὔτε τῶν βραχυτάτων αὐτεξούσιον ἐπὶ ταῖς βουλήσεσι τῶν χρησομένων κατέλιπεν· ἀλλὰ καὶ περὶ σιτίων ὅσων ἀπέχεσθαι χρὴ, καὶ τίνα προσφέρεσθαι, καὶ περὶ [c] τῶν κοινωνησόντων τῆς διαίτης, ἔργων τε [d] συντονίας [e] περὶ τὰς τέχνας, καὶ τοὔμπαλιν ἀναπαύσεως, ὅρον ἔθηκεν αὐτὸς καὶ κανόνα τὸν νόμον, ἵν' ὥσπερ ὑπὸ πατρὶ τούτῳ καὶ δεσπότῃ ζῶντες, μήτε βουλόμενοι μηδὲν, μήθ' ὑπ' ἀγνοίας ἁμαρτάνωμεν. οὐδὲ γὰρ τὴν [f] ἀπ' ἀγνοίας [g] ὑποτίμησιν ἐνέχειν καταλιπεῖν, ἀλλὰ καὶ κάλλιστον καὶ ἀναγκαιότατον ἀπέδειξε [h] παιδευμάτων τὸν νόμον, οὐκ εἰσάπαξ ἀκροασαμένους οὐδὲ δὶς ἢ πολλάκις, ἀλλ' ἑκάστης ἑβδομάδος τῶν [i] ἄλλων ἔργων ἀφεμένους, ἐπὶ τὴν ἀκρόασιν τοῦ νόμου ἐκέλευσε συλλέγεσθαι καὶ τοῦτον ἀκριβῶς ἐκμανθάνειν. ὃ δὴ πάντες οἱ νομοθέται ἐοίκασι παραλιπεῖν.

ιη'. Καὶ τοσοῦτον οἱ πλεῖστοι τῶν ἀνθρώπων ἀπέχουσι, τοῦ κατὰ τοὺς οἰκείους ζῆν νόμους, ὥστε σχεδὸν αὐτοὺς οὐκ ἴσασιν· ἀλλ' ὅταν [k] ἐξαμάρ-

teri prope omnes, in hujus de natura divina ſententiæ communionem ſocietatemque venerunt. At enimvero, cum iſti fere non niſi cum paucis philoſopharentur, & dogmatis hujus veritatem in vulgus aliis jam opinionibus occupatum efferre metuerent: cum noſter hic legiſlator, qui ſuarum ad legum æquitatem operum conſenſionem adjungeret, non eos modo qui ſua ætate viverent, in eam ſecum mentem adduxit, verum etiam nepotibus ac poſteris illorum omnibus, firmam hanc atque conſtantem de divino numine fidem inſeruit. Quod autem in ea legum ſuarum informatione fructum etiam fuerit longe quam cæteri majorem ſequutus, eo maxime factum eſt, quod non religionem virtutis partem aliquam fecerit, ſed religionis potius *alias* partes eſſe quaſdam & viderit & vero ſtatuerit: juſtitiam, patientiam, temperantiam, ac mutuam civium inter ſe rebus in omnibus conjunctionem. Quippe quod actionum, ſtudiorum, ac ſermonum omnium rationes ex una divini numinis religione ſuſpenſas habere nos oporteat: cum nihil penitus aut non expenſum, aut non definitum conſtitutumque reliquerit. Nam cum duæ omnino ſint cujuſvis diſciplinæ, ac morum inſtituendorum viæ; quarum altera præceptis, altera conformatione vitæ continetur: cæteri quidem legiſlatores, diſſidentium opinionum varietate diſtracti, atque alterutram ſuo quiſque ſenſu viam ſequuti, alteram omiſere. Ita enim Lacedæmonii ſimul & Cretenſes, moribus ipſis docebant, non præceptis: Athenienſes autem Græcique propemodum univerſi, quid agendum eſſet, quidve fugiendum legibus edocebant, ſuos tamen ad utrumque rebus ipſis conſuefacere negligebant.

Deo quid tribuerit Moses.

Παιδείας τρόποι duo, ἔθεσι & λόγοις.

17. At legiſlator hic noſter præcipuo quodam ſtudio ambo iſta conjunxit: dum neque mutam vitæ morumque conformationem reliquit, neque legis præcepta operum ſocietate carere permiſit: ſed, jam inde ab ipſomet alimenti genere, & domeſtica ſingulorum victus ratione auſpicatus, ne minutiſſimum quidem aliquid eorum qui *illis* uterentur poteſtatis & arbitrii facere voluit. Imo quibus abſtinendum cibis, quibus item veſci liceat, quinam in victus communionem ac ſocietatem vocandi, quam in operibus contentionem adhibere, quem in otio tenere modum oporteat, certis quaſi legis finibus reguliſque deſcripſit: uti ſub ejus tanquam parentis cujuſdam aut dominæ imperio nutuque viventes, nihil omnino vel malitia vel ignoratione peccemus. Ita ne ignorationem illam, velut aliquam deprecandæ pœnæ ſpeciem relinqueret, longe pulcherrimum nobis maximeque neceſſarium diſciplinæ genus, legem ipſam eſſe voluit: nec ſatis id futurum putavit, ut ſemel, iterum, aut ſæpius eam audiviſſemus, niſi hebdomadis quoque ſingulis, ab alio quolibet opere feriatos omnes, ad illam dum recitaretur audiendam, animoque penitus informandam, convenire juberet. Id quod ab reliquis omnibus legiſlatoribus prætermiſſum videmus.

Ακρόασις legis frequens apud Judæos.

18. Quare, plerique mortalium à vita ſuarum ex legum præceptis inſtituenda tantum abſunt, ut in ſumma fere illarum ignoratione verſentur, atque ubi peccaverint,

o Εἰς πλήθη δόξαις προκατειλημμένα.] *Al.* εἰς πλῆθος δόξαις προκατειλημμένον, vel προκατειλημμένοι.
p Τοῖς νόμοις σύμφωνα.] *Al.* σύμφωνα τοῖς λόγοις.
q Ενέφυσεν] ἐνέφυε *Hafn.*
r Αεὶ πολὺ διήνεγκε] Illud ἀεὶ non agnoſcit *Euſeb.*
s Τὰ μέρη] Μέρη τὰ ἄλλα, καὶ συνεῖδεν αὐτὰ & κατέστησεν *Euſeb.*
t Ημῖν εὐσέβειαν ἔχουσι] Ημῶν εὐσεβείας ἀναφέρουσιν *Euſeb.*
u Διδασκαλικὸς,] Ita cum *Euſebio.* antea erat διδάσκαλος, ἕτερος δέ.
x Τῆς ἀσκήσεως τῶν ἠθῶν.] Ita *Euſeb.* prius διὰ πάντων ὄντα.
y Αλλοι πάντες Ελληνες.] Illud ἄλλοι non agnoſcit *Euſeb.*
z Μὲν χρὴ] Etiam ἃ deſideratur in *Euſebio.*
a Ωλιγώρησαν.] Ωλιγώρει *Euſeb.*

b Κατὰ τὸ οἰκεῖον] Κατὰ τὴν οἴκοι ἑκάστου *Euſeb.*
c Τῶν κοινωνησόντων] Κοινωνησάντων *Euſeb.*
d Συντονίας] αὐτονίας *Hafn.* ſed in Marg. ſcribitur legendum eſſe συντονίας.
e Περὶ τὰς τέχνας,] Illa περὶ τὰς τέχνας non agnoſcit *Euſeb.* διὰ τῶν τεχν. *Hafn.*
f Απ' ἀγνοίας] Antea ὑπό, quod quidem ferri poteſt.
g Υποτίμησιν ἐνέχειν] [illegible] καταλιπεῖν *Euſeb.* De voce ὑποτίμησις vide *Vigerum* ad *Euſebium* [illegible] : 56.
h Παιδευμάτων] Παίδευμα τὸν νόμον *Euſeb.*
i Αλλων ἔργων ἀφεμένους,] Ita *Euſeb.* (cui jam aſtipulatur *Hafn.*) ἄλλων antea deerat.
k Εξαμάρτωσι,] Εξαμαρτάνωσιν in *Euſebio.*

caverint, eas tum demum abs ſe violatas, ex aliis intelligant. Quam ignorantiam ſummi quoque & principes eorum magiſtratus confitentur, dum eos rerum adminiſtrationi præeſſe potiſſimum, ac ſibi aſſidere volunt, qui præcipuam quandam legum peritiam præ ſe ferant. At ex noſtris, quemcunque de legum noſtrarum capitibus interroges, univerſas facilius quam ſuum ipſe nomen edifferet. quippe quas jam uſque ab ea qua primum aliquid ſentire cœpimus ætate, hauſtas, mentibus deinceps inuſtas quodammodo impreſſaſque teneamus. Ita, & rari admodum ſunt qui eas violent, & qui violarit, nulla prorſus ei deprecandæ pœna ratio ſupereſt.

Concordia Judæorum. 19. Atque hic admirabilis inter nos animorum conſenſionis fons eſt præcipuus. Nam & idem omnes de Deo ſentire, & nullo vitæ morumque diſſidio laborare, id vero pulcherrimam ac jucundiſſimam hominibus animorum ſtudiorumque conjunctionem afferre ſolet. Enimvero, ſoli omnino ſumus, apud quos neque diſcrepantes unquam de Deo ſententias audies, quod apud alios frequentiſſimum eſt: (nec enim vulgaris tantum ac plebejus quilibet, prout peculiaris animi ſenſus impulerit, *de Deo* loquitur: ſed hoc temeritatis vitium ad nonnullos etiam Philoſophos permanavit, quorum alii omnem Dei naturam funditus exterminare conati ſunt, alii eundem omni hominum cura providentiaque ſpoliarunt:) nec ullum in vitæ rationibus diſſidium videbis. Immo vero, cum ſumma quædam apud nos omnium ſit operum functionumque communio, tum vox ſimiliter eadem, & cum ipſa lege de Deo conſentiens, quæ omnia divini oculi ſapientia regi profitetur. Quinetiam quod ad vitæ inſtituta ſpectat, ex ipſis quoque *Finis vitæ pietas.* mulierculis ac mancipiis intelliges, nihil non ex cæteris ad unum religionis finem eſſe referendum.

20. Atque hinc profectum illud eſt, quod à nonnullis probro nobis & crimini vertitur, neminem ex nobis ullum aut novæ orationis, aut operis novi *Lex Judæorum immutabilis.* auctorem prodiiſſe. Nam cæteri quidem, in nulla patriarum conſuetudinum acquieſcere, præclarum quiddam ac laude dignum arbitrantur, eoſque potiſſimum qui aliquid earum labefactare conantur, à ſingulari prudentiæ vi ſolertiaque commendant. Nos contra, unam hanc & prudentiam & virtutem eſſe ſtatuimus, nihil omnino quod cum legibus ante ſancitis quoquo modo pugnet aut invehere aut moliri. Quod ſane argumento certiſſimo eſt, optime conditam hanc fuiſſe legem. Quæ enim ſecus inſtituta ſunt, ea correctione indigere, experientia comprobatur.

21. At nos, qui hanc primam legem ex divinæ voluntatis arbitrio latam fuiſſe credimus, eam deinceps violare ſine impietate non poſſumus. Et vero, quid tandem aut ex ea mutare quis poſſit, aut excogitare melius, aut ab aliis convenientius mutuari? Nam forte genus ipſum Reipublicæ *totum immutabis*? At quodnam, obſecro, poſſit eo vel melius vel æquius inſtitui, quod Deum quidem *De ſacerdotibus.* rerum univerſarum moderatorem conſtituit, ſacerdotes vero ita publicæ maximorum negotiorum adminiſtrationi præficiat, ut illis ipſis ſacerdotibus

τωσι, τότε παρ' ἄλλων μανθάνουσιν, ὅτι τὸν νόμον παραβεβήκασιν. οἵ τε τὰς μεγίστας καὶ κυριωτάτας παρ' αὐτοῖς ἀρχὰς διοικοῦντες ὁμολογοῦσι τὴν ἄγνοιαν· ἐπιστάτας γὰρ παρακαθίστανται τῆς τῶν πραγμάτων οἰκονομίας, τοὺς ἐμπειρίαν ἔχειν τῶν νόμων ὑπισχνουμένους. [l] ἡμῶν δ' ὁντινοῦν εἴτις ἔροιτο τοὺς νόμους, ῥᾷον ἂν εἴποι [m] πάντα ἢ τοὔνομα τὸ ἑαυτοῦ. τοιγαροῦν ἀπὸ τῆς πρώτης εὐθὺς αἰσθήσεως αὐτοὺς ἐκμανθάνοντες, ἔχομεν ἐν ταῖς ψυχαῖς [n] ὥσπερ ἐγκεχαραγμένους. καὶ σπάνιος μὲν ὁ παραβαίνων, ἀδύνατος δ' ἡ τῆς κολάσεως παραίτησις.

ιθ'. Τοῦτο πρῶτον ἁπάντων τὴν θαυμαστὴν ὁμόνοιαν ἡμῖν ἐμπεποίηκεν. τὸ γὰρ μίαν μὲν ἔχειν καὶ τὴν αὐτὴν δόξαν περὶ Θεοῦ, τῷ βίῳ δὲ καὶ τοῖς ἔθεσι μηδὲν ἀλλήλων διαφέρειν, καλλίστην ἐν ἤθεσιν ἀνθρώπων συμφωνίαν [o] ἀποτελεῖ. παρ' ἡμῖν γὰρ μόνοις, οὔτε περὶ τοῦ Θεοῦ λόγους ἀκούσεταί τις ἀλλήλοις ὑπεναντίους, ὁποῖα πολλὰ παρ' ἑτέροις· οὐδ' ὑπὸ τῶν τυχόντων μόνον κατὰ τὸ προσπεσὸν ἑκάστῳ λέγεται πάθος, ἀλλὰ καὶ παρά τισι τῶν φιλοσόφων αὐτῶν [p] τετόλμηται, τῶν μὲν τὴν ὅλην τοῦ Θεοῦ φύσιν [q] ἀναιρεῖν τοῖς λόγοις ἐπικεχειρηκότων, ἄλλων δὲ τὴν ὑπὲρ ἀνθρώπων [r] αὐτοῦ πρόνοιαν ἀφαιρουμένων. οὐδ' ἐν τοῖς ἐπιτηδεύμασι τῶν βίων ὄψεται διαφοράν. ἀλλὰ κοινὰ μὲν ἔργα πάντων παρ' ἡμῖν, εἷς δὲ ὁ λόγος [s] ὁ τῷ νόμῳ συμφωνῶν περὶ Θεοῦ, πάντα λέγων ἐκεῖνον ἐφορᾷν. καὶ μὴν περὶ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων, ὅτι δεῖ πάντα τὰ ἄλλα τέλος ἔχειν τὴν εὐσέβειαν, καὶ γυναικῶν ἀκούσειεν ἄν τις καὶ τῶν οἰκετῶν.

κ'. Ὅθεν δὴ καὶ τὸ προφερόμενον ἡμῖν ὑπό τινων [t] ἔγκλημα, [v] τὸ δὴ μὴ [x] καινῶν εὑρετὰς ἔργων ἢ λόγων [y] ἄνδρας παρασχεῖν, ἐντεῦθεν συμβέβηκεν. οἱ μὲν γὰρ ἄλλοι τὸ μηδενὶ τῶν πατρίων ἐμμένειν, καλὸν εἶναι νομίζουσι, καὶ τοῖς μάλιστα τολμῶσι ταῦτα παραβαίνειν σοφίας δεινότητα μαρτυροῦσιν. ἡμεῖς δὲ τοὐναντίον μίαν εἶναι καὶ φρόνησιν καὶ ἀρετὴν ὑπειλήφαμεν, τὸ μηδὲν ὅλως ὑπεναντίον μήτε πρᾶξαι μήτε διανοηθῆναι τοῖς ἐξ ἀρχῆς [z] νομοθετηθεῖσιν. ὅπερ εἰκότως ἂν εἴη τεκμήριον τοῦ κάλλιστα τεθεῖσθαι τὸν νόμον. τὰ γὰρ μὴ τοῦτον ἔχοντα τὸν τρόπον, αἱ πεῖραι [a] δεόμενα διορθώσεως ἐλέγχουσιν.

κα'. Ἡμῖν δὲ τοῖς πεισθεῖσιν ἐξ ἀρχῆς τεθῆναι τὸν νόμον κατὰ Θεοῦ βούλησιν, οὐδ' εὐσεβὲς [b] ἦν ἔτι τοῦτο μὴ φυλάττειν. τί γὰρ αὐτοῦ τις ἂν μετακινήσειεν, ἢ τί κάλλιον [c] ἐξεύροι, ἢ τί παρ' ἑτέρων ὡς ἄμεινον [d] ἐξενέγκαι; ἆρά γε τὴν ὅλην κατάστασιν τοῦ πολιτεύματος; καὶ τίς [e] ἢ καλλίων ἢ δικαιοτέρα γένοιτο, [f] τῆς Θεὸν μὲν ἡγεμόνα τῶν ὅλων ἡγεῖσθαι πεποιημένης, τοῖς ἱερεῦσι δὲ κοινῇ μὲν τὰ μέγιστα διοικεῖν ἐπιτρεπούσης, τῷ δὲ πάντων ἀρχιερεῖ πάλιν αὖ πεπι-

l Ἡμῶν] Ἡμῶν δ' ὁντινοῦν τις ἔροιτο, τοὺς νόμους ῥᾷον ἂν τις εἴποι πάντας *Euſeb.*
m Πάντα] πάντας *Hafn.*
n Ὥσπερ ἐγκεχαραγμένους.] Illud ὥσπερ ex *Euſebio.*
o Ἀποτελεῖ.] Ita ex *Euſeb.* ἐπιτελεῖ in *Editis.*
p Τετόλμηται,] Ἀποτετόλμηται *Euſeb.*
q Ἀναιρεῖν τοῖς λόγοις] Ἀναιρεῖν τοῖς λόγοις ἐπικεχ. *Euſeb.* ut & *Hafn.*
r Αὐτοῦ] αὐτὸν *Hafn.*
s Ὁ τῷ νόμῳ] Ita ex *Euſebio.* antea erat ὁμοῦ σύμφωνος.
t Ἐγκλήματα,] ἐγκλήματος *Hafn.*
v Τὸ δὴ μὴ] Sic *Euſeb.* prius erat, τὸ δὲ μὴ καινῶν εὑρετὰς ἔργων ἢ λόγων ἀνδρῶν παρασχεῖν.
x Καινῶν εὑρετὰς ἔργων ἢ λόγων] καινῶν *Hafn.*
y Ἄνδρας παρασχεῖν, ἐντεῦθεν συμβέβηκεν.] ἀνδρῶν *Hafn.*
z Νομοθετηθεῖσιν.] Ita ex *Euſebio.* antea vitioſa νομοθετήσασιν.
a Δεόμενα διορθώσεως] Δεόμενα in *Euſeb.* & *Vulgatis Joſephi.* διορθώσεως *Hafn.*
b Ἦν ἔτι τοῦτο] Sic *Euſeb.* antea erat, ὃ ἔτι τοῦτο φυλάττειν.
c Ἐξεύροι,] ἐξεῦρεν *Hafn.*
d Ἐξενέγκαι;] Μετενέγκαι mallt *Montacutius.* ἐξένεγκεν *Hafn.*
e Ἡ καλλίων] ἂν κάλλιον *Hafn.*
f Τῆς Θεὸν μὲν ἡγεμόνα] Τῆς τὸν Θεὸν *Euſeb.*

g Οἱ

πεπιστευκυίας τὴν τῶν ἄλλων ἱερέων ἡγεμονίαν. [g] οὓς οὐ καθὰ πλοῦτον, οὐδέ τισιν ἄλλαις προύχοντας αὐτομάτοις πλεονεξίαις, πρώτους εὐθὺς ὁ νομοθέτης ἐπὶ τὴν τιμὴν ἔταξεν· ἀλλ' ὅσοι τῶν μετ' αὐτοῦ πειθοῖ τε καὶ σωφροσύνῃ τῶν ἄλλων διέφερον, τούτοις τὴν περὶ τὸν Θεὸν μάλιστα θεραπείαν ἐνεχείρισεν. [h] τούτοις δ' ἦν καὶ τοῦ νόμου καὶ τῶν ἄλλων ἐπιτηδευμάτων ἀκριβὴς ἐπιμέλεια· καὶ γὰρ ἐπόπται πάντων καὶ δικασταὶ τῶν ἀμφισβητουμένων, καὶ κολασταὶ τῶν καταγνωσμένων οἱ ἱερεῖς ἐτάχθησαν.

κβ΄. Τίς ἂν οὖν ἀρχὴ γένοιτο ταύτης ὁσιωτέρα; τίς δὲ Θεῷ τιμὴ μᾶλλον [i] ἁρμόζουσα; παντὸς μὲν τοῦ πλήθους κατεσκευασμένου πρὸς τὴν εὐσέβειαν, ἐξαίρετον δὲ τὴν ἐπιμέλειαν τῶν ἱερέων πεπιστευμένων, ὥσπερ δὲ [k] τελετῆς τινὸς τῆς ὅλης πολιτείας οἰκονομουμένης, ἃ γὰρ ὀλίγων ἡμερῶν ἀριθμὸν ἐπιτηδεύοντες [l] ἀλλόφυλοι φυλάττειν οὐ δύνανται, μυστήρια καὶ τελετὰς ὀνομάζοντες, [m] ταῦτα μετὰ πολλῆς ἡδονῆς καὶ γνώμης [n] ἀμεταπείστου φυλάττομεν ἡμεῖς διὰ τοῦ παντὸς αἰῶνος. Τίνες οὖν εἰσιν αἱ [o] προρρήσεις καὶ ἀπαγορεύσεις; ἁπλαῖ τε καὶ γνώριμοι. πρώτη [p] δ' ἡγεῖται περὶ Θεοῦ, λέγουσα, [q] ὁ Θεὸς ἔχει τὰ [r] πάντα παντελὴς καὶ μακάριος, αὐτὸς ἑαυτῷ καὶ πᾶσιν αὐτάρκης, ἀρχὴ, καὶ μέσα, καὶ τέλος [s] πάντων οὗτος· ἔργοις μὲν καὶ χάρισιν [t] ἐναργὴς, καὶ παντὸς [u] οὑτινοσοῦν φανερώτερος, μορφήν τε καὶ μέγεθος ἡμῖν [x] ἀφανέστατος. πᾶσα μὲν γὰρ ὕλη [y] πρὸς εἰκόνα τὴν τούτου, κἂν ᾖ πολυτελὴς, ἄτιμος, πᾶσα δὲ τέχνη πρὸς μιμήσεως ἐπίνοιαν ἄτεχνος. οὐδὲν ὅμοιον [z] οὔτ' ἴδομεν οὔτ' ἐπινοοῦμεν, οὔτ' εἰκάζειν ἐστὶν ὅσιον. ἔργα βλέπομεν αὐτοῦ, φῶς, οὐρανὸν, γῆν, ἥλιον καὶ σελήνην, [a] ὕδατα, ζώων γενέσεις, καρπῶν ἀναδόσεις. ταῦτα ὁ Θεὸς ἐποίησεν [b] οὐ χερσὶν, οὐ πόνοις, οὐδέ τινων [c] συνεργασαμένων ἐπιδεηθεὶς· ἀλλ' αὐτοῦ καλὰ θελήσαντος, [d] καλῶς ἦν εὐθὺς γεγονότα. τοῦτον δεῖ πάντας ἀκολουθεῖν, καὶ θεραπεύειν αὐτὸν ἀσκοῦντας ἀρετήν· τρόπος γὰρ Θεοῦ θεραπείας οὗτος ὁσιώτατος.

κγ΄. Εἷς ναὸς ἑνὸς Θεοῦ. φίλον γὰρ ἀεὶ παντὶ τὸ ὅμοιον. [e] κοινὸς ἁπάντων, κοινοῦ Θεοῦ ἁπάντων. τοῦτον θεραπεύουσι μὲν διὰ παντὸς οἱ ἱερεῖς, ἡγεῖται δὲ τούτων ὁ πρῶτος ἀεὶ κατὰ γένος. οὗτος [f] μετὰ τῶν συνιερέων θύσει τῷ Θεῷ, φυλάξει τοὺς νόμους, δικάσει περὶ τῶν ἀμφισβητουμένων, κολάσει τοὺς ἐλεγχθέντας [g] ἐπ'

summum omnium pontificem præeſſe velit? Adde quod eoſdem ab ipſo jam initio legiſlator, non pro cenſus magnitudine, aut aliarum ejuſmodi rerum, quam fortuna peperit, copia, in tanto honoris gradu collocari voluerit, ſed iis duntaxat qui ſecum aliis partim orationis vi, partim etiam æquitate morum anteirent, divini cultus ritus commiſerit. Id quod ad accuratam & legis, & reliquorum inſtitutorum conſervationem, maxime pertinebat: cum & ſummi omnium quæſitores, & controverſiarum judices, & damnatorum punitores conſtituti ſacerdotes eſſent.

22. Quodnam igitur imperii genus hoc ſanctius eſſe queat? aut qui Deo cultus convenientior exhiberi? ubi non multitudo tantum univerſa ad pietatem ſtudioſiſſime informetur, ſed etiam & inſignis quædam à ſacerdotibus in rerum adminiſtratione diligentia exigatur, & ſolennem ſacri alicujus feſti religionem tota reip. ratio imitetur? Nam quæ alienigenæ paucis aliquot diebus myſteria, ut appellant, ſtataſque ceremonias cuſtodire non poſſunt, ea nos perpetuo cum ſuaviſſime, tum etiam conſtantiſſime retinemus. Quænam vero, & cujuſmodi noſtra illa vel edicta ſunt, vel interdicta? Simplicia prorſus & illuſtria. Princeps quidem & caput omnium illud eſt, quod ita de Deo ſtatuit: Deum univerſa complecti; perfectiſſimum illum eſſe atque beatiſſimum; ſibi ipſi ac cæteris omnibus ſatis unum eſſe, principium, medium, finemque cunctorum: eundem ut operibus ac beneficiis conſpicuum, imo rerum omnium longe nobiliſſimum, ita cum natura, tum etiam magnitudine obſcuriſſimum: materiam omnem, ut genere ipſo pretioſiſſima, vilem, ſi ad ejus imaginem exigatur, futuram: artem etiam omnem, ſi ad illius imitationem aſpiret, inertem jacere: nihil ejus ſimile nec videri, nec cogitari poſſe. Hujus tamen opera ſub aſpectum cadere, lumen, cœlum, terram, ſolem, lunam, aquas, animantium procreationes, fructuumque proventus: hæc autem à Deo, non manibus, non labore ullo, non precaria cujuſquam opera, ſed uno voluntatis ſuæ nutu perfecta continuò, proque eo ac ſtatuerat, bonitatem ſortita eſſe. Ad illum omnes adhæreſcere, unum virtutis exercitio colere oportere, quod ea cultus divini ratio ſanctiſſima ſit.

23. Unius Dei templum unum eſſe, quod ſimili ſimile delectetur; adeoque commune cum omnibus, quia Numini omnium communi ſacrum. Ac ſacerdotum quidem proprias ejus placandi partes eſſe, iis tamen unum ſemper aliquem præeſſe genere principem, qui cum aliis ſacerdotibus Deo ſacrificet, leges cuſtodiat, ſi quid erit controverſum arbitrio definiat, peractos denique reos juſto ſupplicio coër-

Deque ſacrorum in ſacris diligentia.

Judæorum de Deo opiniones.

Lex Dei, non facies imaginem &c.

Sacerdotum partes & officia.

g Οὓς οὐ καθὰ πλοῦτον,] Οὓς οὐ πλούτῳ, οὐδέ τισιν ἄλλαις προύχοντας πλεονεξίαις, τὸ πρῶτον εὐθὺς νομοθετοῦντος ἐπὶ τὴν τιμὴν ἔταξεν *Euſeb.* alteram tamen lectionem repræſentavit *Montacutius*, & ſequutus eſt *Vigerus*: licet ei non diſplicet πλούτῳ pro καθὰ πλοῦτον, cum ſequatur οὐδέ τισιν.

h Τούτοις δ' ἦν] Τοῦτο δ' ἦν *Euſeb.* altera lectio facilior. τοῦτο δ' ἦν *Haſn.*

i Ἁρμόζουσα,] Ita cum *Euſebio*. antea ἁρμόττουσα.

k Τελετῆς] Sic *Vigerus* poſt *Montacutium*. prius erat τελεστῆς τινος, & apud *Euſebium* τελεῖ ἐστι τῆς ὅλης πολ.

l Ἀλλόφυλοι φυλάττειν] Ἄλλοι φυλάττουσιν *Euſeb.*

m Ταῦτα] Illud ταῦτα ex *Euſebio*.

n Ἀμεταπείστου] Ἀμεταθέτου *Euſeb.*

o Προρρήσεις] Ita ex *Euſebio* & notis *Vigeri* ad p. 365. antea erat προρρήσεως, interrogatione adhibita poſt γνώριμοι, non ἀπαγορεύσεως.

p Δ' ἡγεῖται] Sic in *Euſebio*. δὲ γένοιτο antea in *Joſephi* libris.

q Ὁ Θεὸς ἔχει τὰ] Æſchyl. ſept. c. Theb. v. 120. Ζεῦ πάτερ παντελὲς πάντως. SPANH.

r Πάντα παντελὴς] Σύμπαντα *Euſeb.*

s Πάντων] Ita cum *Euſebio*. antea erat καὶ τέλος οὗτος τῶν πάντων ἔργοις &c. Forſan ſcripſerit *Joſephus* καὶ τέλος οὗτος τῶν πάντων. ἔργοις &c.

t Ἐναργὴς,] Sic *Euſeb.* ἐναργέστερος prius erat.

u Οὑτινοσοῦν] οὗτος delevit in *Haſn.*

x Ἀφανέστατος] Iterum ex *Euſebio*. prius ἀφανής.

ἀρεσιότητος. τὸ δὲ ἐκτὸς κλίμα πρὸς τὴν τοῦ προσιζόντος εἶναι θεωρίαν. διὸ τὴν ὑπεροχὴν ὀξεῖαν εἶναι τῶν δύο κλιμάτων συνέβαινε, μετέωρον ἐπικειμένην, ὡς προειρήκαμεν· τριγώνου κατεσκευασμένου, καθ' ὃ ἂν μέρος στρέφοιτο. λίθων τε πολυτελῶν ἐν αὐτῷ διαθέσεις ὑπῆρχον, ἀνὰ μέσον τῶν σχοινίδων· ἕτερος παρ' ἕτερον πλοκὴν εἶχον ἀμίμητον τῇ ποιήσει. πάντες δὲ ἦσαν διὰ τρημάτων κατειλημμένοι, χρυσαῖς περόναις πρὸς τὴν ἀσφάλειαν· ἐπὶ δὲ τῶν γωνιῶν αἱ κατακλεῖδες· συνέσφιγγον δὲ πρὸς τὴν συνοχήν. ἐκ πλαγίων δὲ κατὰ τὴν στεφάνην κυκλόθεν τὰ πρὸς τὴν ἄνω πρόσοψιν ᾠοθεσία κατεσκεύαστο διάλιθος, ἐκτύπωσιν ἔχουσα προσεχῆς συνεχίσιν ἀναγλυφαῖς ῥαβδωτῆς, πυκνὴν ἐχούσης τὴν πρὸς ἄλληλα θέσιν περὶ ὅλην τὴν τράπεζαν. ὑπὸ δὲ τὴν ἐκτύπωσιν τῶν λίθων τῆς ᾠοθεσίας, στέφανον ἐποίησαν οἱ τεχνῖται πάγκαρπον, ἐν ὑπεροχῇ προδήλους ἔχοντα βοτρύων καὶ σταχύων, ἔτι δὲ φοινίκων καὶ μήλων, ἐλαίας τε καὶ ῥοῶν, καὶ τῶν παραπλησίων. τοὺς δὲ λίθους ἐργασάμενοι πρὸς τὴν τῶν προειρημένων καρπῶν διατύπωσιν, ἔχοντας ἑκάστου γένους τὴν χρόαν, ἀνέδησαν τῷ χρυσῷ κύκλῳ περὶ ὅλην τὴν τῆς τραπέζης κατασκευὴν κατὰ κορυφήν. μετὰ δὲ τὴν τοῦ στεφάνου διάθεσιν, ὁμοίως κατὰ τὴν τῆς ᾠοθεσίας διασκευὴν, ἣ κατεσκεύαστο καὶ τὰ λοιπὰ τῆς ῥαβδώσεως καὶ διαγλυφῆς, καὶ κατ' ἀμφότερα τὰ μέρη τὴν τράπεζαν πρὸς τὴν χρῆσιν πεποιῆσθαι, καθ' ὃ ἂν μέρος αἱρῶνται· ὥστε καὶ τὴν τῶν κυμάτων θέσιν, καὶ τὴν τῆς στεφάνης, εἶναι κατὰ τὸ τῶν ποδῶν μέρος. ἔλασμα γὰρ ἐποίησαν καθ' ὅλου τοῦ πλάτους τῆς τραπέζης στερεὸν, δακτύλων τεσσάρων· ὥστε τοὺς πόδας ἐνεῖσθαι εἰς τοῦτο, περόνας κατακλεῖστον ἔχοντας ἐσφίγχθαι κατὰ τὴν στεφάνην· ἵνα καθ' ὃ ἂν αἱρῶνται μέρος, ἡ χρῆσις ᾖ. τοῦτο δὲ κατ' ἐπιφάνειαν θεωρεῖται ἀμφοτεροδέξιον τῆς κατασκευῆς οὔσης. ὑπ' αὐτῆς δὲ τῆς τραπέζης μαίανδρον ἔκτυπον ἐποίησαν, ἐν ὑπεροχῇ λίθους ἔχοντα κατὰ μέσον πολυτελεῖς, τῶν πυλιάδων, ἄνθρακόν τε καὶ σμαράγδων, ἔτι δὲ καὶ ὄνυχος, καὶ τῶν ἄλλων γενῶν τῶν διαφερόντων ἐν ὡραιότητι. μετὰ δὲ τὴν τοῦ μαιάνδρου διάθεσιν ἐπέκειτο χρῆμα πλοκὴ, θαυμασίως ἔχουσα, ῥομβωτὴν ἀποτελοῦσα τὴν ἀνὰ μέσον θεωρίαν· ἐφ' ἧς κρυστάλλου λίθου, καὶ τὸ λεγόμενον ἤλεκτρον ἐνετετύπωτο, ἀμίμητον θεωρίαν ἀποτελοῦν τοῖς θεωροῦσι. τοὺς δὲ πόδας ἐποίησαν τὰς κεφαλίδας ἔχοντας κρινωτὰς, ἀνάκλασιν κρίνων ὑπὸ τὴν τράπεζαν λαμβανόντων. τὰ δὲ τῆς ἐκτὸς προσόψεως ὀρθὴν ἔχοντα τὴν πετάλωσιν. ἡ δὲ ἐπ' ἐδάφους ἔρεισις τοῦ ποδὸς, ἄνθραξ λίθος παντόθεν παλαιστιαία, κρηπῖδος ἔχουσα τάξιν κατὰ τὴν πρόσοψιν, ὀκτὼ δὲ δακτύλων τὸ πλάτος ἔχουσα· ἐφ' ὃν ἐπίκειται τὸ παρέλασμα τοῦ ποδός. κατεσκεύασε δὲ ἐκφύοντα κισσὸν ἀκάνθῳ πεπλεγμένον ἐκ τοῦ λίθου, σὺν ἀμπέλῳ περιειλημμένον κυκλόθεν τῷ ποδὶ σὺν τοῖς βότρυσιν, οἱ λιθουργεῖς ἦσαν μέχρι τῆς κεφαλῆς. ἡ δὲ αὐτὴ διάθεσις ἦν τῶν τεσσάρων ποδῶν πάντα ἐνεργῶς πεποιημένα καὶ προσηγμένα, τῆς ἐμπειρίας καὶ τέχνης τὰς ὑπεροχὰς ἀπαραλλάκτως ἔχοντα πρὸς ἀλήθειαν, ὥστε καὶ ῥιπίζοντος τοῦ πνεύματος τοῦ κατὰ τὸν ἀέρα, κίνησιν ἐπιδέχεσθαι τὴν τῶν φύλλων θέσιν, πρὸς τὴν τῆς ἀληθείας διάθεσιν τετυπωμένων ἁπάντων. ἐποίησαν δὲ τριμερὲς τὸ στόμα τῆς τραπέζης, οἱονεὶ τρίπτυχον, πελεκίνοις συναρμοζόμενον γομφώσεις πρὸς ἑαυτὰ κατὰ τὸ πάχος τῆς κατασκευῆς, ἀθέατον καὶ ἀνεύρετον τὴν τῶν ἁρμῶν κατεσκευάσαντες συμβολήν. ἡμιπηχίου δὲ οὐκ ἔλασσον ἦν τὸ πάχος τῆς ὅλης τραπέζης, ὥστε πολλῶν εἶναι ταλάντων τὴν ὅλην διασκευήν. ἐπειδὴ γὰρ οὐ προῄρητο τοῖς μεγέθεσιν οὐδὲν προσθεῖναι ὁ βασιλεὺς, ὅσον

ἰδεῖ

a In V. C. deeſt δὲ, & paullum poſt συνοχῆ.

ἔδει δαπανηθῆναι κατασκευαζομένων μειζόνων, τοῦτο ἀπέδωκε πλείονα· καὶ κατὰ τὴν προαίρεσιν αὐτοῦ πάντα ἐπετελέσθη θαυμασίως καὶ ἀξιολόγως ἔχοντα, καὶ τὴν τέχνην ἀμίμητα, καὶ τῇ καλλονῇ διαπρεπῆ.

Τῶν δὲ κρατήρων δύο μὲν ἦσαν, τὴν κατασκευὴν φολιδωτὴν ἔχοντες, ἀπὸ τῆς βάσεως μέχρι τοῦ μέσου· τὴν διασκευὴν τῇ ὀρείᾳ, καὶ τὴν τῶν λίθων ἀνὰ μέσον τῶν φολίδων σύνθεσιν πολυτέχνως ἔχοντες. εἶτα μαίανδρος ἐπέκειτο πηχυαῖος ὕψει· τὴν δὲ ἔκτυπωσιν ἐνυπάρχε διὰ λιθώσεως ποικίλης, ἐμφαίνων σὺν ὡραιότητι τὸ τῆς τέχνης φιλόπονον. ἐπὶ δὲ τούτου ῥάβδωσις, ἐφ᾽ ἧς διαπλοκὴ ῥόμβων, δικτυωτὴν ἔχουσα τὴν πρόσοψιν ἕως ἐπὶ τὸ στόμα. τὸ δὲ ἀνὰ μέσον ἀσπιδίσκαι λίθων ἑτέρων παρ᾽ ἑτέροις, τοῖς γένεσι παραλλαγὴν ἐχόντων, τετραδακτύλων οὐκ ἔλαττον, ἀνεπλήρουν τὸ τῆς καλλονῆς ἐναργές. ἐπὶ δὲ τῆς στεφάνης τοῦ στόματος κρίνων τύπωσις, σὺν ἀνθεμίοις καὶ βοτρύων χρονίων διαπλοκαῖς διετυποῦτο κυκλόθεν. οἱ μὲν οὖν διὰ τοῦ χρυσοῦ τοιαύτην εἶχον τὴν κατασκευήν, χωροῦντες ὑπὲρ δύο μετρητάς. οἱ δὲ ἀργυροῖ λίαν εἶχον τὴν διασκευὴν ἐνοπτρον δὴ γεγονυῖαν, πρὸς αὐτὸ τοῦτο θαυμασίως ἔχουσαν, ὥστε πᾶν τὸ προσαχθὲν ἀπαυγάζεσθαι σαφέστερον μᾶλλον, ἢ ἐν τοῖς κατόπτροις. οὐκ ἐφικτὸν δὲ ἐστὶν ἐξηγήσασθαι τὰ προσπεποιημένα πρὸς τὴν τῆς ἀληθείας ἔμφασιν. ὡς γὰρ ἐπετελέσθη, τεθέντων τῶν κατασκευασμάτων ἑτέρου παρ᾽ ἕτερον, λέγω δὲ πρῶτον ἀργυροῦ κρατῆρος, εἶτα χρυσοῦ, πάλιν ἀργυροῦ καὶ χρυσοῦ, παντελῶς ἀνεξήγητος ἐγίνετο τῆς προσόψεως ἡ διάθεσις· καὶ τῶν πρὸς τὴν θεωρίαν προσιόντων οὐ δυναμένων ἀφίστασθαι, διὰ τὴν περιαυγίαν, καὶ τὸ τῆς ὄψεως τερπνόν. ποικίλη γὰρ ἦν ἡ τῆς ἐπιφανείας ἐνέργεια. προσορώντων γὰρ πρὸς αὐτὴν τὴν τοῦ χρυσίου κατασκευήν, ψυχαγωγία τις ἦν μετὰ θαυμασμοῦ, συνεχῶς ἐφ᾽ ἕκαστον ἐπιβαλλούσης τῆς διανοίας τεχνίτευμα. καὶ πάλιν ὅτε πρὸς τὴν τῶν ἀργυρῶν προσβλέψαι τις θέσιν ἤθελεν, ἀπέλαμπε τὰ πάντα κυκλόθεν, ὡς ἄν τις ἑστήκει,[b] καὶ διάχυσιν ἐποίει μείζονα τοῖς θεωμένοις, ὥστε παντελῶς ἀνεξήγητον εἶναι τῶν ἐνηργημένων τὴν πολυτεχνίαν.

Τὰς δὲ χρυσᾶς[c] φιάλας διετόρευσαν στεφάνοις ἀμπέλου κατὰ μέσον· περὶ δὲ τὰ χείλη, κισσοῦ τε καὶ μυρσίνης, ἔτι δὲ ἐλαίας ἀνέπλεξαν στέφανον ἔκτυπον, πολυτελεῖς ἐνθέντες λίθους· καὶ τὰς λοιπὰς δὲ τορείας διηλλαγμένας ἐπετέλεσαν, ἅπαντα φιλοτιμηθέντες εἰς ὑπεροχὴν δόξης τοῦ βασιλέως ποιῆσαι. καθόλου γὰρ ἔτι ἐν τοῖς βασιλικοῖς ὑπῆρχε ῥισκοφυλακίοις τοιαύτη κατασκευὴ τῇ πολυτελείᾳ καὶ τεχνουργίᾳ, οὔτε ἐν τινι ἄλλῳ. πρόνοιαν γὰρ οὐ μικρὰν ἐποιεῖτο ὁ βασιλεύς, φιλοδοξῶν εἰς τὰ καλῶς ἔχοντα. πολλάκις γὰρ τῶν δημοσίων χρηματισμῶν παρεῖλε· τοῖς δὲ τεχνίταις παρήδρευεν ἐπιμελῶς, ἵνα καθηκόντως τῷ τόπῳ συντελέσωσιν, εἰς ὃν ἀπέστελλε τι τῶν ἔργων. διὸ πάντα σεμνῶς ἐγεγόνει, καὶ κατηξίως τοῦ τε ἀποστέλλοντος βασιλέως, καὶ τοῦ προεστῶτος ἀρχιερέως τοῦ τόπου. καὶ γὰρ τὸ τῶν λίθων πλῆθος ἄφθονον, καὶ μεγάλοι τοῖς μεγέθεσιν, οὐκ ἔλαττον πεντακισχιλίων· καὶ ταῖς τέχναις[d] κρατιστεύοντα πάντα, ὥστε πενταπλασίως τοῦ χρυσοῦ τιμιωτέραν εἶναι τὴν τῶν λίθων δόσιν, καὶ τὴν τῶν τεχνῶν ἐνέργειαν.

Ὑπολαμβάνων οὖν καὶ τούτων τὴν ἀναγραφὴν ἀναγκαίαν εἶναι, δεδήλωκά σοι. τὰ δὲ ἑξῆς περιέχει τὴν πρὸς τὸν Ἐλεάζαρον ὁδὸν ἡμῶν γενομένην· τὴν δὲ θέσιν τῆς ὅλης χώρας πρῶτον δηλώσω. Ὡς γὰρ παρεγενήθημεν ἐπὶ τοὺς τόπους, ἐθεωροῦμεν τὴν πόλιν μέσην κειμένην ἐπ᾽ ὄρους, ὑψηλὴν ἔχοντος τὴν ἀνάστασιν. ἐπὶ δὲ τῆς κορυφῆς κατεσκεύαστο τὸ ἱερὸν ἐκπρεπῶς ἔχον· καὶ οἱ περίβολοι τρεῖς,

a δύο χωροῦντες ἑκάτερος ἀμφορέας. Joseph.
b ὅσπερ V. C.

omniaque ſunt ex ipſius ſententia perfecta ad ornatum excellentem & viſu mirabilem, in quo & artificium ſuperaret omnem imitationem, & ſpeciei decor eſſet valde conſpicuus.

Craterum deſcriptio. Crateres autem duo erant ornatu ſquammoſo, ab imo uſque ad medium perquam artificioſe torno exculpti, in medio ſquammarum interſertis lapidibus pretioſis. Hinc ſequebatur meander altitudine cubitali, ita ex lapidibus variis figuratus, ut in eo præter ſpeciem pulchritudinis, artis etiam inſignis induſtria elucerет. Poſt hunc erat virgularum ſeries, ſuper quam uſque ad labia rhombi, ad ſimilitudinem retis complicati. in medio horum ſcuta ex lapidibus diverſi generis, magnitudine non minore quatuor digitorum, ad ſummum illuſtrabant ſplendorem pulchritudinis illa ſua perpetua lapidum diſcrepantia. In coronæ autem labiis erant expreſſa lilia, & anthemides, atque botri in ambitu intertexti. Talem formam habebant crateres aurei, qui capiebant plus quam duas urnas. Argentei autem erant, ad nitorem mirifice conſpicuum & ſplendentem, propter hoc ipſum elaborati, ut quidvis adhibitum in iis multo expreſſius quam in ipſis ſpeculis repræſentaretur: nec ſane licet oratione aſſequi veram effigiem eorum. Nam poſtquam eſſent perfecti, & hoc ordine diſpoſiti, ut primum locum haberet argenteus, ſecundum aureus, deinde rurſus argenteus, poſtea aureus poſitus eſſet, plane inenarrabilis ſpectaculi facies reddebatur: ut accedentes ad contemplandum, non poſſent diſcedere, eo quod omnia ſplendore eorum illuſtrarentur, & quod in contemplatione magna ineſſet jucunditas, & ea condita varia quadam vi apparitionis & ſpeciei ipſorum, dum contemplantes quidem decus aureorum craterum ſentirent perpetuam quandam voluptatem, cum admiratione animi aſſidue ſe ab una ad aliam artificii ſolertiam conferentis. Reſpicientibus ad argenteos, undique in oculos incurreret ſplendor, qui multo etiam magis caperet animos, & eos ita diſtineret, ut potuiſſes diffluere: ex quo ſane varietas & ſolertia artificii eorum non poteſt enarrari.

Phialæ aureæ. Porro phialas aureas ita torno expolierant, ut in medio haberent coronas vitis, circa labia hederæ & myrti: quibus etiam coronam oleæ illuſtrem & lapidibus valde preciosis exornatam interſeruerant, & reliqua ſimiliter varietate ſculpturæ ſpecioſa reddiderant, dum ſingulari induſtria ſtuderent omnia abſolvere ad excellentiam gloriæ Regis. Nam prorſus neque in ærario regio, neque ullo alio extabant tanti ſumptus & tam artificioſa opera. Rex enim, ut erat ambitioſus circa decus & ſplendorem, non parum adhibebat curæ & ſolicitudinis ad hoc ſuum inſtitutum. Nam ſæpe omiſſis publicis occupationibus, ſtudioſe aſſidebat artificibus, ut illi perficerent omnia ut conveniret loco in quem illa opera miſſurus erat. unde quidem evenit, ut omnia eſſent abſoluta honorifice, & pro dignitate tum regis mittentis, tum ſummi ſacerdotis qui præeſſet loco illi. Nam lapides & magnitudine conſpicui, & numero multi, non pauciores quinque millibus adhibiti erant: tum artis ſolertia omnia ita excellebant, ut quintuplo precium auri ſuperarent lapides collati, & artificum induſtria navata.

Hieroſolymæ ſitus. Templum. Ita habes & hæc, quorum expoſitionem judicavi neceſſariam. Sequens narratio, continebit iter noſtrum ad Eleazarum: ſed primum declarabo tibi totius regionis ſitum. Poſtquam ergo pervenimus in loca illa, cernebamus civitatem in medio regionis ſitam ſuper montem editum & ſubarduum. in hujus ſummo erat extructum Templum, cum inſigni ornatu: circum quod erant tres muri altitudine

c quatuor triginta fuerint, ut eſt ap. Joſeph.
d V. C. κρατιστεῦον τὰ πάντα.

ne ſupra ſeptuaginta cubitos, & tum latitudine pro tali altitudine, tum longitudine pro ſtructura & mole ædificii. atque hæc omnia erant exædificata perquam magnifice, cum ſumptus ex omni parte excellentia. conſpicua etiam erat magnificentia expenſarum in portas, & compages partium earum inferiorum, & in munitionem ſuperliminarium. Velum item appenſum erat, ad ſimilitudinem januarum formatum, quod ſpectaculum quoddam jucundiſſimum, & quo nunquam facile ſatiari poſſes, præbebat: & quidem ideo præcipue, quia a vento ſubintrante perpetuo movebatur, & quidem ſinuatione ab imo uſque ad ſummum, ob ventum a pavimento ſubintrantem. Altare etiam extructum erat apposite & ad locum illum, & hoſtias quæ ibi igne conſumerentur. Qua vero parte aſcenſus erat ad illud, ea perquam decenter exornata erat, & pulchre accommodata ad miniſteria ſacra, & habitum ſacerdotum ad talos uſque indutorum tunicis ex byſſo. Templum autem ſpectat ad ortum, poſterioribus ejus ad occaſum tendentibus. & pavimentum totum eſt lapide conſtratum, tractuſque habet aquæ immittendæ ad loca certa, quæ immittitur ad abluendum ſanguinem hoſtiarum: quia in ſolennibus feſtis multa millia jumentorum offeruntur. Aquæ vero confluxus nunquam deficit: & quia fons intrinſecus magnus naturalem, & eam perennem ſcaturiginem habet, & quia ſubtus terram ſunt mira & inenarrabili arte aquarum receptacula, confecta per quinque ſtadia, quemadmodum apparebat undequaque circum templum quorum ſingula habent fiſtulas infinitas, utrinque in ſe invicem emittentes fluxus: atque hæc omnia in imo & a lateribus plumbo ſunt obducta, & multa terra accuratè cooperta. Sunt præterea multa oſtia in fundo & baſi, quæ nemo cernere poteſt, præter illos quibus miniſterium eſt commiſſum: per hæc impetu & effluxu ſupermiſſæ aquæ, ſanguis quantumvis copioſus a victimis collectus, abluitur & expurgatur.

Velum.

Deſcriptio altaris.

Exponam etiam, quomodo ipſe iſtorum receptaculorum molem & ſtructuram ex ſingulari benevolentia monſtratam cognovi. Nam abduxerunt me ex civitate ultra quatuor ſtadia, & juſſit me unus capite ad locum quendam inclinato auſcultare ſonum, quem aquarum concurſus ederet. Hinc ego aperte cognovi magnitudinem vaſorum illorum, de quibus dixi.

Deſcriptio ſacerdotum templi.

Sacerdotes vero miniſteria peragentes, omnino virium robore præſtant, cum ſumma ornatus ac ſilentii reverentia. nam omnes ſponte intenti ſunt laboribus, licet valde moleſtis. Ac ſuæ cuique demandatæ partes ſunt curæ, ſine intermiſſione miniſterii. alii enim ligna, alii oleum, alii ſimilam, alii aromata in miniſterio ſuo curant: alii integras carnes hoſtiarum comburunt, utentes in hoc magna virium & intentione & dexteritate. apprehenſa enim utriſque manibus vitulorum crura, quæ ſingula fere talenti pondo habent, per vices utraque manu ſurſum porriciunt mira induſtria, in altitudinem ſatis magnam: nec in iis excipiendis errant. Simili modo porriciunt etiam ovium crura, nec non & caprarum, quæ mirifice & pondere & pinguedine excellunt. Nam quod jam dictum eſt, ita peragitur, ut ad id, a certis quibus hoc curæ eſt, per omnia ſeligantur, quæ & labe reprehenſionis omni vacent, & pinguedine excellant. Ad quietem autem habent locum certum, ubi quieſcentes recumbunt, atque inde uſi quiete, alacres & prompti excitantur, nemine ipſis miniſterii officia imperante. Tantumque ubique eſt ſilentium, ut putes in loco illo nullum prorſus eſſe hominem: cum interim & ſacerdotum miniſtrantium ſint circiter ſeptuaginta,

ὑπὲρ ἑβδομήκοντα δὲ πήχεις τῷ μεγέθει, καὶ τὸ πλάτος ἀνάλογον, καὶ τὸ μῆκος, τὸ κατὰ τὸν οἶκον διασκευῆς ὑπῆρχε· μεγαλομοιρίᾳ καὶ χορηγίᾳ κατὰ πάντα ὑπερβαλλούσῃ διῳκοδομημένων ἁπάντων. καὶ τοῦ θυρώματος δὲ, καὶ τῶν περὶ αὐτὸ συνδέσμων κατὰ τὰς φλιὰς, καὶ τὸ τῶν ὑπερθύρων ἀσφαλείας, ἔκδηλος ἦν ἡ τῶν χρημάτων γεγενημένη ἀφειδὴς δαπάνη. τοῦ τε καταπετάσματος ἡ διατύπωσις, θύραις κατὰ πᾶν ὁμοιοτάτη ὑπῆρχε· καὶ μάλιστα διὰ τὴν τοῦ πνεύματος ὑποδρομὴν, ἀδιάλειπτον κίνησιν λαμβανούσης τῆς ὑφῆς, διὰ τὸ ἀπ' ἐδάφους γινομένης τῆς ὑποδρομῆς κατὰ τὴν κόλπωσιν, μέχρι τῆς ἄνω διατάσεως, ἡδεῖάν τινα a δυσαπάλλακτον τὴν θεωρίαν ἔχοντος τοῦ πράγματος.

Καὶ τοῦ θυσιαστηρίου κατασκευὴ, σύμμετρον ἔχουσα πρὸς τὸν τόπον, καὶ τὰ θύματα διὰ πυρὸς ἐξαναλούμενα, τὴν οἰκοδομὴν εἶχε. τὸ δὲ ἀναβάσεως τὸ πρὸς αὐτὸ, πρὸς τὴν εὐκοσμίαν ἔχοντος τοῦ τόπου, καθήκοντος τὸ κλίμα τῶν λειτουργιῶν, τῶν ἱερέων κεκαλυμμένων μέχρι τῶν σφυρῶν βυσσίνοις χιτῶσι. ὁ δὲ οἶκος βλέπει πρὸς ἕω, τὰ δὲ ὀπίσθια αὐτοῦ πρὸς ἑσπέραν· τὸ δὲ πᾶν ἔδαφος λιθόστρωτον καθέστηκε· καὶ κλίματα πρὸς τοὺς καθήκοντας τόπους ἔχει τῆς τῶν ὑδάτων ἐπιφορᾶς ἕνεκεν, ἣ γίνεται διὰ τὴν σμῆξιν τῆς ἀπὸ τῶν θυσιῶν αἱμάτων. πολλαὶ γὰρ μυριάδες κτηνῶν προσάγονται κατὰ τὰς τῶν ἑορτῶν ἡμέρας. ὕδατος δὲ ἀνέκλειπτός ἐστι σύστασις, ὡς ἂν καὶ πηγῆς ἔσωθεν πολυρρύτου φυσικῶς ἐπιρρεούσης· ἔτι δὲ θαυμασίων καὶ ἀδιηγήτων ὑποδοχείων ὑπαρχόντων ὑπὸ γῆν, καθὼς ἀπέφαινον, πέντε σταδίων κυκλόθεν τὸ κατὰ τὸ ἱερὸν καταβολῆς· καὶ ἑκάστου τούτων σύριγγας ἀναριθμήτους, καθ' ἕκαστον μέρος ἑαυτὰ συναπτόντων τῶν ῥευμάτων· καὶ πάντα ταῦτα μεμολιβδῶσθαι κατ' ἐδάφους καὶ τοῦ τοίχου· ἐπὶ δὲ τούτων κεχύσθαι πολύ τι πλῆθος κονίας, ἐνεργῶς γεγενημένων ἁπάντων. εἶναι δὲ πυκνὰ τὰ στόματα πρὸς τὴν βάσιν, ἀοράτως ἔχοντα τοῖς πᾶσι, πλὴν αὐτοῖς οἷς ἐστι λειτουργία· ὡς ῥοπῇ καὶ νεύματι πάντα καθαρίζεσθαι τὰ συναγόμενα πεμπληθῆ τῶν θυμάτων αἵματα. Πεπεισμένος δὲ καὶ αὐτὸς τὴν τῶν ὑποδοχείων κατασκευὴν δηλώσω, καθὼς ἐπίστευσα. προήγαγον γὰρ πλέον σταδίων τεσσάρων ἐκ τῆς πόλεως, καὶ πρός τινα τόπον ἐκέλευσέ τις κατακύψαντα συνακοῦσαι τοῦ γινομένου ψόφου τῆς ἀπαντήσεως τῶν ὑδάτων· ὥστε συμφανές μοι γεγονέναι τὸ μέγεθος τῶν ἀγγείων, καθὼς δεδήλωται.

Τῶν δὲ ἱερέων ἡ λειτουργία κατὰ πᾶν ἀνυπέρβλητός ἐστι τῇ ῥώμῃ, καὶ τῇ τῆς εὐκοσμίας καὶ σιγῆς διαθέσει. πάντες γὰρ αὐτοκελεύστως διαπονοῦσι, πολλῆς γινομένης κακοπαθείας· καὶ ἑκάστῳ τὸ διατεταγμένον μέλει. καὶ ἀδιαλείπτως ὑπηρετοῦσιν, οἱ μὲν τὴν ξυλείαν, οἱ δὲ ἔλαιον, οἱ δὲ σεμίδαλιν, οἱ δὲ τὰ τῶν ἀρωμάτων, ἕτεροι τὰ τῆς σαρκὸς ὁλοκαυτοῦντες, ἰσχύϊ διαφερόντως συγχρώμενοι· διαλαβόντες γὰρ ἀμφοτέραις τῶν μόσχων τὰ σκέλη, πλεῖον ὄντα ταλάντου σχεδὸν ἑκάστου, ἀναρρίπτουσιν ἑκατέραις θαυμασίως ὕψος ἱκανὸν, καὶ οὐχ ἁμαρτάνουσι τῆς ἐπιθέσεως. ὁμοίως δὲ καὶ τὰ τῶν προβάτων, ἔτι δὲ αἰγῶν, τοῖς βάρεσι καὶ πιμελῇ θαυμασίως ἔχει. κατὰ πᾶν γὰρ ἐκλεγομένων, οἷς ἐπιμελές ἐστιν, ἄμωμα, καὶ τῇ παχύτητι διαφέροντα, τὸ προειρημένον ἐπιτελεῖται. πρὸς δὲ τὴν ἀνάπαυσιν τόπος αὐτοῖς ἐστιν ἀποτεταγμένος, οὗ καθίζουσιν οἱ διαναπαυόμενοι. τούτου δὲ γινομένου, τῶν διαλελοιπότων ἐγείρονται πρόθυμοι, οὐδενὸς ἐπιτάσσοντος τὰ τῆς λειτουργίας· ἥ τε πᾶσα σιγὴ καθέστηκεν, ὡς τόπον λαμβάνειν, μηδένα ἄνθρωπον ἐν τῷ τόπῳ παρεῖναι, πρὸς τοὺς ἑπτακοσίους παρόντων τῶν λει-

a κ̀ ἀνεπάλλακτον. V. C.

λειτουργῶν, καὶ τῶν προσαγόντων δὲ τὰ θύματα πολύ τι πλῆθος· ἀλλὰ φόβος καὶ καταξίως μεγάλης θειότητος ἅπαντα ἐπιτελεῖται.

Μεγάλην δὲ ἔκπληξιν ἡμῖν παρέσχεν, ὡς ἐθεασάμεθα τὸν Ἐλεάζαρον ἐν τῇ λειτουργίᾳ, τά τε τοῦ στολισμοῦ καὶ τῆς δόξης, ἣ συνίσταται διὰ τὴν ἔνδυσιν οὗ φορεῖ χιτῶνος, καὶ τῶν περὶ αὐτὸν λίθων· χρυσοῖ γὰρ κώδωνες περὶ τὸν ποδήρη εἰσὶν αὐτοῦ, μέλος ἦχον ἀνιέντες ἰδιάζοντα. παρ᾽ ἑκάτερον δὲ τούτων ἄνθεσι πεποικιλμένοι ῥοΐσκοι, τῇ χρόᾳ θαυμασίως ἔχοντες. κατέζωστο δὲ διαφόρῳ ζώνῃ διαπρεπεῖ, διυφασμένῃ καλλίστοις χρώμασιν. ἐπὶ δὲ τοῦ στήθους φορεῖ τὸ λεγόμενον λογεῖον, ἐν ᾧ συνεσφιγμένοι λίθοι δεκαδύο, διαλλάσσοντες τοῖς γένεσι, χρυσῷ κεκολλημένοι, τὰ τῶν φυλάρχων ὀνόματα κατὰ τὴν ἐξ ἀρχῆς διάταξιν γεγενημένων ἀποσκιάζοντες, ἕκαστος ἀνεξήγητον τῆς ἰδιότητος τὴν φυσικὴν χρόαν. ἐπὶ δὲ τῆς κεφαλῆς ἔχει τὴν λεγομένην κίδαριν· ἐπὶ δὲ ταύτης τὴν ἀμίμητον μίτραν, τὸ καθηγιασμένον βασίλειον. ἐκ [a] τύπων, ἐπὶ πετάλῳ χρυσῷ γράμμασιν ἁγίοις τὸ ὄνομα τοῦ θεοῦ, κατὰ μέσον τῶν ὀφρύων, δόξῃ πεπληρωμένον· ὁ κριθεὶς ἄξιος τούτων ἐν ταῖς λειτουργίαις. ἡ δὲ συμφάνεια τούτων ἐμποιεῖ φόβον καὶ ταραχήν, ὥστε νομίζειν εἰς ἕτερον ἐληλυθέναι ἐκτὸς τοῦ κόσμου· καὶ διαβεβαιοῦμαι, πάντα ἄνθρωπον προσελθόντα τῇ θεωρίᾳ εἰς ἔκπληξιν ἥξειν, καὶ θαυμασμὸν ἀδιήγητον, μετατραπέντα τῇ διανοίᾳ, διὰ τὴν περὶ ἕκαστον ἁγίαν κατασκευήν.

Πρὸς δὲ τὴν ἐπίγνωσιν ἁπάντων, ἐπὶ τὴν παρακειμένην ἄκραν τῆς πόλεως ἀναβάντες, ἐθεωροῦμεν· ἣ κεῖται μὲν ἐν ὑψηλοτάτῳ τόπῳ, πύργοις ἐξησφαλισμένη πλείοσι μέχρι κορυφῆς, εὐμήκεσι λίθοις ἀνῳκοδομημένων αὐτῶν, ὡς μεταλαμβάνομεν, πρὸς φυλακὴν τῶν περὶ τὸ ἱερὸν τόπων· ἵνα, ἐὰν ἐπίθεσίς τις ἢ νεωτερισμὸς, ἢ πολεμίων ἔφοδος γίνηται, μή τις δυνῆται ὁδὸν εἰς τὰς περιβολὰς ποιήσασθαι τὰς περὶ τὸν οἶκον· ἐπικειμένων καὶ ὀξυβελῶν ἐπὶ τῶν πύργων τῆς ἄκρας, καὶ ὀργάνων ποικίλων καὶ τοῦ τόπου κατὰ κορυφὴν ὄντος τῶν προειρημένων περιβόλων, φυλασσομένων τῶν πύργων ὑπὸ τῶν πιστοτάτων ἀνδρῶν, καὶ τῇ πατρίδι μεγάλας ἀποδείξεις δεδωκότων· οἵτινες οὐκ εἶχον ἐξουσίαν ἐξιέναι τῆς ἄκρας, εἰ μὴ ταῖς ἑορταῖς, καὶ τοῦτο ἐκ μέρους· οὐδὲ εἰσιέναι εἴων οὐδένα. μετ᾽ ἀκριβείας δὲ πολλῆς εἶχον, εἴ καί τις ἐπιταγὴ γένοιτο διὰ τοῦ προκαθημένου, πρὸς θεωρίαν δέξασθαί τινας· οἷον καὶ καθ᾽ ἡμᾶς ἐγένετο. μόλις γὰρ ἀνόπλους ὄντας ἡμᾶς δύο παρεδέξαντο, πρὸς τὸ κατανοῆσαι τὰ τῶν θυσιῶν. ἔλεγον δὲ καὶ δι᾽ ὅρκου πεπιστῶσθαι τὸ τοιοῦτον. τοὺς γὰρ πάντας ὀμωμοκέναι, κατ᾽ ἀνάγκην ἐπιτελουμένου θείως, τὸ κατὰ τὸν ὁρισμὸν πρᾶγμα, ὄντας πεντακοσίους, μὴ παραδέξασθαι πλεῖον ἀνθρώπων πέντε κατὰ τὸ αὐτό. τοῦ γὰρ ἱεροῦ τὴν πᾶσαν εἶναι φυλακὴν τὴν ἄκραν. καὶ τὸν καταβαλόμενον αὐτὴν τὴν προφυλακὴν τῶν εἰρημένων, οὕτως ἠσφαλίσατο. τῆς δὲ πόλεώς ἐστι τὸ σχῆμα συμμέτρως ἔχον, οὔσης τεσσαρακοντα σταδίων ὄντος τοῦ περιβόλου, καθόσον εἰκάσαι δυνατόν. ἔχει δὲ τὴν τῶν πύργων θέσιν θεατροειδῆ, καὶ φαινομένων διόδων τῶν ὑποκειμένων, τῶν δὲ ἐπάνωθεν εἰθισμένων, καὶ τὰς διὰ τούτων διεξόδους. ἀνάκλασιν γὰρ ἔχει τὰ τῶν τόπων, ὡς ἂν ἐπ᾽ ὄρους τῆς πόλεως ᾠκοδομημένης. εἰσὶ δὲ καὶ διαβάθραι πρὸς τὰς διόδους, οἱ μὲν μετέωροι τὴν ὁδείαν, οἱ δὲ ὑπ᾽ αὐτὰς ποιοῦνται, καὶ μάλιστα διεστηκυίας τῆς ὁδείας, διὰ τοὺς ἐν ταῖς ἁγνείαις ὄντας· ὅπως μηδενὸς θιγγάνωσιν, ὧν οὐ δέον ἐστίν.

[a] ἐκτυπῶν V. G.

& eorum qui hoſtias adducant valde magnus numerus. ita omnia cum reverentia, & ut convenit magnæ divinitati, peraguntur.

Hinc vero magnus nos ſubibat ſtupor, cum aſpexiſſemus Eleazarum ſacra tractantem, & ornatum illum ejus, & dignitatis reverentiam, emergentem ex tunica induta, & lapidibus in ea pretioſis. nam aurea tintinabula ad pedes uſque ornatus ejus dependent, quæ ſingula harmoniæ edunt ſonum ſuum: inter quæ ſingula ſunt punica mala, & floribus variis & colore miro decorata. Zona autem cinctus erat valde decente, & variis ac pulcherrimis coloribus pertexta. Supra pectus geſtabat quod Rationale vocant: in quo implexi & auro alligati erant duodecim lapides generum diverſorum, qui ſplendentes ſpecie inenarrabili nativi & proprii coloris, inſcripta habebant nomina principum cujuſque tribus, juxta priſcam & ab initio inſtitutam ordinationem. Supra caput habebat tegumentum, quod Cidarim vocant: & ſupra hanc inimitabilis artificii mitram, ornamentum a regibus conſecratum. Hinc ſupra laminam auream nomen Dei ſacris literis ſcriptum, cum ornatu & decore ſummæ reverentiæ per frontem ad ſupercilia uſque protenditur. Ipſe vero Eleazarus in tractatione ſacrorum videbatur his omnibus dignus eſſe. Qui autem ſplendor inde exiſtebat, ille metu & turbatione quadam afficiebat ſpectantes, cum videretur ipſis quaſi extra ornatum in alium egreſſus eſſe Eleazarus: affirmoque omnem qui acceſſiſſet, ex illa contemplatione transformatum animo, deventurum fuiſſe in ſtuporem & admirationem ineffabilem, propter illum ſanctum habitum, qui in ſingulis videbatur ineſſe.

Summi ſacerdotis deſcriptio. *Rationale.* *Cidaris.* *Mitra.*

Hinc, ut omnia cognoſceremus, in adjacentem civitatis arcem aſcendentes, eam perluſtrabamus. Hæc ſita in editiſſimo loco, munita eſt turribus ad ſummum uſque longis lapidibus extructis, ad illorum quæ circum templum erant locorum, ut colligebamus, cuſtodiam: ut ſi quæ inſidiæ, aut qui tumultus, aut hoſtium inſultus exiſteret, ne quis poſſet aditum nanciſci in illa circum templum munimenta. Nam in turribus arcis erant acuta jacula, & varia bellica inſtrumenta: locuſque iſte erat in vertice montis, & ſupereminens inter alia munimenta. Præterea turres cuſtodiebantur a fide digniſſimis, & patriæ multis argumentis declaratis viris, qui non habebant facultatem egrediendi ex arce præterquam feſtis diebus, idque per partes & vices: neque ſinebant ingredi quenquam. & a præſide juſſi admittere aliquem contemplandi gratia, valde ac curate eum obſervabant: quod etiam tum, cum nos adeſſemus, eveniebat. Nam ægre nos duos & inermes admittebant, ad perluſtrandas res ſacras. dicebant enim, ſibi ſub fide commiſſam hanc curam: omneſque adductos ad hoc juramento, quod ſancte hanc rem, ut eſſet ſibi præſcripta, curare vellent. Et hinc, cum ſint numero quingenti, nunquam admittere ſimul plures quam quinque. Hocque ita eſſe cautum & proſpectum ab illo, qui primus hanc præmunitionem extruxerat.

Sionis arcis deſcriptio.

Civitatis vero amplitudo eſt mediocritate quadam temperata: quæ, quantum colligere potuimus, in circuitu quadraginta ſtadia habet. Turres ejus ſubtus videntur eſſe perviæ, ſupra vero tranſitus uſitatos habent, & ſunt ad formam theatralem diſpoſitæ. nam quia civitas in monte eſt ſita, ſunt reflexæ, & in ſe invicem pronæ. Ad illos tranſitus ſunt etiam parati aſcenſus graduum editiores, ut alii in ſublimi, alii ſubtus incederent. quæ diſtinctio præcipue facta eſt ob ſanctos & religioni deditos viros, ut neminem attingerent, quem non liceat.

Urbis Hieroſolymorum ſitus deſcriptio.

Non

Non temere autem illi primi conditores, civitatem hac convenienti amplitudinis dimenſione condiderunt: ſed ſapienti hoc conſilio fecerunt. Nam regio eſt ampla & bona. verſus quidem Samaritas, & qua attingit Idumenæos, magna ex parte eſt campeſtris: in nonnullis etiam aliis locis eſt montoſa, ubi agricolatione & diligenti terræ elaboratione indiget. Sed fere fit, ut etiam hi cultores ob ſuam induſtriam & diligentiam, abundantiam frugum habeant. ex quo ſane fit, ut omnia excolantur: & ubique in regione ſit magna fructuum affluentia. At vero quæ civitates ſunt amplæ, & pacem fœlicitatemque & affluentiam rerum habent, in illis evenit ut juventus quidem floreat, regiones vero negligantur, omnibus ad hilaritatem animi intentis: cum ab ortu ipſo naturæ ſuæ omnes homines ad voluptates ſint præcipites & proni. id quod uſuvenit Alexandriæ, quæ cum omnes civitates & magnitudine & affluentia rerum ſuperet, in eam ex omnibus regionis partibus commeantes incolæ ad hoſpitales invitationes, dum morantur diutius ibi, cultum terræ in diminutionem perducunt. unde rex, ne ibi ita morarentur, hoc mandatum promulgavit, ut ne ultra viginti dies liceret in civitate exteros verſari. Similiter etiam illis qui haberent negotia in civitate, præſcripſit modum & tempus ad dijudicanda ea: ut ſi quis eſſet vocandus in jus, intra quinque dies negotium ejus in judicio expediretur. Cumque etiam frumentarios, commeatuſque curatores & eorum miniſtros magnifaceret, legibus ordinavit, ut ne agricolæ & præfecti civitatis quæſtum facientes, minuerent cellas & horrea, id eſt, fructus agriculturæ.

Alexandria Ægypti urbs, deque eadem edictum.

In hæc autem ideo digreſſi ſumus, quia Eleazarus ea nobis accurate demonſtravit. Eſt ergo ibi magnum ſtudium agriculturæ: & ideo regio eorum conſita eſt arboribus olivarum, & ferax eſt omnis generis frumenti & leguminum: ad hæc, vineis & melliſicio abundat. palmæ vero, & aliæ frugiferæ arbores ſunt innumerabiles apud ipſos: item jumenta & pecora omnis generis multa, & paſcua uberrima. Itaque præclare hoc perſpicientes, iſta loca multitudine hominum egere, ad hoc & civitatis conſtitutionem & pagorum numerum accommodarunt. Præterea immenſa copia aromatum, lapidum precioſorum & auri, importatur eo per Arabes. Nam regio & ad cultum, & ad negotiationem eſt idonea, & civitas abundat artificibus: nec deeſt ei quicquam eorum quæ mari advehi ſolent, cum habeat portus opportunos, qui abunde ſuppeditent res & Aſcalonæ, & Joppæ, & Gazæ, ſimiliter etiam Ptolemaidis, civitatis a rege conditæ. Jam in medio iſtorum locorum eſt ſita, nec ab illis multum diſtat, ſed ipſa per ſe omnia abunde habet, cum ſit & irrigua undique regio, & ad magnam ſecuritatem munita. Nam Jordanus, fluvius ille perennis, circumfluit ipſam, in ſe ab antiquo continentem non minus arvorum quam ſex millia myriadum. Deinde ex vicinia ſexaginta myriades hominum in ipſam pervenerunt, qui ſinguli poſſeſſionem centum jugerum agri ſunt conſecuti. Fluvius autem, perinde ut Nilus, circa tempus meſſis exundans, multum terræ irrigat, & circa regionem Ptolemæorem in alium fluvium illabitur, qui deinde in mare ingreditur. alii etiam qui vocantur Torrentes defluunt, qui loca illa ad Gazam & regionem Aſotiorum inundant. Adhæc naturalibus munimentis circumdatur, cum ob anguſtias viarum & præcipitia ac fauces profundas, aſperitateſque montium qui eam ambiunt, irruptiones excludat, nec ab aliqua multitudine invadi poſſit.

Fertilitas terræ Judaicæ.

Ptolemais.

Jordanis fluvius.

Jordani exundatio annua.

Narrabatur etiam, ex montibus Arabiæ vicinis prius metalla æris & ferri fuiſſe eruta: quæ poſtea,

Οὐκ ἀλόγως δὲ τὴν πόλιν συμμετρίας καθηκούσης κατεσκεύασαν οἱ πρῶτοι, σοφῶς δὲ ἐπινοήσαντες. τῆς γὰρ χώρας πολλῆς οὔσης καὶ καλῆς, καὶ τινῶν μὲν πεδινῶν, τῶν κατὰ τὴν Σαμάρειτιν λεγομένων, καὶ τῶν συναπτόντων τῇ τῶν Ἰδουμαίων χώρᾳ· τινῶν δὲ ὀρεινῶν, τῶν πρὸς τὴν γεωργίαν καὶ τὴν ἐπιμέλειαν τῆς γῆς γίνεσθαι συνεχῶς, ἵνα καὶ διὰ τοῦτο οὗτοι τὴν εὐκαρπίαν ἔχωσιν· οὗ γενομένου, γεωργεῖται μὲν πάντα, δαψιλείας πολλῆς ἐν πάσῃ τῇ προειρημένῃ χώρᾳ. Τῶν δὲ πόλεων ὅσαι μέγεθος ἔχουσι, καὶ τὴν ἀκόλουθον εὐδαιμονίαν, ταύταις συμβέβηκεν εὐανδρεῖν, ἀμελεῖσθαι δὲ τὰς χώρας, πάντων ἐπὶ τὸ κατὰ ψυχὴν ἱλαροῦσθαι νενευκότων, καὶ τῇ κατασκευῇ πάντας ἀνθρώπους ἐπὶ τὰς ἡδονὰς εὐκαταφόρους εἶναι. τοῦτο δὲ ἐγίνετο ἐπὶ τὴν Ἀλεξάνδρειαν, ὑπερβαλλούσης πάσας τῷ μεγέθει καὶ εὐδαιμονίᾳ τὰς πόλεις. οἱ γὰρ ἀπὸ τῆς χώρας εἰς αὐτὴν ἐπιξενούμενοι, καταμένοντες ἐφ' ἱκανὸν, εἰς ἐλάττωσιν ἦγον τὰ τῆς ἐργασίας· ὅθεν ὁ βασιλεὺς, ἵνα μὴ καταμένωσι, προσέταξε, μὴ πλέον εἴκοσιν ἡμερῶν παρεπιδημεῖν· καὶ τοῖς ἐπὶ τῶν χρειῶν ὁμοίως δι' ἐγγράπτων διαστολὰς ἔδωκεν, ἐὰν ἀναγκαῖον ᾖ καταστῆσαι, διακρίνειν ἐν ἡμέραις πέντε. πολὺ δὲ ποιούμενος καὶ χρηματιστὰς, καὶ τοὺς τούτων ὑπηρέτας, ἐπέταξε κατὰ νόμους· ὅπως μὴ πορισμὸν λαμβάνοντες οἱ γεωργοὶ, καὶ προστάται τῆς πόλεως, ἐλαττῶσι τὰ ταμιεῖα· λέγω δὲ, τὰ τῆς γεωργίας προσφορά.

Παρεξέβημεν δὲ ταῦτα, διὰ τὸ καλῶς ἡμῖν τὸν Ἐλεάζαρον ὑποδεδειχέναι τὰ προειρημένα. μεγάλη γάρ ἐστιν ἡ τῶν γεωργουμένων φιλοπονία. καὶ γὰρ [a] ἐλαιοῖς πλήθεσι συνδενδρός ἐστι, καὶ σιτικοῖς καρποῖς αὐτῶν ἡ χώρα, καὶ ὀσπρίοις, ἔτι δὲ ἀμπέλῳ καὶ μέλιτι πολλῷ. τὰ μὲν τῶν ἄλλων ἀκροδρύων καὶ φοινίκων οὐδ' ἀριθμεῖται παρ' αὐτοῖς· κτήνη τὰ πολλὰ παμμιγῆ, καὶ δαψιλὴς ἡ τούτων νομή· διὸ καλῶς ἔβλεψαν, ὅτι πολυανθρωπίας οἱ τόποι προσδέονται καὶ τὴν κατασκευὴν τῆς πόλεως, καὶ τῶν κωμῶν ἔθεντο κατάλογον. πολὺ δὲ πλῆθος καὶ τῶν ἀρωμάτων, καὶ λίθων πολυτελῶν καὶ χρυσοῦ παρακομίζεται διὰ τῶν Ἀράβων εἰς τὸν τόπον. ἐργαστικὴ γὰρ, καὶ πρὸς τὴν ἐμπορίαν ἐστὶν ἡ χώρα κατεσκευασμένη, καὶ πολύτεχνος ἡ πόλις. οὐ σπανίζει δὲ οὐδὲν τῶν διακομιζομένων διὰ τῆς θαλάσσης. ἔχει γὰρ καὶ λιμένας εὐκαίρους, χορηγοῦντας τά τε κατὰ τὴν Ἀσκαλῶνα καὶ Ἰόππην, καὶ Γάζαν, ὁμοίως δὲ Πτολεμαΐδα, τὴν ὑπὸ τοῦ βασιλέως ἐκτισμένην. μέση δὲ κεῖται πρὸς τοὺς προειρημένους τόπους, οὐκ ἀπέχουσα τούτων πολύ. ἔχει δὲ πάντα δαψιλῆ, [b] καθύγρατος οὖσα πάντοθεν ἡ χώρα, καὶ μεγάλην ἀσφάλειαν ἔχουσα. περιρρεῖ δὲ αὐτὴν ὁ λεγόμενος Ἰορδάνης ποταμὸς ἀείρρους, οὐκ ἔλαττον ἑξακισχιλίων μυριάδων ἀρουρῶν κατὰ τὸ ἀρχαῖον οὔσης. μετέπειτα δὲ οἱ γειτνιῶντες ἐπέβησαν αὐτῆς, ἑξήκοντα μυριάδες ἀνδρῶν ἐγκλήρει καθεστηκυῖαι ἑκατοντάρουροι.

Πληρούμενος δὲ ὁ ποταμὸς, καθὼς ὁ Νεῖλος, ἐν ταῖς πρὸς τὸν θερισμὸν ἡμέραις, πολλὴν ἀρδεύει τῆς γῆς· ὃς εἰς ἕτερον ποταμὸν ἐκβάλλει τὸ ῥεῦμα, κατὰ τὴν Πτολεμαίων χώραν. οὗτος δὲ ἔξεισιν εἰς θάλασσαν. ἄλλοι δὲ χείμαρροι λεγόμενοι κατίασι, περιλαμβάνοντες τὰ πρὸς τὴν Γάζαν μέρη, καὶ τὴν Ἀζωτίων χώραν. περιέχεται δὲ ἀσφαλείαις αὐτοφυέσι, δυσείσβολος οὖσα, καὶ πλήθεσιν ἀπραγμάτευτος· διὰ τὸ στενὰς εἶναι τὰς παρόδους, κρημνῶν παρακειμένων, καὶ φαράγγων βαθέων· ἔτι δὲ τραχείας οὔσης τῆς περιεχούσης τὴν χώραν ὀρεινῆς. Ἐλέγετο δὲ, καὶ ἐκ τῶν παρακειμένων ὀρέων τῆς Ἀραβίας μέταλλα

χαλ-

a V.C. ἐν ἐλαιοῖς.

b V.C. αὔθυγρος.

χαλκῷ καὶ σιδηρῷ συνίστασθαι προέτησεν. ἐκλέλειπται δὲ ταῦτα, καθ' ὃν ἐπεκράτησαν χρόνον Πέρσαι· τῶν τότε προεστώτων, πεποιημένων διαβολὴν, ὡς ἀχρηστος ἡ κατεργασία γίνεται, καὶ πολυδάπανος· ὅπως μὴ διὰ τὴν μεταλλείαν τῶν εἰρημένων συμβῇ καὶ τὴν χώραν καταφθείρεσθαι, καὶ σχεδὸν διὰ τὴν ἐκείνων δυναστείαν ἀλλοτριωθῆναι, παρείσεσιν λαβόντων εἰς τοὺς τόπους εἴσοδον, διὰ τὸ τὴν διαβολὴν γεγενῆσθαι τοιαύτην. ὅσον οὖν καὶ περὶ τούτων ἔδει, κεφαλαιωδῶς σεσημάγκαμέν σοι, ὦ Φιλόκρατες ἀδελφέ· τὰ δὲ τῆς ἑρμηνείας ἑπομένως δηλώσομεν.

Ἐπιλέξας γὰρ τοὺς ἀρίστους ἄνδρας, καὶ παιδείᾳ διαφέροντας, ἅτε δὴ γονέων τετυχηκότας ἐνδόξων, οἵτινες οὐ μόνον τὴν τῶν Ἰουδαϊκῶν γραμμάτων ἕξιν περιεποίησαν αὑτοῖς, ἀλλὰ καὶ τῶν ἑλληνικῶν ἐφρόντισαν οὐ παρέργως κατασκευῆς· διὸ καὶ πρὸς τὰς πρεσβείας εὔθετοι καθεστήκεισαν, καὶ τοῦτ' ἐπετέλουν ὅτε δέοι, καὶ πρὸς τὰς ὁμιλίας καὶ ἐπερωτήσεις τοῦ νόμου μεγάλην εὐφυΐαν εἶχον· τὸ μέσον ἐζηλωκότες κατάστημα (τοῦτο γὰρ κάλλιστόν ἐστιν) ἀποτεθειμένοι τὸ τραχὺ καὶ βάρβαρον τῆς διανοίας· ὁμοίως δὲ καὶ τὸ κατοίεσθαι· καὶ νομίζειν ὑπερφρονεῖν ἑτέρους, ὑπερβεβηκότες· τὴν δὲ ὁμιλίαν, καὶ τὸ συνακούειν, καὶ πρὸς ἕκαστον ἀποκρίνεσθαι δεόντως παραδεδειγμένοι, ὑπερφέρειν ἕτερος ἑτέρου, καὶ τοῦ καθηγουμένου πάντες ἄξιοι, καὶ τῆς περὶ αὐτὸν ἀρετῆς. νοῆσαι δὲ ἦν, ὡς ἠγάπησαν τὸν Ἐλεάζαρον, δυσαποσπάστως ἔχοντες, καὶ ἐκεῖνος αὐτούς, χωρὶς καὶ τοῦ πρὸς τὸν βασιλέα γεγραφέναι περὶ τῆς ἀποκαταστάσεως αὐτῶν, πολλὰ παρεκάλεσε τὸν Ἀνδρέαν ποιῆσαι, συναντιλαμβάνεσθαι παρακαλῶν, καθ' ὃν ἂν δυνώμεθα. καὶ ἡμῶν ἐπαγγελλομένων, ἀφροντιστεῖν περὶ τούτων· ἔφη, καὶ λίαν διαγωνιᾷν. εἰδέναι γὰρ, ὅτι φιλάγαθος ὢν ὁ βασιλεὺς, πάντων μέγιστον ἡγεῖται τὸ μεταπέμπεσθαι, καθ' ὃν ἂν τόπον ὠνομάσθη τις ἄνθρωπος διαφέρων ἀγωγῇ καὶ φρονήσει παρ' ἑτέρους. μετείληφα γὰρ καλῶς αὐτὸν λέγειν, ὅτι περὶ ἑαυτὸν ἔχων ἄνδρας δικαίους καὶ σώφρονας, τὴν μεγίστην ἂν φυλακὴν τῆς βασιλείας ἔχειν, συμβουλευόντων παρρησίᾳ πρὸς τὸ συμφέρον τῶν φίλων· ὃ δὴ σύνεστι τοῖς ἀποστελλομένοις ὑπ' αὐτοῦ. καὶ διὰ ὅρκων ἐπιστοῦτο, μὴ προΐεσθαι τοὺς ἀνθρώπους, εἴ τις ἑτέρα χρεία πρὸς τὰ κατ' ἰδίαν αὐτοῦ κατεπείγοι· πρὸς δὲ τὴν κοινὴν πᾶσι τοῖς πολίταις ἐπανόρθωσιν, ἐξαποστέλλειν αὐτούς. τὸ γὰρ καλῶς ζῆν, ἐν τῷ τὰ νόμιμα συντηρεῖν εἶναι. τοῦτο δὲ ἐπιτελεῖσθαι, διὰ τῆς ἀκροάσεως πολλῷ μᾶλλον, ἢ διὰ τῆς ἀναγνώσεως. προτιθέμενοι οὖν ταῦτα, καὶ τὰ τούτοις παραπλήσια, φανερὸς ἦν τὴν διάθεσιν, ὃς ἦν πρὸς αὐτούς.

Ἄξιον δὲ ἐπιμνησθῆναι βραχέων τῶν ὑποδειχθέντων ὑπ' αὐτοῦ, πρὸς τὰ δι' ἡμῶν ἐπιζητηθέντων. νομίζειν γὰρ τοὺς πολλοὺς περιεργίαν ἔχειν τινὰ τὰ ἐν τῇ νομοθεσίᾳ περὶ τε τῶν βρωμάτων καὶ ποτῶν, καὶ τῶν νομιζομένων ἀκαθάρτων εἶναι κνωδάλων. πυνθανομένων γὰρ ἡμῶν, διὰ τί μιᾶς καταβολῆς οὔσης, τὰ μὲν ἀκάθαρτα νομίζεται πρὸς βρῶσιν, τὰ δὲ καὶ πρὸς τὴν ἁφήν (δεισιδαιμόνως γὰρ τὰ πλεῖστα τὴν νομοθεσίαν ἔχειν, ἐν δὲ τούτοις πάλιν πάνυ δεισιδαιμόνως) πρὸς ταῦτα οὕτως ἐνήρξατο.

Θεωρεῖς, ἔφη, τὰς ἀναστροφὰς καὶ τὰς ὁμιλίας, οἷον ἐναπεργάζονται πρᾶγμα· διότι κακοῖς ἐνομιλήσαντες, διαστροφὰς ἐπιλαμβάνουσιν ἄνθρωποι, καὶ ταλαίπωροι δι' ὅλου τοῦ ζῆν εἰσίν· ἐὰν δὲ σοφοῖς καὶ

quo tempore Perſæ rerum potirentur, fuerunt intermiſſa: quia qui tum præeſſent, culparent illa, ut inutilis & ſumptuoſi laboris, & per quæ etiam regio poſſet perdi. Ac quidem hæc ipſorum criminatio valuit: quia fere per potentiam illorum qui intenti iis erant, regio fuit perducta in alienas manus, cum illi inde in regionem nacti fuiſſent ingreſſum. Expoſui ita ſtrictim tibi, frater Philocrates, quæ etiam de his commemoranda fuerunt. deinceps exponam illa, quæ ſunt ipſius interpretationis.

LXX interpretum electio.

Elegit ergo Eleazarus optimos & eruditione præſtantes viros, utpote præclaris ortos parentibus: qui non ſolum exercitati erant in literis Judæorum, ſed etiam in ſtudia & mores Græcorum non ſegnem operam navarant: quique ideo idonei erant ad legationes, & eas obibant cum opus eſſet. Jam ad diſputationes de legibus explicandas valde ſolertes erant. iidem amplexabantur ſtatum vitæ & morum medium, qui eſt optimus, deponentes a ſe aſperitatem & barbariem animi; nec volebant videri arrogantes, & eſſe in aliqua opinione elationis adverſus inferiores, ſed ſuavitatem animi in converſationibus, & facilitatem audiendi alios, dexteritatemque reſpondendi ad ſingula, apte & ordine recto declarare ſtudebant: denique omnes erant digni præſide ſuo, & virtute ipſius. Quam vero ipſum Eleazarum amarent, hinc licebat cognoſcere, quia inviti & ægre ab ipſo diſcedebant. Ipſe etiam valde eos amabat, quod inde licebat colligere: quia præterquam quod ſcripſerat ad Regem de ipſis reſtituendis, multum etiam rogabat Andream, ut id negotii promoveret, & in aliis quibus poſſemus, ipſis gratificaremur. Cumque nos promiſiſſemus noſtram operam, & dixiſſemus ipſum non debere de iſtis ſollicitum eſſe: ipſe reſpondebat, ſe etiam valde angi animo ob iſtam rem. Compertum enim habere, Regem, cum virtutis ſtudio & amore excellat, hujus præcipue curam habere, ut ubicunque locorum celebretur aliquis doctrina & prudentia præ aliis excellens, cum ad ſe accerſat. nam & hoc ipſum dicere, & recte: Quod ſi habeat apud ſe juſtos & moderatos viros, habeat ſecum regni ſui maximum præſidium & munimentum: eo quod illi libere & intrepide conſulant, ad communem utilitatem illorum quibus ipſe benevelit. Taleſque dicebat ſe animadvertere, eſſe illos ab ipſo miſſos. Præterea jurejurando affirmabat, ſe iſtos viros non dimiſſurum, ſi quod aliud ſuum negocium inſtaret. Nunc vero dimittere illos, ad emendationem rei communiter omnibus civibus utilis. Nam ut quis bene vivat, hoc ſitum eſſe in obſervantia & diligenti cuſtodia legum: hoc vero acquiri & abſolvi multo magis ex auditione, quam lectione. Ex horum ergo & ſimilium commemoratione, ſatis declarabat animi ſui erga illos viros effectum.

Ptol. regis erga doctos homines obſervantia.

Nunc pauca quædam ex illis quæ ipſe nobis interrogantibus explicuit, dignum fuerit commemorare, præſertim cum exiſtimemus multis videri, nonnulla in lege temere comprehenſa: ut illa quæ de cibo & potu, & animalibus illis quæ habentur impura, ſunt tradita. Interrogantibus ergo nobis, quare cum ſint unius creatione omnia condita, alia ad eſum impura habeantur, nonnulla etiam ad tactum. hæc enim & alia multa videri ſuperſtitioſe tradita eſſe in lege, & obſervari etiam nimis ſuperſtitioſe. Ad hæc ipſe ita cœpit loqui:

Eleazari ad quæſtionem ab Ariſtea & Andrea propoſitam reſponſio.

Cernes, inquit, quid poſſint & efficiant converſatio & conſuetudo. quia homines ex converſatione improborum depravantur, & fiunt miſeri per totam vitam. Si vero cum ſapientibus & pruden- tibus

a V. C. κατοίκαξ.

tibus verſentur, ignorantiæ ſuæ emendationem ad vitæ rectitudinem conſequuntur. Hinc primus Legiſlator noſter diſtincte & accurate præcepit, quæ ſunt pietatis & juſtitiæ: & ſingula de his tradidit non ſolum prohibitione, ſed etiam cum præſcriptione recti: ob oculos etiam poſitis malis & afflictionibus, quas Deus immittat authoribus delictorum. Nam primum omnium oſtendit, unum ſolum eſſe Deum, & ejus potentiam omnia pervadere, ita ut omnia ſint ea repleta, nec ipſam lateat quicquam eorum quæ in terra ab hominibus clam fiant: ſed quæcunque quis vel jam faciat, vel poſt ſit facturus, ea ſint illi aperta. Quibus quidem ita accurate traditis, hoc demonſtravit & effecit, ut ſi quis tantum cogitet de aliquo improbo facinore peragendo, nedum ſi id peregiſſet, ſciret Deum id non latère: ſicque in tota lege ſua Dei majeſtatem & potentiam illuſtravit. Hoc initio ita facto, demonſtravit deinde, omnes alios homines, præter Judæos, ſtulte multos ſtatuere Deos, & colere eos quibus ipſi ſint multo præſtantiores. Nam illos ſimulachra ex lapidibus & lignis confecta, habere pro imaginibus eorum qui ipſis aliquid ad vitam utile invenerint: atque ita adorare illa, quæ manifeſte videant omni ſenſu deſtituta eſſe. Jam ut quis concedat, ipſos reſpicere ad facultatem, qua tempore inventionis præditi fuerunt: hinc etiam ſtultos habendos, quia illi ipſorum inventores non creârint neque produxerint quicquam, ſed ex creatis & productis quædam aut oſtenderint eſſe utilia, aut ad meliorem uſum compoſuerint. Unde etiam hanc ob cauſam ſtulte & inaniter agere, dum habeant & colant pro diis ſui ſimiles: & eo magis, cum invenire liceat multos etiam nunc qui illis prioribus inventoribus longe ſint ſolertiores & ad inveniendum & ad intelligendum, quos tamen illi nunquam adoraverint: & tamen interim qui Græcorum talia finxerint & commenti ſint de diis, haberi apud ipſos ſapientiſſimos. De aliis vero, ajebat, longe ſtultioribus quid opus eſt dicere, ut de Ægyptiis & ſimilibus, qui ad beſtias & multa reptilia: aliaque animalia delapſi, ea venerantur, & iis tam mortuis quam vivis ſacrificant? Hæc ergo ſingula diligenter contemplatus, utpote ſapiens & a DEO omnium rerum cognitione inſtructus legiſlator noſter, circummunivit nos vallis indiſſolubilibus, & ferreis mœnibus, ut cum nullis prorſus aliis populis poſſemus ulla in re commiſceri: ſed permanentes & corpore mundi, & animo liberi a falſis opinionibus, unum DEUM, & eum potentem ſupra univerſam creaturam coleremus. Ex quo Ægyptiorum ſacri præſides, poſtquam multa ex diſciplina noſtra intentius perpenderant, & inde aſſumpſerant, nos DEI homines appellant: quod ex aliis nemini contingere poteſt, niſi verum DEUM colat. Sed fere alii homines ſunt cibi & potus & veſtitus, in quo toto animo incumbunt. Noſtri vero his pro nihilo habitis, per totam vitam verſantur in contemplatione majeſtatis & omnipotentiæ DEI. Hinc ergo ne per ullius impietatis communicationem inficeremur, neve converſatione improborum depravaremur, circumſepſit nos legitima ſanctitate & puritate cibi, potus, tactus, auditus & viſus. nam in univerſum omnia quæ ipſe ſanxit nobis, habent naturalem cauſam, & ita divinitus gubernantur: habetque unumquodque eorum quo vel abſtinemus vel utimur, cauſam & rationem profundam. Ex quibus unum & alterum tibi, exempli cauſa, curſim exponam, ne in has abjectas & leves de legiſlatore noſtro cogitationes incidas, quaſi ipſe pro muribus, muſtelis & ſimilibus tantopere ſollicitus, talia legibus ſuis ordinarit: ſed ut perſpicias, omnia ab ipſo graviter & ſancte inſtitu-

Ægyptiorum idololatria.

φρονίμοις συζῶσιν, ἐξ ἀγνοίας, ἐπανορθώσαντες εἰς τὸν βίον ἐτυχον. διαστειλάμενος τὰ τῆς εὐσεβείας καὶ δικαιοσύνης ὁ πρῶτος νομοθέτης ἡμῶν, καὶ διδάξας ἕκαστα περὶ τούτων οὐκ ἀπαγορευτικῶς μόνον, ἀλλ' ἐνδείκως, καὶ τὰς βλάβας προδήλους καὶ τὰς ὑπὸ τοῦ θεοῦ γινομένας ἐπιπομπὰς τοῖς αἰτίοις. [a] ὑπέδειξε γὰρ πάντων πρῶτον, ὅτι μόνος θεός ἐστι, καὶ διὰ πάντων ἡ δύναμις τοῦ αὐτοῦ ἐστι φανερὰ γίνεται, πεπληρωμένου παντὸς τόπου τῆς δυναστείας, καὶ οὐθὲν αὐτὸν λανθάνει τῶν ἐπὶ γῆς γινομένων ὑπ' ἀνθρώπων κρυφίως· ἀλλ' ὅσα ποιεῖ τις αὐτῷ φανερὰ καθέστηκε, καὶ τὰ μέλλοντα γίνεσθαι. ταῦτα οὖν ἐξεργαζόμενος ἀκριβῶς, καὶ πρόδηλα θεὶς, ἔδειξεν, ὅτι κἂν ἐννοηθῇ τις κακίαν ἐπιτελεῖν, οὐκ ἂν λάθοι μὴ ὅτι καὶ πράξας διὰ πάσης τῆς νομοθεσίας τὸ τοῦ θεοῦ δυνατὸν ἐνδεικνύμενος. ποιησάμενος οὖν τὴν καταρχὴν ταύτην, καὶ δείξας ὅτι πάντες οἱ λοιποὶ παρ' ἡμᾶς ἄνθρωποι πολλοὺς θεοὺς εἶναι νομίζουσιν, αὐτοὶ δυναμικώτεροι πολλῷ καθεστῶτες ὧν σέβονται ματαίως ἀγάλματα γὰρ ποιήσαντες ἐκ λίθων καὶ ξύλων, εἰκόνας φασὶν εἶναι τῶν ἐξευρόντων τι πρὸς τὸ ζῆν αὐτοῖς χρήσιμον· οἷς προσκυνοῦσι, παρὰ πόδας ἔχοντες τὴν ἀναισθησίαν. εἴτε γὰρ κατ' ἐκεῖνο τις θεὸς, κατὰ τὴν ἐξεύρεσιν παντελῶς ἀνόητοι. τῶν γὰρ ἐν τῇ κτίσει λαβόντες τινὰ συνέθηκαν καὶ προσυπέδειξαν εὔχρηστα, τὴν κατασκευὴν αὐτῶν οὐ ποιήσαντες αὐτοὶ, διὸ κενὸν καὶ μάταιον τοὺς ὁμοίους ἀποθεοῦν. καὶ γὰρ εἰ καὶ νῦν εὑρηματικώτεροι καὶ πολυμαθέστεροι τῶν ἀνθρώπων τῶν πρὶν εἰσὶ πολλοὶ, καὶ οὐκ ἂν φθάνοιεν αὐτοὺς προσκυνοῦντες. καὶ νομίζουσι οἱ ταῦτα διαπλάσαντες, καὶ μυθοποιήσαντες, τῶν Ἑλλήνων οἱ σοφώτατοι καθεστάναι. τῶν γὰρ ἄλλων πολυματαίων τί δεῖ καὶ λέγειν; Αἰγυπτίων τε, καὶ τῶν παραπλησίων· οἵ τινες ἐπὶ θηρία, καὶ τῶν ἑρπετῶν τὰ πλεῖστα, καὶ κνωδάλων, τὴν ἀπέρεισιν πεποίηνται, καὶ ταῦτα προσκυνοῦσι, καὶ θύουσι τούτοις καὶ ζῶσι καὶ τελευτήσασι; συνθεωρήσας οὖν ἕκαστα σοφὸς ὢν ὁ νομοθέτης, ὑπὸ θεοῦ κατεσκευασμένος εἰς ἐπίγνωσιν τῶν ἁπάντων, περιέφραξεν ἡμᾶς ἀδιακόποις χάραξι, καὶ σιδηροῖς τείχεσιν· ὅπως μηθενὶ τῶν ἄλλων ἐθνῶν ἐπιμισγώμεθα κατὰ μηδὲν, ἁγνοὶ καθεστῶτες κατὰ σῶμα καὶ κατὰ ψυχὴν, ἀπολελυμένοι ματαίων δοξῶν, τὸν μόνον θεὸν καὶ δυνατὸν σεβόμενοι παρ' ὅλην τὴν πᾶσαν κτίσιν. ὅθεν οἱ Αἰγυπτίων καθηγεμόνες ἱερεῖς, ἐγκεκυφότες εἰς πολλὰ, καὶ μετεσχηκότες πραγμάτων, ἀνθρώπους θεοῦ προσονομάζουσιν ἡμᾶς· ὃ τοῖς λοιποῖς οὐ πρόσεστιν, εἰ μή τις σέβεται τὸν κατ' ἀλήθειαν θεὸν, ἀλλὰ εἰσὶν ἄνθρωποι βρωτῶν καὶ ποτῶν καὶ σκέπης. ἡ γὰρ πᾶσα διάθεσις αὐτῶν ἐπὶ ταῦτα καταφεύγει. τοῖς δὲ παρ' ἡμῶν οὐδενὶ ταῦτα λελόγισται, περὶ δὲ τῆς τοῦ θεοῦ δυναστείας δι' ὅλου τοῦ ζῆν ἡ σκέψις αὐτοῖς ἐστιν, ὅπως ἐν μηθενὶ συναλισγούμενοι, μηδ' ὁμιλοῦντες φαύλοις, διαστροφὰς λαμβάνωμεν· πάντοθεν ἡμᾶς περιέφραξεν ἁγνείαις καὶ διὰ βρωτῶν καὶ ποτῶν, καὶ ἁφῶν, καὶ ἀκοῆς καὶ ὁράσεως νομικῶς. τὸ γὰρ καθόλου πάντα πρὸς τὸν φυσικὸν λόγον ὅμοια καθέστηκεν, ὑπὸ μιᾶς δυνάμεως οἰκονομούμενα. [b] καὶ καθ' ἓν ἕκαστον ἔχει λόγον βαθὺν, ἀφ' ὧν ἀπεχόμεθα κατὰ τὴν χρῆσιν, καὶ οἷς συγχρώμεθα. χάριν δὲ παραδείγματος ἓν ἢ καὶ δεύτερον ἐπιδραμὼν, σοι σημανῶ· μὴ γὰρ εἰς τὸν καταπεπτωκότα λόγον ἔλθῃς, ὅτι μυῶν, καὶ γα-

[a] V.C. περιτείχισε. [b] Euſeb. lib. 8. præparat. Evangelicæ cap. 9.

γελαίως, ἢ τῶν τοιούτων χάριν, περιεργίας ποιούμενος ἐνομοθέτει ταῦτα Μωϋσῆς· ἀλλὰ πρὸς ἁγνὴν ἐπίσκεψιν, καὶ τρόπων ἐξαρτισμὸν, δικαιοσύνης ἕνεκεν, σεμνῶς πάντα ἀνατέτακται. τῶν γὰρ πτηνῶν, οἷς χρώμεθα, πάντα ἥμερα καθέστηκε· διαφέρει καθαριότητι, πυροῖς καὶ ὀσπρίοις χρώμενα πρὸς τὴν τροφήν· οἷον περιστεραὶ, τρυγόνες, ἀττακοὶ, πέρδικες, ἔτι χῆνες, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα. περὶ ὧν δὲ ἀπηγόρευται πτηνῶν, εὑρήσεις ἄγριά τε καὶ σαρκοφάγα, καὶ καταδυναστεύοντα τῇ περὶ ταῦτα δυνάμει τὰ λοιπὰ, καὶ τὴν τροφὴν ἔχοντα δαπάνησιν τῶν προειρημένων ἡμέρων μετὰ ἀδικίας. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τοὺς ἄρνας καὶ ἐρίφους ἀναρπάζουσι, καὶ τοὺς ἀνθρώπους ἀδικοῦσι νεκρούς τε καὶ ζῶντας. παράσημον οὖν ἔθετο διὰ τούτων, ἀκάθαρτα προσονομάσας· ὅτι δέον ἐστὶ κατὰ ψυχὴν, οἷς ἡ νομοθεσία διατέτακται, δικαιοσύνῃ συγχρῆσθαι· καὶ μηδένα καταδυναστεύειν, πεποιθότας ἰσχύϊ τῇ καθ' ἑαυτούς· μηδ' ἀφαιρεῖσθαι μηδὲν, ἀλλ' ἐκ δικαίου τὰ τοῦ βίου κυβερνᾶν, ὡς τὰ τῶν προειρημένων πτηνῶν ἥμερα ζῶα, τὰ φυόμενα τῶν ὀσπρίων ἐπὶ γῆς δαπανᾷ, καὶ οὐ καταδυναστεύει πρὸς τὴν ἐπιμνείρεσιν τῶν συγγενικῶν. διὰ τῶν τοιούτων οὖν παραδέδωκεν ὁ νομοθέτης σημειοῦσθαι τοῖς συνετοῖς, εἶναι δικαίους τε, καὶ μηδὲν ἐπιτελεῖν βίᾳ· μηδὲ τῇ παρ' αὐτοὺς ἰσχύϊ πεποιθότας, ἑτέρους καταδυναστεύειν. ὅπου γὰρ οὐδ' ἅψασθαι καθῆκε τῶν προειρημένων, διὰ τὴν περὶ ἕκαστα διάθεσιν· πῶς [a] οὐ φυλακτέον παντάπασι, τοὺς τρόπους εἰς τοῦτο κατακλασθῆναι, πάντων τῆς συγχωρήσεως ἡμῖν ἐπὶ τούτων, καὶ τῶν κτηνῶν, τροπολογῶν ἐκτέθειται. τὸ γὰρ διχηλεύειν καὶ διαστέλλειν ὁπλῆς ὄνυχας, σημεῖόν ἐστι τοῦ διαστέλλειν ἕκαστα τῶν πράξεων ἐπὶ τὸ καλῶς ἔχον. ἡ γὰρ ἰσχὺς τῶν ὅλων σωμάτων μετ' ἐνεργείας ἀπέρεισιν ἐπὶ τοὺς ὤμους ἔχει καὶ τὰ σκέλη. μετὰ διαστολῆς οὖν ἅπαντα ἐπιτελεῖν πρὸς δικαιοσύνην ἀναγκάζει τὸ σημειοῦσθαι διὰ τούτων. ἔτι δὲ, διότι παρὰ πάντας ἀνθρώπους [b] διεστάμεθα. οἱ γὰρ πλείονες τῶν λοιπῶν ἀνθρώπων ἑαυτοὺς μολύνουσιν ἐπιμισγόμενοι, συντελοῦντες μεγάλην ἀδικίαν, καὶ χῶραι καὶ πόλεις ὅλαι σεμνύνονται ἐπὶ τούτοις. οὐ μόνον γὰρ προσάγουσι τοὺς ἄρσενας, ἀλλὰ καὶ τεκούσας, ἔτι δὲ καὶ θυγατέρας μολύνουσιν. ἡμεῖς δὲ ἀπὸ τούτων διεστάλμεθα. περὶ ὃν δέ ἐστιν ὁ προειρημένος τῆς διαστολῆς τρόπος, περὶ τούτου εἶναι καὶ τὸν τῆς μνήμης κεχαρακτηρικέναι. πάντα γὰρ ὅσα [c] διχηλῆ, καὶ μηρυκισμὸν ἀνάγει, σαφῶς τοῖς νοοῦσιν ἐκτίθεται τὸ τῆς μνήμης. ἡ γὰρ ἀναμηρύκησις οὐδὲν ἕτερον, ἀλλὰ τῆς ζωῆς καὶ συστάσεως ἐπιμνησις· τὸ γὰρ ζῆν διὰ τῆς τροφῆς συνεστάναι νομίζει. διὸ παρακελεύεται καὶ διὰ τῆς γραφῆς ὁ λέγων οὕτως [d] μνείᾳ μνησθήσῃ τοῦ κυρίου, τοῦ ποιήσαντος ἐν σοὶ τὰ μεγάλα καὶ θαυμαστά. κατανοούμενα γὰρ, καὶ μεγάλα καὶ ἔνδοξα φαίνεται, πρῶτον μὲν ἡ σύμπηξις τοῦ σώματος, καὶ ἡ τῆς τροφῆς διοίκησις, καὶ ἡ περὶ ἕκαστον μέλος διαστολή. πολλῷ δὲ μᾶλλον ἡ τῶν αἰσθήσεων διακόσμησις, διανοίας ἐνέργημα, καὶ κίνησις ἀόρατος, ἥ τε ὀξύτης τοῦ πρὸς ἕκαστον τι πράσσειν, καὶ τεχνῶν εὕρεσις, ἀπέραντον περιέχει τρόπον, διὸ παρακελεύεται μνείαν ἔχειν, ὡς συντηρεῖται τὰ προειρημένα θείᾳ δυνάμει, σὺν κατασκευῇ. πάντα γὰρ χρόνον καὶ τόπον ὥρικε, πρὸς τὸ διὰ παντὸς μνημονεύειν τοῦ κρατοῦντος θεοῦ, καὶ συντηροῦντος. καὶ γὰρ ἐπὶ τῶν βρωτῶν καὶ ποτῶν ἀπαρξαμένους, εὐθέως τότε συγχρῆσθαι κελεύει. καὶ μὴν καὶ ἐκ τῶν περιβολαίων παράσημον ἡμῖν μνείας δέδωκεν. ὡσαύτως δὲ καὶ

ta eſſe juſtitiæ cauſa, ad morum conformationem, & ad animos piis & ſanctis cogitationibus imbuendos. Nam ex volatilibus, quibus utimur, omnia ſunt manſueta, & excellunt puritate, nutriunturque tritico & leguminibus: ut ſunt columbæ, turtures, attagenæ, perdices, anſeres, & id genus alia volatilia. quæ autem nobis ſunt prohibitæ volucres, illas invenies eſſe agreſtes, carnivoras, in alias violentas, & illas manſuetas ad ſuum nutrimentum diripientes: nec vero illas ſolum, & agnos ſed & hœdos, ipſoſque homines & mortuos & vivos, violenta ſua rapacitate petunt. Ideo eas inſigni appoſita nota, vocavit, immundas: hinc docens, eos quibus tulerat leges, debere etiam in animis ſuis juſtitia uti, nec quenquam potentia & viribus ſuis fretos ſubjugare, aut re ulla ſpoliare alios, ſed totam vitam ſuam inſtituere & gubernare ſecundum juris rationem, ad imitationem & exemplum illorum manſuetorum animalium, quæ leguminibus ex terra naſcentibus veſcantur, & nullam vim uſurpent ad alia ſui generis abſumenda. His itaque quaſi ſymbolis quibuſdam, legiſlator voluit oſtenſum intelligentibus, ut cogitarent ſe debere eſſe juſtos, & nihil per vim agere, neque fiducia potentiæ & virium ſuarum alios opprimere. Nam cum non permitit attingere jam enumerata animalia propter impetus & inclinationes illas, quas ſingula habent: quomodo non prorſus judicavit cavendum eſſe, ne moribus & vita ad ipſorum naturam perverſe efformaremur? Ita quæ nobis concedit in omnibus, ut volatilibus, ita pecoribus, ſigurate & ad morum informationem ſtatuit. Nam quod præcepit, pecora geminis & fiſſis debere eſſe ungulis: hoc ſymbolum eo tendit, ut diligenter, prout decet, diſcernamus actiones noſtras. cum enim conatuum & totius corporis robur fulciatur, & quaſi colligatur in humeris & cruribus, hoc ſigno monere voluit, ut omnia conaremur & perficeremus cum ſelectione, juxta normam juſtitiæ: idque hanc etiam ob cauſam, quia ſimus magno diſcrimine ſejuncti ab aliis hominibus, quorum plerique ſe ipſi mutuo commercio inquinent, cum magna juſtitiæ violatione. Atque de hoc etiam civitates & regiones integræ gloriantur, in quibus impune eſt, non ſolum cum maſculis commercium habere, ſed etiam puerperas & filias polluere: a quibus nos longe ſumus ſejuncti. Quo autem in loco eſt hæc diſtinctionis admonitio, in eo eſt etiam ſuo charactere expreſſum memoriæ & recordationis præceptum. Nam cum dicit, Quæcunque habent fiſſas ungulas, & ruminant: ibi manifeſte intelligentibus proponit ſignum memoriæ. nam ruminatio ſignificat memoriam & recordationem, ac quidem præcipue vitæ & conſtitutionis noſtræ: & quod vita conſtat & conſervatur per alimenti ſumptionem. Unde ſimiliter etiam in Scriptura cohortatur ille qui dicit: Memoria recordator Domini, qui fecit in te magna & mirabilia. Apparent enim illa magna & admiranda, cum recte conſiderantur: ut primum ipſa corporis compages, nutrimenti diſpenſatio, & ſingulorum membrorum ſua certa figura: deinde, & multo magis, ſenſuum diſpoſitio, & mentis vis atque agitatio inviſibilis: tum etiam ejus velocitas ad quidvis agendum, & inventio artium in immenſum ſeſe extendunt. idcirco jubet nos hæc conſiderare, & meminiſſe, quod omnia jam commemorata virtute divina, ut ſunt condita, ita conſerventur. Adhæc etiam diſtinxit tempora, & pulchre accommodavit ad perpetuo uſurpandam iſtam recordationem de DEO, omnia gubernante & conſervante. Nam cum cibus & potus eſt capiendus, tum ſtatim jubet omnes convenire & adeſſe, ad libationes & precationes pias per-

Quonam Judæi munda vel immunda cenſeantur.

a V.C. πῶς οὐ. b C.V. διεστάλμεθα. c C.V. διχηλεῖ. d Deut. 7. 18.

peragendas. Quinetiam in veſtitu nobis indicia & ſigna illuſtria hujus memoriæ tradidit: ſimiliter etiam in portis & januis mandavit præcepta DEI affigi, ad memoriam ejus habendam. Atque etiam in manibus jubet circumplicitum DEI ſignum expreſſe & manifeſte geſtare: quo hoc plane monſtrat, omnia eſſe inſtituenda & peragenda juſte cum memoria creationis noſtræ, & in primis cum timore Dei, qui ſemper & in omnibus negotiis adeſſe debeat. Jubet præterea & cubitum euntes, & de lecto ſurgentes, ex iſta menti humanæ incomprehenſibili viciſſitudine, & alteratione ſomni & quietis, conſiderare, & quidem diligenti animi contemplatione, motiones & vices ac ſucceſſiones in operibus Dei.

Oſtendi ita tibi in expoſitione ungularum fiſſarum & ruminationis, præſtantiam oraculi legitimi, de diſtinctione, delectu & memoria, ut videres non temere iſta, prout in animum inciderint, a legiſlatore noſtro conſtituta eſſe, ſed ad veritatis & rectæ rationis declarationem. Atque ut de cibis & de cibis diſpoſuit, ita etiam de ſingulis quæ ad tactum & auditum pertinent, diligenter præcepit: jubens ut neque ageremus neque audiremus quicquam temere: neque etiam orationis facultate confiſi, ad injuſta delaberemur. Horumque rationes & cauſas ſimiliter in naturis beſtiarum, quas prohibuit, eſt invenire. Nam muſtelæ & murium, & ad genus aliarum beſtiarum quæ ſunt prohibitæ, natura eſt damnoſa, & ad nocendum prona. mures enim omnia vaſtant & corrumpunt, non ſolum quantum ad ipſorum nutrimentum attinet: ſed etiam, quia quæ invadunt, illa omnino corrumpunt, & reddunt homini inutilia. Et muſtelæ natura eſt peculiaris, quia hoc animal præter jam commemoratam nocendi inclinationem & facultatem, hoc etiam proprium habet, ut auribus concipiat, ore vero pariat fœtum ſuum. Quo ſignificatur, hanc naturam & conſuetudinem hominum eſſe impuram, qua quæ auribus percipiant, verbis exaggerata efferant ad alios malis involvendos, inquinantes in hoc ſe immundicia non levi, dum plane impietatis fœditate contaminantur. Ex quo præclare Rex veſter facit, qui (ut accipimus) hoc genus hominum ſupplicio ſolet afficere. Hic ego: Tu videris mihi loqui de delatoribus. nam hos ille tormentis & ſuppliciis capitalibus, iiſque acerbis proſequitur. Tum ille: Hos ipſos & ego intelligo. nam horum vigilantia, eſt ſcelerata aliorum hominum pernicies. Noſtra vero lex jubet, ne neminem neque dicto neque facto quis lædat. Atque ita quantum brevitas permiſit, de his diſſeruimus, ad oſtendendum hoc tibi, omnia in legibus noſtris eſſe ſtatuta ad juſtitiam: neque quicquam temere aut ſeverius & durius eſſe ordinatum & propoſitum, ſed ut per totam vitam & in actionibus omnibus exerceremus & uſurparemus juſtitiam erga omnes homines, & Dei gubernantis omnia nunquam obliviſceremur. Ita ergo, & quæ de cibis, & quæ de beſtiis ſunt tradita, omnia ſpectant eo, ut juſtitia excolatur, & hominum ſocietas & converſatio ſit juſta. Mihi itaque videbatur ſingulorum rationem pulchre expoſuiſſe. nam dicebat etiam de vitulis, arietibus & hircis, qui offerrentur, quos omnes ex gregibus & armentis deligerent manſuetos, & nihil prorſus quod ferum & indomitum eſſet mactarent: ut ne ſacrificantes ex legiſlatoris ordinatione alicujus elationis & ſuperbiæ anſam arripere, & ſibi adſcribere poſſent, eo quod ſacrificans omnino faciat oblationem pro animi ſui affectione. Atque hæc fuerunt tractata in collocutione, memoratu (ut ego puto) digna: quæ tibi Philocrates, propter ſtu-

Præcepta de tactu & auditu.

Delatores apud Ægyptios capitaliter puniti.

Animalia ſacrificari ſolita cujuſmodi.

ἐπὶ [a] τῶν πυλῶν καὶ θυρῶν προςέταχε μὲν ἡμῖν τιθέναι τὰ λόγια, πρὸς τὸ μνείαν εἶναι θεοῦ· καὶ ἐπὶ τῶν χειρῶν δὲ διαῤῥήδην τὸ σημεῖον κελεύει περιῆφθαι, σαφῶς ἀποδεικνὺς, ὅτι πᾶσαν ἐνέργειαν μετὰ δικαιοσύνης ἐπιτελεῖν δεῖ, μνήμην ἔχοντας τῆς ἡμῶν συστάσεως, ἐπὶ πᾶσι δὲ τὸν περὶ θεοῦ φόβον. κελεύει δὲ καὶ κοιταζομένους, καὶ διανισταμένους, μελετᾶν τὰς τοῦ θεοῦ κατασκευὰς, οὐ μόνον λόγῳ, ἀλλὰ διαλήψει θεωροῦντας τὴν κίνησιν, καὶ ὑπόληψιν ἑαυτῶν, ὅταν εἰς ὕπνον ἔρχωνται, καὶ τὴν ἔγερσιν, ὡς θεία τίς ἐστι καὶ ἀκατάληπτος τούτων μετάθεσις.

Δέδεικται δέ σοι καὶ τὸ περιττὸν τῆς λογίας, τῆς κατὰ τὴν διαστολὴν καὶ μνείαν· ὡς ἐξεθέμεθα τὴν διχηλίαν, καὶ τὸν μαρυκισμόν· οὐ γὰρ εἰκῆ κατὰ τὸ ἐμπεσὸν εἰς ψυχὴν νενομοθέτηται, πρὸς δὲ ἀλήθειαν καὶ σημείωσιν ὀρθοῦ λόγου. διατάξας γὰρ ἐπὶ βρωτῶν καὶ τῶν κατὰ τὰς ἁφὰς ἕκαστα, κελεύει μηθὲν εἰκῆ μήτε πράσσειν, μήτε ἀκούειν· μήτε τῇ τοῦ λόγου δυναστείᾳ συγχρωμένους, ἐπὶ τὴν ἀδικίαν τρέπεσθαι. καὶ ἐπὶ τῶν κνωδάλων δὲ ταὐτόν ἐστιν εὑρεῖν. κακοποιητικὸς γὰρ ὁ τρόπος ἐστὶ καὶ γαλῆς, καὶ μυῶν, καὶ τῶν τούτοις ὁμοίων, ὅσα διηγόρευται. πάντα γὰρ λυμαίνονται καὶ κακοποιοῦσι μύες, οὐ μόνον πρὸς τὴν ἑαυτῶν τροφὴν, ἀλλὰ καὶ παντελῶς ἄχρηστον γίνεται ἀνθρώπῳ, ὅτι ἂν δήποτε ἐπιβάληται κακοποιεῖν. τό, τε τῆς γαλῆς γένος ἰδιάζον ἐστί· χωρὶς γὰρ τοῦ προειρημένου, ἔχει λυμαντικὸν κατάστημα· διὰ γὰρ τῶν ὤτων συλλαμβάνει, [b] τίκτουσι δὲ τῷ στόματι. καὶ διὰ τοῦτο ὁ τοιοῦτος τρόπος τῶν ἀνθρώπων ἀκάθαρτός ἐστιν· ὅσοι γὰρ διὰ ἀκοῆς λαβόντες, ταῦτα τῷ λόγῳ σωματοποιήσαντες, κακοῖς ἑτέρους ἐνεκύλισαν, ἀκαθαρσίαν οὐ τὴν τυχοῦσαν ἐπετέλεσαν, μιανθέντες αὐτοὶ παντάπασι τῷ τῆς ἀσεβείας μολυσμῷ. καλῶς δὲ ποιῶν ὁ βασιλεὺς ὑμῶν, τοὺς τοιούτους ἀναιρεῖ, καθὼς μεταλαμβάνομεν. ἐγὼ δὲ εἶπον· τοὺς ἐμφανιστὰς οἴομαί σε λέγειν· καὶ γὰρ αἰκίαις καὶ θανάτοις ἐπαλγέσιν αὐτοὺς περιβάλλει συνεχῶς. ὁ δὲ, τούτους γὰρ καὶ λέγω· ἡ γὰρ ἐπαγρύπνησις, ἀνθρώπων ἀπώλεια ἀνόσιος. ὁ δὲ νόμος ἡμῶν κελεύει, μήτε λόγῳ, μήτε ἔργῳ μηδένα κακοποιεῖν. καὶ περὶ τούτων οὖν, ὅσον ἐπὶ βραχὺ διεξελθεῖν, προσυπέδειξά τέ σοι· ὅτι πάντα κεκριμένηται [c] πρὸς δικαιοσύνην, καὶ οὐδὲν εἰκῆ κατατέτακται διὰ τῆς γραφῆς, οὐδὲ μυθωδῶς, ἀλλ' ἵνα διὰ ὅλου τοῦ ζῆν καὶ ἐν ταῖς πράξεσιν ἀσκῶμεν δικαιοσύνην πρὸς πάντας ἀνθρώπους, μεμνημένοι τοῦ δυναστεύοντος θεοῦ. περὶ βρωτῶν οὖν, καὶ τῶν ἀκαθάρτων, καὶ κνωδάλων, καὶ πᾶς λόγος ἀνατείνει πρὸς δικαιοσύνην, καὶ τὴν τῶν ἀνθρώπων συναναστροφὴν δικαίαν. ἐμοὶ μὲν οὖν ἐνόμιζε περὶ ἑκάστων ἀπολογεῖσθαι· καὶ γὰρ περὶ τῶν προσφερομένων ἔλεγε μόσχων τε καὶ κριῶν, καὶ χιμάρων· ὅτι δεῖ ταῦτα ἐκ βουκολίων καὶ ποιμνίων λαμβάνοντας ἥμερα θυσιάζειν, καὶ μηθὲν ἄγριον· ὅπως οἱ προσφέροντες τὰς θυσίας, μηθὲν ὑπερήφανον ἑαυτοῖς συνιστορῶσι, σημείῳ κεχρημένοι τοῦ διατάξαντος. τῆς γὰρ ἑαυτοῦ ψυχῆς τοῦ παντὸς τρόπου τὴν προσφορὰν ποιεῖται ὁ τὴν θυσίαν προσάγων. καὶ περὶ τούτων οὖν νομίζω τὰ τῆς ὁμιλίας ἀξιολόγου καθεστάναι, διὸ τὴν σεμνότητα καὶ

a Deut. 6. 9. b Barnabæ Epiſt. p. 232. c κεκανόνισται. C. V.

καὶ φυσικὴν διάνοιαν τοῦ νόμου προσήγαγον διασαφῆσαί σοι Φιλόκρατες, δι' ἣν ἔχεις φιλομάθειαν.

Ὁ δὲ Ἐλεάζαρος ποιησάμενος θυσίαν, καὶ τοὺς ἄνδρας ἐπιλέξας, καὶ πολλὰ δῶρα τῷ βασιλεῖ κατασκευάσας, προέπεμψεν ἡμᾶς μετὰ ἀσφαλείας πολλῆς. ὡς δὲ παρεγενήθημεν εἰς Ἀλεξάνδρειαν, προσηγγέλη τῷ βασιλεῖ περὶ τῆς ἀφίξεως ἡμῶν. παρείμεν δὲ εἰς τὴν αὐλὴν Ἀνδρέας τε καὶ ἐγὼ, φιλοφρόνως ἠσπασάμεθα τὸν βασιλέα, καὶ τὰς ἐπιστολὰς ἀποδεδώκαμεν τὰς παρὰ τοῦ Ἐλεαζάρου. περὶ πολλοῦ δὲ ποιούμενος τοῖς ἀπεσταλμένοις ἀνδράσιν ἐντυχεῖν, ἐκέλευσε τοὺς λοιποὺς πάντας ἀπολῦσαι, τοὺς ἐπὶ τῶν χρειῶν· καλεῖν δὲ τοὺς ἀνθρώπους. οὐ πᾶσι παραδόξου φανέντος, διὰ τὸ κατ' ἔθος εἶναι, πεμπταίους εἰς πρόσωπον ἔρχεσθαι βασιλεῖ τοὺς περὶ χρησίμων ἀφικνουμένους· τοὺς δὲ παρὰ βασιλέων ἢ πόλεων ἐν ὑπεροχαῖς, μόλις ἐν τριάκοντα· εἰς τὴν αὐλὴν παρείσεσθαι· τοὺς δὲ ἥκοντας τιμῆς ἀξιῶν μείζονος, καὶ τὴν ὑπεροχὴν κρίνων τοῦ πέμψαντος, ἀπολύσας οὓς ἐνόμιζε περισσοὺς, ὑπέμενε περιπατῶν, ἕως ἂν παραγινομένους ἀσπάσηται. παρελθόντων δὲ σὺν τοῖς ἀπεσταλμένοις δώροις, καὶ τῶν διαφόροις διφθέραις, ἐν αἷς ἡ νομοθεσία γεγραμμένη χρυσογραφίᾳ τοῖς Ἰουδαϊκοῖς γράμμασι, θαυμασίως εἰργασμένου τοῦ ὑμένος, καὶ τῆς πρὸς ἄλληλα συμβολῆς ἀνεπαισθήτου κατεσκευασμένης· ὡς εἶδεν ὁ βασιλεὺς τοὺς ἄνδρας, ἐπηρώτα περὶ τῶν βιβλίων. ὡς δὲ ἀπεκάλυψαν τὰ τῶν ἐνειλημάτων, καὶ ὑμένας ἀνείλιξαν, πολὺν ἐπιστὰς χρόνον, καὶ προσκυνήσας σχεδὸν ἑπτάκις, εἶπεν· εὐχαριστῶ μὲν, ἄνδρες, ὑμῖν· τῷ δὲ ἀποστείλαντι, μᾶλλον· μέγιστον δὲ, τῷ θεῷ, οὗ τινός ἐστι τὰ λόγια ταῦτα. ὁμοθυμαδὸν δὲ πάντων εἰπόντων ὑπὸ μίαν φωνὴν, τῶν τε παραγεγονότων καὶ τῶν συμπαρόντων, εὖ βασιλεῦ· προήχθη δακρῦσαι, τῇ χαρᾷ πεπληρωμένος. ἡ γὰρ τῆς ψυχῆς ἔντασις, καὶ τὸ τῆς τιμῆς ὑπερτεῖνον, δακρύειν ἀναγκάζει κατὰ τὰς ἐπιτυχίας. κελεύσας δὲ εἰς τάξιν ἀποδοῦναι τὰ τεύχη, τὸ τηνικαῦτα ἀσπασάμενος τοὺς ἄνδρας, εἶπεν· δίκαιον ἦν, θεοσεβεῖς ἄνδρες, ὧν χάριν ὑμᾶς μετεπεμψάμην, ἐκείνοις πρῶτον σέβασμα ἀποδοῦναι· μετὰ ταῦτα, τὴν δεξιὰν ὑμῖν προτεῖναι· διὸ πεποίηκα τοῦτο πρῶτον. μεγάλην δὲ τέθειμαι τὴν ἡμέραν ταύτην, ἐν ᾗ παραγεγόνατε· καὶ κατ' ἐνιαυτὸν ἐπίσημος ἔσται πάντα τὸν τῆς ζωῆς ἡμῶν χρόνον. συνέτυχε δὲ καὶ κατὰ τὴν νίκην ἡμῖν προσπεπτωκέναι τῆς πρὸς Ἀντίγονον ναυμαχίας· διὸ δειπνῆσαι σήμερον μεθ' ὑμῶν βουλήσομαι, πάντα δυνάμενον εἶπεν παρέσεσθαι καθηκόντως, οἷς συγχρήσεσθε κἀμοὶ μεθ' [b] ἡμῶν. τῶν δὲ ἀσμενισάντων, ἐκέλευσε καταλύματα δοθῆναι τὰ κάλλιστα, πλησίον τῆς ἄκρας αὐτοῖς· καὶ τὰ κατὰ τὸ συμπόσιον ἑτοιμάζειν.

Ὁ δὲ ἀρχίατρος [c] Νικάνωρ Δωρόθεον προσκαλεσάμενος, ὃς ἦν ἐπὶ τούτων ἀποτεταγμένος, ἐκέλευσε τὴν ἑτοιμασίαν εἰς ἕκαστον ἐπιτελεῖν. ἦν γὰρ οὕτω διατεταγμένον ὑπὸ τοῦ βασιλέως (ἃ [d] μὴν ἔτι καὶ νῦν ὁρᾷς) ὅσαι γὰρ πόλεις εἰσὶν, αἳ συγχρῶνται πρὸς τὰ ποτὰ καὶ βρωτὰ καὶ στρωμνὰς, τοσοῦτοι καὶ προεστῶτες ἦσαν· καὶ κατὰ τοὺς ἐθισμοὺς οὕτως ἐσκεύαζον, ὅταν παραγίνοιντο πρὸς τοὺς βασιλεῖς, ἵνα κατὰ μηθὲν δυσχεραίνοντες, ἱλαρῶς διεξάγωσιν· ὃ καὶ περὶ τούτους ἐγεγόνει. προσεχέστατος γὰρ ὢν ἄνθρωπος ὁ Δωρόθεος, εἶχε τὴν τῶν τοιούτων προστασίαν. συνέστρωσε δὲ πάντα τὰ δι' αὐτοῦ χειριζόμενα, πρὸς τὰς τοιαύτας ὑποδοχὰς διαμεμερισμένα· διμερῆ τε ἐποίησε τὰ τῶν κλισιῶν, κα-

dium tuum ſingulare cognoſcendi res utiles, non potui non exponere: ut cognoſceres legis illius majeſtatem, ſanctitatemque, & mentem in natura rerum reconditam. Nunc ad inſtitutum.

Eleazarus peractis ſacris, & adornatis regi muneribus, dimiſit nos cum ſecuritate itineris. Poſtquam autem pervenimus Alexandriam, nunciatumque eſſet Regi nos adveniſſe, Andreas & ego ſtatim vocabamur in aulam: & Rege comiter ſalutato, obtulimus ei literas Eleazari. *Adventus interpretum in urbem Alexandriam.* Qui cum valde cuperet ſecum habere viros illos miſſos, mandavit reliquos omnes qui negotiorum cauſa adeſſent ſecedere, & illos vocare: quæ res ut inuſitata, movit omnibus admirationem. quia hoc in more erat, ut qui ob privatum aliquod negotium veniſſent, quinto demum die in conſpectum regis pervenirent: qui vero a regibus & civitatibus præſtantibus miſſi eſſent, illi ægre poſt triginta dies in aulam admitterentur. Hos autem viros majori judicans honore dignos, & reſpiciens etiam ad excellentiam ejus a quo miſſi eſſent, remotis qui viderentur debere abeſſe, deambulans expectabat, donec advenientes ſalutaſſet. Quos quidem ingreſſos cum muneribus miſſis, & variis pellibus, in quibus lex aureis literis lingua Judæorum perſcripta erat, quarumque membranæ mira arte elaboratæ erant, & ita compoſitæ ut oculis diſcerni non poſſet earum compoſitio, Rex ut vidit, de libris interrogavit. Qui poſtquam illos involutos revelaſſent, & membranas explicuiſſent: ille diu ſubſiſtens, cum adoratione fere ſepties ita eſt locutus: Gratias ago vobis, viri, ſed majores ei qui vos miſit, maximas vero DEO illi cujus hæc ſunt oracula. *Salutatio Regis interpretibus facta.* Hæc unanimiter approbantibus, vòceque una & illis qui advenerant, & qui cum Rege erant dicentibus, Bene rex facis: ille repletus gaudio, lachrimas effundere cœpit: quia animi vehemens intentio ob aliquam rem magnam & glorioſam, quæ exoptata contigit, ſolet elicere lachrimas. Hinc juſſit illos in ordinem offerre & ſeponere volumina legis. hocque facto, ſalutans excepit illos, & dixit: Rectum erat, viri pietate inſignes, me primum exhibere honorem illis ob quæ vos accerſivi huc: deinde vobis præbere dextram: ideo illud prius feci. Hic autem dies in ſingulos annos per totam vitam meam erit mihi ſolemnis & magnus, quo vos ad me veniſtis. Et quia contigit ut ad me veniretis tempore illo, quo ego navali adverſus Antigonum prælio victoria ſum potitus. ideo volo hodie vobiſcum cœnare. Juſſitque ſuo convenienti ordine & modo convenire & adeſſe omnes magnates & potentiores ſuos, interque eos nos quoque, cupidos & paratos. Diverſoria vero in quibus illi ſeniores quieſcerent & morarentur, mandavit illis quæ proxime arcem decentiſſima eſſent dari, & ſimul quæ ad convivium attinerent adornari.

Nicanor. Nicanor autem, medicorum princeps, accerſitum Dorotheum, cui hoc muneris commiſſum erat, juſſit effectam curare ſingulorum adornationem. nam ita a Rege ordinatum fuit, quod nunc etiam cernis, ut quot eſſent civitates, quæ ſuppeditarent ea quæ ad cibum, potum & lectiſternia attinerent: tot eſſent etiam præfecti eorum, qui exercitati & aſſuefacti, cum qui ad Regem veniſſent, pro more omnia adornarent ſine omni moleſtia & mora: id quod etiam circa hos hoſpites eſt factum. *Convivii adornatio.* Nam Dorotheus, homo diligentiſſimus, illis præerat: qui curavit omnia ſibi commiſſa, & ad hujuſcemodi exceptiones deſtinata, expandi & ſubſterni, & juxta Regis voluntatem ſeſſionem etiam in duas partes diviſit. Nam rex vo-

a Joſeph. τὰς δὲ προσόδους, διὰ μηνός. b V.C. ὑμῶν. c Joſeph. ὁ ἐπὶ τῆς τῶν ξένων ἀποδοχῆς τεταγμένος. d V.C. ἃ μὴ.

Primi diei convivium. voluit mediam partem illorum virorum ante ſe diſcumbere, reliquos poſt ſuum ſolium: nihilque intermittendum putavit, quod faceret ad honorandos illos viros.

Poſtquam autem diſcubuiſſent, juſſit Dorotheum omnia peragere pro more illorum qui ex Judæa advenire ſolent. is ergo ſacros præcones, ſacrificatores, & alios qui ſolerent peragere precationes, accerſivit. ſed illi Eleazarum ſeniorem ſacerdotem ex illis qui advenerant rogarunt, ut faceret vota. qui cum convenienti reverentia ſtans dixit: Rex, impleat te DEUS omnipotens omnibus illis bonis quæ creavit: detque & efficiat ut ea tu, uxor, liberi & amici habeatis per omne vitæ tempus affluentia & firma. Ad hæc ab illo dicta excitatus eſt magnus applauſus, cum clamore & exultatione, qui ſatis diu duravit. hinc converſi ſunt ad oblectandum ſe illis quæ apparata erant. Tum miniſtri omnes, ex Dorothei præſcripto & ordinatione miniſtrantes, expediebant ſua munia: inter quos etiam regii pueri erant, quique apud regem in magno eſſent honore.

Ibi Rex poſt aliquantulum ſpatii, per occaſionem captatam, ſedentibus illis ordine ſecundum ætatem, eum qui primum locum in ſeſſione habebat interrogavit: QUOMODO regnum ad finem uſque retinuerit extra lapſum & offenſionem? Ad quod ille paululum cunctatus, reſpondit: Si in tota tua gubernatione imitatus fueris æquitatem & manſuetudinem DEI. nam dum ita indignos quidem proſequeris manſuetudine & longanimitate, dignos vero (quemadmodum par eſt) tractabis honorificentius & mitius, illos etiam de ſua improbitate detrudes, & perduces ad pœnitentiam ejus.

Hoc collaudato, proximum interrogabat: QUOMODO quodque inſtituat & agat? Ille reſpondit: Ita ipſum ſingula recte acturum, ſi quod juſtum eſt erga omnes conſervet, ex eo quod ſtatuat omnem cogitationem ſuam DEO notam eſſe: & in primis, ſi cum timore DEI actiones ſuas inchoet, in nulla earum interruptum & parum commodum proceſſum habiturum.

Hoc etiam admodum benigne audito, ſequentem interrogabat: QUOMODO poſſet nanciſci & retinere ſibi animis conſentientes amicos? Cui ille: Si illi viderint te magnam curam habere illorum cœtuum, quibus præſis: tu vero ita hoc facies, ſi conſiderabis, quomodo DEUS juvet genus humanum, qui valetudinem ipſis, alimenta, victum, & alia omnia præparat temporibus ſuis.

Suffragatus & huic, ſequentem interrogabat: QUOMODO in jure dicendo, & judiciorum ſententiis ferendis, poſſit laudem & approbationem aſſequi apud illos etiam qui non ſint ſui compotes facti voti? Ille dixit: Si omnibus te præbueris ſermone æquabilem, & nihil neque ſuperbe neque pro tua potentia egeris contra delinquentes. Hoc autem ita facies, ſi Dei obſervabis adminiſtrationem & conſtitutionem, qui dignis perficit[a] vota ipſorum: quos autem non vult participes fieri ſuorum votorum, illis aut per inſomnia, aut factis & actionibus ipſis oſtendit, ipſorum vota eſſe noxia: neque eos vel pro ipſorum delictis, vel pro ſuæ potentiæ magnitudine affligit, ſed æquitate erga illos utitur.

Et hunc ſuis laudibus proſecutus, interrogabat eum qui ſequebatur: QUOMODO in rebus bellicis poſſet eſſe invictus? Ille dixit: Si neque in multitudine, neque in potentia & viribus fiduciam tuam collocaveris: ſed Deum ſemper invocaveris, ut tibi juſte omnia agenti, conatus & conſilia dirigat tua.

[a] ἱκετεῦσιν Joſeph.

θεὶς προσέταξεν ὁ βασιλεύς. τοὺς γὰρ ἡμίσεις ἐκέλευσεν ἄναρχα κατακλῖναι, τοὺς δὲ λοιποὺς μετὰ τὴν ἑαυτοῦ κλισίαν, οὐδὲν ἐλλείπων εἰς τὸ τιμᾷν τοὺς ἄνδρας.

Ὡς δὲ ἀνεκλίθησαν, ἐκέλευσε τῷ Δωροθέῳ, τοῖς ἐθισμοῖς, οἷς χρῶνται πάντες οἱ παραγινόμενοι πρὸς αὐτὸν ἀπὸ τῆς Ἰουδαίας, οὕτως ἐπιτελεῖν. διὸ τοὺς ἱεροκήρυκας καὶ θύτας καὶ τοὺς ἄλλους, οἷς ἔθος ἦν τὰς κατευχὰς ποιεῖσθαι, παρῃτήσατο. τῶν δὲ παραγενομένων σὺν ἡμῖν, Ἐλεάζαρον ὄντα τῶν ἱερέων πρεσβύτερον παρεκάλεσε ποιεῖσθαι κατευχήν, ὃς ἀξιολόγως στὰς εἶπε· Πληρώσαι σε, βασιλεῦ, πάντων τῶν ἀγαθῶν, ὧν ἔκτισεν, ὁ παντοκράτωρ θεός· καὶ δῴη σοι ταῦτ' ἔχειν, καὶ γυναικὶ, καὶ τέκνοις, καὶ τοῖς ὁμονοοῦσι, πάντα ἀνέκλειπτα τὸν τῆς ζωῆς χρόνον. Εἰπόντος δὲ ταῦτα τούτου, κατερράγη κρότος μετὰ κραυγῆς καὶ χαρᾶς εὐφροσύνης πλείονα χρόνον· καὶ τὸ τηνικαῦτα πρὸς τὸ τέρπεσθαι διὰ τῶν ἡτοιμασμένων ἐτράπησαν, τῶν λειτουργιῶν ἁπασῶν διὰ τῆς τοῦ Δωροθέου συντάξεως ἐπιτελουμένων· ἐν οἷς καὶ βασιλικοὶ παῖδες ἦσαν, καὶ τῶν τιμωμένων ὑπὸ τοῦ βασιλέως.

Ὅτε δὲ καιρὸν ἔλαβεν ἐκ διαστήματος, ἠρώτησε τὸν ἔχοντα τὴν πρώτην ἀνάκλισιν· (ἦσαν γὰρ καθ' ἡλικίαν τὴν ἀνάκλισιν πεποιημένοι) ΠΩΣ ἂν τὴν βασιλείαν μέχρι τέλους ἄπταιστον ἔχων διατελοῖ; Βραχὺ δὲ ἐπισχὼν, εἶπεν· οὕτως ἂν μάλιστα διευθύνοις, μιμούμενος τὸ τοῦ θεοῦ διαπαντὸς ἐπιεικές. μακροθυμίᾳ γὰρ χρώμενος, καὶ βλιμάζων τοὺς ἀξίους ἐπιεικέστερον, καθὼς εἰσὶν ἄξιοι, μετατιθεὶς ἐκ τῆς κακίας, καὶ εἰς μετάνοιαν ἄξεις.

Ἐπαινέσας ὁ βασιλεὺς, τὸν ἐχόμενον ἠρώτα· ΠΩΣ ἂν ἕκαστον πράττοι; ὁ δὲ ἀπεκρίθη, τὸ δίκαιον εἰ πρὸς ἅπαντας διατηροῖ ἑαυτὸν, καλῶς τὸ ἕκαστα πράξοι· διαλαμβάνων, ὅτι πᾶν ἐνθύμημα σαφές ἐστι θεῷ· κατάρχων δὲ θείου φόβου λαμβάνων, ἐν οὐδενὶ διαπίπτοις.

Καὶ τοῦτον δὲ εὖ μάλα παραδεξάμενος, ἕτερον ἐπηρώτα· ΠΩΣ ἂν ὁμοίους ἑαυτῷ ἔχοι τοὺς φίλους; κἀκεῖνος εἶπεν· εἰ θεωρήσαιεν πολλήν σε πρόνοιαν ποιούμενον, ὧν ἄρχεις, ὄχλων· σὺ δὲ τοῦτο πράξεις, ἐπιβλέπων ὡς ὁ θεὸς εὐεργετεῖ τὸ τῶν ἀνθρώπων γένος, ὑγίειαν αὐτοῖς καὶ τροφὴν καὶ τὰ λοιπὰ κατὰ καιρὸν παρασκευάζων ἅπαντα.

Συνεπιμαρτυρήσας δὲ τούτῳ, τὸν ἐχόμενον ἠρώτα· ΠΩΣ ἂν ἐν τοῖς χρηματισμοῖς καὶ διακρίσεσιν, εὐφημίας τυγχάνοι καὶ ὑπὸ τῶν ἀποτυγχανόντων; ὁ δὲ εἶπεν· εἰ πᾶσιν ἴσος γίνοιο τῷ λόγῳ, καὶ μηδὲν ὑπερηφάνως, μηδὲ τῇ περὶ σεαυτὸν ἰσχύϊ, πράσσοις κατὰ τῶν ἁμαρτανόντων. τοῦτο δὲ ποιήσεις, τὴν διάταξιν βλέπων τὴν ὑπὸ τοῦ θεοῦ· τὰ γὰρ ἱκετευόμενα συντελεῖσθαι τοῖς ἀξίοις· τοῖς δὲ ἀποτυγχάνουσιν, ἢ δι' ὀνείρων, ἢ πράξεων, σημαίνεσθαι τὸ βλαβερὸν αὐτοῖς· οὐ κατὰ ἁμαρτίας, οὐδὲ κατὰ τὴν μεγαλωσύνην τῆς ἰσχύος, τύπτοντος αὐτοὺς, ἀλλ' ἐπιεικείᾳ χρωμένου τοῦ θεοῦ.

Ὁ δὲ καὶ τοῦτον καταινέσας, ἠρώτα τὸν καθεξῆς· ΠΩΣ ἂν ἐν ταῖς πολεμικαῖς χρείαις ἀήττητος εἴη; ὁ δὲ εἶπεν· εἰ μὴ πεποιθὼς ὑπάρχοι τοῖς ὄχλοις, μηδὲ ταῖς δυνάμεσιν· ἀλλὰ τὸν θεὸν ἐπικαλοῖτο διὰ πάντων, ἵνα τὰς ἐπιβολὰς αὐτοῦ κατευθύνῃ, δικαίως διεξάγοντι πάντα.

Αν-

Ἀποδεξάμενος δὲ καὶ τοῦτον, τὸν ἕτερον ἠρώτα· ΠΩΣ ἂν φοβερὸς εἴη τοῖς ἐχθροῖς; ὁ δὲ εἶπεν· εἰ τῇ τῶν ὅπλων καὶ δυνάμεων κατασκευῇ πολλῇ χρώμενος εἴη· εἰ δὴ εἴη ταῦτα ὄντα κενὰ ἐπὶ πλείονα χρόνον, πρὸς τὸ συμπέρασμα δρᾶν τι. καὶ γὰρ ὁ θεὸς διδοὺς ἀνοχὰς, καὶ ἐνδεικνύμενος, τὸν τῆς δυναστείας φόβον ἐγκατασκευάζει πάσῃ διανοίᾳ.

Καὶ τοῦτον δὲ ἐπαινέσας, εἶπε πρὸς τὸν ἐχόμενον· ΤΙ κάλλιστον αὐτῷ πρὸς τὸ ζῆν ἂν εἴη; κἀκεῖνος ἔφη· τὸ γινώσκειν, ὅτι ὁ θεὸς δυναστεύει τῶν ἁπάντων· καὶ ἐπὶ τῶν καλλίστων πράξεων οὐκ αὐτοὶ κατευθύνομεν τὰ ᵃβουλευθέντα· θεὸς δὲ τελειοῖ τὰ πάντων, καὶ καθηγεῖται δυναστεύων.

Ἐπιφωνήσας δὲ καὶ τοῦτον καλῶς λέγειν, τὸν ἕτερον ἠρώτα· ΠΩΣ ἂν ἀκέραια συντηρήσας ἅπαντα, τοῖς ἐγγόνοις τὴν αὐτὴν παραδιδοίη διάθεσιν ἐπὶ τέλει; ὁ δὲ εἶπεν· εὐχόμενος ἀεὶ πρὸς τὸν θεὸν, ἀγαθὰς ἐπινοίας λαμβάνειν πρὸς τὰ μέλλοντα πράσσεσθαι· καὶ τοῖς ἐγγόνοις παρακελευόμενος, μὴ ἐκπλήττεσθαι τῇ δόξῃ, μηδὲ τῷ πλούτῳ. θεὸν γὰρ εἶναι τὸν χαριζόμενον ταῦτα· καὶ οὐ δι' ἑαυτῶν ἔχειν τὴν ὑπεροχὴν πάντων.

Ἐπιμαρτυρήσας δὲ τούτοις, τὸν μετὰ ταῦτα ἐπυνθάνετο· ΠΩΣ ἂν τὰ συμβαίνοντα μετρίως φέροι; ἐκεῖνος δὲ ἔφησεν· εἰ πρόληψιν λαμβάνοις, ὅτι γεγόνασιν ὑπὸ τοῦ θεοῦ πάντες ἄνθρωποι, μετασχεῖν τῶν μεγίστων κακῶν, μετέχοντες δὲ καὶ ἀγαθῶν· καὶ οὐκ ἔστιν ἄνθρωπον ὄντα τούτων ἀμιγῆ γενέσθαι. ὁ θεὸς δὲ τὴν εὐψυχίαν δίδωσιν, ὃν ἱκετεύειν ἀναγκαῖον.

Φιλοφρονηθεὶς δὲ καὶ τοῦτον, καλῶς εἶπεν ἅπαντας ἀποφαίνεσθαι. ἐπερωτήσας δὲ ἔτι ἕνα, καταλήξω τὸ νῦν ἔχειν· ἵνα καὶ πρὸς τὸ τέρπεσθαι τραπέντες, ἡδέως διεξάγωμεν. ἐν δὲ ταῖς μετὰ ταῦτα ἓξ ἑξῆς ἡμέραις, καὶ παρὰ τῶν λοιπῶν ἑξῆς μαθήσομαί τι πλέον.

Εἶτ' ἐπηρώτα τὸν ἄνδρα, ΤΙ πέρας ἀνδρείας ἐστίν; ὁ δὲ εἶπεν· εἰ τὸ βουλευθὲν ὀρθῶς ἐν ταῖς τῶν κινδύνων πράξεσιν, ἐπιτελοῖτο κατὰ πρόθεσιν. τελειοῦται δὲ ὑπὸ τοῦ θεοῦ πάντα σοι, καλῶς βουλευομένῳ, βασιλεῦ, συμφερόντως. ἐπιφωνησάντων δὲ πάντων, καὶ κρότῳ σημηναμένων, πρὸς τοὺς φιλοσόφους εἶπεν ὁ βασιλεὺς (οὐκ ὀλίγοι γὰρ παρῆσαν τούτοις) οἴομαι διαφέρειν τοὺς ἄνδρας ἀρετῇ, καὶ συνιέναι πλεῖον. οἵ τινες ἐκ τοῦ καιροῦ τοιαύτας ἐρωτήσεις λαμβάνοντες, ὡς δέον ἐστὶν ἀποκέκρινται, πάντες ἀπὸ θεοῦ τοῦ λόγου τὴν καταρχὴν ποιούμενοι.

Μενέδημος δὲ ὁ Ἐρετριεὺς φιλόσοφος εἶπε· ναὶ, βασιλεῦ. προνοίᾳ γὰρ τῶν ὅλων διοικουμένων, καὶ ὑπειληφότων ὀρθῶς τοῦτο, ὅτι θεόκτιστόν ἐστιν ἄνθρωπος, ἀκολουθεῖ, πᾶσαν δυναστείαν καὶ λόγου καλλονὴν ἀπὸ θεοῦ κατέρχεσθαι. ᵇΤοῦ δὲ βασιλέως ἐπινεύσαντος τὰ περὶ τούτων, ἔληξεν· ἐτράπησαν δὲ πρὸς εὐφροσύνην. ἐπιλαβούσης δὲ τῆς ἑσπέρας, τὸ συμπόσιον ἐλύθη.

Τῇ δὲ μετὰ ταῦτα, πάλιν κατὰ τὴν αὐτὴν διάταξιν τὰ τῆς ἀναπτώσεως καὶ συμποσίας ἐπετελεῖτο. καθὸ δὲ ἐνόμιζεν ὁ βασιλεὺς εὔκαιρον εἶναι πρὸς τὸ πυνθάνεσθαί τι τῶν ἀνδρῶν, ἐπηρώτα τοὺς ἑξῆς τῶν ἀποκεκριμένων τῇ προτέρᾳ ἡμέρᾳ. πρὸς τὸν ἑνδέκατον δὲ ἤρξατο τὴν συνολογίαν ποιεῖσθαι· (δέκα γὰρ ἦσαν ἠρωτημένοι τῇ προτέρᾳ) σιγῆς δὲ γενομένης, ἐπυνθάνετο· ΠΩΣ ἂν πλούσιος διαμένοι; βραχὺ δὲ ἐπισχὼν ὁ τὴν ἐρώτησιν ἐκδεχόμενος, εἶπεν· εἰ μηδὲν ἀνάξιον τῆς ἀρχῆς, μηδ' ἀσελγὲς πράσσοι· μηδὲ δαπάνην εἰς τὰ κενὰ καὶ μάταια συντελοῖ· τοὺς ὑποτεταγμένους εὐεργεσίαις πρὸς

a V.C. βουληθέντα. b V.C. κατάρχεσθαι.

Cum hunc etiam approbaſſet, interrogabat alium, QUOMODO exiſtat hoſtibus formidoloſus? Ille dixit: Si & armorum & potentiæ multo apparatu inſtructus fueris, & hæc longiore tempore detinueris ad negotii finitionem, compoſitionemque, quaſi inania extra omnem rei aggreſſionem. Etenim & Deus utitur dilatione, & ita per declarationem potentiæ ſuæ omnium animis incutit terrorem.

Hoc etiam collaudato, ad ſequentem dixit: QUID ſibi ad vitam degendam poſſit eſſe optimum? Ille ait: Hoc cognitum habere & ſtatuere, Deum univerſorum dominari: noſque etiam in illis quæ nobis maxime ſunt glorioſæ actiones, non dirigere conſilia noſtra, ſed Deum omnia perficere & gubernare pro ſua potentia.

Comprobata & hujus ſententia, interrogabat alium: QUOMODO & ipſe poſſet omnia conſervare & tueri integra & ſalva, & tandem eundem rerum ſuarum ſtatum poſteris etiam tradere ad perpetuitatem quandam? Ille dixit: Orando aſſiduè Deum, ut bona de rebus agendis capias conſilia: & monendo liberos, ne efferantur dignitate & opibus, neve putent ſe iſta habere ex ſe, ſed ſciant Deum ea largiri.

Suffragatus & huic ſententiæ, ex ſequente percontabatur: QUOMODO quoſvis eventus moderate ferat? Ille inquit: Si tibi perſuaſeris, homines ita creatos a Deo, ut & malorum & bonorum maximorum in vita fiant participes: nec inveniri hominem, qui ſit hujus viciſſitudinis expers: Deum vero contribuere animum æquum, pro quo ille ſit orandus.

Hoc etiam benigne & cum approbatione audito, dixit, Omnes præclare reſpondere: ſed interrogato adhuc uno tantum, velle in præſens deſiſtere, ut converſis ad lætitiam & oblectationem liceat hilaribus eſſe: ſequentibus vero ſex diebus, velle etiam ex reliquis aliquid addiſcere. Deinde quæſivit ex proximo: QUIS finis eſſet fortitudinis? Ille reſpondit: Si quod in rebus arduis & periculoſis fuerit recte deliberatum & conſtitutum, id etiam ita pro animi ſententia expediatur. Sed tibi, ô Rex, a Deo præclare omnia perficiuntur, qui recta & ſalutaria habes propoſita. Acclamantibus omnibus ad hæc, & applauſu ſuam approbationem declarantibus, Rex ad philoſophos, qui non pauci aderant, dixit: Ego arbitror iſtos homines excellere virtute, & præ aliis eſſe intelligentes, qui ex tempore ad hujuſmodi quæſtiones ita apte reſpondent, omnes a Deo ſermonis ſui initium capientes.

Tum Menedemus philoſophus Eretrienſis: Recte ſane, inquit, Rex. Nam cum a DEO omnia gubernentur, & recte hoc ſtatuamus, hominem eſſe Dei creaturam: conſentaneum eſt, ut ii omnes ſui ſermonis vim & rectitudinem a DEO principaliter petant. Hic cum rex innuiſſet, ipſe deſiit de his verba facere: ac deinde converſi ſunt ad hilaritatem convivii, quod ad veſperam demum eſt ſolutum.

Poſtridie rurſum eodem modo & ordine & convivium erat apparatum, & ſinguli diſcumbebant: ibi Rex, cum viſum eſſet commodum interrogare aliquid ex illis viris, qui ſequebantur eos qui pridie reſponderant ad interrogata, cœpit cum undecimo colloqui, quia decem die priori erant interrogati. ac ſilentio facto, quærebat: QUA ratione dives permanere poſſet? Tum, qui interrogatus erat, paululum moratus, dixit: Si nihil præter regni dignitatem & per luxum egeris, ſique ſumptus nullos in inania & inutilia impenderis: tuos vero ſubditos ſtudueris beneficiis tuis perducere in benevolentiam erga te. Nam Deus eſt ſumme beneficus;

Secundi diei convivium.

ficus, & omnium bonorum cauſa: quem imitari oportet.

Collaudato hoc, Rex alterum interrogabat: QUOMODO veritatem diligere & colere poſſet? Ille reſpondit: Si primum ſtatueris, magnum dedecus eſſe omnibus hominibus, mentiri: multo vero magis, regibus: qui cum habeant poteſtatem agendi quæ velint, cur mentiantur? Deinde ſi hoc etiam conſideraveris: Deum eſſe veritatis amatorem.

Hoc etiam valde approbato, converſis oculis in ſequentem, dixit ad eum: QUÆ eſſet doctrina, & qui fructus ſapientiæ? Ille reſpondit: Quemadmodum tu mala quidem recuſas habere, bonis vero omnibus abundare cupis, ſapienter egeris, ſi ſimiliter affectum te erga ſubditos & delinquentes exhibueris, honeſtos vero & probos viros humanius & animo æquiori monueris. Nam Deus etiam in ſua adminiſtratione omnes homines æquitate proſequitur.

Collaudato hoc, ad ſequentem dixit: QUA ratione poſſet eſſe humanus? Ille reſpondit: Si conſideraveris, quam longo tempore, & in quantis miſeriis genus humanum naſcatur & creſcat: quodque ideo nec facile punire oportet, neque accuſare alios, ex hac cogitatione, quia vita humana per ſe obnoxia ſit doloribus & afflictionibus. Ex horum enim diligenti conſideratione inclinaberis ad miſericordiam: & eo magis, ſi Deum etiam cogitabis eſſe miſericordem.

Approbato & hoc, proximum interrogavit: QUI mores in regia adminiſtratione eſſent in primis neceſſarii? Ille dixit: Ut quis ſe ſervet immunem ab omnium munerum corruptione: ut ſit ſobrius majori vitæ tempore: ut juſtitiam omnibus rebus præferat, & ejus amatores amplectatur ſingulari benevolentia: quia & Deus amat juſtos.

Hoc etiam ſuis laudibus ornato, ad alterum dixit: IN quo conſiſteret pietas? Ille: In eo, inquit, ut perſuaſum habeas, Deum omnia in omnibus agere & ſcire, neque ipſum latère quicquam quod homo vel bene vel male agat. proinde ſi, quemadmodum Deus totum mundum ſua benignitate fovet, & tu ſimiliter feceris, nunquam impinges & delinques.

Hoc etiam cum acclamatione approbato, dixit ad ſequentem: QUIS eſſet finis, & quod officium regnandi: Ille dixit: Recte ſeipſum regere: & quidem ita nihil ex confidentia opum & gloriæ concupiſces, quod ſit elatum & indecens, ſi ſortem tuam diligenter perpenderis. Nam omnia tua ita tibi aſſunt tanquam nihil: & Deus vacat omni cupiditate plurium, & eſt æquus. quod etiam tu, ut homo, conſideres: neque multas juriſdictiones ad tutum regnum pertrahere cupias.

Laudato eo, proximum interrogabat: QUOMODO poſſet habere optimas cogitationes, deliberationeſque? Reſpondit ille: Si ſemper propoſueris tibi juſta, & ſtatues injuſtitiam eſſe vitæ privationem & perniciem: juſtis vero Deum ſemper adornare bona.

Hoc approbato, ad ſequentem dixit: QUOMODO in ſomno quietus eſſe poſſit? Ille dixit: Quæris rem explicatu difficilem. nam in illis quæ in ſomno dormientibus eveniunt, non regimus nos ipſi, ſed ducimur ſenſu irrationali circum illa. quæ enim utcunque inciderunt, illis afficimur tanquam iis quæ cernamus: idque fit ſine ratione, quatenus putamus nos vel in mare ferri, vel navibus vehi, aut vendere aliquid, aut volare ſublatos, aut peregrinari, idque genus alia facere, quæ poſtea experimur non extitiſſe. Licet autem hæc ſit difficul-

εὔνοιαν ἄγει τὴν ἑαυτοῦ· καὶ γὰρ ὁ Θεὸς πᾶσιν αἴτιος ἀγαθῶν ἐστιν· ᾧ κατακολουθεῖν ἀναγκαῖον.

Ἐπαινέσας δὲ ὁ βασιλεὺς τοῦτον, ἕτερον ἐπηρώτα· ΠΩΣ ἂν τὴν ἀλήθειαν διατηροῖ; ὁ δὲ [a] τοῦτ' ἀπεκρίθη· γινώσκων, ὅτι μεγάλην αἰσχύνην ἐπιφέρει τὸ ψεῦδος πᾶσιν ἀνθρώποις, πολλῷ μᾶλλον τοῖς βασιλεῦσιν· ἐξουσίαν γὰρ ἔχοντες, ὃ βούλονται πράσσειν, τίνος ἕνεκεν ἂν ψεύσαιντο; προσλαμβάνειν δὲ δεῖ τοῦτό σε, βασιλεῦ· διότι φιλαλήθης ὁ Θεός ἐστιν.

Ἀποδεξάμενος δὲ εὖ μάλα καὶ τοῦτον, ἐπιβλέψας εἰς ἕτερον, εἶπε· ΤΙ ἐστι σοφίας διδαχή; ὁ δὲ ἕτερος ἀπεφήνατο· καθὼς οὐ βούλει σεαυτῷ τὰ κακὰ παρεῖναι, μέτοχος δὲ τῶν ἀγαθῶν ὑπάρχειν ἁπάντων, εἰ πράσσοις τοῦτο πρὸς τοὺς ὑποτεταγμένους, [b] καὶ τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων ἐπιεικέστερον νουθετοῖς· καὶ γὰρ ὁ Θεὸς τοὺς ἀνθρώπους ἅπαντας ἐπιεικείᾳ ἄγει.

Ἐπαινέσας αὐτὸν, τῷ μετ' αὐτὸν εἶπε· ΠΩΣ ἂν φιλάνθρωπος εἴη; κἀκεῖνος ἔφη· θεωρῶν, ὡς ἐν πολλῷ χρόνῳ, καὶ κακοπαθείαις μεγίσταις, αὔξει τε καὶ γεννᾶται τὸ τῶν ἀνθρώπων γένος· ὅθεν οὔτε εὐκόπως δεῖ κολάζειν, οὔτε αἰτίαις περιβάλλειν· γινώσκων, ὅτι τὸ τῶν ἀνθρώπων ζῆν, ἐν ὀδύναις τε καὶ τιμωρίαις καθέστηκεν. ἐπινοῶν οὖν ἕκαστα, πρὸς τὸν ἔλεον τραπήσῃ. καὶ γὰρ ὁ Θεὸς ἐλεήμων ἐστίν.

Ἀποδεξάμενος δὲ τοῦτον, ἐπυνθάνετο τοῦ καθεξῆς· ΤΙΣ ἀναγκαιότατος τρόπος βασιλείας; τὸ συντηρεῖν, εἶπεν, αὑτὸν ἀδωροδόκητον· καὶ νήφειν τὸ πλεῖον μέρος τοῦ βίου· καὶ δικαιοσύνην προτιμᾶν, καὶ τοὺς τοιούτους φιλοποιεῖσθαι. καὶ γὰρ ὁ Θεὸς φιλοδίκαιός ἐστιν.

Ἐπισημάνας καὶ τοῦτον, πρὸς τὸν ἕτερον εἶπεν· ΤΙ τὸ εὐσεβείας ἐστὶ κατάστημα; ἐκεῖνος δὲ ἔφη· τὸ διαλαμβάνειν, ὅτι πάντα διὰ παντὸς ὁ Θεὸς ἐνεργεῖ καὶ γινώσκει· καὶ οὐθὲν ἂν λάθοι ἄδικον ποιήσας ἢ κακὸν ἐργαζόμενος ἄνθρωπος· ὡς γὰρ Θεὸς εὐεργετεῖ τὸν ὅλον κόσμον· οὕτως καὶ σὺ μιμούμενος, ἀπρόσκοπος ἂν εἴης.

Ἐπιφωνήσας δὲ τούτῳ, πρὸς τὸν ἕτερον εἶπεν· ΤΙΣ ὅρος τοῦ βασιλεύειν ἐστί; ὁ δὲ ἔφη· τὸ καλῶς ἄρχειν ἑαυτοῦ· καὶ μὴ τῷ πλούτῳ καὶ τῇ δόξῃ [c] φαινόμενον ὑπερήφανον καὶ ἄσχημόν τι ἐπιθυμῆσαι, εἰ καλῶς λογίζοιο. πάντα γάρ σοι πάρεστιν, ὡς οὐδέν. ὁ Θεὸς δὲ ἀπροσδεής ἐστι, καὶ ἐπιεικής. καὶ σὺ, καθόσον ἄνθρωπος, ἐννόει, καὶ μὴ πολλῶν ὀρέγου, τῶν δὲ ἱκανῶν πρὸς τὸ βασιλεύειν.

Καταπαινέσας δὲ αὐτὸν, ἐπηρώτα τὸν ἕτερον· ΠΩΣ ἂν τὰ κάλλιστα διαλογίζοιτο; ἀπεκρίθη δ' ἐκεῖνος· εἰ τὸ δίκαιον ἐπὶ παντὸς προβάλλοι συνεχῶς· καὶ νομίζοι, τὴν ἀδικίαν, τοῦ ζῆν [d] στέρησιν εἶναι. καὶ γὰρ ὁ Θεὸς διὰ παντὸς τοῖς δικαίοις ἀγαθὰ προσημαίνει μέγιστα.

Τοῦτον δὲ ἐπαινέσας, εἶπε πρὸς τὸν ἑξῆς· ΠΩΣ ἂν ἐν τοῖς ὕπνοις ἀτάραχος εἴη; ὁ δὲ ἔφη· δυσκατάληπτον ἠρώτηκας πρᾶγμα. συναναφέρειν γὰρ οὐ δυνάμεθα ἐν τούτοις, τοῖς κατὰ τὸν ὕπνον, ἑαυτούς· ἀλλὰ περιεχόμεθα ἀλογίστῳ κατὰ ταῦτα αἰσθήσει. πάσχομεν γὰρ κατὰ [e] ψυχὴν ἐν τοῖς ὑποπίπτουσιν, ὡς θεωρουμένοις· ἀλογιστοῦμεν δὲ, καθόσον ὑπολαμβανόμενοι, καὶ ἐπὶ πέλαγος, καὶ ἐν πλοίοις, ἢ πλεῖν, ἢ πέτεσθαι φερομένους, καὶ διαίρειν εἰς ἑτέρους τό-

a V.C. πρὸς τοῦτο. b V.C. καὶ τοὺς ἀπρεπεστάτους εἰ τοὺς καλοὺς καὶ ἀγαθούς. c V.C. φερόμενον. d V.C. στέρησιν. e καὶ τὰ ψυχὴν ἐπὶ τοῖς. V.C.

τέτυς, καὶ τοιαῦτα ἔπεα. καὶ ὁ πάντα ὑπολαμβάνων, μὴ καθεστάναι. πλὴν ὅσον ἐμαυγ' ἐφικτὸν, ὅτου διείληφα· κατὰ πάντα τρόπον σε, βασιλεῦ, καὶ τὰ λεγόμενα, καὶ τὰ πραττόμενα, πρὸς εὐσέβειαν ἐπαναγειν· ὅπως ἑαυτῷ συνιστορῇς, ὅτι τὸ κατ' ἀρετὴν συντηρῶν, οὐ χαρίζεσθαι προαιρῇ παρὰ λόγον· οὐδὲ ἐξουσίᾳ χρώμενος, τὸ δίκαιον αἴρεις. ἐπὶ πλεῖον γὰρ, ἐν οἷς ἕκαστος πράγμασιν ἐγρηγορὼς τὴν διαγωγὴν ποιεῖται, καὶ καθ' ὕπνον ἐν τοῖς αὐτοῖς ἡ διάνοια τὴν ἀναστροφὴν ἔχει. ὃς δὲ πάντα διαλογισμὸν καὶ πρᾶξιν ἐπὶ τὰ κάλλιστα τετραμμένην κατευθύνει καὶ ἐγρηγορὼς, καὶ ἐν ὕπνῳ. διὸ καὶ περὶ σε διὰ παντός ἐστιν εὐστάθεια.

Κατευφημήσας δὲ καὶ τοῦτον, εἶπεν πρὸς τὸν ἕτερον· ἐπεὶ σὺ δέκατος τὴν ἀπόκρισιν ἔχεις, ὃς ἂν ἀποφήνῃ, ἐπὶ τὸ δεῖπνον τραπησόμεθα. ἠρώτα δὲ, ΠΩΣ ἂν μηδὲν ἀνάξιον ἑαυτῶν πράσσοιμεν; Ὁ δὲ εἶπεν· ἐπίβλεπε διὰ παντὸς εἰς τὴν σεαυτοῦ δόξαν καὶ ὑπεροχὴν, ἵνα τούτοις ἀκόλουθα καὶ λέγοις καὶ διανοῇ· γινώσκων, ὅτι πάντες ὧν ἄρχεις, περὶ σοῦ καὶ διανοοῦνται, καὶ λαλοῦσιν. οὐ γὰρ ἐλάχιστόν σε δεῖ τῶν ὑποκριτῶν φαίνεσθαι· τὸ γὰρ πρόσωπον οὐδὲ αὐτὸ ἐστι ὑποκρίνεσθαι. τοῦτο συνθεωροῦντες, ἀκόλουθα πάντα πράσσουσιν. σὺ δὲ οὐχ ὑπόκρισιν ἔχεις, ἀλλ' ἀληθῶς βασιλεύεις, θεοῦ δόντος σοι καταξίως τῶν τρόπων τὴν ἡγεμονίαν.

Τοῦ δὲ βασιλέως εὖ μάλα συγκροτήσαντος, μετὰ φιλοφρονήσεως ἐπὶ πλείονα χρόνον τοὺς ἀνθρώπους καθυπνοῦν παρεκάλεσεν. καὶ τὰ μὲν πρὸς τούτους ὡς ἔληξεν, ἐπὶ τὴν ἑξῆς ἐτράπησαν τῆς συμποσίας διατάξιν.

Τῇ δὲ ἐχομένῃ, τῆς αὐτῆς διατάξεως γενηθείσης, ὅτε καιρὸν ὑπέλαβεν ὁ βασιλεὺς τοῦ πυνθάνεσθαί τι τῶν ἀνδρῶν· ἠρώτα τὸν πρῶτον τῶν ἀπολειπόντων πρὸς τὴν ἑξῆς ἐρώτησιν, ΤΙΣ ἐστιν ἀρχὴ κρατίστη; ἐκεῖνος δὲ ἔφη· τὸ κρατεῖν ἑαυτοῦ, καὶ μὴ συγκαταφέρεσθαι ταῖς ὁρμαῖς. πᾶσι γὰρ ἀνθρώποις φυσικὸν εἶναι, τὸ πρός τι τὴν διάνοιαν ῥέπειν. τοῖς μὲν οὖν πολλοῖς ἐπὶ τὰ βρωτὰ, καὶ ποτὰ, καὶ τὰς ἡδονὰς, εἰκός ἐστι κεκλίσθαι· τοῖς δὲ βασιλεῦσιν, ἐπὶ χώρας κατάκτησιν, κατὰ τὸ τῆς δόξης μέγεθος. πλὴν ἐν πᾶσι μετριότης καλόν. ἃ δὲ ὁ θεὸς δίδωσι, ταῦτα λαμβάνων σὺ ἔχε· τῶν δὲ ἀνεφίκτων μὴ ἐπιθύμει.

Τοῖς δὲ ῥηθεῖσιν ἀρεσθεὶς, πρὸς τὸν ἐχόμενον εἶπεν· ΠΩΣ ἂν ἐκτὸς εἴη φθόνου; διαλιπὼν δὲ ἐκεῖνος, ἔφη· πρῶτον εἰ νοήσαι, ὅτι ὁ θεὸς πᾶσι μερίζει δόξαν τε καὶ πλούτου μέγεθος τοῖς βασιλεῦσι· καὶ οὐδεὶς παρ' ἑαυτοῦ ἐστι βασιλεύς· πάντες γὰρ θέλουσι μετασχεῖν ταύτης τῆς δόξης, ἀλλ' οὐ δύνανται· θεοῦ γάρ ἐστι δόμα.

Ἐπαινέσας δὲ τὸν ἄνδρα διὰ πλειόνων, ἠρώτα τὸν ἕτερον· ΠΩΣ ἂν καταφρονοίη τῶν ἐχθρῶν; ὁ δὲ εἶπεν· ἠσκηκὼς πρὸς πάντας ἀνθρώπους εὔνοιαν, καὶ κατεργασάμενος φιλίας, λόγον οὐθενὸς ἂν ἔχοις. τὸ δὲ κεχαριτῶσθαι πρὸς πάντας ἀνθρώπους, καὶ καλὸν δῶρον εἰληφέναι παρὰ θεοῦ, τοῦτ' ἐστι κράτιστον.

Συναινέσας δὲ τούτοις, τὸν ἑξῆς ἐκέλευσεν ἀποκριθῆναι, πρὸς αὐτὸν εἰπὼν· ΠΩΣ ἂν δοξαζόμενος δια-

a οἱ διὰ τ. V.C. b V.C. σωματικά.

tas in hoc negotio, tamen quantum ego poſſum aſſequi intelligentia mea, ita puto tibi faciendum eſſe Rex, ut omnia quæ & agenda & dicenda ſunt tibi, illa referas ad pietatem. Nam ut ipſe expertum habes, dum meditaris & agis ea quæ ſunt virtutis, interim neque gratificaris alicui præter rationem, neque potentia conſiſus jus tollis. Fere autem, quibus in negotiis quis vigilans multum verſatur, in illis etiam in ſomno animus ejus occupatur. Hinc ergo, qui vigilans omnem cogitationem & actionem ſuam ad honeſtiſſima & optima habet deſtinatam, ille etiam in ſomno inde rectas habet commotiones: ſicut & tu Rex perpetua es animi æquabilitate præditus

Hoc etiam cum applauſu audito, ad ſequentem dixit: Quoniam tibi decimo loco eſt reſpondendum, ubi pronunciaris ſententiam tuam, convertemur ad cœnationem. Ex te autem cupio cognoſcere: QUOMODO nihil egerimus indignum nobis? Ille inquit: Inſpice aſſidue in tuam gloriam, & excellentiam dignitatis tuæ, ut ita conſentanea illis & loqui & cogitare ſtudeas, ex hac animi ſententia: Quia omnes quibus tu imperas, de te cogitent & loquantur. Nam nihil prorſus in te debet eſſe ſimulatum & fictum: quemadmodum neque perſonam illam quam ſuſtines, fingere & ſimulare potes. Hoc alii in te cernentes omnes, ſimiliter ſtudebunt agere. verum tu nihil ſimulas, neque es rex perſonatus: ſed præſtas regem verum, ex gratia Dei, qui pro tuorum morum præſtantia tibi imperium dignum contribuit. Hæc omnia cum Rex cum magno approbationis ſuæ applauſu accepiſſet, & deinde convivii hilaritatem in ſatis longam tempus protraxiſſet, tandem juſſit viros illos ducere cubitum. Quo facto, & finita hac convivatione, apparabantur quæ in ſequentis diei convivium inſtruendum pertinerent.

Sequenti ergo die, cum idem diſcumbentium ordo eſſet, Rex ubi putavit adeſſe tempus quærendi aliquid ex illis, primum ex reliquis nondum interrogatis hac allocutus eſt interrogatione: QUOD imperium eſſet optimum? Reſpondit: Sibi ipſi imperare, nec rapi ab affectibus ſuis. Nam hoc quidem eſt in natura omnium hominum, ut ſint animis proni & inclinati ad aliquid proſequendum. & hinc vulgus fere putat ſe debere inclinari ad commeſſationes, potationes, & alias hujus generis voluptates: Reges vere exiſtimant, ſibi pro ſuæ potentiæ & dignitatis amplitudine convenire regionum ſubjugationem: ſed modus in omnibus rebus rectus eſt, & probatur. Tu ergo Rex, conſerves & tuearis illa quæ Deus tibi contribuit: quæ vero ad te non pertinent, & ad quæ non datur tibi acceſſus juſtus, illa ne concupiſcas.

Tertii diei convivium.

His delectatus, ad ſequentem dixit: QUOMODO poſſet eſſe liber a vicio invidiæ, ita ut ipſe nemini invideret? Ille interjecta brevi mora, dixit: Hoc præcipue modo, ſi ita tecum cogitaveris, Deum eſſe qui diſtribuat & largiatur regibus potentiam & opum affluentiam, nec eſſe quenquam regem ex ſeſe. id quod inde patet, quia omnes cupiunt conſequi hanc dignitatem: ſed non poſſunt, cum ſit DEI donum.

Hoc multis collaudato, ad ſequentem dixit: QUOMODO ſpreverit hoſtes? Ille dixit: Si ſtudueris omnes homines benevolentia proſequi, & ita tibi paraveris amicitias illorum, non te turbabit hoſtis ullus: ſed ita promeritum & in gratia eſſe apud omnes homines, eſt præclarum donum DEI, quo ab illo præſtantius non licet conſequi aliud.

His approbatis, ſequentem reſpondere ad hanc quæſtionem juſſit: QUOMODO poſſet eſſe in per-

perpetua gloria & fama apud homines? Ille dixit: Si fueris munificus, & propenſus ad alios promptitudine animi & beneficiis demerendos, nunquam te deficiet gloria. Sed ut illa jam dicta tibi perpetuo aſſint, Deus ſemper invocandus erit.

Hoc cum approbatione excepto, proximum interrogabat: APUD quos conveniret glorioſe & honorifice ſe gerere? Ille dixit: Alii omnes putant hoc faciendum eſſe apud illos, qui amice erga nos ſunt affecti: ego autem exiſtimo hanc honorificam venditationem cum gratia civilis moderationis uſurpandam coram illis, qui in contrariis gloriam & laudem quærunt, ut hoc modo illos etiam traducamus ad id quod conveniat, & proſit illis. Sed Deus erit orandus, ut hæc ille perficiat, qui omnium animos gubernat & moderatur.

Suffragatus huic, ſextum pronunciare juſſit ſententiam ſuam ad hanc quæſtionem: QUIBUS eſſet gratificandum? Ille dixit: Parentibus perpetuo, & in primis, quoniam Deus maximum dedit præceptum, De honorandis parentibus: ſecundo loco amicis, quod idem vult cum dicit, Amicum ex æquo animæ tuæ. Sed tu Rex præclare facis, qui omnes homines in tuam amicitiam pertrahere ſtudes.

Hoc etiam approbato, ſciſcitabatur ex ſequenti: QUID eſſet dignum cultu decente, & exornatione? Ille inquit: Pietas. hæc enim & ipſa eſt excellens quædam pulchritudo, quæ vim ſuam ſitam habet in charitate, dono Dei: quam tu etiam poſſides, & in ea omnia bona complecteris.

Ad hæc amico admodum applauſu edito, ad ſequentem dixit: QUOMODO offenſione aliqua imminutam gloriam recuperare poſſet? Ille inquit: Tu quidem non potes labi & offendere quenquam, qui in omnes beneficia confers, unde germinat benevolentia: quæ cum ſit ſuperior maximis armis, præſtat maximum munimentum & præſidium. ſed ſi qui ſolent delabi in offenſas, illi ea quibus offendunt alios, non amplius faciant: ſed reconciliatis animis offenſorum, juſta agant. Verum hoc eſt donum DEI, bonis & non malis actionibus deditum eſſe.

Hic oblectatus, ad ſequentem dixit: QUOMODO quis vacuus eſſe poſſit a triſtitia? Ille reſpondit: Si neminem læſerit, ſed omnes ex amore & ſtudio colendæ juſtitiæ juverit. hujus enim fructus pariunt ſecuritatem, & tranquillitatem animi. Interim tamen DEUS erit orandus, ne quæ præter animi noſtri voluntatem & ſententiam incidere ſolent, ut obitus, morbi, mœſtitia, & ſimilia, illa etiam eum turbent. Sed tibi, pietatis cultori, nihil horum accidere poteſt.

Recte autem & hoc approbato, decimum interrogabat: QUID eſſet in primis glorioſum, & homine dignum? Ille dixit: colere & venerari Deum, non muneribus & ſacris, ſed animi puritate: & hoc ſancto ſtudio cogitandi & conſiderandi, ut omnia ab ipſo creentur, & gubernentur ſecundum voluntatem ſuam. Ad quem quidem tu es animo & ſententia tua perpetuo conformatus: ſicut hoc licet facile omnes cognoſcere ex illis quæ egiſti, & agis. Tum Rex majore acclamatione comprobationis ſuæ ipſos omnes proſequebatur: comprobantibus ipſos etiam aliis qui aderant, & præcipue philoſophis, quibus illi longe præſtantiores erant & ſtudiis vitæ & orationis uſu, ut qui a DEO omnium caperent initia. Hinc Rex ad hilaritatem convivii & invitationum rediit.

Quarti diei convivium. Poſtero die, convivio inſtructo ad eundem modum, cum Regi eſſet viſum opportunum, incipiebat interrogare illos qui ſequebantur eos qui jam reſponderant, ac ad primum dicebat: NUM pru-

μένοι; εἶπεν δέ· τῇ [a] προθυμίᾳ, καὶ τῇ χάριτι πρὸς τοὺς ἄλλους μεταδοτικὸς ὤν, καὶ μεγαλομερὴς, οὐδέποτ' ἂν ἀπολίποι δόξης· ἵνα δὲ τὰ προειρημένα σοι διαμένῃ, τὸν θεὸν ἐπικαλεῖν διὰ παντός.

Εὐφημήσας δὲ τοῦτον, ἕτερον ἠρώτα· ΠΡΟΣ τίνα δεῖ φιλότιμον εἶναι. ἐκεῖνος δὲ ἔφη· πρὸς τοὺς φιλικῶς ἔχοντας ἡμῖν, οἴονται πάντες ὅτι πρὸς τούτους δέον. ἐγὼ δὲ ὑπολαμβάνω, πρὸς τοὺς ἀντιδοξοῦντας φιλοτιμίαν δεῖ χαριστικὴν ἔχειν, ἵνα τούτῳ τῷ τρόπῳ μετάγωμεν αὐτοὺς ἐπὶ τὸ καθῆκον καὶ συμφέρον ἑαυτοῖς. δεῖ δὲ τὸν θεὸν λιτανεύειν, ἵνα ταῦτα ἐπιτελῆται· τὰς γὰρ ἁπάντων διανοίας κρατεῖ.

Συνομολογήσας δὲ τούτοις, τὸν ἕκτον ἐκέλευσεν ἀποφήνασθαι πυνθανόμενος, ΤΙΣΙ δεῖ χαρίζεσθαι; ἐκεῖνος δὲ ἀπεκρίθη· γονεῦσι διαπαντός. καὶ γὰρ ὁ θεὸς πεποίηται ἐντολὴν μεγίστην περὶ τῆς τῶν γονέων τιμῆς. ἑπομένως δὲ τὴν τῶν φίλων ἐγκρίνει διάθεσιν, προσονομάσας ἴσον τῇ ψυχῇ τὸν φίλον. σὺ δὲ καλῶς ποιεῖς, ἅπαντας ἀνθρώπους εἰς φιλίαν πρὸς ἑαυτὸν καθιστῶν.

Παρακαλέσας δὲ καὶ τοῦτον, ἐπυνθάνετο καὶ τοῦ μετέπειτα· ΤΙ καλλονῆς ἄξιόν ἐστι; Ὁ δὲ εἶπεν· εὐσέβεια. καὶ γὰρ αὕτη καλλονή τις ἐστὶ πρωτεύουσα. τὸ δὲ δυνατὸν αὐτῆς ἐστιν ἀγάπη· αὕτη γὰρ θεόδοτός ἐστιν· ἣν καὶ [b] συγκέκτησαι, πάντα περιέχων ἐν αὐτῇ τἀγαθά.

Λίαν δὲ φιλοφρόνως ἐπικροτήσας, εἶπε πρὸς τὸν ἕτερον· ΠΩΣ ἂν πταίσας, πάλιν τῆς αὐτῆς κρατήσαι δόξης; Ὁ δὲ ἔφη· σὺ μὲν οὐ δυνατὸν πταῖσαι, πᾶσι γὰρ χάριτας ἐπαρκοῖς, [c] αἳ βλαστάνουσιν εὔνοιαν· ἣ τὰ μέγιστα τῶν ὅπλων κατισχύουσα, περιλαμβάνει τὴν μεγίστην ἀσφάλειαν. εἰ δέ τινες πταίουσιν ἐφ' οἷς πταίουσιν, οὐκ ἔτι χρὴ ταῦτα πράσσειν· ἀλλὰ φιλίαν κατακτησαμένους, δικαιοπραγεῖν. θεοῦ δὲ δῶρον, ἀγαθῶν ἐργάτην εἶναι, καὶ μὴ τῶν ἐναντίων.

Συναρεσθεὶς τούτοις, πρὸς τὸν ἕτερον εἶπεν· ΠΩΣ ἂν ἐκτὸς γένοιτο λύπης; Ὁ δὲ ἔφησεν· εἰ μηδένα βλάπτοι, πάντας δὲ ὠφελοῖ, τῇ δικαιοσύνῃ κατακολουθῶν· τοὺς γὰρ ἀπ' αὐτῆς καρποὺς, ἀλυπίαν κατασκευάζειν. ἱκετεύειν δὲ τὸν θεὸν ἵνα μὴ τὰ παρὰ τὴν προαίρεσιν ἡμῶν ἀνακύπτοντα [d] βλάπτῃ· λέγω δὴ, οἷον θάνατοί τε καὶ νόσοι, καὶ λῦπαι, καὶ τὰ τοιαῦτα. σοὶ δὲ εὐσεβεῖ καθεστῶτι, τούτων οὐδὲν ἂν προσέλθοι.

Καλῶς δὲ καὶ τοῦτον ἐπαινέσας, τὸν δέκατον ἠρώτα· ΤΙ μέγιστόν ἐστι δόξης; ὁ δὲ εἶπεν· τὸ τιμᾶν τὸν θεόν· τοῦτο δ' ἐστὶν, οὐ δώροις, οὐδὲ θυσίαις, ἀλλὰ ψυχῆς καθαρότητι, καὶ διαλήψεως ὁσίας, καθὼς ὑπὸ τοῦ θεοῦ πάντα κατασκευάζεται καὶ διοικεῖται κατὰ τὴν αὐτοῦ βούλησιν· ἣν καὶ σὺ διατελεῖς ἔχων γνώμην, ᾗ πάρεστι σημειοῦσθαι πᾶσι ἐκ τῶν ὑπό σου συντετελεσμένων καὶ συντελουμένων. μετὰ μείζονος δὲ φωνῆς ὁ βασιλεὺς πάντας αὐτοὺς ἠσπάζετο, καὶ παρεκάλει, συνεπιφωνούντων τῶν παρόντων, μάλιστα δὲ τῶν φιλοσόφων. καὶ γὰρ τῇ ἀγωγῇ καὶ τῷ λόγῳ πολὺ προεῖχον τούτων, ὡς ἂν ἀπὸ θεοῦ τὴν καταρχὴν ποιούμενοι. μετὰ δὲ ταῦτα, ὁ βασιλεὺς εἰς τὸ φιλοφρονεῖσθαι ἦλθε, διὰ τῶν προπόσεων.

Τῇ δὲ ἐπιούσῃ, κατὰ τὰ αὐτὰ τῆς διατάξεως τοῦ συμποσίου γινομένης, καθὼς εὔκαιρον ἐγίνετο τῷ βασιλεῖ, τοὺς ἑξῆς ἠρώτα τῶν προαποκεκριμένων. εἶπε δὲ τῷ πρώ-

a V.C. προσκαλέσας. b V.C. καὶ σὺ κέκτησαι. c V.C. ἐπαρκεῖς. d V.C. βλάπτῃ.

πρώτῳ· ΤΟ φρονεῖν εἰ διδακτόν ἐστι; ὁ δὲ εἶπεν· ψυχῆς ἐστι κατασκευή, διὰ θείας δυνάμεως ἐπιδέχεσθαι πᾶν τὸ καλὸν, ἀποστρέφεσθαι δὲ τἀναντία.

Συνομολογήσας δὲ, τὸν ἐχόμενον ἠρώτα· ΤΙ πρὸς ὑγίειαν μάλιστα συντείνει; ἐκεῖνος δὲ ἔφη· σωφροσύνη· ταύτης δὲ οὐκ ἐστι τυχεῖν, ἐὰν μὴ θεὸς κατασκευάσῃ τὴν διάνοιαν εἰς τοῦτο.

Παρακαλέσας δὲ τοῦτον, πρὸς τὸν ἕτερον ἔφη· ΠΩΣ ἂν γονεῦσι τὰς ἀξίας ἀποδῴη χάριτας; ὁ δὲ εἶπεν· μηδὲν αὐτοὺς λυπήσας· τοῦτο δὲ οὐκ ἐστιν, εἰ μὴ θεὸς τῆς διανοίας ἡγεμὼν γίνοιτο πρὸς τὰ κάλλιστα.

Προσεπινεύσας δὲ τούτῳ, τὸν ἑξῆς ἠρώτα, ΠΩΣ ἂν φιλήκοος εἴη; ἐκεῖνος δὲ εἶπε· διαλαμβάνων, ὅτι πάντα συμφέρει γινώσκειν, ὅπως ἂν πρὸς τὰ συμβαίνοντα ἐκλεγόμενός τι τῶν ἠκροαμένων, ἀνθυποτιθεὶς πρὸς τὰ τῶν καιρῶν ἀντιπράσσηται, σὺν χειραγωγίᾳ θεοῦ· τοῦτο δὲ ἐστιν, αἱ τῶν πράξεων τελειώσεις ὑπ᾽ αὐτοῦ.

Τοῦτον δὲ ἐπαινέσας, πρὸς τὸν ἕτερον εἶπεν· ΠΩΣ ἂν μηδὲν παράνομον πράσσοι; πρὸς τοῦτο ἔφησε· γινώσκων, ὅτι τὰς ἐπινοίας ὁ θεὸς δέδωκε τοῖς νομοθετήσασι, πρὸς τὸ σώζεσθαι τοὺς βίους τῶν ἀνθρώπων, ἀκόλουθος ἂν εἴη αὐτοῖς.

Αποδεξάμενος δὲ αὐτὸν, [a]πρὸς ἕτερον εἶπεν· ΤΙΣ ὠφέλεια συγγενείας ἐστίν; ὁ δὲ ἀπεφήνατο· ἐὰν τοῖς συμβαίνουσι νομίζομεν, ἀτυχοῦσι μὲν ἐλαττοῦσθαι καὶ κακοπαθεῖν, ὡς αὐτῶν φαίνεται τὸ συγγενὲς, ὅσον ἰσχύον ἐστί· (τελουμένων δὲ τούτων, καὶ δόξα καὶ προκοπὴ παρὰ τοῖς τοιούτοις ὑπάρξει· τὸ γὰρ συνεργὲς εὐνόως γινόμενον, ὡς ἐξ ἑαυτοῦ ἀδιάλυτον πρὸς ἅπαντα.) μετὰ δὲ εὐημερίας, μηδὲν προσδεῖσθαι τῶν ἐκείνων, ἀλλὰ θεὸν ἱκετεύειν, πάντα ἀγαθοποιεῖν.

Ωσαύτως δὲ ἐκείνοις ἀποδεξάμενος αὐτὸν, ἄλλον ἠρώτα· ΠΩΣ ἀφοβία γίνεται; εἶπε δέ· συνιστορούσης τῆς διανοίας, μηδὲν κακὸν πεπραχέναι· θεοῦ κατευθύνοντος, εἰς τὸ καλῶς ἅπαντα βουλεύεσθαι.

Τούτῳ δὲ ἐπιφωνήσας, πρὸς ἄλλον εἶπεν· ΠΩΣ ἂν πρόχειρον ἔχοι τὸν ὀρθὸν λόγον; ὁ δὲ εἶπεν· εἰ τὰ τῶν ἀνθρώπων ἀτυχήματα διὰ παντὸς ἐπιβλέποι· γινώσκων, ὅτι ὁ θεὸς ἀφαιρεῖται τὰς εὐημερίας, ἑτέρους δὲ δοξάζων εἰς τὸ τιμᾶσθαι προάγει.

Καλῶς δὲ καὶ τοῦτον ἀποδεξάμενος, τὸν ἑξῆς ἀποκριθῆναι παρεκάλει· ΠΩΣ ἂν μὴ εἰς ῥαθυμίαν, μηδὲ ἐπὶ τὰς ἡδονὰς τρέποιτο; ὁ δὲ, πρόχειρον ἔχων (εἶπεν) ὅτι μεγάλης βασιλείας κατάρχει, καὶ πολλῶν ὄχλων ἀφηγεῖται· καὶ οὐ δεῖ περὶ ἕτερόν τι τὴν διάνοιαν εἶναι, τῆς δὲ τούτων ἐπιμελείας φροντίζειν· θεὸν δὲ ἀξιοῦν, ὅπως μηθὲν ἐλλίπῃ τῶν καθηκόντων.

Επαινέσας δὲ καὶ τοῦτον, τὸν δέκατον ἐρωτᾷ· ΠΩΣ ἐπιγινώσκοι τοὺς δόλῳ τινὰ πρὸς αὐτὸν πράσσοντας; ὁ δὲ ἀπεφήνατο πρὸς τοῦτο· εἰ παρατηροῖτο τὴν ἀγωγὴν ἐλευθέριον οὖσαν, καὶ τὴν εὐταξίαν διαμένουσαν ἐν τοῖς ἀσπασμοῖς, καὶ τοῖς συμβουλίαις, καὶ τῇ λοιπῇ συναναστροφῇ τῶν σὺν αὐτῷ· καὶ μηδὲν ὑπερτείνοντας τοῦ δέοντος ἐν τῇ φιλοφρονήσει, καὶ τοῖς λοιποῖς τοῖς κατὰ τὴν ἀγωγήν. θεὸς δὲ τὴν διάνοιαν ἕξει σου, βασιλεῦ, πρὸς τὰ κάλλιστα. ὁ δὲ βασιλεὺς συγκροτήσας, πάντας τ᾽ ἐπαινέσας κατ᾽ ὄνομα, καὶ τῶν παρόντων ταῦτα ποιούντων, ἐπὶ τὸ μέλπειν ἐτράπησαν.

[a] V. C. ἑτέρῳ, ὅτι.

dentia ſtudijs & doctrina parari poſſet? Ille dixit: Eſt hæc habitus animi, qui a divina virtute dirigitur ad proſequenda omnia honeſta, & contraria averſanda.

Suffragatus huic, ſequentem interrogabat: QUID in primis faceret ad valetudinem tuendam? Ille reſpondit: Temperantia. Sed hanc non licet aſſequi, niſi Deus ad eam mentem præparet, & conformet.

Hoc approbato, ad alium dixit: QUOMODO parentibus dignas quis poſſet referre gratias? Ille dixit: Nulla prorſus triſtitia & moleſtia ipſos afficiendo. Sed hoc non conceditur, niſi DEUS mentis dux & gubernator extiterit in conſiliis & actionibus dirigendis ad optima quæque.

Suffragatus & huic, ad ſequentem dixit: QUOMODO quis fieri poſſet cupidus audiendi? Si, inquit ille, exiſtimaverit utile eſſe omnia cognoſcere, ad hoc, ut ex auditis aliquid ſeligat, quod cum tempus poſtulet, depromat, & in agendo ſequatur: ſub gubernatione tamen & quaſi manuductione DEI, quia ab ipſo actiones ad ſuos eventus perducuntur.

Hoc comprobato, ad ſequentem dixit: QUOMODO quis nihil egerit contra leges? Ad hoc dixit ille: Ita potuerit aliquis obtemperando ſequi leges, ſi ſtatuerit, Deum cogitationes & intelligentiam ſuggeſſiſſe legumlatori ad ferendas leges tales, in quibus ſalus hominum conſiſtat.

Approbato hoc, ad ſequentem dixit: QUÆ eſſet cognationis utilitas? Ille reſpondit: Si rem exiſtimare volumus ex eventis, ut in adverſa quidem fortuna una dejiciantur, affliganturque, pro magnitudine ipſorum mutuæ cognationis (Quæ cum fiunt, & gloria ſequitur, & cognationis vinculum fit arctius. quoniam cognatio, benevolentia & beneficentia temperata, fit omnino indiſſolubilis:) in fortuna vero ſecunda ultra res ipſorum nihil amplius requirant, & aliunde petant: ſed Deus orandus erit ſuppliciter, ut omnia proſperet.

Hoc ſimiliter approbato, ſequentem interrogabat: QUOMODO quis poſſet ſine metu eſſe? Ille dixit: Si habuerit mentem nullius malæ actionis ſibi conſciam, ex beneficio DEI, dirigentis animum ad conſultationes de omnibus rebus bonas.

Huic ſuffragatus, ad alium dixit: QUOMODO quis poſſet in promptu habere rationem rectam? Ille dixit: Si ſemper reſpexerit ad hominum infortunia, & inde hoc didicerit, DEUM adimere aliis ſecundam fortunam, alios vero extollendo evehere ad dignitatis decus.

Hoc etiam approbato, ſequentem hortabatur oſtendere: QUOMODO neque ad ignaviam neque ad voluptates diſtraheretur? Ille inquit: Si ob oculos habueris, & conſideraveris, te præeſſe magno regno, & multis imperare, nec debere mentem ad alia traducere, ſed circa iſtorum adminiſtrationem retinere animi cogitationes & curas: interim tamen orandus erit Deus, ne quid omittas eorum quæ ſint officii tui.

Hoc collaudato, decimum interrogabat: QUOMODO poſſet cognoſcere doloſe ſecum agentes? Ille reſpondit: Si obſervaveris, quam ſit cuique vita libero homine digna, & quam conſtans certaque morum æquabilitas in ſalutationibus, conſultationibus, & reliqua converſatione, in benevolentia & reliquis vitæ officiis nihil ultra modum agant. Deus autem tibi, Rex, mentem ad optima diriget. Rex cum applauſu hoc accepto, & ſimul omnibus aliis nominatim collaudatis, idque etiam facientibus aliis qui aderant, deinde convertuntur ad hilaritatem canentium.

Se-

Quinti diei convivium. Sequenti die Rex ſimiliter captata opportunitate, interrogabat ſequentem: QUÆ eſſet maxima negligentia? Ille ad hoc reſpondit: Si quis non curat liberos, nec eos educando quam diligentiſſime informat. Nam oramus Deum ſemper non tam pro nobis, quam pro liberis noſtris, ut illis adſint omnia bona. ut autem vere cupiant & poſſint acceptare temperantiæ diſciplinam, hoc eſt gratiæ & virtutis divinæ.

Hunc faſſus recte dixiſſe, alium interrogabat: QUOMODO amator patriæ quis extiterit? Ille dixit: Si ita ſtatuerit ſecum, honeſtum eſſe & vivere & mori domi: apud peregrinos vero, reputet egentes quidem contemni, divites vero male audire, tanquam ob turpitudinem aliquam exulent. Verum tu, Rex, ſi perges beneſice tractare omnes, quemadmodum hoc diligenter facis, Deo contribuente tibi erga omnes tam benignam voluntatem, habeberis amator patriæ.

Hoc audito, ex eo qui ſequebatur quærebat: QUOMODO quis cum uxore poſſet commode & conſentienter in conjugio degere? Ille dixit: Hoc quidem certum eſt, genus muliebre eſſe confidens & animoſum, & idoneum ad quam rem cunque velit efficiendam: ad hæc, mutabile, ob conſilii & ſexus imbecillitatem naturalem: ſed cum ratione & ſana mente eſt tractandum, nec irritandum adverſando ad contentionem. Ita enim vita recto & fœlici curſu agitur, cum gubernator ejus ſcit & conſiderat ad quem ſcopum omnia in ea conſilia & actiones omnes oporteat referre. verum accedente invocatione opis divinæ, hæc gubernatio ſit fœlix.

Hoc cum aſſenſione audito, ad ſequentem dixit: QUOMODO ſine erratis vixerit? Ille dixit: Si egeris omnia cum diligenti conſideratione, & non habueris fidem calumniis, ſed putaveris tibi ſingula eſſe expendenda: ſique cum judicio pariter & colloquêris cum aliis, & de quibus fueris locutus, illa perficies: ita, Rex, nunquam labêris & errabis. Sed hæc ita expendere, & in iis perſeverare, eſt opus Divinæ virtutis.

His exhilaratus, ſequentem interrogabat: QUOMODO poſſit eſſe liber & vacuus ab ira? Ad hoc dixit ille: Si primum conſideraveris, quod cum omnium poteſtatem habeas, ſi adjunxeris iram, mortem ſis allaturus multis: id quod eſt inutile & triſte, ſi quis ex eo quod omnia in ſua poteſtate habeat, multos vita privat: deinde ſi hoc etiam perpenderis, cum omnes habeas ſubjectos, & nullum adverſantem, non eſſe cur tibi ſit iraſcendum. Poſtremo, ſi & hoc expenderis, DEUM totum mundum gubernare cum manſuetudine, ſine indignatione omni: huncque, Rex, tibi eſſe imitandum.

Faſſus hunc præclare reſpondiſſe, ex ſequente percontabatur: QUID eſſet recte deliberare, & ſana capere conſilia? Ille dixit: Omnia recte agere cum diligenti ponderatione, appoſitis ad conſultationem ex contraria parte noxiis etiam, ut ita ſingulis inſpectis perpenſiſque & rectum conſilium capiatur, & quod conſtitutum ſit peragatur. Sed illa demum ſunt optima conſilia, quæ divina virtute in piis animis reguntur.

Recte & hunc ſtatuiſſe faſſus, proximum interrogabat: QUID eſſet Philoſophia? Ille dixit: Recte ſentire & ſtatuere de ſingulis quæ eveniunt in vita, nec de gradu moveri impetu ullius cupiditatis: ſed perpenſis incommodis quæ ex cupiditatibus exiſtant, pro tempore omnia agere, ut conveniat cum animi moderatione. Sed ut horum curam habere poſſimus, Deus erit colendus.

Erga hunc etiam approbatione declarata, ad proximum dixit: QUOMODO apud peregrinos poſſet nanciſci hoſpitales & faciles ad ſe excipien-

Τῇ δὲ ἐχομένῃ, τὸν καιρὸν λαβὼν, ἐπηρώτα τὸν ἑξῆς· ΤΙΣ ἐστιν ἀμέλεια μεγίστη; πρὸς τοῦτ' ἔφη· εἰ τέκνων ἀφροντίς τις ᾖ, καὶ μὴ κατὰ πάντα τρόπον ἀγαγεῖν, εὐχόμεθα γὰρ ἀεὶ πρὸς τὸν θεὸν, οὐχ οὕτως περὶ ἑαυτῶν, ὡς περὶ τῶν ἐγγόνων, ἵνα παρῇ πάντ' αὐτοῖς τἀγαθά. τὸ δὲ ἐπιδεῖσθαι παιδείας σωφροσύνης μετοχὴν, θεοῦ δυνάμει τοῦτο γίνεται.

Φήσας δὲ εὐλογεῖν, ἄλλον ἠρώτα· ΠΩΣ ἂν φιλόπατρις εἴη; προτιθέμενος (εἶπεν) ὅτι καλὸν ἐν ἰδίᾳ καὶ ζῆν καὶ τελευτᾶν. ἡ δὲ ξενιτεία τοῖς μὲν πένησι καταφρόνησιν ἐργάζεται, τοῖς δὲ πλουσίοις ὄνειδος, ὡς διὰ κακίαν ἐκπεπτωκόσι. εὐεργετῶν οὖν ἅπαντας, καθὼς συνεχῶς τοῦτο ἐπιτελεῖς, θεοῦ διδόντος σοι πρὸς πάντας χάριν, φιλόπατρις φανήσῃ.

Τούτου δὲ ἀκούσας, τοῦ κατὰ τὸ ἑξῆς ἐπυνθάνετο· ΠΩΣ ἁρμόσαι γυναικί; ὁ δὲ ἔφη· ὅτι μὲν θρασύ ἐστι τὸ θῆλυ γένος, καὶ δραστικὸν, ἐφ' ὃ βούλεται πρᾶγμα· καὶ μεταπίπτον εὐκόπως διὰ παραλογισμοῦ, καὶ [a] τῇ φύσει κατεσκεύασται ἀσθενές. δέον δ' ἐστὶ κατὰ τὸ ὑγιὲς χρῆσθαι, καὶ μὴ πρὸς ἔριν ἀντιπράσσειν. κατορθοῦται γὰρ βίος, ὅταν ὁ κυβερνῶν εἰδῇ, πρὸς τίνα σκοπὸν δεῖ τὴν διέξοδον ποιεῖσθαι. θεοῦ δ' ἐπικλήσει καὶ βίος κυβερνᾶται κατὰ πάντα.

Συνανθωμολογησάμενος δὲ τούτῳ, τὸν ἑξῆς ἠρώτα· ΠΩΣ ἀναμάρτητος εἴη; ὁ δὲ ἔφησεν· ὡς ἅπαντα πράσσων μετὰ διαλογισμοῦ, καὶ μὴ πειθόμενος διαβολαῖς, ἀλλ' αὐτὸς ὢν δοκιμαστὴς τῶν λεγομένων· καὶ κρίσει κατευθύνων τὰ τῶν ἐντεύξεων, καὶ διὰ κρίσεως ἐπιτελῶν πάντα, ἀναμάρτητος (ἔφη) ἂν εἴης, ὦ βασιλεῦ. τὸ δὲ ἐπινοεῖν πάντα, καὶ ἐν τούτοις ἀναστρέφεσθαι, θείας δυνάμεώς ἐστιν ἔργον.

Διαχυθεὶς δὲ τοῖς εἰρημένοις, τὸν ἕτερον ἠρώτα· ΠΩΣ ἂν ἐκτὸς θυμοῦ γένοιτο; πρὸς τοῦτ' εἶπεν· γινώσκων, ὅτι πάντων ἐξουσίαν ἔχει· καὶ εἰ χρήσαιτο θυμῷ, θάνατον ἐπιφέρει· ὅπερ ἀνωφελὲς καὶ ἀλγεινόν ἐστιν, εἰ τὸ ζῆν ἀφελεῖται πολλῶν, διὰ τὸ κύριον εἶναι. πάντων δὲ ὑπηκόων ὄντων, καὶ μηδενὸς ἐναντιουμένου, τίνος χάριν θυμωθήσεται; γινώσκειν οὖν δεῖ, διότι θεὸς τὸν πάντα κόσμον διοικεῖ μετ' εὐμενείας, καὶ χωρὶς ὀργῆς ἁπάσης. τούτῳ δὲ κατακολουθεῖν ἀναγκαῖόν ἐστι σε, ἔφησεν, ὦ βασιλεῦ.

Καλῶς δὲ ἀποκεκρίσθαι φήσας τοῦτον, ἐπυνθάνετο τοῦ μετὰ ταῦτα· ΤΙ ἐστιν εὐβουλία; τὸ καλῶς ἅπαντα πράττειν, ἀπεφήνατο, μετὰ διαλογισμοῦ, κατὰ τὴν βουλὴν παρατιθέντα καὶ βλαβερὰ τὰ κατὰ τὸ ἐναντίον τοῦ λόγου διάστημα· ἵνα πρὸς ἕκαστον ἐπινοήσαντες, ὦμεν εὖ βεβουλευμένοι, καὶ τὸ προτεθὲν ἡμῖν ἐπιτελῆται. τὸ δὲ αὖ κράτιστον θεοῦ δυναστείᾳ πᾶν βούλευμα, ἵνα ἕξει σοὶ τὴν εὐσέβειαν ἀσκοῦντι.

Κατωρθωκέναι δὲ καὶ τοῦτον εἴπας, ἄλλον ἠρώτα· ΤΙ ἐστι φιλοσοφία; τὸ καλῶς διαλογίζεσθαι πρὸς ἕκαστον τῶν συμβαινόντων, ἀπεφήνατο, καὶ μὴ ἐκφέρεσθαι τῶν ὁρμῶν, ἀλλὰ τὰς βλάβας καταμελετᾶν, τὰς ἐκ τῶν ἐπιθυμιῶν ἐκβαινούσας. καὶ τὰ πρὸς τὸν καιρὸν πράσσειν δεόντως, μετριοπαθῆ καθεστῶτα. ἵνα δ' ἐπίστασιν τούτων λαμβάνωμεν, θεραπεύειν δεῖ τὸν θεόν.

Ἐπισημήνας δὲ καὶ τοῦτον, ἕτερον ἠρώτα· ΠΩΣ ἂν ἀποδοχῆς ἡ ξενιτεία τυγχάνῃ; πᾶσιν ἴσος γινόμενος, ἔφη· καὶ μᾶλλον ἥττων, ἢ καθυπερέ-

χων

[a] V. C. Καὶ τῇ φύσ.

χων φαινόμενος, πρὸς οὓς ξενιτεύει. κοινῶς γὰρ ὁ θεὸς, τὸ τεταπεινωμένον προσδέχεται κατὰ φύσιν, καὶ τὸ τῶν ἀνθρώπων γένος τοὺς ὑποτασσομένους φιλανθρωπεῖ.

Ἐπιμαρτυρήσας δὲ τούτοις, ἄλλον ἠρώτα· ΠΩΣ ἂν κατασκευάσῃ, καὶ μετὰ ταῦτα διαμένῃ; πρὸς τοῦτ᾽ εἶπεν· εἰ μεγάλα καὶ σεμνὰ τὰς ποιήσεις ἐπιτελοῖ, πρὸς τὸ φείσασθαι τοὺς θεωροῦντας, διὰ τὴν καλλονὴν, καὶ μηδένα καταργαζόμενον τὰ τοιαῦτα ἀθεραπεύτως, μηδὲ τοὺς ἄλλους ἀμισθὶ συντελεῖν, ἀναγκάζοι τὰ πρὸς τὴν χρείαν. διανοούμενος γὰρ, ὡς θεὸς πολυωρεῖ τὸ τῶν ἀνθρώπων γένος, χορηγῶν αὐτοῖς καὶ ὑγείαν, καὶ εὐαισθησίαν, καὶ τὰ λοιπά· καὶ αὐτὸς ἀκόλουθόν τι πράξει, τῶν κακοπαθειῶν ἀντιδιδοὺς τὴν ἀντάμειψιν. τὰ γὰρ ἐκ δικαιοσύνης τελούμενα, ταῦτα καὶ διαμένουσιν.

Εὖ δὲ καὶ τοῦτον εἰρηκέναι φήσας, τὸν δέκατον ἠρώτα· ΤΙΣ ἐστι σοφίας καρπός; ὁ δὲ εἶπεν· τὸ μὴ συνιστορεῖν ἑαυτῷ κακὸν πεπραχότι, τὸν δὲ βίον ἐν ἀληθείᾳ διεξάγειν. ἐκ τούτων γὰρ κρατίστη χαρὰ, καὶ ψυχῆς εὐστάθειά σοι γίνεται, μέγιστε Βασιλεῦ· καὶ ἐλπίδες ἐπὶ θεῷ καλαὶ κρατοῦντί σοι, τῆς ἀρχῆς εὐσεβέως. ὡς δὲ συνήκουσαν οἱ πάντες, ἐπεφώνησαν σὺν κρότῳ πλείονι. καὶ μετὰ ταῦτα πρὸς τὸ προπιεῖν ὁ Βασιλεὺς λαμβάνειν ἐτράπη, χαρᾷ πεπληρωμένος.

Τῇ δ᾽ ἑξῆς καθὼς πρότερον ἡ διάταξις ἦν τῶν κατὰ τὴν πόσιν ἐπιτελουμένων, καιροῦ δὲ γενομένου, τοὺς ἀπολειπομένους ὁ Βασιλεὺς ἐπηρώτα. πρὸς τὸν πρῶτον δὲ ἔφη· ΠΩΣ ἂν μὴ τραπείη τις εἰς ὑπερηφανίαν; ἀπεκρίθη δὲ, εἰ τὴν ἰσότητα τηροῖ· καὶ παρ᾽ ἕκαστον ἑαυτὸν ὑπομιμνήσκοι· καθὼς ἄνθρωπος ὢν ἀνθρώπων ἡγεῖται· καὶ ὅτι ὁ θεὸς τοὺς ὑπερηφάνους καθαιρεῖ, τοὺς δὲ ἐπιεικεῖς καὶ ταπεινοὺς ὑψοῖ.

Παρακαλέσας δὲ αὐτὸν, τὸν ἑξῆς ἐπηρώτα· ΤΙΣΙ δεῖ συμβούλοις χρῆσθαι; τοῖς διὰ πολλῶν, ἔφη, πεπειραμένοις πραγμάτων, καὶ τὴν εὔνοιαν συντηροῦσιν ἀκέραιον πρὸς αὐτὸν, καὶ τῶν τρόπων ὅσοι μετέχουσιν αὐτῷ. θεοῦ δὲ ἐπιφάνεια, γίνεται πρὸς τὰ τοιαῦτα τοῖς ἀξίοις.

Ἐπαινέσας δὲ καὶ αὐτὸν, ἄλλον ἠρώτα· ΤΙ ἐστι Βασιλεῖ κτῆσις ἀναγκαιοτάτη; τῶν ὑποτεταγμένων φιλανθρωπία, καὶ ἀγάπησις, ἀπεκρίνατο. διὰ γὰρ τούτων ἄλυτος εὐνοίας δεσμὸς γίνεται. τὸ δὲ γίνεσθαι κατὰ προαίρεσιν ταῦτα, ὁ θεὸς ἐπιτελεῖ.

Καταπαινέσας δ᾽ αὐτὸν, ἑτέρου διεπυνθάνετο. ΤΙ πέρας ἐστὶ λόγου; κἀκεῖνος δ᾽ ἔφησε· τὸ πεῖσαι τὸν ἀντιλέγοντα, διὰ τῆς ὑποτεταγμένης τάξεως τὰς βλάβας ὑποδεικνύοντα. οὕτω γὰρ λήψῃ τὸν ἀκροατὴν, οὐκ ἀντικείμενος, συγχρώμενος δ᾽ ἐπαίνῳ πρὸς τὸ πεῖσαι. θεοῦ δ᾽ ἐνεργείᾳ κατευθύνεται πειθώ.

Εὖ δὲ λέγειν φήσας αὐτὸν, ἕτερον ἠρώτα· ΠΩΣ ἂν, συμμιγῶν ὄχλων ὄντων ἐν τῇ Βασιλείᾳ, τούτοις ἁρμόσαι; τὸ πρέπον ἑκάστῳ συνυποκρινόμενος, εἶπεν, καθηγεμόνα λαμβάνων δικαιοσύνην· ὡς καὶ ποιεῖς, θεοῦ σοι διδόντος εὖ λογίζεσθαι.

Φιλοφρονηθεὶς δὲ τοῦτον, πρὸς ἕτερον εἶπεν· ΕΠΙ τίσι δεῖ λυπεῖσθαι; πρὸς ταῦτα, ἀπεκρίθη, τὰ συμβαίνοντα τοῖς φίλοις, ὅταν θεωρῶμεν πολυχρόνια καὶ ἄφυκτα γινόμενα. τελευτήσασι γὰρ, καὶ κακῶν ἀπολελυμένοις, οὐχ ὑπογράφει λύπην ὁ λόγος· ἀλλ᾽ ἐφ᾽ ἑαυτοὺς ἀναφέροντες, καὶ τὸ πρὸς ἑαυτοὺς συμφέρον, λυποῦνται πάντες ἄνθρωποι. τὸ δὲ ἐκφυγεῖν πᾶν κακὸν, θεοῦ δυνάμει γίνεται.

dum? Dixit ille: Si te erga omnes æqualem exhibueris, aut etiam inferiorem magis quam ſuperiorem erga illos apud quos peregrineris. Nam primum Deus ipſe in univerſum, quod ſe humiliat, acceptat ex ſua natura. Deinde etiam homines ipſi demiſſos humanitate proſequuntur. Suffragatus huic, alium interrogabat: QUOMODO extruere poſſet, quæ ſint futura diuturna? Ad hoc dixit ille: Si magna & honorifica perfeceris opera, ut contemplantes ea, ob pulchritudinem cogantur ab illis abſtinere, nec ullus ſimilia auſit inſtituere, aut alios intentos curæ neceſſariæ ad ea perficienda perpellere poſſit ſine mercede. Sed præcipue hoc ita aſſequêris, ſi conſideraveris, DEUM magna providentia gubernare & tueri genus humanum, & ipſis ſuppeditare valetudinem, integritatem ſenſuum, aliaque omnia, & tu ſimile quid, imitans ipſum, egeris, non neglecta interim etiam juſta malorum compenſatione. Nam quæ per juſtitiam peraguntur, illa habent diuturnitatem.

Hunc etiam faſſus recte dixiſſe, interrogabat decimum: QUI eſſet fructus ſapientiæ? Ille dixit: Non eſſe ſibi conſcium malarum actionum, & in tota vita degenda veritatem colere. nam ex hoc maximum gaudium, & tranquillitas animi maxima tibi contingent Rex. Spes etiam in DEO præclara continget tibi, pie adminiſtranti regnum. His auditis, omnes exclamarunt cum applauſu magno. deinde rex lætitia repletus, ad propinandum eſt verſus.

Sequenti autem die apparato convivio, ſeries eadem, quæ ante, erat diſcumbentium. ibi Rex data opportunitate, reliquos interrogare cæpit, ac ad primum dixit: QUOMODO quis vitaverit, ut non in ſuperbiam incidat? Ille dixit: Si primum æqualitatem ſervaverit: deinde ubique ſibi ſubjecerit, quod ipſe homo præſit hominibus: tertio, ſi cogitaverit, DEUM deprimere ſuperbos, & exaltare humiles. *Sexti diei convivium.*

Commendato eo, ſequentem interrogabat: QUIBUS ſit utendum conſiliariis? Illis, inquit ille, qui in multis ſunt exercitati negotiis, & qui ſinceram erga te conſervant benevolentiam, quique eiſdem tecum præditi ſunt moribus: ſed horum cognitio contingit dignis, ex illuſtratione divina.

Collaudato & eo, ſequentem interrogabat: QUÆ poſſeſſio eſſet regi in primis neceſſaria? Ille reſpondit: Subditorum humanitas & amor, quia ex his benevolentiæ nexus exiſtit indiſſolubilis. Sed Dei eſt, iſta ex animi ſententia perficere.

Eo comprobato, ex ſequente percontabatur: QUI finis eſſet orationis? Ille inquit: Perſuadere, ſed ita ut oſtendas, adverſarium ex argumentis & orationis ſuæ ſerie habere noxia propoſita. ita enim conciliabis tibi auditorem ad ſententiam tuam acceptandam: non contra diſceptando rationibus, ſed adjutus ipſius adverſarii comprobatione. Verum Deus eſt, qui ſua virtute gubernat perſuaſionem, ad eventum exoptatum.

Præclare hunc faſſus dixiſſe, alium interrogabat: QUOMODO, cum in regno ſit varia hominum multitudo, Regi cum illis convenire poſſit? Ille inquit: Duce juſtitia, cuique quod ei convenit attribuendo: quemadmodum tu Rex hoc facis, Deo ſuppeditante tibi ſanitatem & rectitudinem judicii.

Hunc benigne amplexus, ad alium dixit: OB QUÆ ſit triſtandum? Ille reſpondit: Ob illa, quæ adverſa eveniunt amicis, ſi cernamus ea fore diuturna, & inevitabilia. Nam ob defunctos & liberatos malis, ratio non permittit triſtari. Sed ad ſe & ſuum commodum reſpicientes, etiam ob hæc omnes homines triſtantur. Cæterum ut quis effugiat omne malum, hoc non contingit niſi virtute Dei.

Faſ-

Faſſus hunc reſpondiſſe ut oportebat, ad proximum dixit: PER quæ veniat quis in contemptum, & amittat gloriam, & exiſtimationis famam? Ille dixit: Quando in aliquo exiſtit ſuperbia & confidentia perpetua, tum ſupervenit contemptus, & exiſtimationis ejus everſio. Deus tamen omnem gloriam gubernans, quo vult eam inclinat.

Hujus etiam ſententia pro rata accepta, ſequentem interrogabat: QUIBUS debeat ſe credere? Illis (inquit) qui verſantur tecum ob benevolentiam, non ob metum, neque ob potentiam tuam, referentes inde omnia ad ſuum commodum. Nam illud, argumentum eſt amoris: hoc, malevolentiæ, & callidæ captationis opportunitatis, ad fraudem uſurpandam. Nam qui ducitur cupiditate rerum ſuarum locupletandarum, ſolet eſſe proditor: verum tu omnes benevolos habes, Deo ſuggerente tibi rectitudinem conſilii.

Faſſus eum ſapienter reſpondiſſe, dixit ſequenti: QUID conſervet regnum? Ad hæc reſpondit ille: Sollicita & diligens obſervatio & cura, ne a præfectis negotiis expediendis, quid perperam agatur, & mali aliquid inferatur in ſubditos. quam quidem curam tu ſedulo adhibes, Deo ſubminiſtrante tibi animi cogitationes graves.

Hoc confirmato, ſequentem interrogabat: QUID conſervet gratiam & honorem? Ille dixit: Virtus, quæ bona peragit opera, & quod vitioſum eſt abolet. quemadmodum tu hoc donum nactus divinum, erga omnes conſervas & uſurpas perfectam virtutis probitatem.

Hoc etiam libenter audito, undecimum, eo quod illorum duo ſupra Septuaginta eſſent, interrogabat: QUOMODO etiam in bello gerendo poſſet eſſe animo tranquillo? Ille dixit: Si tibi perſuaſeris, nihil eſſe a te temere & negligenter ordinatum, omneſque tuos ad edenda præclara facinora inde certaturos, quia ſciant, ut maxime ex vita exceſſerint, te habiturum curatorem rerum ſuarum. Neque enim, Dei beneficio nactus ex animi ſententia rerum ſucceſſum, ceſſas omnes tuos reſocillare, & erigere tua munificentia, ad meliorem rerum ſuarum ſtatum. Edita ſignificatione approbationis ſuæ per applauſum, ipſos omnes amice commendavit, & ſingulis paulo plus propinavit, ut eo plus oblectationis & gaudii haberet iſta ſua converſatio cum ipſis.

Septimi diei convivium. Septimo die, inſtructo convivio cum majori apparatu, eo quod plures, & ii ſatis multi, advenerant legati ex civitatibus, cum tempus adeſſet, Rex primum ex reliquis ad interrogandum percunctabatur: QUOMODO effecerit, ut non ſeducatur & decipiatur verbis aliorum? Ille inquit: Si expenderis & quis ſit qui dicat, & quid dicat, & de quo dicat, & quidem longiori tempore eadem aliis modis ſciſcitando. Sed habere mentem celerem, & idoneam ad quævis dijudicanda, qualem tu habes, hoc eſt præclarum donum Dei.

Applauſu approbationis edito, alterum interrogabat: QUARE plerique homines virtutem non amplexarentur? Ille dixit: Quia natura omnes homines ſunt incontinentes, & proclives ad voluptates: unde ſolet exiſtere injuſtitiæ & avaritiæ immenſitas. At virtus functione & vi ſua inhibet præcipites ad incontinentiam voluptatis, & jubet potius colere continentiam & juſtitiam: ſed hæc etiam omnia Deus adminiſtrat pro ſua voluntate.

Confeſſus hunc bene reſpondiſſe, proximum interrogabat: QUIBUS Reges potiſſimum inſiſtere deberent? Ille inquit: Legibus, ut ſuo juſte agendi ſtudio demereantur omnium famam & approbationem: quemadmodum tu Rex, hoc modo obtempe-

Ὡς δὲ ἤδη φήσας αὐτὸν ἀποκεκρίνεσθαι, πρὸς ἕτερον εἶπεν· ΠΩΣ ἀδοξία γίνεται; ἐκεῖνος δὲ ἔφησεν· ὅταν ὑπερηφανία καθηγῆται, καὶ θράσος ἄληκτον, ἀτιμασμὸς ἐπιφύεται, καὶ δόξης ἀναίρεσις. Θεὸς δὲ δόξης πάσης κυριεύει, ῥέπων ᾗ βούλεται.

Καὶ τούτῳ δὲ ἐπικυρώσας τὰ τῆς ἀποκρίσεως, τὸν ἑξῆς ἠρώτα· ΤΙΣΙ δεῖ πιστεύειν ἑαυτόν; τοῖς διὰ τὴν εὔνοιαν (εἶπεν) συνοῦσί σοι, καὶ μὴ διὰ τὸν φόβον, μηδὲ διὰ πολυωρίαν, ἐπανάγοντας πάντα πρὸς τὸ κερδαίνειν. τὸ μὲν γὰρ ἀγαπήσεως σημεῖον, τὸ δὲ δυσνοίας καὶ καιροτηρησίας. ὃς γὰρ ἐπὶ τὸ πλεονεκτεῖν ἔρχεται, προδότης πέφυκε. σὺ δὲ πάντας εὔνους ἔχεις, θεοῦ σοι καλὴν βουλὴν διδόντος.

Σοφῶς δὲ αὐτὸν εἰπὼν ἀποκεκρίσθαι, ἑτέρῳ εἶπεν· ΤΙ βασιλείαν διατηρεῖ; πρὸς τοῦτ' ἔφη· μέριμνα καὶ φροντὶς, ὡς οὐδὲν κακουργηθήσεται διὰ τῶν ἀποτεταγμένων εἰς τοὺς ὄχλους τῶν χρειῶν· καθὼς σὺ τοῦτο πράσσεις, θεοῦ σοι τὴν σεμνὴν ἐπίνοιαν διδόντος.

Θαρσύνας δὲ τοῦτον, ἕτερον ἐπηρώτα· ΤΙ διαφυλάσσει χάριτα καὶ τιμήν; ὁ δὲ εἶπεν, ἀρετή· καλῶν γὰρ ἔργων ἐστὶν ἐπιτέλεια, τὸ δὲ κακὸν ἀποτρίβεται· καθὼς σὺ διατηρεῖς τὴν πρὸς ἅπαντας καλοκαγαθίαν, παρὰ θεοῦ δῶρον τοῦτ' ἔχων.

Κεχαρισμένως δὲ καὶ τοῦτον ἀποδεξάμενος, τὸν ἐνδέκατον ἐπηρώτα, διὰ τὸ δύο πλεονάζειν τῶν ἑβδομήκοντα· ΠΩΣ ἂν κατὰ ψυχὴν καὶ ἐν τοῖς πολέμοις εἰρηνικῶς ἔχοι; ὁ δὲ ἀπεφήνατο· διαλαμβάνων, ὅτι κακὸν οὐδὲν εἴργασται τῶν διατεταγμένων οὐδένι· πάντες δὲ ἀγωνιοῦνται περὶ τῶν εὐεργετημάτων, εἰδότες, κἂν ἐκ τοῦ ζῆν ἀποστερῶσιν, ἐπιμελητήν σε τῶν βίων. οὐ γὰρ διαλείπεις ἐπανορθῶν ἅπαντας, τοῦ θεοῦ σοι κατ' εὐφροσύνην δεδωκότος. Ἐπισημήνας δὲ κρότῳ πάντας, αὐτὸς ἀπεδέξατο φιλοφρονούμενος, καὶ προέπινεν ἑκάστῳ πλεῖόν τι, πρὸς τὸ προσφθῆναι μετ' εὐφροσύνης, τοῖς ἀνδράσι συνὼν, καὶ μετὰ χαρᾶς πλείονος.

Τῇ δὲ ἑβδόμῃ τῶν ἡμερῶν, πλείονος παρασκευῆς γενομένης, προσπαραγινομένων ἑτέρων πλειόνων ἀπὸ τῶν πόλεων (ἦσαν γὰρ ἱκανοὶ πρέσβεις) ἐπηρώτησεν ὁ βασιλεὺς, καιροῦ γινομένου, τὸν πρωτεύοντα τῶν ἀπολιπόντων τῆς ἐρωτήσεως· ΠΩΣ ἂν ἀπαραλόγιστος εἴη; ἐκεῖνος δὲ ἔφη· δοκιμάζων καὶ τὸν λέγοντα, καὶ τὸ λεγόμενον, καὶ περὶ τίνος λέγει· καὶ ἐν πλείοσι χρόνοις τὰ αὐτὰ δι' ἑτέρων τρόπων ἐπερωτῶν. τὸ δὲ νοῦν ἔχειν ὀξὺν, καὶ δύνασθαι κρίνειν ἕκαστα, θεοῦ δόρημα καλόν ἐστιν· ὡς σὺ τοῦτο κέκτησαι, βασιλεῦ.

Κρότῳ δὲ ἐπισημηνάμενος ὁ βασιλεὺς, ἕτερον ἐπηρώτα· ΔΙΑ τί τὴν ἀρετὴν οὐ παραδέχονται τινες τῶν ἀνθρώπων οἱ πλείονες; ὅτι φυσικῶς ἅπαντες, εἶπεν, ἀκρατεῖς, καὶ ἐπὶ τὰς ἡδονὰς τετραμμένοι γεγόνασιν· ὧν χάριν ἀδικία πέφυκε, καὶ τὸ τῆς πλεονεξίας χῦμα. τὸ δὲ τῆς ἀρετῆς κατάστημα, κωλύει τοὺς ἐπιφερομένους ἐπὶ τὴν ἡδονοκρασίαν, ἐγκράτειαν δὲ κελεύει καὶ δικαιοσύνην προτιμᾶν. ὁ δὲ θεὸς πάντων ἡγεῖται τούτων.

Εὖ δὲ ἀποκεκρίσθαι τοῦτον εἰπὼν ὁ βασιλεὺς, τὸν μετ' αὐτὸν ἠρώτα· ΤΙΣΙ δεῖ κατακολουθεῖν τοὺς βασιλεῖς; ὁ δὲ ἔφη· τοῖς νόμοις, ἵνα δικαιοπραγοῦντες, ἀνακτῶνται τοὺς [a] δήμους τῶν ἀνθρώπων· καθὼς σὺ τοῦτο πράσσων,

a V. C. τὰ ἔθνη.

σιν, ἀέναον μνημεῖον καταβέβλησαι σεαυτοῦ, θείῳ προστάγματι κατακολουθῶν.

Εἴπας δὲ καὶ τοῦτον καλῶς λέγειν, τὸν ἐχόμενον ἠρώτα· ΤΙΝΑΣ δεῖ καθιστάνειν στρατηγούς; ὁ δὲ εἶπεν· ὅσοι μισοπονηρίαν ἔχουσι, καὶ τὴν ἀγωγὴν αὐτοῦ μιμούμενοι, πρὸς τὸ διὰ παντὸς εὐδοξίαν ἔχειν αὐτούς, τὰ δίκαια πράσσουσι. καθὼς σὺ τοῦτ᾽ ἐπιτελεῖς, βασιλεῦ, θεοῦ σοι στέφανον δικαιοσύνης δεδωκότος.

Ἀποδεξάμενος δ᾽ αὐτὸν ὁ βασιλεὺς μετὰ φωνῆς, ἐπὶ τὸν ἐχόμενον ἐπιβλέψας εἶπεν· ΤΙΝΑΣ δεῖ καθιστάνειν ἐπὶ τῶν δυνάμεων ἄρχοντας; ὁ δὲ ἀπεφήνατο· τοὺς ἀνδρείᾳ διαφέροντας, καὶ δικαιοσύνῃ· καὶ περὶ πολλοῦ ποιουμένους τὸ σώζειν τοὺς ἄνδρας ἢ τῷ νικᾶν, τῷ θράσει παραβάλλοντας τὸ ζῆν. ὡς γὰρ ὁ θεὸς εὖ ἐργάζεται πᾶσι· καὶ σὺ τοῦτον μιμούμενος, εὐεργετεῖς τοὺς ὑπὸ σεαυτόν.

Ο δὲ ἀποκεκρίσθαι φήσας αὐτὸν εὖ, ἄλλον ἠρώτα· ΤΙΝΑ θαυμάζειν ἄξιόν ἐστιν ἄνθρωπον; ὁ δὲ ἔφη· τὸν κεχορηγημένον δόξῃ καὶ πλούτῳ καὶ δυνάμει, καὶ ψυχῇ ἴσον πᾶσιν ὄντα· καθὼς σὺ δόξῃ καὶ πλούτῳ καὶ δυνάμει τοῦτο ποιῶν, ἀξιοθαύμαστος εἶ, τοῦ θεοῦ σοι διδόντος εἰς ταῦτα τὴν ἐπιμέλειαν.

Επιφωνήσας δὲ καὶ τούτῳ, πρὸς τὸν ἕτερον εἶπεν· ΕΝ τίσι δεῖ πράγμασι τοὺς βασιλεῖς τὸν πλείω χρόνον διάγειν; ὁ δὲ εἶπεν· ἐν τῷ ἀναγινώσκειν, καὶ ἐν ταῖς τῶν πορειῶν ἀπογραφαῖς διατρίβειν, ὅσαι πρὸς τὰς βασιλείας ἀναγεγραμμέναι τυγχάνουσι, πρὸς ἐπανόρθωσιν καὶ διαμονὴν ἀνθρώπων. ὃ σὺ πράσσων, ἀνέφικτον ἄλλοις δόξαν κέκτησαι· θεοῦ σοι τὰ βουλήματα συντελοῦντος.

Ενεργῶς δὲ καὶ τοῦτον προσειπὼν, ἕτερον ἠρώτα· ΤΙΝΑΣ δεῖ ποιεῖσθαι τὰς ἀγωγὰς ἐν ταῖς ἀνέσεσι καὶ ταῖς ῥᾳθυμίαις; ὁ δὲ ἔφη· θεωρεῖν, ὅσα παίζεται μετὰ [a] περιστολῆς· καὶ πρὸ ὀφθαλμῶν τιθέναι τὰ τοῦ βίου, μετ᾽ εὐσχημοσύνης καὶ καταστολῆς γινόμενα, βίῳ σωφρονεῖν καὶ κατέχειν· ἔνεστι γάρ καὶ ἐν τούτοις ἐπισκευή τις. πολλάκις γὰρ καὶ ἐκ τῶν ἐλαχίστων αἱρετόν τι δείκνυται. σὺ δὲ πᾶσαν ἠσκηκὼς καταστολὴν διὰ τῶν ἐνεργειῶν, φιλοσοφεῖς διὰ καλοκἀγαθίαν ὑπὸ θεοῦ τιμώμενος.

Εὐαρεστήσας δὲ τοῖς προειρημένοις, πρὸς τὸν ἔνατον εἶπεν· ΠΩΣ δεῖ διὰ τῶν συμποσίων διεξάγειν; ὁ δὲ ἔφησε· παραλαμβάνοντα τοὺς φιλομαθεῖς, καὶ δυναμένους ὑπομιμνήσκειν τὰ χρήσιμα τῆς βασιλείας, καὶ τοὺς τῶν ἀρχομένων βίους, ἐμμελέστερον ἢ μουσικώτερον οὐκ ἂν εὕροις τι τούτων. οὗτοι γὰρ θεοφιλεῖς εἰσι, πρὸς τὰ κάλλιστα πεπαιδευκότες τὰς διανοίας. καθὼς καὶ σὺ τοῦτο πράσσεις, ὡς ἂν ὑπὸ θεοῦ σοι κατευθυνομένων ἁπάντων.

Διαχυθεὶς δὲ ἐπὶ τοῖς εἰρημένοις, ἐπυνθάνετο τοῦ μετέπειτα· ΤΙ κάλλιστόν ἐστι τοῖς ὄχλοις, ἐξ ἰδιώτου βασιλέα κατασταθῆναι ὑπ᾽ αὐτῶν, ἢ ἐκ βασιλέως βασιλέα; ἐκεῖνος δὲ ἔφη· τὸ ἄριστον τῇ φύσει. καὶ γὰρ ἐκ βασιλέων βασιλεῖς γενόμενοι, πρὸς τοὺς ὑποτεταγμένους ἀνήμεροί τε καὶ σκληροὶ καθίστανται· πολλῷ δὲ μᾶλλον καί τινες τῶν ἰδιωτῶν, καὶ κακῶν πεπειραμένοι, καὶ πενίας μετεσχηκότες, ἄρξαντες ὄχλων, χαλεπώτεροι τῶν ἀνοσίων τυράννων ἐξέβησαν. ἀλλὰ, ὡς προεῖπον, ἦθος χρηστὸν, καὶ παιδείας κεκοινωνηκὸς, δυνατὸν ἄρχειν ἐστί· καθὼς σὺ, βασιλεῦ, μέγας ὑπάρχεις, οὐ τοσοῦτον τῇ δόξῃ τῆς ἀρχῆς καὶ τοῦ πλούτου

rans mandato divino, immortalem nominis tui memoriam es adeptus.

Faſſus & hunc præclare dixiſſe, ſequentem interrogabat: QUI eſſent conſtituendi adminiſtratores functionum publicarum? Ille dixit: Qui oderunt improbitatem, & imitantes mores & vitæ tuæ rationem, ad retinendam perpetuam exiſtimationis ſuæ famam, juſta agunt: quemadmodum tu Rex hæc facis, quia divinitus conceſſam juſtitiæ coronam habes.

Approbato eo clara voce, & oculis in ſequentem conjectis, dixit ad eum: QUOS oporteat in belli duces eligere? Ille reſpondit: Fortitudine & juſtitia præſtantes, & quibus potius eſt ſervare homines, quam cupiditate victoriæ per confidentiam perdere eorum vitam. Nam ut DEUS beneficus eſt in omnes, ita tu imitatione ejus omnia beneficentia proſequeris.

Faſſus cum bene reſpondiſſe, alium interrogabat: QUEM hominem conveniat proſequi admiratione? Ille dixit: Eum qui cum gloria, opibus & potentia abunde ſit exornatus, interim tamen animo æquali ſit erga omnes. quemadmodum tu Rex, dignus es admiratione, qui dignitate, opibus & potentia excellens, hoc facis, DEO tibi hujus rei curam injiciente.

Hoc quoque comprobato, ad proximum dixit: IN quibus rebus reges majori tempore verſari deberent? Ille inquit: In legendo & in commentariis legationum illarum quæ extant perſcriptæ ad reges, ad inſtauranda illa quæ faciunt ad rectam, ſalutarem & diuturnam hominum gubernationem. Quo ſtudio tu, DEO promovente tuos conatus ad eventus tuos, conſecutus es gloriam aliis inacceſſibilem.

Ut res ſe habeat, & hunc faſſus dixiſſe, ſequentem interrogabat: QUALIS vitæ ratio ſit ineunda, & quid agendum in otio & remiſſione animorum? Ille inquit: Contemplanda ſunt illa quæ ſobrie, & cum animi contractione adornantur: & ob oculos ponenda, quæ in vita cum decore, honeſtate & moderatione fiunt, geruntur que, ut moderate & continenter vivas. Ineſt enim & in his quædam informatio, & ſæpe ex minimis aliquid proſecutione dignum demonſtratur. Tu vero, cum ſenio uſuque vitæ & actionum ſis exercitatus, philoſopharis in ſtudio & actionibus virtutis perfectæ, ex illa præſtantia honoris quæ tibi a DEO contigit.

Delectatus oratione hujus, ad nonum dixit: QUÆ ſit vitæ ratio in conviviis peragendis ineunda? Ille inquit: Si adjunxeris tibi diſcendi cupidos, quique poſſint tibi & regni negotia & ſubditorum mores vitamque commemorare, nihil his concinnius & ſuavius poteris habere. Nam tales, cum habeant animos eruditos, & conformatos ad res optimas, ſunt chari DEO. quemadmodum & tu talibus es occupatus, ut cui omnia a DEO recte adminiſtrentur.

Exhilaratus his dictis, ſequentem interrogabat: UTRUM ſit ſatius populo ut ex privatis aliquem ſibi eligant regem, an vero ex regia ſtirpe genitum? Ille inquit: Id eſt eligendum, quod eſt naturæ gratum & exoptatum. Nam & ex regibus electi in gubernationem regni, adverſus ſubditos inclementes & duri ſolent exiſtere: & ex privatis, ac quidem multo magis, nonnulli & alia mala & paupertatem experti, cum ad imperia populorum fuerunt perducti, extiterunt intolerabiliores etiam impiis tyrannis. Sed, quemadmodum dixi, indoles ingenii, & natura proba, & humanitatis cultu exornata, idonea eſt ad imperandum: quemadmodum tu Rex magnus es, qui non tam dignitate imperii &

[a] V.C. περιστολῆς.

& opibus præſtas aliis, quam æquitate & humanitate omnes alios homines ſuperas, DEO tibi iſta in longius tempus ſua benignitate ſuggerente.

Hoc etiam collaudato, poſtremum interrogabat: QUID eſſet in Regia gubernatione maximum? Ad quod ille dixit: Ut ſubditi habeant perpetuam pacem, & celeriter conſequantur in judiciis jus ſuum. quæ quidem tum fiunt, quando qui præeſt imperio, eſt oſor improborum, & proborum amator: ac maximi facit hoc, ut animam hominis conſervet. Quemadmodum & tu maximum ſemper judicaſti ſcelus injuſtitiam: juſte vero omnia gubernando, perpetuam tibi conſecutus es gloriam ex beneficio divino: unde tu mentem habes ſanctam, & ab omni malorum labe immaculatam.

Finita hujus oratione, exortus eſt applauſus cum acclamatione & gaudio: qui ſatis diu duravit. Poſtquam autem Rex finivit hujuſmodi cum ipſis collocutionem, tum & aliis omnibus præſentibus, & iis qui ſententias dixerant, craterem plenum vino libavit, & tandem ita dixit ad viros illos: Veſtro adventu contigerunt mihi maxima bona. nam multum utilitatis percepi ex doctrina veſtra, mihi de regnandi ratione tradita. Hinc mandavit, ſingulis talenta tria donari, & puerum qui ea obtulerit. Hæc omnibus approbantibus, cum acclamatione convivium replebatur lætitia, Rege ſine intermiſſione omnia ad hilaritatem referente.

Ego autem ó Philocrates fui longior in commemorandis iſtis: ſed tu dabis veniam mihi. nam ego ſupra modum admiratus ſum iſtos viros, ita ex tempore reſpondentes de rebus meditationis longi temporis. Nec vero ego ſolum admirabar tum interrogantis ſolertiam in meditandis ſingulis quæſtionibus, tum facultatem tam promptam reſpondentium ita apte & ſapienter ad ſingulas interrogationes: ſed & aliis omnibus qui aderant, videbantur hæc admiratione digna, & præcipue Philoſophis. exiſtimo autem fore, ut & aliis omnibus qui hæc ſunt lecturi, videantur ea ſupra fidem eſſe. Sed profecto non licet aliquid falſi narrare de illis quæ excepta & annotata ſunt, & nefas judicem etiam præterire aliquid in hujuſmodi rebus: ſed ut hæc ſunt acta, ita ea expoſui, ut vitarem omnem errorem. Licet ipſe hæc omnia percepiſſem, tamen ſtudioſe iſtam expoſitionem meam accepi ab illis, qui ſingula quæ fiunt & dicuntur in regiis negotiis & conviviis, excipere & annotare ſolent. Nam, ut ipſe ſcis, hic mos eſt, ut quo die Rex incipiat publica negotia agere, omnia excipiantur ſcripto, & quæ dicantur & quæ gerantur: id quod recte & utiliter fit. Nam hinc ſequenti die & acta & dicta præcedentis, antequam quid denuo publice agatur, prælegunțur: & ſi quid parum recte eſt geſtum: id emendatur. Inde ergo cum eſſent omnia accurate perſcripta, nos hæc, ſicut dictum eſt, deſumpta & ſelecta ad te miſimus: non ignari, quantum ſit tuum ſtudium ad cognoſcenda utilia.

Poſt tres autem dies, quam illa quæ expoſuimus, ſunt acta, Demetrius aſſumpſit ad ſe illos viros, & in inſulam per aggerem maris ſeptem ſtadiorum eſt progreſſus, ac trajecto ponte partes verſus ſeptentrionem occupavit: ibi congregatis illis viris in domo ſplendide extructa juxta littus, & ab omni tumultu & ſtrepitu remota, cum ibi etiam adeſſent omnia quibus opus foret, hortabatur eos ad interpretationem legis perficiendam. Illi autem rem aggreſſi, ſingula ex collationibus ad conſonantiam elaborabant: & quod ita conſonum & elaboratum erat, ut dignum eſſet deſcriptione, a Demetrio ſcripto excipiebatur. Ac quidem quotidie ad nonam uſque horam in tali ſtudio congregati erant: deinde diſcedebant ad curandum corpus, quibus omnia large ſuppeditabantur quæ cu-

προέχων, ὅσον ἐπιεικείᾳ καὶ φιλανθρωπίᾳ πάντας ἀνθρώπους ὑπερβέβηκας, θεοῦ σοι δεδωρημένου ταῦτα ἐπὶ πλείονα χρόνον.

Καὶ τοῦτον ἐπαινέσας, τὸν ἐπὶ πᾶσι ἠρώτα· Τί μέγιστόν ἐστι βασιλείας; πρὸς τοῦτ' εἶπε· τὸ διὰ παντὸς ἐν εἰρήνῃ καθεστάναι τοὺς ὑποτεταγμένους, καὶ κομίζεσθαι ταχέως τὸ δίκαιον ἐν ταῖς διακρίσεσι. ταῦτα δὲ γίνεται διὰ τὸν ἡγούμενον, ὅταν μισοπόνηρος ᾖ, καὶ φιλάγαθος, καὶ περὶ πολλοῦ ποιούμενος ψυχὴν ἀνθρώπου σώζειν· καθὼς καὶ σὺ μέγιστον ἥγησαι τὴν ἀδικίαν· δικαίως δὲ πάντα κυβερνῶν, ἀένναον τὴν περὶ σεαυτὸν δόξαν κατεσκεύασας· τοῦ θεοῦ σοι διδόντος ἔχειν ἁγνὴν, καὶ ἀμιγῆ παντὸς κακοῦ τὴν διάνοιαν.

Καταλήξαντος δὲ τούτου, κατερράγη κρότος μετὰ φωνῆς καὶ χαρᾶς ἐπὶ πλείονα χρόνον. ὡς δ' ἐπαύσατο ὁ βασιλεὺς λαβὼν, ποτήριον ἐπεχέατο, καὶ τῶν παρόντων ἁπάντων, καὶ τῶν εἰρημένων λόγων. ἐπὶ πᾶσι δὲ εἶπε· τὰ μέγιστά μοι γέγονεν ἀγαθὰ, παραγενηθέντων ὑμῶν. πολλὰ γὰρ ὠφέλημαι, καταβεβλημένων ὑμῶν διδαχὴν ἐμοὶ πρὸς τὸ βασιλεύειν. ἑκάστῳ δὲ τρία τάλαντα προσέταξεν ἀργυρίου δοθῆναι, καὶ τὸν ἀποκαταστήσοντα παῖδα. συνεπιφωνησάντων δὲ πάντων, χαρᾶς ἐπληρώθη τὸ συμπόσιον, ἀδιαλείπτως τοῦ βασιλέως εἰς εὐφροσύνην τραπέντος.

Ἐγὼ δὲ εἴπε πλείονα· καὶ τούτοις, ὦ Φιλόκρατες, συγγνώμην ἔχειν. τεθαυμακὼς γὰρ τοὺς ἄνδρας ὑπὲρ τὸ δέον, ὡς ἐκ τοῦ καιροῦ τὰς ἀποκρίσεις ἐποιοῦντο, πολλοῦ χρόνου δεομένας· καὶ τοῦ μὲν ἐρωτῶντος, μεμεριμνηκότος ἕκαστα· τῶν δὲ ἀποκρινομένων, ἀλλήλους ἐχόντων τὰ πρὸς τὰς ἐρωτήσεις· ἄξιοι θαυμασμοῦ κατεφαίνοντό μοι, καὶ τοῖς παροῦσι, μάλιστα δὲ τοῖς φιλοσόφοις. οἴομαι δὲ καὶ πᾶσι τοῖς παραληψομένοις τὴν ἀναγραφὴν, ἄπιστον φανεῖται. ψεύσασθαι μὲν οὐ καθῆκόν ἐστι περὶ τῶν ἀναγραφομένων. εἰ δὲ καί τι παραβαίην, οὐχ ὅσιον ἐν τούτοις· ἀλλὰ, ὡς γέγονεν, οὕτω διασαφοῦμεν, ἀφοσιούμενοι πᾶν ἁμάρτημα. διόπερ ἐπειράθην, ἀποδεξάμενος αὐτῶν τὴν τοῦ λόγου δύναμιν παρὰ τῶν ἀναγραφομένων ἕκαστα τῶν γινομένων ἔν τε τοῖς χρηματισμοῖς τοῦ βασιλέως, καὶ ταῖς συμποσίαις, μεταλαβεῖν. ἔθος γάρ ἐστι, καθὼς καὶ σὺ γινώσκεις, ἀφ' ἧς ἂν ἡμέρας ὁ βασιλεὺς ἄρξηται χρηματίζειν, μέχρις οὗ κατακοιμηθῇ πάντα ἀναγράφεσθαι τὰ λεγόμενα, καὶ πρασσόμενα· καλῶς γινομένου καὶ συμφέροντος. τῇ γὰρ ἐπιούσῃ, τὰ τῇ πρότερον πεπραγμένα καὶ λελαλημένα, πρὸ τοῦ χρηματισμοῦ παραναγινώσκεται· καὶ εἴ τι δεόντως μὴ γέγονε, διορθώσεως τυγχάνει τὸ πεπραγμένον. πάντ' οὖν, ἀκριβῶς πάντων ἀναγεγραμμένων, ὡς ἐλέχθη, μεταλαβόντες, κατακεχωρήκαμεν· εἰδότες, ἣν ἔχεις φιλομάθειαν εἰς τὰ χρήσιμα.

Μετὰ δὲ τρεῖς ἡμέρας, ὁ Δημήτριος παραλαβὼν αὐτοὺς, καὶ διελθὼν τὸ τῶν ἑπτὰ σταδίων ἀνάχωμα τῆς θαλάσσης πρὸς τὴν νῆσον, καὶ διαβὰς τὴν γέφυραν, καὶ προσελθὼν ὡς ἐπὶ τὰ βόρεια μέρη, συνέδριον ποιησάμενος εἰς κατεσκευασμένον οἶκον παρὰ τὴν ἠϊόνα, διαπρεπῶς ἔχοντα, καὶ πολλῆς ἡσυχίας ἔφεδρον, παρεκάλει τοὺς ἄνδρας τὰ τῆς ἑρμηνείας ἐπιτελεῖν· παρόντων, ὅσα πρὸς τὴν χρείαν ἔδει, καλῶς. οἱ δὴ ἐπετέλουν ἕκαστα σύμφωνα ποιοῦντες πρὸς ἑαυτοὺς ταῖς ἀντιβολαῖς· τὸ δὲ ἐκ τῆς συμφωνίας γινόμενον πρεπόντως, ἀναγραφῆς οὕτως ἐτύγχανε παρὰ τοῦ Δημητρίου. καὶ μέχρι μὲν ὥρας ἐνάτης τὰ τῆς συνεδρίας ἐγίνετο· μετὰ δὲ ταῦτα περὶ τὴν τοῦ σώματος θεραπείαν ἀπολύοντο γίνεσθαι, χορηγουμένων αὐτοῖς δαψιλῶς, ὧν προῃροῦντο, πάντων. ἐκτὸς δὲ καθ' ἡμέραν,

ὡς τῷ βασιλεῖ παρεσκευάζετο, καὶ τούτοις ὁ Δωρόθεος ἐπετέλει· προστεταγμένον γὰρ ἦν αὐτῷ διὰ τοῦ βασιλέως. ἅμα δὲ τῇ πρωίᾳ παρεγίνοντο εἰς τὴν αὐλὴν καθ' ἡμέραν, καὶ ποιησάμενοι τὸν ἀσπασμὸν τοῦ βασιλέως, ἀπελύοντο πρὸς τὸν ἑαυτῶν τόπον. ὡς δὲ ἔθος ἐστὶ πᾶσι τοῖς Ἰουδαίοις, ἀπονιψάμενοι τῇ θαλάσσῃ τὰς χεῖρας, ὡς ἂν [a] ηὔξαντο πρὸς τὸν θεὸν, ἐτρέποντο πρὸς τὴν ἀνάγνωσιν, καὶ τὴν ἑκάστου διασάφησιν.

Ἐπηρώτησα δὲ καὶ τοῦτο· τίνος χάριν ἀπονιζόμενοι τὰς χεῖρας, τὸ τηνικαῦτα εὔχονται; διεσάφουν δὲ, ὅτι μαρτύριόν ἐστι, τοῦ μηδὲν εἰργάσθαι κακόν· πᾶσα γὰρ ἐνέργεια διὰ τῶν χειρῶν γίνεται. καλῶς καὶ ὁσίως μεταφέροντες ἐπὶ τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν, πάντα. καθὼς δὲ προειρήκαμεν, οὕτως καθ' ἑκάστην εἰς τὸν τόπον ἔχοντα τερπνότητα διὰ τὴν ἡσυχίαν καὶ καταύγειαν, συναγόμενοι, τὸ προκείμενον ἐπετέλουν. συνέτυχε δὲ οὕτως, ὥστε ἐν ἡμέραις ἑβδομήκοντα δυσὶ τελειωθῆναι τὰ τῆς μεταγραφῆς· οἱονεὶ κατὰ πρόθεσίν τινα τοῦ τοιούτου γεγενημένου.

Τελείωσιν δὲ ὅτε ἔλαβε, συναγαγὼν ὁ Δημήτριος τὸ πλῆθος τῶν Ἰουδαίων εἰς τὸν τόπον, οὗ καὶ τὰ τῆς ἑρμηνείας ἐπελέσθη, παρανέγνω πᾶσι, παρόντων καὶ τῶν διερμηνευσάντων· οἵτινες καὶ μεγάλης ἀποδοχῆς παρὰ τοῦ πλήθους ἔτυχον, ὡς ἂν μεγάλων ἀγαθῶν παραίτιοι γεγονότες. ὡσαύτως δὲ καὶ τὸν Δημήτριον ἀποδεξάμενοι, παρεκάλεσαν δοῦναι τοῖς ἡγουμένοις αὐτῶν μεταγραψάμενον τὸν πάντα νόμον. καθὼς δὲ ἀνεγνώσθη τὰ τεύχη, στάντες οἱ ἱερεῖς, καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι, καὶ τῶν ἀπὸ τοῦ πολιτεύματος, οἵ τε ἡγούμενοι τοῦ πλήθους, εἶπον· ἐπεὶ καλῶς καὶ ὁσίως διηρμήνευται, καὶ κατὰ πᾶν ἠκριβωμένως· καλῶς ἔχον ἐστὶν, ἵνα διαμένῃ ταῦτα οὕτως ἔχοντα, καὶ μὴ γένηται μηδεμία διασκευή. πάντων δὲ ἐπιφωνησάντων τοῖς εἰρημένοις, ἐκέλευσαν διαράσασθαι, καθὼς ἔθος αὐτοῖς ἐστιν· εἴ τις διασκευάσει, προστιθεὶς, ἢ μεταφέρων τι τὸ σύνολον τῶν γεγραμμένων, ἢ ποιούμενος ἀφαίρεσιν· καλῶς τοῦτο πράσσοντες, ἵνα διὰ παντὸς ἀέναα καὶ μένοντα φυλάσσηται.

Προσφωνηθέντων δὲ καὶ τούτων τῷ βασιλεῖ, μεγάλως ἐχάρη· τὴν γὰρ πρόθεσιν, ἣν εἶχεν, ἀσφαλῶς ἔδοξε τετελειῶσθαι. παρανεγνώσθη δὲ αὐτῷ πάντα, καὶ λίαν ἐξεθαύμασε τὴν τοῦ νομοθέτου διάνοιαν. καὶ πρὸς τὸν Δημήτριον εἶπε· πῶς τηλικούτων συντετελεσμένων οὐδεὶς ἐπεβάλετο τῶν ἱστορικῶν ἢ ποιητῶν ἐπιμνησθῆναι; ἐκεῖνος δὲ ἔφη· διὰ τὸ σεμνὴν εἶναι τὴν νομοθεσίαν, καὶ διὰ θεοῦ γεγονέναι· καὶ τῶν ἐπιβαλλομένων τινὲς, ὑπὸ τοῦ θεοῦ πληγέντες, τῆς ἐπιβολῆς ἀπέστησαν. καὶ γὰρ ἔφησεν ἀκηκοέναι Θεοπόμπου, διότι μέλλων τινὰ τῶν προηρμηνευμένων ἐπισφαλέστερον ἐκ τοῦ νόμου προσιστορεῖν, ταραχὴν λαβεῖν τῆς διανοίας πλεῖον ἡμερῶν τριάκοντα· κατὰ δὲ τὴν ἄνεσιν ἐξιλάσκεσθαι τὸν θεὸν, σαφὲς αὐτῷ γενέσθαι, τίνος χάριν τὸ συμβαῖνον ἐστί. δι' ὀνείρου δὲ σημανθέντος, ὅτι τὰ θεῖα βούλεται περιεργασάμενος εἰς κοινοὺς ἀνθρώπους ἐκφέρειν· ἀποσχόμενον δὲ, οὕτως ἀποκαταστῆναι. καὶ περὶ [b] Θεοδέκτου δὲ, τοῦ τῶν τραγῳδιῶν ποιητοῦ, μετέλαβον ἐγὼ, διότι παραφέρειν μέλλοντός τι τῶν ἀναγεγραμμένων ἐν τῇ βίβλῳ πρός τι δρᾶμα, τὰς ὄψεις [c] ἀπεγλαυκώθη· καὶ λαβὼν ὑπόνοιαν, ὅτι διὰ τοῦτ' αὐτῷ τὸ σύμπτωμα γέγονεν· ἐξιλασάμενος τὸν θεὸν ἐν πολλαῖς ἡμέραις, ἀποκατέστη.

Μεταλαβὼν δὲ ὁ βασιλεὺς, καθὼς προεῖπον, περὶ τῶν ὑπὸ τοῦ Δημητρίου· προσκυνήσας, ἐκέλευσε μεγάλην ἐπιμέλειαν ποιεῖσθαι τῶν βιβλίων, καὶ συντηρεῖν ἁγνῶς. παρεκάλεσε δὲ καὶ τοὺς ἑρμηνεῖς, ἵνα παραγίνωνται πυκνότερον πρὸς αὐτὸν, ἐὰν ἀποκατασταθῶσιν εἰς τὴν Ἰουδαίαν.

[a] V.C. εὔξωνται. [b] V.C. Θεοπόμπου. [c] ἀπετυφλώθη. V.C.

piebant, & præter hæc quotidie de illis quæ regi apparabantur; & his Dorotheus ex mandato regio ſubminiſtrabat. Atque etiam quotidie bene mane veniebant in aulam, & ſalutato Rege redibant ad ſuum locum: lotiſque manibus pro communi omnium Judæorum more ex mari, & votis ad Deum peractis, pergebant legere, & ſingula interpretari.

Quare Judæi vota peracturi manus lavent.

Interrogati autem & de hoc, quare poſt lotas manus vota faciant? reſpondebant: hoc fieri in argumentum & teſtimonium, nullius ſceleris perpetrati, quoniam per manus omnes conatus ſoleant expediri, ita pulchre & ſancte omnia ad juſtitiam referebant. In ſingulos ergo dies ſicut ante diximus, convenientes in locum illum amœnum, jucundumque & ob ſilentium & ob lucis claritatem, rem ſuſceptam ſtudebant perficere. Ac quidem ita cecidit, ut illa interpretatio eorum abſolveretur diebus ſeptuaginta duobus, perinde ac ſi data opera hoc ab illis factum fuiſſet.

Legis interpretatio abſoluta.

Abſoluta autem interpretatione, Demetrius illam Judæis omnibus congregatis in locum illum, ubi ea perfecta erat, prælegit, præſentibus etiam ipſis interpretibus: qui etiam ut authores magnorum bonorum, magna laude & approbatione ſunt accepti ab ipſa Judæorum multitudine. Similiter & Demetrium proſequuti ſunt ſua laude, rogaruntque ut iſtam legem deſcriptam ſuis etiam principibus dare vellet. Ut autem perlecta ſunt iſta volumina legis, adſtantes & ſacerdotes & interpretes ſeniores, gubernatoreſque civitatis, & ipſi principes multitudinis, ita dixerunt: Quoniam recte, ſancte, & per omnia accurate perfecta eſt iſta interpretatio, par eſt, ut omnia permaneant in ſuo habitu, nec ulla fiat immutatio. Omnibus ad hæc cum approbatione acclamantibus; juſſit Demetrius illos, ut haberent in more, imprecari dira illi, ſi quis immutaturus eſſet quid vel addendo, vel transferendo, vel auferendo. Quod recte fecerunt, ad hoc ut perpetuo conſervarentur illa ſalva, & cum diuturnitate inviolata.

Interpretationis comprobatio.

Quæ & ipſa cum eſſent Regi denunciata, valde eſt gaviſus Nam putabat ita præclare ſuum inſtitutum eſſe ad perpetuitatem confirmatum. Ac quidem cum ipſi omnia eſſent prælecta, valde admiratus eſt legiſlatoris mentem. & ad ipſum Demetrium dixit: Quare tanti operis nullus Hiſtoriographorum aut Poëtarum aggreſſus ſit mentionem facere? Ille inquit: Quia iſta lex eſt ſacroſancta, & divinitus lata: tum quia nonnulli aggreſſi, divina plaga territi, ab inſtituto deſtiterunt. Nam audivi Theopompum, cum vellet quædam ex iſta lege, tum non ita commode verſa, in ſuam hiſtoriam inſerere, animo fuiſſe turbatum ultra dies triginta: & in morbi intermiſſione cum exoraſſet Deum votis, ut ſibi declararet, quam ob cauſam hoc ſibi accidiſſet: in ſomno ei fuiſſe indicatum, ideo accidiſſe, quia divina ſtudio ſuo evulgare conaretur, & referre ad multos homines. Hinc cum inſtitutum intermiſiſſet, dicitur fuiſſe liberatus a morbo. Accepi etiam de Theodecte tragico poëta, cum voluiſſet aliquid quod ſcriptum eſſet hoc libro, transferre in quandam ſuam fabulam, fuiſſe viſum ei ablatum, donec perpendiſſet hoc ſibi eveniſſe propter hoc ſuum factum, & per multos dies reconciliaſſet ſibi Deum votis ſuis.

Quare nullus hiſtoricorum aut poëtarum legis divinæ mentionem fecerit.

His auditis Rex, & (ſicut diximus) accepta a Demetrio legis interpretatione religioſa veneratione eſt eam proſecutus: & juſſit magnam curam haberi librorum iſtorum, eoſque religioſe obſervare. ipſos etiam interpretes rogavit, ut poſt reditum ſuum in Judæam crebrius ad ſe venire vellent.

Jam

Dona interpretibus & Eleazaro poſt legis interpretationem abſolutam data.

Jam enim juſtum eſſe ut ipſos dimittat : ſed ſi redirent ad ſe, ipſos, ut par ſit, pro amicis habiturum, & maximis muneribus ornaturum. Hinc juſſit adornari quæ facerent ad illos deducendos, magnaque munificentia eſt in eos uſus, dedit cuique tres pulcherrimas ſtolas, & duo talenta auri, & calicem talenti unius, & omnem ornatum qui in cœnaculis expandi ſolet.

Mittebat etiam Eleazaro ſimul in deductione illa, decem menſas argenteis pedibus præditas, & omnem earum ornatum, & calicem triginta talentorum. Stolas item decem, & purpuram, ac coronam inſignem decore, tum circiter centum linteola byſſina. Ad hæc, phialas & pelves, & duos aureos crateras ad libationes ſacras. Præterea ſcripſit ad ipſum, & eum rogavit, ne prohibere vellet, ſi quando qui iſtorum virorum iter ad ſe ſuſcepturi eſſent. Nam ſibi gratiſſimam futuram converſationem cum tam doctis & intelligentibus viris : ſeque malle ſuas opes large & magnifice conferre in tales homines, quam in alias non tanti momenti res.

Atque ita, Philocrates, quemadmodum promiſi tibi, habes hanc hiſtoriam : quali puto te magis oblectari, quam libris eorum qui fabulas continent. Nam intentus es ſtudio gravium rerum, & huc plus temporis impertis. Dabo autem operam, ut quæ alia commemoratu digna nanciſci potero, & illa ad te perſcribam : ut illis evolutis, conſequaris ſtudii tui pulcherrimum præmium.

δίκαιον γὰρ, εἶπε, τὴν ἐκπομπὴν αὐτῶν γενέσθαι· παραγενηθέντας δὲ, ὡς θέμις, ἕξει αὐτοὺς φίλους, καὶ πολυδωρίας τῆς μεγίστης τεύξεσθαι παρ' αὐτοῦ.

Τὰ δὲ πρὸς τὴν ἐκπομπὴν αὐτῶν ἐκέλευσεν ἑτοιμάζειν, μεγαλομερῶς τοῖς ἀνδράσι χρησάμενος, ἑκάστῳ στολὰς ἔδωκε τῶν κρατίστων τρεῖς, καὶ χρυσίου τάλαντα δύο, καὶ κυλίκιον ταλάντου, καὶ τρικλίνου πᾶσαν κατάστρωσιν.

Ἔπεμψε δὲ καὶ τῷ Ἐλεαζάρῳ μετὰ τῆς ἐκπομπῆς αὐτῶν ἀργυρόποδας κλίνας δέκα, καὶ τὰ ἀκόλουθα πάντα· καὶ κυλίκιον ταλάντων τριάκοντα, καὶ στολὰς δέκα, καὶ πορφύραν καὶ στέφανον διαπρεπῆ, καὶ βυσσίνων ὀθονίων εἰς τὰς ἑκατὸν, καὶ φιάλας, καὶ τρυβλία, καὶ κρατῆρας χρυσοῦς δύο πρὸς ἀνάθεσιν. ἔγραψε δὲ καὶ παρακαλῶν, ἵνα ἐάν τινες τῶν ἀνδρῶν προαιρῶνται πρὸς αὐτὸν ἀνακομισθῆναι, μὴ κωλύσῃ· περὶ πολλοῦ ποιούμενος, τοῖς πεπαιδευμένοις συνεῖναι, εἰς τοιούτους τε τὸν πλοῦτον κατατίθεσθαι δαψιλῶς, καὶ οὐκ εἰς μάταια.

Σὺ δὲ, καθὼς ἐπηγγειλάμην, ἀπέχεις τὴν διήγησιν, ὦ Φιλόκρατες. τέρπειν γὰρ οἴομαί σε ταῦτα, ἢ τὰ τῶν μυθολόγων βιβλία. νένευκας γὰρ πρὸς περιεργίαν, καὶ ἐν τούτοις τὸν πλείονα χρόνον διατελεῖς. πειράσομαι δὲ καὶ τὰ λοιπὰ τῶν ἀξιολόγων ἀναγράφειν· ἵνα διαπορευόμενος αὐτὰ, κομίζῃ τοῦ [a] βουλεύματος τὸ κάλλιστον ἔπαθλον.

[a] V.C. βουλήματος.

JO. ALBERTI FABRICII
AD EPITOMEN
ARISTEÆ,
QUÆ LEGITUR
IN
ANTIQUITATIBUS JOSEPHI,
BREVES NOTÆ.

PAg. 585. lib. Ant. Jud. XII. c. 2. §. 2. initio. Edit. Nov. Edit. *Genevenſis* vero pag. 389. C. βασιλείαν τῆς Αἰγύπτου παραλαβὼν] Plus repererat in ſuo codice vetus interpres, apud quem caput ſecundum libri XII. his verbis incipit: *Poſt decimum vero & ſecundum annum imperii Alexandri, & poſt quadrageſimum Ptolemæi Salvatoris, Regnum Ægyptiorum Philadelphus obtinuit per annos* XXXIX. Ex Iſaaci Voſſii itaque libro in hunc modum Græca ſupplebis: βασιλεύσαντος δὲ Ἀλεξάνδρου ἔτη δώδεκα, καὶ μετ' αὐτὸν Πτολεμαίου τοῦ Σωτῆρος τεσσαράκοντα καὶ ἓν ἔπειτα τὴν βασιλείαν τῆς Αἰγύπτου, παραλαβὼν ὁ Φιλάδελφος καὶ κατασχὼν αὐτὴν ἐπ' ἔτη ἑνὸς δέοντος μ'.

Ibid. Edit. Nov. Edit. Vet. D. βιβλιοθηκῶν τοῦ βασιλέως] Epiphanius ait Bibliothecam poſitam fuiſſe in illa Alexandriæ regione quam vocabant Bruchion. Idem memorat Ptolemæum ad varios Reges literas dediſſe, ut ad ſe, quicquid poſſent librorum mitterent. Teſtatur etiam minorem Bibliothecam conditam fuiſſe in Serapio templo. Bibliothecarii autem minime ſordidum munus fuiſſe apud Regem librorum cupidiſſimum non uno in loco oſtendit Voſſius.

P. 586. ibid. Edit. Nov. Edit. Vet. lit. D. πέντε μυριάδας] Rufinus legit χιλιάδας, vertit enim deinde: *viginti millia & quinquaginta millia.* Apud Ariſteam tamen ſemper, uti apud Joſephum quoque & Euſebium, eſt μυριάδας. Cæterum in numero librorum vehementer a ſe auctores diſſident, quod diſtinctius annotaſſe fortean fuerit ſupervacaneum. Gorionidis tamen ſententiam, quia riſum movere poteſt, non prætermittemus. Narrat enim ille Regem ex Ariſtæo & Andrea ſciſcitantem, quot libros collectos haberent? reſponſum tuliſſe quod præſto ſint nonaginta quinque ſupra nongentos. Igitur voluiſſe ut quinque inſuper legis volumina adjicerentur ad implendam chiliadem.

P. 586. ibid. Edit. Nov. Edit. Vet. E. παρ' αὐτοῖς νομίμων] Rufin. *leges eorum.* Pro νομίμων apud Ariſteam eſt τοῦ νόμου Ἰουδαίων βιβλία. Alioqui νόμιμα non tantum leges ſed & ritus ſonat, & conſuetudines, quia conſuetudines ſolent legum ſere naturam induere, vel quod conſuetudines interdum uti apud Judæos, lege præceptæ ſunt. Ita Ariſtoteles in νομίμοις βαρβαρικοῖς varia inſtituta variarumque gentium ritus expoſuerat. Mentio ejus libri, ut Varronem ex Turnebi emendatione prætercam, eſt apud Apollonium Dyſcolum in hiſtoriis mirabilibus, qui poſt adductum ex Theopompi θαυμασίοις locum verba quædam ex Ariſtotelis νομίμοις adducit. Fallit itaque Jo. a Wower, qui capite IX. Polymathiæ illa Ariſtotelis verba ex Theopompi mirabilibus depromſiſſe vult videri.

Pag. 586. §. 2. cir. fin. Edit. Nov. Edit Vet. G. εἰς τὸ σοὶ κεχαρισμένον] Hæc Gelenius uti alia complura transferre omiſit. Attigit tamen interpres antiquus: *pro tua gratia*, hoc eſt, ad gratificandum tibi.

Pag. 586. c. 2. §. 2. paul. ante fin. Edit. Nov. Edit. Gen. lit. A. pag. 390. Ζῆνα] Phornutus: πρῶτος καὶ διαπαντὸς ζῶσα καὶ αἰτία οὖσα τοῖς ζῶσι τοῦ ζῆν, διὰ τοῦτο βασιλεύειν ὁ Ζεὺς λέγεται τῶν ὅλων. Hierocles: τὸ ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς ἴδιον ἦν τοῖς πυθαγορείοις τῷ τοῦ Διὸς καὶ Ζηνὸς ὀνόματι σημαίνειν. Δι' ὃν γὰρ τὸ εἶναι καὶ τὸ ζῆν τοῖς πᾶσιν ὑπάρχει, τοῦτον δίκαιον ἀπὸ τῆς ἐνεργείας ὀνομάζεσθαι. Cæterum paulo aliter hunc Joſephi locum accepit Rufinus: *Quos benignitatem tuæ munificentiæ decet a præſenti jugo ſervitutis remittere. Nam cum multa ſæpius indagaſſem, cognovi eos factorem omnium DEUM colere, quem nos* Ζῆνα, *id eſt Jovem nominamus, quod omnibus indulgeat* ζῆν, *id eſt vivere.* Quæ deinde in Græco ſequuntur, uſque ad verba: ἐπὶ τούτῳ καὶ σὲ παρακαλῶ, eorum nullum licet in edito Ariſteæ libro deprehendere veſtigium.

Pag. 586. c. 2. §. 3. princip. Edit. Nov. Edit. *Genev.* pag. 390. C. ὀλίγῳ πλείους τῶν ἕνδεκα μυριάδων] Legendum: δέκα. ita non modo Ariſteas, ſed & Euſebius octavo præparationis, & Rufinus qui reddit: *Paulo plus quam centum millia.* Confer p. 392. c. Edit. Vet.

Pag. 587. c. 2. §. 3. paul. poſt princip. Edit. Nov. Edit. Genev. p. 390. d. δραχμὰς ἑκατὸν εἴκοσι] Sic & Rufinus. At Ariſteæ editio iterum iterumque habet εἴκοσι, & recte omnino, ut paulo poſt oſtendemus.

Ibid. πλείονα ἢ τετρακοσίων] Rufin. *quadringenta & ſexaginta.* Vide p. 391. B. Edit. Vet.

Lib. XII. Ed. Nov. c. 2. §. 3. p. 587. paul. ante med. Genev. c. 2. E. εἰς δήλωσιν] Rufin. *ad manifeſtandam poſteris Regis munificentiam.* Illud porro edictum non iiſdem verbis ab auctoribus refertur, uti collatis editionibus patet. Ariſteas tamen vult videri id ex regiis hauſiſſe ac deſcripſiſſe archivis.

Ibid. ἐπέδραμον] Rufin. *vaſtaverunt.*

Ibid. Edit. Nov. Genev. lit. f. δραχμὰς ρκ'] Diximus apud Ariſteam legi κ', non ρκ'.

Lib. XII. c. 2. §. 2. mox ante fin. Edit. Nov. pag. 391. τραπεζῖται lit. B.] Rufin. *ſacellariis.* Sacellarii dicti a Sacello, quod Veteres gloſſæ exponunt μαρσύπιον.

